σαφέστερον εἴπωμεν, τοιαῦτά τινα ἐβόων, " ἐνταῦθα μένει τις τάδε " καὶ τάδε τισὶ ποιῶν τῶν γεωργῶν, καὶ οὐ μετρίας βλάβας ἐπιφέ-" ρων αὐτοῖς." ὥστε τοὺς γειτνιῶντας ἀκούοντας ἡμέρας γενομένης πρὸς ἀλλήλους λέγειν ἅ τινα νύκτωρ παρὰ τῶν γεωργῶν ἤκουσαν. ἐπονείδιστον δὲ ἦν τῷ ἀδικοῦντι. τὸν δὲ ἐμφανιζόμενον τοῖς τῆς πόλεως, αἰδεῖσθαι καὶ παύεσθαι τῆς τοιαύτης ἀδικίας. τούτοις πολλάκις παρακολουθήσαντες ἄλλοι πολλοὺς τῶν ἀδικούντων ἀνέστειλαν. ὅθεν τοῖς τῆς πόλεως ἔδοξεν ἐπ' ἀγαθῷ γεγονέναι τὸ ἐγχείρημα τῶν κωμικῶν, καὶ ἀναζητήσαντες αὐτοὺς ἠνάγκασαν καὶ ἐπὶ θεάτρου τοῦτο ποιεῖν. οἱ δὲ αἰδούμενοι, μᾶλλον δὲ φοβούμενοι, τρυγίᾳ περιχρίοντες αὐτῶν τὰς ὄψεις, οὕτως εἰσῄεσαν. καὶ ἔτι μᾶλλον ἐλεγχομένων τῶν ἀδικούντων ἐπὶ θεάτρῳ, ἀνοχὴ τῶν ἀδικιῶν ἐγένετο, τῆς αἰδοῦς ἔτι συνοικούσης τοῖς ἀνδράσιν. ἔδοξεν οὖν τοῖς τῆς πόλεως τὸ ἐγχείρημα καλὸν ὑπάρχειν, καὶ λογίους ἄνδρας αὐτὸ μετιέναι. πρῶτον οὖν Σουσαρίων τις τῆς ἐμμέτρου κωμῳδίας ἀρχηγὸς ἐγένετο. οὗ τὰ μὲν δράματα λήθῃ κατενεμήθη, δύο δὲ ἢ τρεῖς ἴαμβοι τοῦ πρώτου δράματος ἐπὶ μνήμῃ φέρονται. εἰσὶ δὲ οὗτοι·

ἀκούετε λεώς, Σουσαρίων λέγει τάδε

2. *τισὶ ποιῶν*] *ποιῶν τισὶ* Barocc.

3. *γενομένης* Barocc. *γινομένης* Bekk.

4. *ἅ τινα*] *ἃ* Barocc.

5. *δὲ ἦν τῷ ἀδικοῦντι*] *ποιεῖν τὸν ἀδικοῦντα* Vat.

ib. *ἀδικοῦντι. τὸν δὲ ἐμφανιζόμενον* Barocc. *ἀδικοῦντι τόδε, ἐμφανιζόμενον* Bekk. [p. 748. l. 6.]

ib. *τὸν δὲ ἐμφανιζόμενον*] *τὸν δὲ ἐμφανῆ γενόμενον* Vat.

ib. *τοῖς τῆς*] *τοῖς ἐπὶ τῆς* Barocc.

7. *ἄλλοι πολλοὺς*] *πολλοὶ*, omisso *ἄλλοι*, Barocc.

10. *τρυγίᾳ*] *τρυγὶ* Barocc.

11. *εἰσῄεσαν*] *εἰσίεσαν* Barocc.

13. *τοῖς*] *αὐτοῖς* Barocc.

14. *καλὸν*] *καλῶς* Barocc.

ib. *Σουσαρίων*] *Σουδαρίων* Bekk. hic et infra.

16. *κατενεμήθη*] *κατανεμήθησαν* Barocc.

ib. *πρώτου* om. Barocc.

18. Bentleius Dissert. Phalarid. p. 202. sive p. 109. versionis Lennepianæ: " Sunt, fateor, quinque versus iambici, qui Susarioni adscribantur, et forte revera sunt ejus: *ἀκούετε λεώς· Σουσαρίων λέγει τάδε,* | *υἱὸς Φιλίνου Μεγαρόθεν Τριποδίσκιος·* | *κακὸν γυναῖκες, ἀλλ' ὅμως, ὦ δημόται,* | *οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.* | *καὶ γὰρ τὸ γῆμαι, καὶ τὸ μὴ γῆμαι κακόν.* Exstant quatuor versus antecedentes in commentario Diomedis Scholastici in Dionysium Thracem MS. qui nunc est in bibl. Regia; ultimus, cum tribus aliis apud Stobæum tit. 67. [69, 2 Gaisf.] primus, tertius, et quartus, apud Diomedem, 3. p. 486. ac tertius et quartus apud [schol. Lysistr. 1037. et] Suidam v. *οὔτε σύν.* Secundum v. emendavit Pearsonus, Vind. Ignat. 2. p. 11. nam valde corruptus est in MS. Sed in primo versu, ut edidit ille, *Ἀκούετε λέξεως, Σουσαρίων τάδε λέγει,* duo vitia sunt,

υἱὸς Φιλίνου, Μεγαρόθεν Τριποδίσκιος.
κακὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.

ἀρχὴν οὖν δεξαμένου τοῦ πράγματος πολλοὶ γεγόνασι κωμῳδοὶ, ἐλέγχοντες τοὺς κακῶς βιοῦντας, καὶ τοὺς ταῖς ἀδικίαις χαίροντας, ἀναστέλλοντες τὰς ἀκαίρους καὶ ἀδίκους αὐτῶν πράξεις, καὶ ὠφελοῦντες κοινῇ τὴν πολιτείαν τῶν Ἀθηναίων. ἐπειδὴ δὲ τὸ μὲν παράνομον ἐπὶ τὰ χερείονα νικᾷ, τὸ δὲ καλὸν ταχέως ἀφίπταται τῆς τῶν ἀνθρώπων πολιτείας, οὐ μετὰ πόλυν χρόνον οἱ ἄρχοντες Ἀθήνῃσιν ἤρξαντο κωλύειν τοὺς κωμικοὺς τοῦ μὴ φανερῶς οὕτω καὶ ὀνομαστὶ ἐλέγχειν τοὺς ἀδικοῦντας. αὐτοὶ γὰρ θέλοντες ἀδικεῖν καὶ μὴ ἐλέγχεσθαι, τούτου χάριν ἐπετίμων αὐτοῖς. ὅθεν ὥσπερ αἰνιγματωδῶς καὶ οὐ φανερῶς ἠλέγχοντο ὑπὸ τῶν κωμικῶν. ἔτι δὲ ἐπὶ τὸ πλεῖον προϊούσης καὶ ἐπικρατούσης τῆς κακίας, ἐκωλύθησαν τοῦ καὶ αἰνιγματωδῶς ἐλέγχειν καὶ ὑβρίζειν τοὺς κρατοῦντας καὶ ἄρχοντας τῆς πόλεως. διὸ καὶ τρεῖς διαφορὰς ἔδοξεν ἔχειν ἡ κωμῳδία. καὶ ἡ μὲν καλεῖται παλαιὰ, ἡ ἐξ ἀρχῆς φανερῶς ἐλέγχουσα, ἡ δὲ μέση τις καὶ αἰνιγματώδης, ἡ δὲ νέα μηδ' ὅλως τοῦτο ποιοῦσα πλὴν ἐπὶ δούλων ἢ ξένων. καὶ τῆς μὲν παλαιᾶς πολλοὶ γεγόνασι, ἐπίσημος δὲ Κρατῖνος, ὁ καὶ πραττόμενος· μετέσχον δέ τινος χρόνου τῆς παλαιᾶς κωμῳδίας Εὔπολίς τε καὶ Ἀριστόφανης. τῆς δὲ μέσης καὶ αὐτῆς μὲν πολλοὶ γεγόνασιν, ἐπίσημος δὲ Πλάτων τις, οὐχ ὁ φιλόσοφος, ἀλλ' ἕτερός

contra numerum versus iambici. Quod mendum ut elueretur, pro λέξεως in Diomede repositum est λέξιν. Sed verum est, 'Ἀκούετε λεῴς, ut est apud Stobæum, i. e. *Audite, populus, &c. &c.*"

ib. λέγει τάδε] τάδε λέγει Barocc.

1. Φιλίνου] Φιλήνης Vat.

ib. Μεγαρόθεν] μεγὰρ ὅθεν Vat. γεγαρόθου Barocc. et cod. Venet. ap. Bekker.

ib. Τριποδίσκιος] τριποδίσκος Barocc. et Venet. τρίποδος κίων Vat.

6. ὠφελοῦντες] ὠφέλουν Barocc.

7. πολιτείαν] πόλιν Barocc.

ib. τὸ μὲν παράνομον ἐπὶ] Hæc delenda videntur.

8. τὰ χερείονα νικᾷ] Verba Homeri Il. α, 576.

10. τοῦ μὴ] τοὺς Barocc.

ib. οὕτω] οὕτως Barocc.

13. ἠλέγχοντο Barocc. ἐλέγχονται Bekk.

14. ἐπικρατούσης] κρατούσης Barocc.

ib. τοῦ καὶ] καὶ om. Bekk.

15. κρατοῦντας καὶ om. Barocc.

16. ἔδοξεν ἔχειν] ἔχειν ἔδοξεν Barocc.

17. μέση τις] τις om. Barocc.

20. τῆς παλαιᾶς] τῆς δὲ παλαιᾶς Barocc.

21. αὐτῆς] αὐτοὶ Barocc.

22. Πλάτων τις] τις Πλάτων Barocc.

τις. ὁμοίως κἀκείνου τὰ δράματα οὐ φαίνεται. τῆς δὲ νέας ὁμοίως πολλοὶ γεγόνασιν, ἐπίσημος δὲ ὁ Μένανδρος, ὃς ἄστρον ἐστὶ τῆς νέας κωμῳδίας, ὡς μεμαθήκαμεν. εἴρηται δὲ κωμῳδία οἱονεὶ ἐπὶ τῷ κώματι ᾠδὴ, καὶ γὰρ περὶ τὸν καιρὸν τοῦ ὕπνου ἐφευρέθη· κῶμα γὰρ ὁ ὕπνος· ἢ ἡ τῶν κωμητῶν ᾠδή· κῶμαι γὰρ λέγονται οἱ μείζονες ἀγροί.

X.

ΑΝΔΡΟΝΙΚΟΥ ΠΕΡΙ ΤΑΞΕΩΣ ΠΟΙΗΤΩΝ.

(*Ex codice Paris.* 2929. *in Bekkeri Anecd. vol.* 3. *p.* 1461.)

Κωμικῶν δὲ ὁ γέλως μετὰ τοῦ καὶ χορευτὰς εἰσάγειν καὶ πρόσωπα τοιαῦτα, οἷός ἐστιν Ἀριστοφάνης Εὔπολις Φερεκράτης. ἀλλ' ἡ μὲν κωμῳδία τρεῖς ἔχει τὰς διαφορὰς, καὶ ἡ μὲν καλεῖται ἀρχαία ἐξ ἀρχῆς φανερῶς ἐλέγχουσα, ἧς ἐπίσημοι Ἀριστοφάνης Κρατῖνος Εὔπολις· ἡ δὲ μέση τις καὶ αἰνιγματώδης, ἧς ἐπίσημος Πλάτων ὁ τὸν χαρακτῆρα λαμπρότατος, οὐχ ὁ φιλόσοφος, ἀλλ' ἕτερός τις καὶ αὐτὸς Ἀθηναῖος, οὗτινος τὰ δράματα τάδε λέγονται, Γρῦπες Κλεοφῶν Πρέσβεις Παιδίον Σοφισταὶ Συμμαχία Σκευαὶ Ἄδωνις Ἀφιέρων (Ἀφ' ἱερῶν) Δαίδαλος Ἑλλὰς Ἑορταὶ Εὐρώπη Ζεὺς κακούμενος Ἰὼ Λάϊος Λάκωνες Μύρμηκες Μέτοικοι Μενέλεως Μαμμάκουθος Ξάντριαι Νῖκαι Νὺξ μακρὰ Πείσανδρος Περιαλγὴς Ποιητὴς Σύρφαξ Ὑπέρβολος. ἡ δὲ νέα μηδ' ὅλως αἰνιγματώδης, πλὴν ἐπὶ δούλων καὶ ξένων, ἧς ἐπίσημος Μένανδρος καὶ παρὰ Ῥωμαίοις Τερέντιος καὶ Πλαῦτος. χρῆται δὲ προτάσει καὶ ἐπιτάσει καὶ ἀναστροφῇ ὁ Τερέντιος καὶ εἰς πέντε σκηνὰς διαιρεῖ τὸ δρᾶμα. Πλαῦτος περιοχὴν ποιεῖ τῆς αὐτοῦ κωμῳδίας, Τερέντιος δ' οὔ.

XI.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΒΙΟΣ.

Ἀριστοφάνης ὁ κωμῳδοποιὸς πατρὸς μὲν ἦν Φιλίππου, τὸ δὲ γένος Ἀθηναῖος, τῶν δήμων Κυδαθηναιεὺς, Πανδιονίδος φυλῆς· ὃς πρῶτος

4. *κῶμα γὰρ ὁ ὕπνος* om. Barocc.
17. *κακούμενος*] *καλούμενος* codex.
19. *Ξάντριαι*] *ξάνται* codex.
ib. *Περιαλγὴς*] *περίαλγος* codex.
27. *κωμῳδοποιὸς*] *κωμῳδιοποιὸς* Ald.
28. *τῶν δήμων*] *τὸν δῆμον* vulgo. *τῷ δήμῳ* V.
ib. *Κυδαθηναιεὺς* Kusterus. *κυδαθηνεὺς* Ald. *κυδαθήναιος* V.

δοκεῖ τὴν κωμῳδίαν ἔτι πλανωμένην τῇ ἀρχαίᾳ ἀγωγῇ ἐπὶ τὸ χρησιμώτερον καὶ σεμνότερον μεταγαγεῖν, πικρότερον καὶ αἰσχρότερον Κρατίνου καὶ Εὐπόλιδος βλασφημούντων ἢ ἔδει. πρῶτος δὲ καὶ τῆς νέας κωμῳδίας τὸν τρόπον ἐπέδειξεν ἐν τῷ Κωκάλῳ, ἐξ οὗ τὴν ἀρχὴν λαβόμενοι Μένανδρός τε καὶ Φιλήμων ἐδραματούργησαν. εὐλαβὴς δὲ σφόδρα γενόμενος τὴν ἀρχὴν ἄλλως τε καὶ εὐφυὴς τὰ μὲν πρῶτα διὰ Καλλιστράτου καὶ Φιλωνίδου καθίει δράματα. διὸ καὶ ἔσκωπτον αὐτὸν Ἀριστώνυμός τε καὶ Ἀμειψίας, τετράδι λέγοντες γεγονέναι, κατὰ τὴν παροιμίαν, ἄλλοις πονοῦντα. ὕστερον δὲ καὶ αὐτὸς ἠγωνίσατο. διεχθρεύσας δὲ μάλιστα Κλέωνι τῷ δημαγωγῷ καὶ γράψας κατ' αὐτοῦ τοὺς Ἱππέας, ἐν οἷς διελέγχει αὐτοῦ τὰς κλοπὰς καὶ τὸ τυραννικὸν, οὐδενὸς δὲ τῶν σκευοποιῶν τολμήσαντος τὸ πρόσωπον αὐτοῦ σκευάσαι δι' ὑπερβολὴν φόβου, ἅτε δὴ τυραννικοῦ ὄντος, μηδὲ μὴν ὑποκρίνασθαί τινος τολμῶντος, δι' ἑαυτοῦ ὁ Ἀριστοφάνης ὑπεκρίνατο, αὐτοῦ τὸ πρόσωπον μίλτῳ χρίσας, καὶ αἴτιος αὐτῷ γέγονε ζημίας πέντε ταλάντων, ἃ ὑπὸ τῶν Ἱππέων κατεδικάσθη, ὥς φησιν ἐν Ἀχαρνεῦσιν

" ἐγᾦδ' ἐφ' ᾧ γε τὸ κέαρ ηὐφράνθην ἰδὼν,
" τοῖς πέντε ταλάντοις οἷς Κλέων ἐξήμεσεν."

διήχθρευσε δὲ αὐτῷ ὁ Ἀριστοφάνης, ἐπειδὴ ξενίας κατ' αὐτοῦ γραφὴν ἔθετο, καὶ ὅτι ἐν δράματι αὐτοῦ Βαβυλωνίοις διέβαλε τῶν Ἀθηναίων τὰς κληρωτὰς ἀρχὰς, παρόντων ξένων. ὡς ξένον δὲ αὐτὸν ἔλεγε παρόσον οἱ μὲν αὐτόν φασιν εἶναι Ῥόδιον ἀπὸ Λίνδου, οἱ δὲ Αἰγινήτην, στοχαζόμενοι ἐκ τοῦ πλεῖστον χρόνον τὰς διατριβὰς ποιεῖσθαι αὐτόθι, ἢ καὶ ὅτι ἐκέκτητο ἐκεῖσε. κατὰ τινὰς δὲ, ὡς ὅτι ὁ

6. καὶ εὐφυὴς] καὶ delevit Gelenius.
8. Ἀριστώνυμός τε καὶ Ἀμειψίας] Vide scholion Platonicum, infra afferendum s. XIII.
ib. λέγοντες αὐτὸν Gelenius.
9. ὡς ἄλλοις Gelenius.
14. ὁ addidi ex V.
15. χρίσας] χρήσας V.
17. Ἀχαρνεῦσιν] Versu 5.
18. ἐγᾦδ'] ἐγὼ δ' V. et Ald. γε om. V.
ib. ηὐφράνθην V. εὐφράνθην Ald.
20. κατ' αὐτοῦ γραφὴν V. γραφὴν κατ' αὐτοῦ vulgo.
21. Βαβυλωνίοις] βαβυλλωνίοις V.
23. φασιν εἶναι Ῥόδιον V. φασι Ῥόδιον vulgo. Alii Naucratitam fuisse perhibuerunt, ut ex Heliodoro Atheniensi in libris περὶ ἀκροπόλεως narrat Athenæus 6. p. 229 e. Quo referenda videtur scholiastæ notatio ad Nub. v. 271. ἦν γὰρ (Aristophanes) τὸ γένος Αἰγύπτιος.
24. Αἰγινήτην] De quo dixi in prooemio annotationum ad Acharnenses.
ib. ποιεῖσθαι αὐτόθι V. αὐτόθι ποιεῖσθαι vulgo.

πατὴρ αὐτοῦ Φίλιππος Αἰγινήτης. ἀπολυθῆναι δὲ αὐτὸν εἰπόντα ἀστείως ἐκ τοῦ Ὁμήρου ταῦτα

“ μήτηρ μέν τ' ἐμέ φησι τοῦ ἔμμεναι, αὐτὰρ ἔγωγε
“ οὐκ οἶδ'· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω.”

δεύτερον δὲ καὶ τρίτον συκοφαντηθεὶς ἀπέφυγε, καὶ οὕτω φανερὸς κατασταθεὶς πολίτης κατεκράτησε τοῦ Κλέωνος. ὅθεν φησὶν “ Αὐτὸς “ δ' ἐμαυτὸν ὑπὸ Κλέωνος ἅττ' ἔπαθον ἐπίσταμαι δὴ” καὶ τὰ ἑξῆς. φασὶ δὲ αὐτὸν εὐδοκιμῆσαι συκοφάντας καταλύσαντα· οὓς ὠνόμασεν ἠπιάλους ἐν Σφηξὶν, ἐν οἷς φησιν “ Οἳ τοὺς πατέρας αὐτῶν ἦγχον “ νύκτωρ, καὶ τοὺς πάππους ἀπέπνιγον.” μάλιστα δὲ ἐπῃνέθη καὶ ἠγαπήθη ὑπὸ τῶν πολιτῶν σφόδρα, ἐπειδὴ διὰ τῶν αὐτοῦ δραμάτων ἐσπούδασε δεῖξαι τὴν πολιτείαν Ἀθηναίων ὡς ἐλευθέρα τέ ἐστι καὶ ὑπ' οὐδενὸς τυράννου δουλαγωγουμένη, ἀλλ' οὐδὲ ὅτι δημοκρατία ἐστὶ, καὶ ἐλεύθερος ὢν ὁ δῆμος ἄρχει ἑαυτοῦ. τούτου οὖν χάριν ἐπῃνέθη καὶ ἐστεφανώθη θαλλῷ τῆς ἱερᾶς ἐλαίας, ὃς νενόμισται ἰσότιμος χρυσῷ στεφάνῳ, εἰπὼν ἐκεῖνα τὰ ἐν τοῖς Βατράχοις περὶ τῶν ἀτίμων “ Τὸν ἱερὸν χορὸν δίκαιον πολλὰ χρηστὰ τῇ πόλει συμπαραινεῖν.” ὠνομάσθη δὲ ἀπ' αὐτοῦ, ἐπεὶ ἔνδοξον, τὸ μέτρον τὸ Ἀριστοφάνειον. οὕτω δὲ γέγονεν ἡ φήμη τοῦ ποιητοῦ ὡς καὶ παρὰ Πέρσαις διήκειν καὶ τὸν βασιλέα Περσῶν πυνθάνεσθαι παρ' ὁποτέροις εἴη ὁ κωμῳδοποιός. φασὶ δὲ καὶ Πλάτωνα Διονυσίῳ τῷ τυράννῳ βουληθέντι μαθεῖν τὴν Ἀθηναίων πολιτείαν πέμψαι τὴν Ἀριστοφάνους ποίησιν καὶ συμβουλεῦσαι τὰ δράματα αὐτοῦ ἀσκηθέντα μαθεῖν αὐτῶν τὴν πολιτείαν. ἐγένετο δὲ καὶ αἴτιος ζήλου τοῖς νέοις κωμικοῖς, λέγω δὴ Φιλήμονι καὶ Μενάνδρῳ. ψηφίσματος γὰρ γενομένου χορηγικοῦ, ὥστε μὴ ὀνομαστὶ κωμῳδεῖν τινα, καὶ τῶν χορηγῶν οὐκ ἀντεχόντων πρὸς

2. Ὁμήρου] Odyss. A. 215. Mihi quid de hac narratiuncula videatur dixi ad fragm. p. 539.
6. φησὶν] Acharn. v. 377.
7. ἅττ'] ἅττ' ὧν V.
9. Σφηξὶν] v. 1039.
11. σφόδρα addidi ex V.
ib. ἐπειδὴ] ἐπειδὴ δὲ vulgo.
ib. αὐτοῦ] αὐτοῦ V. ἑαυτοῦ vulgo.
12. τὴν πολιτείαν Ἀθηναίων V. τὴν τῶν Ἀθηναίων πολιτείαν vulgo.
13. δουλαγωγουμένη] διαγωγουμένη V.
14. οὖν addidi ex V.
16. τὰ addidi ex V.
ib. Βατράχοις] v. 686.
18. ἐπεὶ V. ἐπειδὴ vulgo.
19. οὕτω δὲ] Vide Acharn. v. 646.
22. ποίησιν] Addebatur τὴν κατὰ Σωκράτους ἐν Νεφέλαις κατηγορίαν, quæ manifestum est ab recentiore grammatico temere esse inserta.
25. χορηγικοῦ Meinekius Quæst. scen. I. p. 35. Legebatur χορηγοῦ.

τὸ χορηγεῖν, καὶ παντάπασιν ἐκλελοιπυίας τῆς ὕλης τῶν κωμῳδιῶν διὰ τούτων αὐτῶν, αἴτιον γὰρ κωμῳδίας τὸ σκώπτειν τινὰς, ἔγραψε Κώκαλον, ἐν ᾧ εἰσάγει φθορὰν καὶ ἀναγνωρισμὸν καὶ τἄλλα πάντα ἃ ἐζήλωσε Μένανδρος. πάλιν δὲ ἐκλελοιπότος καὶ τοῦ χορηγεῖν τὸν Πλοῦτον γράψας εἰς τὸ διαναπαύεσθαι τὰ σκηνικὰ πρόσωπα καὶ μετεσκευάσθαι, ἐπιγράφει χοροῦ, φθεγγόμενος ἐν ἐκείνοις ἃ καὶ ὁρῶμεν τοὺς νέους οὕτως ἐπιγράφοντας ζήλῳ Ἀριστοφάνους. ἐν τούτῳ δὲ τῷ δράματι συνέστησε τῷ πλήθει τὸν υἱὸν Ἀραρότα, καὶ οὕτω μετήλλαξε τὸν βίον, παῖδας καταλιπὼν τρεῖς, Φίλιππον ὁμώνυμον τῷ πάππῳ καὶ Νικόστρατον καὶ Ἀραρότα, δι' οὗ καὶ ἐδίδαξε τὸν Πλοῦτον. τινὲς δὲ δύο φασὶ, Φίλιππον καὶ Ἀραρότα, ὧν καὶ αὐτὸς ἐμνήσθη

"τὴν γυναῖκα δὲ
"αἰσχύνομαι τώ τ' οὐ φρονοῦντε παιδίω,"

ἴσως αὐτοὺς λέγων.

Ἔγραψε δὲ δράματα μδ', ὧν ἀντιλέγεται τέσσαρα ὡς οὐκ ὄντα αὐτοῦ. ἔστι δὲ ταῦτα, Ποίησις Ναυαγὸς Νῆσοι Νίοβος, ἃ τινὲς ἔφασαν εἶναι τοῦ Ἀρχίππου.

2. ἔγραψε] Addebatur κωμῳδίας τινάς. De quo dixi ad fragm. p. 567.

6. ἐπιγράφει] ἐπιγράφη V.

ib. χοροῦ] Vid. annot. ad Pluti v. 252.

7. οὕτως ἐπιγράφοντας V. ἐπιγράφοντας οὕτω vulgo.

13. δὲ] δ' vulgo.

17. Νίοβος] Νίοβις vulgo. νίορος V.

18. Post Ἀρχίππου in V. et Ald. hæc sequuntur: Ὁ κωμικὸς χορὸς συνέστηκεν ἐξ ἀνδρῶν κδ'. καὶ εἰ μὲν ὡς ἀπὸ τῆς πόλεως ἤρχετο ἐπὶ τὸ θέατρον, διὰ τῆς ἀριστερᾶς ἀψῖδος εἰσῄει, εἰ δὲ ὡς ἀπὸ ἀγροῦ, διὰ τῆς δεξιᾶς, ἐν τετραγώνῳ σχήματι, ἀφορῶν εἰς τοὺς ὑποκριτάς. ἀναχωρούντων δὲ τῶν ὑποκριτῶν ἑπτάκις ἐστρέφετο ὁ χορὸς, προσέχων ἐφ' ἑκάτερα μέρη τοῦ θεάτρου. ἐκαλεῖτο δὲ τῷ γένει τὸ τοιοῦτον ὄνομα (ὄρχημα V. Corrigendum videtur σχῆμα) τῆς ὀρχήσεως παράβασις, ὁμωνύμως τῷ γένει. τὸ τρίτον μακρὸν, τὸ καὶ πνῖγος. τὸ (τὸ om. Ald.) τέταρτον στροφὴ ἢ ᾠδή. τὸ πέμπτον ἐπίρρημα. τὸ ἕκτον ἀντίστροφος ἢ ἀντῳδή. τὸ ἕβδομον ἀντεπίρρημα. (Addit V: σκολιὰ λέγεται τὰ πάροινα μέλη τὰ ἐν τοῖς συμποσίοις ᾀδόμενα. καὶ ὡς μὲν ἔνιοί φασιν ἐκ τοῦ ἐναντίου προσηγορεύθησαν· ἁπλᾶ γὰρ αὐτὰ ἐχρῆν εἶναι καὶ εὔκολα ὡς παρὰ πότον ᾀδόμενα. οὐκ εὖ δὲ τοῦτο· τὰ γὰρ δύσφημα ἐπὶ τὸ εὐθυμότερον μεταλαμβάνεται, οὐ τὸ ἔμπαλιν. τί οὖν ἐπάναγκες ἦν τὸ ἐν συμποσίοις ἅπασιν ᾄδειν μετὰ λύρας; ὅσοι δὲ οὐκ ἠπίσταντο λύρᾳ χρῆσθαι, δάφνης ἢ μυρρίνης (μυρίνης V.) κλῶνας λαμβάνοντες ᾖδον. ἐπὶ τοῖς οὖν οὐκ ἐπισταμένοις μέλη πρὸς λύραν ᾄδειν σκολιὰ ἐδόκει· ὅθεν καὶ σκολιὰ ὠνομάσθησαν. τινὲς δὲ οὕτως οὐ κατὰ τὸ ἑξῆς φασι δίδοσθαι τὴν λύραν ἀλλ' ἐναλλάξ. διὰ τὴν σκολίαν οὖν καὶ μὴ ἐπ' εὐθείας τῆς λύρας περιφέρειαν σκολιὰ ἐλέγετο.)—Ὑποκριταὶ Ἀριστοφάνους Καλλίστρατος καὶ Φιλωνίδης, δι' ὧν ἐδίδασκε τὰ δράματα ἑαυτοῦ, διὰ μὲν Φιλωνίδου τὰ δη-

XII.

ΑΛΛΩΣ.

(*Ex codice Veneto* 474.)

Ἀριστοφάνης ὁ κωμῳδοποιὸς Φιλίππου μὲν ἦν παῖς Ἀθηναῖος, Κυδαθηναιεὺς τῶν δήμων· ὃς πρῶτος δοκεῖ τὴν κωμῳδίαν ἔτι πλανωμένην τῇ ἀρχαίᾳ ἀγωγῇ ἐπὶ τὸ χρησιμώτερον καὶ σεμνότερον καταστήσασθαι, πρότερον Κρατίνου καὶ Εὐπόλιδος βλασφημούντων. πρῶτος δὲ καὶ τῆς νέας κωμῳδίας τὸν τρόπον ἐπέδειξε τῷ Κωκάλῳ, ἃ Μένανδρός τε καὶ Φιλήμων δράματα συνεστήσαντο. εὐλαβὴς δὲ σφόδρα γενόμενος ἄλλως τε καὶ εὐφυής, τὰ μὲν πρῶτα διὰ Καλλιστράτου καὶ Φιλωνίδου καθίει δράματα. διὸ καὶ ἔσκωπτον αὐτὸν Ἀριστώνυμός τε καὶ Ἀμειψίας, τετράδι αὐτὸν γεγονέναι λέγοντες, κατὰ τὴν παροιμίαν, ἄλλοις πονοῦντα. ὕστερον δὲ καὶ αὐτὸς διηγωνίσατο. διεχθρεύσας δὲ μάλιστα Κλέωνι τῷ στρατηγῷ καὶ γράψας κατ' αὐτοῦ τοὺς Ἱππέας αὐτὸς ὑπεκρίνατο· ὁ δὲ ξενίας αὐτὸς κατ' αὐτοῦ ἔγκλημα ἔθετο. καὶ γὰρ δή φασί τινες αὐτὸν Ῥόδιον γεγονέναι. ἀπελύθη δὲ τὸ μὲν πρῶτον εἰπὼν

"μήτηρ μέν τέ μέ φησι τοῦ ἔμμεναι, αὐτὰρ ἔγωγε
"οὐκ οἶδ'· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω."

δεύτερον δὲ καὶ τρίτον συκοφαντηθεὶς ἀπέφυγεν. ὅθεν φησὶν "Αὐτὸς "δ' ἐμαυτὸν ὑπὸ Κλέωνος ἅπαθον ἐπίσταμαι διὰ τὴν πέρυσι κωμῳ-"δίαν· εἰσελκύσας γάρ μ' εἰς τὸ βουλευτήριον διέβαλλε." φασὶ δὲ αὐτὸν εὐδοκιμῆσαι καταλύσαντα, οὓς ὠνόμασεν ἠπιάλους ἐν Σφηξὶν, ἐν οἷς φησιν "Οἳ τοὺς πατέρας ἦγχον νύκτωρ καὶ τοὺς πάππους "ἀπέπνιγον." μάλιστα δὲ ἐπῃνέθη καὶ ἐστεφανώθη θαλλῷ τῆς ἱερᾶς ἐλαίας, ὃς νενόμισται ἰσότιμος χρυσῷ στεφάνῳ, εἰπὼν ἐκεῖνα ἐν τοῖς Βατράχοις περὶ τῶν ἀτίμων "Τὸν ἱερὸν χορὸν δίκαιόν ἐστι

μοτικὰ, διὰ δὲ Καλλιστράτου τὰ ἰδιωτικά.—Πόσα μέρη κωμῳδίας; α'. πρόλογος τὸ μέχρι τῆς εἰσόδου τοῦ χοροῦ μέρος. β'. χορικὸν τὸ τοῦ (τοῦ om. V.) χοροῦ διδόμενον (fort. ᾀδόμενον) μέλος. γ'. ἐπεισόδιον τὸ μεταξὺ δύο χορικῶν μελῶν. δ'. ἔξοδος τὸ ἐπὶ τέλει λεγόμενον τοῦ χοροῦ. εἴρηται δὲ καὶ πόσα μέρη παραβάσεως. ἡ δὲ παράβασις (hæc tria verba om. Ald.) τοῦ χορικοῦ.

5. Κυδαθηναιεύς] κυδαθηναῖος V.

6. καταστήσασθαι] Præstat μεταστήσασθαι.

13. αὐτὸς] αὐτοῦ V.

16. φασι] φάσκει V.

21. ἅπαθον] ἃ πάθον V.

“χρηστὰ τῇ πόλει συμπαραινεῖν.” τὴν δὲ ποίησιν αὐτοῦ οὕτως ἔνδοξον γενέσθαι, ὡς τὸν μὲν Περσῶν βασιλέα πυνθάνεσθαι παρ᾽ ὁποτέροις εἴη ὁ κωμῳδοποιός, Πλάτωνα δὲ Διονυσίῳ τῷ τυράννῳ βουληθέντι μαθεῖν τὴν Ἀθηναίων πολιτείαν, πέμψαι τὴν Ἀριστοφάνους ποίησιν, τὴν κατὰ Σωκράτους ἐν Νεφέλαις κατηγορίαν. τελευταῖον δὲ διδάξας τὸν Πλοῦτον συνέστησε τῷ πλήθει τὸν υἱὸν Ἀραρότα, καὶ οὕτω μετήλλαξε τὸν βίον, παῖδας καταλιπὼν δύο, Ἀραρότα καὶ Φίλιππον, ὡς αὐτὸς ἐπεμνήσθη

“τὴν γυναῖκα δὲ
“αἰσχύνομαι τώ τ᾽ οὐ φρονοῦντε παιδίω,”

Ἀραρότα ἴσως καὶ Φίλιππον λέγων. ἀναγράφει δὲ καὶ τρίτον Νικόστρατον. κατέστρεψε δὲ τὸν βίον διαφερόντως τιμηθεὶς καὶ πολλὰ στεφανωθείς. κατέλειψε δὲ δράματα μδ΄. ἐν τούτοις τὰ ἀντιλεγόμενα δ΄. ἀποθανόντι δὲ αὐτῷ ἐπὶ τῷ μνήματι παρὰ Πλάτωνος ἐπίγραμμα τοιοῦτον γέγραπται

“Αἱ Χάριτες τέμενός τι λαβεῖν ὅπερ οὐχὶ πεσεῖται
“ζητοῦσαι ψυχὴν εὗρον Ἀριστοφάνους.”

XIII.

ΑΛΛΩΣ.

(*Ex scholiasta Clarkiano Platonis Apolog. p.* 19 *c. in Porsoni Miscellan. p.* 268. *ed. Kidd.*

Ἀριστοφάνης ὁ κωμῳδιοποιὸς φαλακρὸς ἦν, ὡς καὶ αὐτός φησιν Εἰρήνῃ. ἐκωμῳδεῖτο δ᾽ ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ᾽ αὐτόν. Κρατῖνος,

“Τίς δὲ σὺ κομψὸς . . . . τις ἔροιτο θεατής·
“ὑπολεπτόλογος, γνωμιδιώκτης, εὐριπιδαριστοφανίζων.”

καὶ αὐτὸς δ᾽ ἐξομολογεῖται Σκηνὰς καταλαμβανούσαις

“Χρῶμαι γὰρ αὐτοῦ (φησὶ) τοῦ στόματος τῷ στρογγύλῳ,
“τοὺς νοῦς δ᾽ ἀγοραίους ἧττον ἢ ᾽κεῖνος ποιῶ.”

Ἀριστώνυμος δ᾽ ἐν Ἡλίῳ ῥιγοῦντι καὶ Σαννυρίων ἐν γέλωτι τετράδι

3. Πλάτωνα] πλάτων V.
23. Εἰρήνῃ] v. 771.
25. Indicavi lacunam. πᾶς ἂν inserit Porsonus.
27. αὐτὸς] V. fragm. 397, p. 642.
30. τετράδι φασὶν αὐτὸν γενέσθαι]

φασὶν αὐτὸν γενέσθαι, διότι τὸν βίον κατέτριψεν ἑτέροις πονῶν· οἱ γὰρ τετράδι γεννώμενοι πονοῦντες ἄλλοις καρποῦσθαι παρέχουσιν, ὡς καὶ Φιλόχορος ἐν τῇ πρώτῃ περὶ ἡμερῶν ἱστορεῖ. ταύτῃ δὲ καὶ Ἡρακλῆ φασὶ γεννηθῆναι. τρεῖς δὲ εἶχεν υἱοὺς, Φίλιππον τὸν τοῖς Εὐβούλου δράμασιν ἀγωνισάμενον, καὶ Ἀραρότα ἰδίοις τε καὶ τοῦ πατρὸς δράμασι διηγωνισμένον, καὶ τρίτον ὃν Ἀπολλόδωρος μὲν Νικόστρατον καλεῖ, οἱ δὲ περὶ Δικαίαρχον Φιλέταιρον. κατεκλήρωσε δὲ καὶ τὴν Αἴγιναν, ὡς Θεογένης φησὶν ἐν τῷ περὶ Αἰγίνης. κωμῳδεῖται δὲ ὅτι καὶ τὸ τῆς Εἰρήνης κολοσσικὸν ἐξῆρεν ἄγαλμα· Εὔπολις Αὐτολύκῳ, Πλάτων Νίκαις.

XIV.

ΑΛΛΩΣ.

(*Ex Suida.*)

Ἀριστοφάνης, Ῥόδιος, ἤτοι Λίνδιος· οἱ δὲ Αἰγύπτιον ἔφασαν· οἱ δὲ Καμειρέα· θέσει δὲ Ἀθηναῖος· ἐπολιτογραφήθη γὰρ παρ᾽ αὐτοῖς· κωμικὸς, υἱὸς Φιλίππου, γεγονὼς ἐν τοῖς ἀγῶσι κατὰ τὴν ριδ᾽ ὀλυμπιάδα, εὑρετὴς τοῦ τετραμέτρου καὶ ὀκταμέτρου· παῖδας σχὼν Ἀραρότα, Φίλιππον, Φιλέταιρον, κωμικούς. τινὲς δὲ αὐτὸν καὶ ἀπόδουλον ἱστορήκασι. Δράματα δὲ αὐτοῦ μδ᾽. ἅπερ δὲ πεπράχαμεν Ἀριστοφάνους δράματα, ταῦτα· Ἀχαρνεῖς Βάτραχοι Εἰρήνη Ἐκκλησιάζουσαι Θεσμοφοριάζουσαι Ἱππεῖς Λυσιστράτη Νεφέλαι Ὄρνιθες Πλοῦτος Σφῆκες.

Simile est quod de Platone comico narrat Eustathius p. 302, 30. ex Pausania, ὅτι παροιμία ἦν τὸ Ἀρκάδας μιμούμενος ἐπὶ τῶν ἄλλοις ταλαιπωρούντων· μαχιμώτατοι γὰρ ὄντες αὐτοὶ μὲν οὐδέποτε ἐνίκησαν, πολλοῖς δὲ ἄλλοις αἴτιοι τοῦ νικᾶν ἦσαν, ὅθεν καὶ Πλάτων ὁ κωμικὸς (ἐν Πεισάνδρῳ, ut constat ex Suida s. Ἀρκάδας, μιμούμενοι) διὰ τὸ τὰς κωμῳδίας, φησὶν, αὐτὸς ποιῶν ἄλλοις ἐκδιδόναι διὰ πενίαν Ἀρκάδας μιμεῖσθαι ἔφη.

1. διότι] Legebatur διό.

4. Ἡρακλῆ] Eustath. l. c. ὃ δὴ (τὸ ἄλλοις ταλαιπωρεῖν) καὶ Ἡρακλῆς ἔπασχεν, ἐξ οὗ καὶ παροιμία ἐπὶ τῶν ἄλλοις μοχθούντων τὸ ἐν τετράδι γεννηθῆναι, κατὰ τὸν Ἡρακλέα δηλαδὴ, ὃς ἐν μηνὸς τετάρτῃ γεννηθεὶς ἄλλοις ἦθλει.

16. ριδ᾽] Error manifestus. Prima enim Aristophanis fabula, Dætalenses, archonte edita est Diotimo, i. e. olymp. 88, 1.

19. μδ᾽] νδ᾽ editio Mediol. Correctum ex tribus codicibus optimis.

ib. πεπράχαμεν] Verte, *quæ autem tractavimus Aristophanis dramata, hæc sunt*. HEMST. Similiter Schweighæuserus, qui exempla quædam attulit in Indice ad Epictetum. GAISFORD.

XV.

ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ.

Ἀριστοφάνης ὁ κωμῳδοποιὸς γένει μὲν ἦν Ἀθηναῖος, πατρὸς δὲ Φιλίππου, μητρὸς δὲ Ζηνοδώρας, τὸν δὲ δῆμον Κυδαθηναῖος, Πανδιονίδος φυλῆς. πάνυ δὲ ὢν εὐφυὴς καὶ ἀγχίνους ἐπὶ τοσοῦτον ἐν νέᾳ κομιδῇ τῇ ἡλικίᾳ ηὐδοκίμησεν ἐν κωμῳδίαις ὡς οὐ μόνον τοὺς κατ' αὐτὸν, ἀλλὰ καὶ τοὺς πρὸ αὐτοῦ ὑπερᾶραι· μᾶλλον δὲ οὐδὲ τοῖς ἐπιγιγνομένοις παρῆκεν ὑπερβολὴν, ἀλλὰ καὶ τούτους μετὰ πολλοῦ τοῦ περιόντος παρῆλθεν. οὔκουν ἀνεφάνη τις ὕστερον Ἀριστοφάνει παραπλήσιος. διὰ τοῦτο καὶ παρὰ τοῖς βασκάνοις αὐτοῖς ἀξιοῦται θαύματος. δράματα δὲ τέσσαρα πρὸς τοῖς πεντήκοντα γέγραφεν, ἅπαντα εὐμουσίας καὶ χάριτος Ἀττικῆς μεστὰ, καὶ πείθοντα τοὺς ἀκούοντας θαυμάζειν τε καὶ κροτεῖν. οὕτω δὲ τοῦ τῆς πολιτείας συμφέροντος ἐποιεῖτο λόγον, ὡς μηδένα τῶν ἐπὶ τῆς λαμπρᾶς τύχης οὐδέποτε ἀποσχέσθαι τοῦ σκώπτειν, εἰ ἀδικοῦντος ᾔσθετο. ὅθεν καὶ τὴν παρρησίαν αὐτοῦ δεδιότες οἱ τοιοῦτοι μετρίους σφᾶς αὐτοὺς παρεῖχον ἀεὶ καὶ τῷ δήμῳ λυσιτελοῦντας. ἔσχε δὲ τρεῖς υἱοὺς, Φίλιππον, Νικόστρατον καὶ Ἀραρότα. ἀποθανόντα δὲ οὕτω Πλάτων ἐτίμησεν ἐν ἐπιγράμματι ἡρωελεγείῳ

" Αἱ Χάριτες τέμενός τι λαβεῖν ὅπερ οὐχὶ πεσεῖται
" ζητοῦσαι ψυχὴν εὗρον Ἀριστοφάνους."

Ἰστέον ὅτι κωμῳδία ἐκλήθη ἀπὸ τοῦ ἐν κώμαις ᾄδεσθαι τὰς κω-

2. ΘΩΜΑ] τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ θωμᾶ codex Laurentianus plutei 31, 4.

3. κωμῳδιοποιὸς Ald.

4. μητρὸς δὲ ζηνοδώρας addidi ex Laurent. plutei 31, 13. et Monacensi. Mirum unde Thomas Magister hoc nomen sumpserit, quod alienum videtur ab ætate Aristophanis. Non habet Laurent. 31, 4.

ib. Κυδαθηναῖος, in quo consentiunt codices Laurentiani, relinquendum Thomæ, neque in Κυδαθηναιεύς mutandum.

11. τέσσαρα πρὸς τοῖς πεντήκοντα] Secutus est Thomas M. corruptam scripturam νδ' (pro μδ') grammatici superioris p. 25. l. 3.

15. ὅθεν καὶ Laur. 31, 13. Aberat καί.

16. δεδιότες] δεδοικότες idem codex.

17. Νικόστρατον] νικόμαχον margo ejusdem codicis.

22. Ἰστέον—] Non cohærent hæc cum antecedentibus nec fortasse scripta sunt a Thoma M. Omittit Laur. 31, 13: habet 31, 4. Similia tradit scholiasta Dionysii Thracis, cujus verba supra posui sectione IX.

μῳδίας (κώμας δὲ ἐκάλουν οἱ παλαιοὶ τοὺς στενωποὺς) ἢ ἀπὸ τοῦ ἐν ταῖς κωμάσεσι τοῦ Διονύσου πρῶτον ἐπινοηθῆναι ταυτασὶν, ἢ παρὰ τὸ κῶμα, ὁ ὕπνος. φασὶ γὰρ ὡς πρὸ τοῦ εὑρεθῆναι τοὺς κωμικοὺς ποιητὰς ἀδικούμενοί τινες ὑπό τινων ἀφανῶς ἤρχοντο ἐν νυκτὶ ἐπὶ τοὺς τῶν ἀδικούντων στενωποὺς, βοῶντες, ὁ δεῖνα ἀδικίᾳ χαίρει καὶ τὰ καὶ τὰ πράττει, θεῶν ὄντων καὶ νόμων· καὶ τούτων λεγομένων οἱ συνειδότες ἑαυτοῖς ταῦτα σώφρονες ἐγίνοντο τοῦ λοιποῦ. ἐπεὶ οὖν ἄριστα τοῦτο ἔχον ἐδόκει καὶ τῇ πολιτείᾳ συνοῖσον, ἅτε τῆς μὲν ἀδικίας ἐντεῦθεν παντάπασιν ἀναιρουμένης, δικαιοσύνης δὲ ἀντεσαγομένης καὶ τρόπων χρηστῶν, ἐτάχθησαν ἐπὶ τοῦτο οἱ κωμικοὶ ποιηταὶ, ἐν μέρει παιδιᾶς σκώμματά τε τῶν ἀδικούντων καὶ διδαχὴν ὧν προσῆκεν ἐργαζόμενοι. ᾔδοντο δὲ αἱ κωμῳδίαι ἐν τοῖς Διονυσιακοῖς, ἔαρος ὥρᾳ.

XVI.

ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ ΕΙΣ ΑΡΙΣΤΟΦΑΝΗΝ.

(*In Anthologia Palat. vol.* 2. *p.* 63.)

Βίβλοι Ἀριστοφάνευς, θεῖος πόνος, αἷσιν Ἀχαρνεὺς
  κισσὸς ἐπὶ χλοερὴν πουλὺς ἔσεισε κόμην.
ἠνίδ' ὅσον Διόνυσον ἔχει σελὶς, οἷα δὲ μῦθοι
  ἠχεῦσιν, φοβερῶν πληθόμενοι χαρίτων.
ὦ καὶ θυμὸν ἄριστε, καὶ ἤθεσιν Ἑλλάδος ἶσα
  κωμικὲ, καὶ στύξας ἄξια καὶ γελάσας.

ΔΙΟΔΩΡΟΥ.

Ἐπιτύμβιον.

(*In V. et Anthologia Palat. vol.* 1. *p.* 348.)

Θεῖος Ἀριστοφάνευς ὑπ' ἐμοὶ νέκυς, εἴ τινα πεύθῃ
  κωμικὸν, ἀρχαίης μνᾶμα χοροστασίης.

2. ταυτασίν Ald.
23. Διοδώρου ἐπιτύμβιον] ἐπίγραμμα ἐπιτύμβιον εἰς τὸν ἀριστοφάνην V.
26. ἐμοὶ] ἐμοῦ V.

XVII.

ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΤΡΙΚΛΙΝΙΟΥ.

Ἰστέον ὅτι πάντα τὰ μέτρα, πλὴν τοῦ δακτυλικοῦ, κατὰ διποδίαν μετρεῖται καὶ ἀνέρχεται μέχρι τοῦ πενταμέτρου. ἔστι δὴ μονόμετρον τὸ ἔχον πόδας β', δίμετρον τὸ ἔχον πόδας δ', τρίμετρον τὸ ἔχον ϛ', τετράμετρον τὸ ἔχον η', πεντάμετρον τὸ ἔχον ι'· καὶ περαιτέρω οὐ πρόεισι. παντὸς δὲ μέτρου, πλὴν τοῦ δακτυλικοῦ, ἀποθέσεις ἤτοι καταλήξεις εἰσὶ τέσσαρες· βραχυκατάληκτον, καταληκτικὸν, ἀκατάληκτον καὶ ὑπερκατάληκτον. καὶ βραχυκατάληκτον μέν ἐστιν, ὡς ἐν παραδείγματι ἐπὶ τοῦ μονομέτρου εἰπεῖν, ὅπερ ποδὸς ὅλου δεῖται πρὸς ἀπαρτισμόν· οἷον τὸ φεῦ φεῦ· ἢ τὸ ἰὼ, ἢ τὸ ἔα. ταῦτα γὰρ μονόμετρά ἐστι βραχυκατάληκτα, διὰ τὸ ἔχειν μὲν τὸν ἕνα πόδα, τοῦ ἑτέρου δὲ λείπεσθαι. καταληκτικὸν δὲ τὸ δεόμενον μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν· οἷον τὸ ἰώ μοι, ἢ τὸ ὤμοιμοι. ταῦτα γὰρ μονόμετρά ἐστι καταληκτικὰ, διὰ τὸ ἔχειν ὅλον πόδα καὶ μίαν συλλαβὴν, ἤτοι ἥμισυ ποδὸς, λείπεσθαι δὲ μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν. ἀκατάληκτον δὲ ὅπερ ἀπηρτισμένους ἔχει τοὺς πόδας, οἷον τὸ ἰοὺ ἰοὺ, ἢ τὸ ἰὼ ἰὼ, ἢ τὸ φεῦ φεῦ ἰώ. ταῦτα γὰρ μονόμετρά ἐστιν ἀκατάληκτα, διὰ τὸ ἀπηρτισμένους ἔχειν τοὺς πόδας καὶ μὴ ἐλλιπεῖς, ὡς τὰ εἰρημένα. ὑπερκατάληκτον δὲ τὸ ἔχον ἀπηρτισμένους τοὺς πόδας, ἔχον δὲ καὶ συλλαβὴν μίαν πλείονα. εἴρηται δὲ πλὴν τοῦ δακτυλικοῦ, ὅτι τοῦτο μόνον κατὰ μονοποδίαν μετρεῖται, διὰ τὸ εἶναι τοὺς πόδας τρισυλλάβους. ὅτε μὲν οὖν ἀπηρτισμένους ἔχει τοὺς πόδας, λέγεται ἀκατάληκτον· ὅτε δὲ πλείονα συλλαβὴν ἔχει, λέγεται καταληκτικὸν εἰς συλλαβήν· ὅτε δὲ δύο, καταληκτικὸν εἰς δισύλλαβον. οὐκ ἔχει γὰρ ἐν τούτῳ χώραν τὸ βραχυκατάληκτον ἢ τὸ ὑπερκατάληκτον, ὡς οἱ μετρικοί φασι. ταῦτα καὶ ἐπὶ διμέτρου καὶ τριμέτρου καὶ τῶν λοιπῶν συμβαίνει τὰ πάθη.

2. ΔΗΜΗΤΡΙΟΥ] Præcedunt in Ald. excerpta quædam de metris ex Hephæstione, quæ ut inutilia omisi: repetii vero Tricliniana, quæ tanquam prolegomena sunt scholiorum metricorum, de quibus in præfatione dixi. Eadem omnia extant in codice Laurentiano plutei 31, 4. nulla cum memorabili scripturæ diversitate.

Τοῦ αὐτοῦ περὶ σημείων τῆς κοινῆς συλλαβῆς τῶν ἐντὸς κειμένων τῆς βίβλου.

Ἐπειδήπερ οἱ πάλαι τὰ περὶ γραμματικῆς συνταξάμενοι σημεῖά τινα σοφῶς ἐπινοήσαντες παραδεδώκασιν, ἐξ ὧν τήν τε δύναμιν καὶ τὴν, ὡς ἂν εἴποι τις, ποιότητα τῶν συλλαβῶν καὶ τὴν προφορὰν διαγινώσκειν ἔχοιμεν (συλλαβῶν δέ μοι καὶ οὐ στοιχείων εἴρηται, ἐπειδὴ τὰ μὲν στοιχεῖα καθ' αὑτὰ κείμενα οὐδεμιᾶς τινος μετέχει δυνάμεως, συλληφθέντα δὲ καὶ οἷον ἑνωθέντα πρὸς ἄλληλα καὶ τὰς συλλαβὰς ἀποτελέσαντα δυνάμεις τέ τινας καὶ ποιότητας ἔχει. ἐπενόησαν δὲ ἄλλα τε σημεῖα, τόνους φημὶ καὶ πνεύματα καὶ τὰ λοιπὰ, ἃ δὴ καὶ προσῳδίας ὠνόμασαν, ὡς πρὸς τὴν ᾠδὴν καὶ τὴν ἐκφώνησιν τῶν συλλαβῶν συντελούσας· πρὸς τούτοις δὲ καὶ μακρᾶς μὲν σημεῖον τοδὶ –, τῆς δὲ βραχείας τουτὶ ∪, τῆς δὲ κοινῆς οὐδαμῶς. ἐκείνων γὰρ καὶ ὅρους ἔθεντο, ταύτης δὲ οὔ. καὶ τὰς αἰτίας αὐτοὶ λέγουσιν), ἐπενοήθη ἔμοιγε τῆς κοινῆς σημεῖον διὰ τὴν τῶν πολλῶν πλάνην· καὶ οἶμαι καλὸν ἂν δόξαι τοῖς εὖ φρονοῦσιν. ἐπενοήθη δὲ διπλοῦν τὸ σημεῖον, διὰ τὸ διπλῆν τινα καὶ ταύτην ἔχειν τὴν δύναμιν. ὅτε μὲν οὖν ἀντὶ βραχείας ὀφείλει λαμβάνεσθαι, σημεῖον ἐπενοήθη τοδὶ L, μακρὰ δηλονότι καταρχὰς ἄνω βλέπον τὸ τοῦ ἰῶτα στοιχείου σημεῖον ἔχουσα, ὅτε δ' ἀντὶ μακρᾶς, τοῦτο ἀντεστραμμένον οὑτωσὶ Ꞁ, μακρὰ δηλονότι ἐν τῷ τέλει κάτω νεῦον τὸ τοῦ ἰῶτα σημεῖον ἔχουσα. βέλτιον γὰρ ταῦτα τιθέναι καὶ διαγινώσκειν, ποία ἐστιν ἡ κοινὴ, ἢ πλανωμένους τινὰς τὸ ποιεῖν γράφειν ποεῖν ἀμαθῶς· καὶ φύσει βραχὺ φωνῆεν, ἔχον δὲ ἐπαγόμενα δύο σύμφωνα, ὧν τὸ δεύτερον ἀμετάβολον ἀεὶ ἀντὶ μακροῦ λαμβάνειν, ἢ καὶ τὸ φύσει βραχὺ φωνῆεν, ὅταν εἰς μέρος λόγου καταλήγῃ, τὴν μακρὰν ἐπιτιθέντας ἀντὶ μακροῦ λαμβάνειν. ἄτοπον γὰρ οἶμαι τοῦτό γε. ταῦτά μοι πρὸς τοὺς συνετοὺς εἴρηται καὶ τῶν μέτρων ἔχοντας πεῖραν. εἰ δέ τινες εἶεν ὑπ' ἀμαθείας μεμφόμενοι, βραχὺς τούτων λόγος. οὐδὲ γὰρ οὐδ' οἱ πάλαι τὰ κάλλιστ' ἐπινενοηκότες ταῦτα τοῖς τοιούτοις ἐκδεδώκασιν, ἀλλὰ τοῖς συνετοῖς, βραχὺν λόγον τῶν μὴ συνετῶν ἔχοντες· ὥς καί που τις ἔφη

"Ἀείδω ξυνετοῖσι· θύρας δ' ἐπιθέσθε βέβηλοι."

ἐγὼ δὲ καὶ ἀδικεῖν ἂν φαίην τοὺς συνετοὺς ὃς ἂν ἐπινοήσας σοφόν τι τοῦτο λήθης βυθοῖς κατακρύψειε, δεδιὼς ἴσως τὴν ἐκ τῶν ἀσυνέτων μέμψιν. ἵν᾽ οὖν μὴ καὶ αὐτὸς ἀδικεῖν δόξω τοὺς συνετούς, τὸ ἐπελθόν μοι κατὰ νοῦν τούτοις προὔθηκα, οὗτοι δ᾽ ἂν εἰδεῖεν, εἰ καλῶς ἔχει ἢ μή· ἐπεὶ καὶ ἅ μοι περὶ τῶν χορικῶν μελῶν καὶ τῶν ἄλλων τῶν ἐν τοῖς δράμασι φερομένων εἰδῶν ἐπινενόηται θείᾳ τινὶ καὶ ἀπορρήτῳ ἐμπνεύσει, πλεῖστα πονησαμένῳ περί τε τούτων καὶ τῶν ἐν αὐτοῖς μέτρων, καὶ ταῦτ᾽ ἐν τοῖς δράμασιν ἐξετέθη, ὡς ἂν οἱ ἐντυγχάνοντες ἔχοιεν διαγινώσκειν τάς τε στροφὰς καὶ ἀντιστροφὰς τῶν μελῶν καὶ τὰς ἐπῳδούς, καὶ τίνος ἐστὶν εἴδους καὶ μέτρου τῶν μελῶν ἕκαστον, καὶ μὴ μάτην τὰ τῶν χορῶν ὁρᾷν μέλη τοῖς ὀφθαλμοῖς, μηδὲν δὲ τούτων εἰδέναι, ὥσπερ τινὲς μὴ γραμμάτων ἔχοντες πεῖραν καὶ βιβλίον ἀνὰ χεῖρας ἀράμενοι βλέπουσι μὲν τύπους γραμμάτων, οὐδὲν δὲ τῶν ἐγκειμένων ἴσασιν.

ΠΛΟΥΤΟΣ.

ΥΠΟΘΕΣΙΣ.

I.

Βουλόμενος Ἀριστοφάνης σκῶψαι τοὺς Ἀθηναίους ἀδικίᾳ καὶ συκοφαντίᾳ καὶ τοῖς τοιούτοις συνόντας, καὶ διὰ τοῦτο πλουτοῦντας, πλάττει πρεσβύτην τινὰ γεωργὸν Χρεμύλον τοὔνομα, δίκαιον μὲν ὄντα καὶ τοὺς τρόπους χρηστὸν, πένητα δὲ ἄλλως· ὃς μετά τινος αὐτῷ θεράποντος ἐλθὼν εἰς Ἀπόλλω ἐρωτᾷ περὶ τοῦ ἰδίου παιδὸς, εἰ χρὴ τουτονὶ τρόπων χρηστῶν ἀμελήσαντα ἀδικίας ἀντιποιεῖσθαι καὶ ταὐτὰ τοῖς ἄλλοις ἐπιτηδεύειν, ἐπειδήπερ οἱ μὲν τοιοῦτοι ἐπλούτουν, οἱ δὲ τὰ ἀγαθὰ πράττοντες πένητες ἦσαν, καθάπερ αὐτὸς οὗτος ὁ Χρεμύλος. ἔχρησεν οὖν αὐτῷ ὁ θεὸς σαφὲς μὲν οὐδὲν, ὅτῳ δὲ ἐξιὼν ἐντύχοι, τούτῳ ἕπεσθαι. καὶ ὃς γέροντι ἐντυγχάνει τυφλῷ, ἦν δὲ οὗτος ὁ Πλοῦτος, καὶ ἀκολουθεῖ κατὰ τὰς μαντείας, μὴ εἰδὼς ὅστις οὗτός ἐστι. δυσχεραίνων δὲ ἐπὶ τούτῳ καθ' ἑαυτὸν ὁ θεράπων μόλις αὐτὸν ἐρωτᾷ τίνος ἕνεκα τούτῳ ἀκολουθοῦσι. καὶ ὁ Χρεμύλος λέγει αὐτῷ τὴν μαντείαν. ἔπειτα μανθάνουσι παρ' αὐτοῦ Πλούτου ὅστις ἐστὶ καὶ ὅτου χάριν τυφλὸς ἐγεγόνει παρὰ τοῦ Διός. οἱ δὲ ἀκούσαντες ἥσθησάν τε καὶ βουλὴν ἐβουλεύσαντο ἀπαγαγεῖν αὐτὸν εἰς

Argumentis Pluti caret R.

3. Omittit hoc argumentum V. Thomæ Magistro tribuit Ald.: nam Vitæ Aristophanis, quæ proxime præcedit, inscriptum est *Θωμᾶ τοῦ Μαγίστρου σύνοψις τοῦ τε βίου Ἀριστοφάνους καὶ τῆς τοῦ δράματος ὑποθέσεως.*

13. *ἐντύχοι* Kusterus. *ἐντύχῃ* Ald. ib. *τούτῳ* Kusterus. *τοῦτο* Ald.

17. *τοῦ Πλούτου* duo codd. Brunckii. *Πλοῦτος* Ald.

19. *ἐβουλεύσαντο* duo codd. Brunckii. *ἔσχον* Ald.

Ἀσκληπιοῦ καὶ τὴν τῶν ὀφθαλμῶν θεραπεῦσαι πήρωσιν. καὶ ἵνα τὰ ἐν μέσῳ παρῶ, τάς τε τοῦ Βλεψιδήμου ἀντιλογίας καὶ τῆς Πενίας αὐτῆς, ἀπήγαγόν τε αὐτὸν ὅ τι τάχιστα καὶ ὑγιᾶ ἐπανήγαγον οἴκαδε, ἐπλούτησάν τε ἱκανῶς οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ ὅσοι βίου χρηστοῦ πρόσθεν ἀντεχόμενοι πένητες ἦσαν. ἐπιγέγραπται δὲ τὸ δρᾶμα Πλοῦτος Ἀριστοφάνους.

II.

Πρεσβύτης τις Χρεμύλος πένης ὢν τὴν οὐσίαν ἀφικνεῖται εἰς θεοῦ· ἐρωτᾷ δὲ τὸν θεὸν πῶς ἂν εἰς ἔκδηλον ἁβρόν τε μετασταίη βίον. τοιόνδε δὲ ἐγγεγύηται ὁ χρησμός. χρᾷ γὰρ αὐτῷ ὁ θεὸς ἐξιόντι τοῦ ναοῦ, τούτῳ ἕπεσθαι, ᾧ πρώτῳ συντύχῃ. καὶ δὴ τυφλῷ γέροντι συντυχὼν εἵπετο πληρῶν τὸν χρησμόν. ἦν δὲ Πλοῦτος οὗτος. ὕστερον δὲ προσδιαλεχθεὶς αὐτῷ εἰσάγει εἰς Ἀσκληπιοῦ, ἰασόμενος αὐτὸν τῆς πηρώσεως, καὶ οὕτω πλούσιος γίνεται. ἐφ᾽ ᾧ δυσχεράνασα ἡ Πενία παραγίνεται λοιδορουμένη τοῖς τοῦτο κατορθώσασι· πρὸς ἣν καὶ διάλογος οὐκ ἀφυὴς γίνεται, συγκρινομένων τῶν φαύλων τῆς Πενίας καὶ τῶν τοῦ Πλούτου ἀγαθῶν ὑπὸ Βλεψιδήμου καὶ Χρεμύλου. πολλῶν τε ἄλλων ἐπεισρεόντων, ἐν τῷ ὀπισθοδόμῳ τῆς Ἀθηνᾶς ἀφιερώσαντο Πλούτου ἰνδάλματα. τὰ μὲν οὖν τῆς ὑποθέσεως ταῦτα. προλογίζει δὲ θεράπων, δυσχεραίνων πρὸς τὸν δεσπότην, ὅτι τυφλῷ καὶ γέροντι κατακολουθεῖν οὐκ ᾐσχύνετο.

III.

Πρεσβύτης τις Χρεμύλος πένης ὢν καὶ ἔχων υἱὸν, κατανοήσας ὡς οἱ φαῦλοι τὸ τηνικαῦτα εὖ πράττουσιν, οἱ δὲ χρηστοὶ ἀτυχοῦσιν, ἀφικνεῖται εἰς θεοῦ, χρησόμενος πότερον τὸν παῖδα σωφρόνως ἀναθρέψειε, καὶ ὅμοιον ἑαυτῷ τοὺς τρόπους διδάξειεν (ἦν γὰρ οὗτος χρηστὸς), ἢ φαῦλον, ὡς τῶν φαύλων τότε εὐπραγούντων. ἐλθὼν οὖν εἰς

9. ἐρωτᾷ V. ἐπερωτᾷ Ald.
11. γέροντι V. καὶ γέροντι Ald.
17. τοῦ add. V.
18. τε] τε καὶ V.
19. ταῦτα V. τοιαῦτα Ald.
23. τις om. V.
25. ἀναθρέψει V.
26. τοὺς τρόπους] τοῖς τρόποις V.
27. φαῦλον] φαῦλος V.

τὸ μαντεῖον, περὶ μὲν ὧν ἤρετο οὐδὲν ἤκουσεν, προστάττει δὲ αὐτῷ, ᾧ τινι πρῶτον ἐξιὼν συντύχῃ, ἀκολουθεῖν. καὶ τὰ λοιπὰ ὡσαύτως.

IV.

Ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀντιπάτρου, ἀνταγωνιζομένου αὐτῷ Νικοχάρους μὲν Λάκωσιν, Ἀριστομένους δὲ Ἀδμήτῳ, Νικοφῶντος δὲ Ἀδώνιδι, Ἀλκαίου δὲ Πασιφάῃ. τελευταίαν δὲ διδάξας τὴν κωμῳδίαν ταύτην ἐπὶ τῷ ἰδίῳ ὀνόματι, καὶ τὸν υἱὸν αὐτοῦ συστῆσαι Ἀραρότα δι' αὐτῆς τοῖς θεαταῖς βουλόμενος, τὰ ὑπόλοιπα δύο δι' ἐκείνου καθῆκε, Κώκαλον καὶ Αἰολοσίκωνα.

V.

Ἰστέον δὲ ὅτι τὰ τοῦ δράματος πρόσωπα πεπλασμένα εἰσὶ παρὰ τοῦ ποιητοῦ. Χρεμύλος γὰρ ἀπὸ τοῦ χρέος καὶ τοῦ αἱμύλλω τὸ ἀπατῶ εἴρηται, ὁ ἀπατῶν δηλαδὴ τοὺς χρεωφειλέτας διὰ πενίαν. καὶ τὸ Καρίων ἐξελληνιζόμενον τὸν δοῦλον δηλοῖ· Κᾶρες γὰρ οἱ δοῦλοι, ὅθεν καὶ ἡ παροιμία, ἐν Καρὸς αἴσῃ, ἤτοι ἐν δούλου τάξει. καὶ τὸ Βλεψίδημος δὲ ἤτοι πτωχὸς, ὁ βλέπων ἀεί ποτε εἰς τὸν δῆμον.

VI.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Μαντεύεται δίκαιος ὢν τις καὶ πένης
εἰ μεταβαλὼν πλούτου τυχεῖν δυνήσεται.
ἔχρησεν ὁ θεὸς συνακολουθεῖν ᾧπερ ἂν
ἀνδρὶ περιτύχῃ. Πλοῦτος ὀπτάνεται τυφλός.

2. ὡσαύτως] Id est, *ut in argumento superiore.*
6. Ἀλκαίου] ἀλκαίῳ V.
ib. διδάξαι V.
11–16. Ἰστέον—δῆμον] Hæc accesserunt in ed. Juntina a. 1525. Margini Aldinæ adscripsit Victorius in exemplari meo.
11. δὲ om. Victor.
13. τὸν χρεωφειλέτην Victor.
15. αἴσῃ] Legebatur ἄτῃ. Correxit Hemst. ex Hom. Il. I. 373.
22. Πλοῦτος δ' Ald. δ' delevit Hemst.

γνοὺς δ' αὐτὸν, ἦγαγ' οἴκαδ', ἄλλους δημότας
καλέσας μετασχεῖν· εἶθ' ὑγιάσαι τὰς κόρας
ἔσπευδόν· εἰς 'Ασκληπιοῦ δ' ἀπήγαγον.
ἡ δ' ἄφνω Πενία διεκώλυσεν.
ὅμως ἀναβλέψαντος αὐτοῦ, τῶν κακῶν
οὐδεὶς ἐπλούτει, τῶν δ' ἀγαθῶν ἦν τἀγαθά.

1. ἦγαγ' V. ἤγαγεν Ald.
3. ἀπήγαγον Scaliger. Legebatur ἀπῆγον.
4. ἡ δ'—διεκώλυσεν] Versus non integer. Post ἡ δ' excidit fortasse ἀναφανεῖσ'. διεκώλυσεν autem si in fine versus positum fuit, διεκώλυεν scribendum.

SCHOLIA

IN

ARISTOPHANEM.

IN PLUTUM.

[Ἡ ΕΙΣΘΕΣΙΣ τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου, καὶ ἑξῆς ἐξ ἀμοιβαίων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ὧν τελευταῖος, "τί γὰρ ἂν τις οὐχὶ πρὸς σὲ τἀληθῆ "λέγοι." ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνὶς, καὶ ἑξῆς τούτων τὸ χοροῦ. ὤφειλε γὰρ χορὸν θεῖναι καὶ διατρῖψαι μικρὸν, ἄχρις ἂν ὁ Καρίων συμμίξῃ τοῖς γέρουσιν. Ὁρῶν ὁ Καρίων τὸν ἑαυτοῦ δεσπότην Χρεμύλον μετὰ τὸ ἐξελθεῖν τοῦ μαντείου τυφλῷ ἀνδρὶ ἑπόμενον, σχετλιάζων καὶ δυσφορῶν φησὶν τὸ ὡς ἀργαλέον ἤτοι τὴν ἀρχήν. Σχόλιον τοῦ λογιωτάτου μαγίστρου, ex cod. Parisino.]

1. Τοῦ ὡς πέπλεκται ἡ διάνοια ἐκ τοῦ θαυμασμοῦ καὶ σχετλιασμοῦ. τὸ γὰρ ὡς ἐπίρρημα ἐπαμφοτερίζει, ἢ ἐνταῦθα εἴληπται ἐπιτάσεως δηλωτικόν. ἀπαυδᾷ δὲ οὐ διὰ τὴν τύχην, ἀλλὰ διὰ τὸ ἐπαχθὲς τῶν δεσποτῶν.

ὡς ἀργαλέον: Ὁ θεράπων δυσφορεῖ τοῦ δεσπότου ἑπομένου τυφλῷ

1. τοῦ] τῆς τοῦ codex.

11—14. Hoc scholion post ἀνδρὶ p. 50. l. 1. ponit Ald. Transposui cum V. A manu rec. habet V. Omittit R. Scholia ad v. 1—10. om. Θ. habet glossemata.

11. Τοῦ ὡς V.G. τοῦ δὲ ὡς Ald.

ib. θαυμασμοῦ V. θαύματος Ald.

13. τύχην V. μάχην Ald.

ib. τύχην Pauwius apud Kusterum. Legebatur μάχην. Τύχην *conditionem, sortem servilem* vocat: ut ad v. 21. οὐδὲ μὴν δούλοις ὀνειδίζουσα τὸ τῆς τύχης ὑποδεές. Τύχαι παρ' Ἕλλησιν, inquit schol. Euripid. ad Hec. v. 865. καὶ αἱ ταπειναὶ τάξεις τῶν ἀνθρώπων καὶ ὑποτεταγμέναι, καὶ αἱ ὑψηλαὶ καὶ ἐπικρατοῦσαι· ubi, quas dudum pro πράξεις reposueram, τάξεις clare confirmat cod. Dorv. Diotogenes apud Stob. Παντοδαποὶ βίοι καὶ τύχαι ἀνθρώπων. Τύχην inter alia Suidas interpretatur ἐπιτήδευμα. HEMST.

15. Lemmata scholiorum semel monemus a codicibus tantum non ubique abesse. Ego servavi Aldina.

ἀνδρί. τὸ δὲ ἀργαλέον, χαλεπὸν, δύσκολον, δυσχερές. εἴρηται δὲ παρὰ τὸ ἄλγος ἀλγαλέον καὶ κατὰ τροπὴν τοῦ λ εἰς ρ ἀργαλέον· ὡς ποδαλγία, ποδαργία. ἢ ἔργον παρὰ τοῖς παλαιοῖς τὸ δυσχερές· ἐκ τούτου παράγωγον ἀργαλέον· ὡς ἀπὸ τοῦ ἔπω ἀπύω. [ὡς ἀργαλέον: Ἀργαλέον τὸ βαρὺ καὶ δύσκολον καὶ λυπηρόν· ἀπὸ τοῦ ἄλγος ἀργαλέον, ὡς ποδαλγία, ποδαργία· ἢ ἐκ τοῦ ἔργου τὸ δύσκολον, ἀφ' οὗ καὶ τὸ ἐργῶδες, κατὰ παραγωγὴν ἐργαλέον καὶ ἀργαλέον. ἀργαλέον τὸ μετέχον ἄλγους· ὥσπερ καὶ θαρσαλέον τὸ μετέχον θράσους. Dorv. ὡς ἀργαλέον: Δύσκολον, δυσχερές. Gl. R. λίαν δύσκολον καὶ βαρύ. Gl. Θ. et cod. Nanian. in Catalogo p. 477. ἐστιν: Ὑπάρχει. θεοὶ: Ὦ. Cod. Nanian.

ὦ Ζεῦ: Τὸν Δία παρέλαβε κατ' ἐξοχὴν τῶν ἄλλων θεῶν, ὡς τὸ

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσε.

κἀκεῖ γὰρ τὸν Ἕκτορα ὀνομάζων κατ' ἐξοχὴν παρείληφε. [προτάττει τὸν Δία θεῶν κρείττονα ὄντα. Gl. Θ.]

2. δοῦλον γενέσθαι: Χαλεποῦ ὄντος φύσει τοῦ δουλεύειν, χαλεπώτερον γίνεται, ἐὰν καὶ ἀνοήτῳ τις δεσπότῃ ὑπηρετῇ. [δοῦλον: Τινὰ ἄνθρωπον ὑπάρξαι. Gl. Θ. Nan. παραφρονοῦντος: μαινομένου. Nan. μαινομένου, οὐκ εἰδότος τί δεῖ ποιεῖν. Gl. Θ. δεσπότου: Αὐθέντου. Cod. Nanian.

[παραφρονοῦντος: Ἤγουν μαινομένου, οὐκ εἰδότος τί δεῖ ποιεῖν, ἤτοι ἀνοηταίνοντος καὶ μωροῦ, παρὰ τὸ εἰκὸς φρονοῦντος. ἡ γὰρ παρὰ ἐνταῦθα τὴν ἔξω σχέσιν δηλοι. Junt.]

1. Post ἀνδρί sic pergit G. ἀργαλέον δὲ ἀντὶ τοῦ χαλεπόν. εἴρηται δὲ ἀπὸ τοῦ ἄλγους ἀλγαλέον καὶ ἀργαλέον. χαλεποῦ δὲ ὄντος—ὑπηρετῇ (v. schol. ad v. 2.). τὸ δὲ ὡς ἐπιτάσεως λαμβάνουσι δηλωτικὸν ἀντὶ τοῦ λίαν, ἵνα ᾖ τὸ κομιδῆ, σφόδρα. ἄλλως. ἀργαλέον τὸ δυσχερὲς καὶ δύσκολον. πεποίηται δὲ πρὸς τὸ ἔργον. ἡ διάνοια πλεκτὴ ἔκ τε σχετλιασμοῦ καὶ θαυμασμοῦ. τὸ γὰρ ὡς ἐπαμφοτερεῖ, ἢ ἐπίτασιν δηλοῖ. ἀπαυδᾷ δὲ οὐ πρὸς τὸ τῆς ψυχῆς (corr. τύχης) σκληρὸν, ἀλλὰ πρὸς τὸ τοῦ δεσπότου ἐπαχθές. Brevius R. ἀνδρί. ἀργαλέον δὲ ἀντὶ τὸ (corr. τοῦ) χαλεπόν. εἴρηται δὲ ἀπὸ τοῦ ἄλγος ἀλγαλέον καὶ κ. τ. τοῦ λ εἰς ρ ἀργαλέον. χαλεποῦ δὲ ὄντος τοῦ δουλεύειν, χαλεπώτερον — ὑπηρετῇ.

2. ἀργαλέον addidi ex R.G. om. Ald. et Suidas s. v. ἀργαλέον.

12–14. τὸν Δία—παρείληφε om. V.

12. τὸ] Homeri Il. N, 1.

13, 14. νηυσὶ—παρείληφε om. R.

16, 17. Χαλεποῦ—ὑπηρετῇ om. R. V.

23. τὴν ἔξω σχέσιν] Σχέσις apud grammaticos est habitus quidam statusque rei certus per præpositionem aliamve orationis partem expressus: veluti παρὰ dicitur σημαίνειν τὴν ἐκτὸς aut τὴν ἔξω σχέσιν, quod utrumque habet Etymol. p. 651, 30. p. 652, 44. quando vim illam τοῦ ἔξω sive ἐκτὸς vel in se

[*Τὸ ὅλον οὐ πρὸς τὴν τύχην ἐστίν· οὐ γὰρ ὅτι δοῦλός ἐστι λυπεῖται· ἀλλὰ πρὸς τὴν διαφορὰν τῶν κεκτημένων ἔθηκε καὶ παραφρονοῦντος.* G.]

[3. *τὸ ἣν ἀποστροφον λαμβάνει, ὅ ἐστιν ἀντίστροφον. ἔστι δὲ ὥσπερ καὶ ἄλλως τοὐναντίον δρῶν. καὶ τοῦτο γὰρ ἀντίστροφον δέχεται. ἔστι γὰρ τὸ ἐναντίον δρῶν. ἡ δὲ ἀπόστροφος ἀντίστροφος καλεῖται. Ἀρίσταρχος γὰρ τοῦτο σημειοῦται. ὅ ἐστιν παρ' ἡμῖν ἀπόστροφος, ἀντίστροφος αὐτῷ καλεῖται.* G.]

[*τὰ*: Περισσὸν Ἀττικῶς. Gl. Θ.]

[*λέξας τύχῃ*: Περιφραστικῶς, *ἀντὶ τοῦ λέξῃ*. Gl. Θ. Junt.]

4. *μὴ δρᾶν ταῦτα*: Οἱ *γράφοντες ταυτὰ οὐ καλῶς γράφουσιν· εὕρηται γὰρ ἐν πολλοῖς τῶν παλαιῶν ἀντιγράφων τὸ ταῦτα, καὶ ἔστι κρεῖττον ἐκείνου.* [*ἃ ὁ θεράπων λέξει. γράφεται ταυτά.* Gl. Θ. *ταυτὰ*: Ὅμοια *τῷ ἔχοντι αὐτόν*. Gl. A.B.D.Θ. *ταυτὰ*: Καὶ *τὰ ὅμοια*. Gl. Harl. 6.]

5. *μετέχειν ἀνάγκη*: Πρὸς *τὸ ποιητικὸν*

> ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
> ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσι.

τί γὰρ κακώτερον τοῦ τὰ ἐναντία ἑαυτῷ διαπράττεσθαί τινα, ἐν τῷ μὴ ποιεῖν ἃ βούλεται, ἀλλὰ καὶ τῆς τῶν ἄλλων ἀφροσύνης ἀνέχεσθαι;

continet, vel vocabulo, cui agglutinatur, conciliat. Παραφρονεῖν igitur hunc in modum erit, *extra sanam mentem esse; παράνομος, extra legem positus*. Eustath. ad Il. B. p. 217, 21. id agens, ut nunquam a poëta præpositiones in verbis componendis frustra cumulari ostendat, exemplum adfert ex Od. Z, 88. ὑπεκπροέλυσαν· ἐκεῖ γὰρ, inquit, ἡ μὲν ὑπὸ πρόθεσις τὴν κάτω σχέσιν δηλοῖ, ἡ δὲ ἐξ τὴν ἐκτὸς, ἡ δὲ πρὸ τὴν ἐπὶ τὰ ἔμπροσθεν. Apud Etymol. in Μετάφρενον· ἡ μετὰ σημαίνει καὶ τὴν ἄνω σχέσιν, ὡς τὸ μέτωπον· quomodo, monente Thoma, Τὴν ὑπέρ πρόθεσιν τὴν ἐπάνω σχέσιν δηλοῦσαν genitivo jungunt Attici. Apollonium scholiastes reprehendit ad Arg. 1, 242. qui in πόθι significationem motus posuerit; ἔστι γὰρ τῆς ἐν τόπῳ σχέσεως δηλωτικόν· quæ τοπικὴ σχέσις appellatur ab Apollon. Alex. de Synt. 4, p. 329. 330. HEMST.

11–13. Οἱ—ἐκείνου] Scholion recentissimum, quo carent R.V.Θ.

16. μετέχειν ἀνάγκη] ἀνάγκη μετέχειν V.

ib. Πρὸς om. R.V.

ib. ποιητικὸν] Homeri Od. P, 322.

17. γάρ τ'] γὰρ τῆς V.

ib. ἀποαίνυται] ἀποτίεται R.

ib. εὐρύοπα Ζεὺς om. V.

18. ἕλῃσι] ἄγησι R.

19. ἑαυτῷ διαπράττεσθαί τινα] αὐτῷ διαπράττοντος V.

20. ποιεῖν] δύνασθαι ποιεῖν Hemst.

ib. ἃ βούλεται] ἄρ' οὐ λέγεται V.

ib. ἀλλὰ καὶ R.V. ἀλλὰ om. Ald.

τῶν κακῶν: Τῶν ἀφροσυνῶν ὧν ὁ δεσπότης ἔχει· ἤγουν τῶν πληγῶν, αἳ τοῖς ἀπειθοῦσι τοῖς δεσπόταις ὀφείλονται. εἰώθασι δὲ οἱ Ἀττικοὶ τὰ ἄρθρα πλεονάζειν. ὥσπερ οὖν ἐν τῷ "τὰ βέλτιστα" περισσὸν ἦν Ἀττικῶς τὸ ἄρθρον, οὕτω κἀνταῦθα τὸ "τῶν." καὶ ἐν τοῖς ἑξῆς τὸ "τὸ," ὡς ἐν τῷ "τὸ ποῖον." τὸ δὲ "ταῦτα" τὸ δεύτερον οὐκ ἔστιν ἀντὶ τοῦ ταύτῃ, ὡς οἴονταί τινες, ἀλλ' ἀντὶ τοῦ ταῦτα πάλιν Ἀττικῶς. [τῶν ἐκ τοῦ δεσπότου πληγῶν καὶ τιμωριῶν. Gl. Θ.]

6. τοῦ σώματος γὰρ: Οἷον, αὐτὸν ἑαυτοῦ τὸν δοῦλον οὐκ ἐᾷ κρατεῖν· μάλιστα γὰρ κύριος τοῦ σώματος ἕκαστος αὐτὸς ἑαυτοῦ. [σώματος: Τοῦ οἰκείου. οὐκ ἐᾷ: Οὐκ ἀφίησι. Gl. Θ.]

[7. κρατεῖν: Ἐξουσιάζειν. Junt.]

[ὁ δαίμων: Ἡ τύχη. Gl. R.Θ. Junt. Dorv.]

τὸν ἐωνημένον: Ἀντὶ τοῦ τὸν ὠνησάμενον, ἀπὸ τοῦ ὠνοῦμαι. λέγεται γὰρ καὶ ἡ ἐφεξῆς τοῦ ῥήματος κλίσις. τοῦ δὲ ὀνόματος τὸ πληθυντικὸν οὐκ ἔστιν ὠνησάμενοι. διὸ μεταβαλόντες αὐτὸ ἐπὶ ἑτέραν φωνὴν πριάμενοι λέγουσιν Ἀττικοί. [τὸν ἀγοράσαντα. Θ. Ἄλλως. διχῶς εὕρηται τὸ ἐώνημαι· καὶ ἐπὶ τοῦ ἠγορακότος καὶ ἐπὶ

1–7. Τῶν ἀφροσυνῶν—Ἀττικῶς om. R.V.Θ. Est grammatici recentissimi.

2. τοῖς ἀπειθοῦσι τοῖς δεσπόταις] τοῖς ἀπειθοῦσι πρὸς τοὺς δεσπότας Junt. Capiendum vero, quasi scriberetur, τῶν πληγῶν, αἳ ὀφείλονται τοῖς δούλοις, οἵπερ ἀπειθοῦσι τοῖς δεσπόταις. Significat scholiastes, τὰ κακὰ posse dupliciter intelligi, vel stultitias herorum, et, quæ inde proveniunt, calamitates, vel verbera et plagas, quæ servis inmorigeris debentur et intentantur. HEMST.

ib. εἰώθασι δὲ οἱ Ἀττικοὶ] Jure improbat H. Stephanus App. de D. A. p. 83. nam si his locis adhibiti non essent articuli, potius ἔλλειψις eorum fuisset dicenda. Tum observari jubet πλεονάζειν active usurpatum pro, *Uti solent articulorum pleonasmo, Adhibere solent articulos supervacuos:* quod tamen pluribus exemplis non caret. HEMST.

5. τὸ δὲ ταῦτα] Versu 8.

9, 10. Οἷον—ἑαυτοῦ om. Θ.

9. τὸν τοῦ σώματος κύριον: τοῦτο ἀντὶ τοῦ τινὰ ἕκαστον. ἔγγιστα γὰρ οὗτος κυρίως. ἢ ἑαυτοῦ τὸν δοῦλον οὐκ ἐᾷ κρατεῖν ἡ τύχη. (v. 7.) ἀντὶ τοῦ ὠνησάμενον. οἷον αὐτὸν ἑαυτοῦ τὸν δοῦλον οὐκ ἐᾷ κρατεῖν ἡ τύχη. ἄλλως. ἀντὶ τοῦ τὸν etc. G.

14–17. ἀντὶ τοῦ—Ἀττικοί om. R.Θ.

15. λέγεται γὰρ ἡ καὶ ἡ ἐφεξῆς τοῦ ῥήματος κλίσις G. et Suidas s. ἐωνημένοι. λέγουσι γὰρ διὰ τῆς αὐτῆς φωνῆς τὰς τοῦ ῥήματος κλίσεις Ald.

16. πληθυντικὸν] πᾶν G. Perverse autem scholiasta de participio plurali ὠνησάμενοι præcipit quod in universum de aoristo præcipi debebat. Nam πρίασθαι veteres Attici dicere solebant, non ὠνήσασθαι. V. Lobeck. ad Phryn. p. 138. et Aglaoph. p. 876.

17. ἀγοράσαντα] ἀγορ . . . . Θ.

τοῦ ἠγορασμένου· καὶ ἐπὶ τοῦ μὲν ἠγορακότος ὡς ἐνταῦθα· ἐπὶ δὲ τοῦ ἠγορασμένου, ὡς παρὰ Συνεσίῳ "ἡ γὰρ Λαῒς ἀνδράποδον ἦν Ὑκκα-"ρικὸν ἐκ Σικελίας ἐωνημένον." Junt.]

[8. τοῦτο παρεπιγραφὴ λέγεται. R.]

καὶ ταῦτα μὲν δὴ ταῦτα: Καὶ ταῦτα μὲν δὴ τοῦτον ἔχει τὸν τρόπον· ἔστι δὲ τὸ σχῆμα ἀποθετικὸν τῆς πρώτης διανοίας. [κύκλος. Gl. Θ.]

τῷ δὲ Λοξίᾳ: Τῷ Ἀπόλλωνι· ἤτοι τῷ λοξὴν ἴαν πέμποντι· λοξὰ γὰρ μαντεύεται ὁ θεός. ἢ τῷ λοξὴν πορείαν ποιουμένῳ· ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ. [τῷ Ἀπόλλωνι· ἐπειδὴ πλάγιος ἐν τῷ ζωδιακῷ φέρεται ὁ αὐτὸς ἥλιος ὤν· ἢ ἐπεὶ πολλοὺς καὶ ἀσαφεῖς τοὺς χρησμοὺς δίδωσι. V. τῷ δὲ Λοξίᾳ: Ἢ τῷ Ἀπόλλωνι λοξὰ μαντευομένῳ· ἢ ἐπειδὴ ὁ Ἀπόλλων εἰς τὸν ἥλιον ἀλληγορεῖται, Λοξίαν τοῦτον εἴποις, ὡς λοξὴν τὴν πορείαν ποιούμενον. Dorv.]

9. ὃς θεσπιῳδεῖ: Ἐτραγικεύσατο τῇ φράσει. ἡ δὲ Πυθία ἐπὶ τρίποδος καθημένη χρησμῳδεῖ. καλεῖται δὲ τὸ μέρος, ἐν ᾧ κάθηται, ὅλμος. Ἄλλως. τρίποδι χρῆται ὁ Ἀπόλλων μαντευόμενος διὰ τοὺς τρεῖς καιροὺς τῶν πραγμάτων. Ὅμηρος,

ὃς ᾔδη τά τ' ἐόντα, τά τ' ἐσσόμενα πρό τ' ἐόντα.

τινὲς φασὶν οὕτω κτήσασθαι τὸν Ἀπόλλωνα τὸν τρίποδα. ἁλιεῖς ἐν Μιλήτῳ τινὲς μισθῷ βόλον ἔρριπτον, ἵνα τὸ ἀναφερόμενον εἴη τοῦ

2. Συνεσίῳ] Epist. 3. ad Euoptium.

ib. Ὑκκαρικὸν] καρικὸν Junt. Correctum ex Synesio.

4. παρεπιγραφὴ] παρ' ἐπιγραφῇ R.

5, 6. καὶ ταῦτα—διανοίας om. R. Θ.

12. Post δίδωσι pergit V. ἄλλως. τρίποδι χρῆται—πρό τ' ἐόντα. χρυσὸς δὲ ὁ τρίπους—τίμιοι. ἄλλως. ἐτραγικεύσατο—δὲ καὶ τὸ—ὅλμος. τινὲς φασὶν οὕτω—ὡς ἰχθῦς. οἱ δὲ ἀγοράσαντες—αὐτὸν τὸν τρίποδα.

17. διὰ τοὺς τρεῖς καιροὺς] Confer Fulgent. Mythol. 1, 16. KUST.

18. Ὅμηρος R.V. ὡς τὸ Ald.

19. Versus Homeri de Calchante Il. Α, 70. ubi schol. ἔστι γὰρ τελείου μάντεως τὸ ἐπίστασθαι τοὺς τρεῖς χρόνους ἀκριβῶς. Apollo, quem Homero dictaverat versum, vocula mutata sibi vindicare non erubuit in oraculo apud Diogen. 2, 33. Ὃς δεδάηκε τά τ' ὄντα etc. Vid. Macrob. Sat. 1. c. 20. Mutilum Suidæ locum in τρίπους hinc refecit Kusterus. HEMST.

ib. ὃς V. ὅς τ' Ald.

ib. ᾔδη] ᾔδει V.

20. De hac historia vide quæ congessit Menagius ad Diog. Laert. 1, 28. KUST.

ib. φασιν οὕτω (οὕτως R.) R.V. δὲ οὕτω φασὶ Ald.

ib. τὸν Ἀπόλλωνα om. V.

ib. ἐν Μιλήτῳ τινὲς om. V.

21. μισθῷ] μισθωσάμενοι G.

ib. βόλον] βῶλον V.

ib. εἴη] ᾖ V.

ἀγοράσαντος τὸν βόλον. συμβέβηκε γοῦν ἀντὶ ἰχθύων τρίποδα χρυσοῦν περιλαβεῖν αὐτοὺς τῷ δικτύῳ. ἐφιλονείκουν οὖν περὶ αὐτοῦ, οἱ μὲν ἁλιεῖς, ὡς ἰχθῦς πεπράκασιν, οὐ τρίποδα· οἱ δὲ ἀγοράσαντες ἔλεγον, ὡς πᾶν τὸ ἀνιὸν καὶ πᾶν ὅ τι τύχοι ὠνήσαντο. οὕτως οὖν αὐτῶν φιλονεικούντων, ἔδοξεν ἐρωτῆσαι τὸν Ἀπόλλωνα. ὁ δὲ ἀνεῖλεν αὐτοῖς ταῦτα

ἔκγονε Μιλήτου, τρίποδος πέρι Φοῖβον ἐρωτᾷς;
ὃς σοφίῃ πάντων πρῶτος, τούτου τρίποδ' αὐδῶ.

προσήγαγον οὖν αὐτὸν τοῖς ἑπτὰ σοφοῖς· ἕκαστος δὲ τούτων παρῃτεῖτο σοφὸς εἶναι, διόπερ ἐγνώκασιν, ὡς σοφωτέρῳ πάντων, ἀναθεῖναι αὐτὸν τῷ Ἀπόλλωνι· ὅθεν φασὶν ἐσχηκέναι αὐτὸν τὸν τρίποδα. ἡ δὲ λέξις ἠτυμολόγηται ἢ παρὰ τὸ θέσπιν ᾠδὴν, ἢ παρὰ τὸ τὴν Θέμιν

1. βόλον] βῶλον V. qui pergit ἠγόρασαν οὖν τινές· εἶτα ἀνηνέχθη τρίπους χρυσοῦς. ἐφιλονείκουν οὖν περὶ αὐτοῦ καὶ ἔλεγον οἱ ἁλιεῖς ὡς ἰχθῦς, οἱ δὲ ἀγοράσαντες ὡς πᾶν τὸ ἀνιὸν ἠγοράσαμεν τῇ ἑαυτῶν τύχῃ. οὕτως οὖν—Ἀπόλλωνα. ὁ δὲ ᾔτησεν αὐτὸν δοθῆναι τῷ σοφιστῇ. προσήγαγον οὖν τοῦτον τοῖς ἑπτὰ σοφοῖς.

4. πᾶν τὸ ἀνιὸν καὶ πᾶν, ὅ τι τύχοι] Delendum secundum illud καὶ πᾶν: nisi potius existimes, quum ex binis exemplaribus inter se comparatis, quorum in uno πᾶν τὸ ἀνιὸν, in altero πᾶν ὅ τι τύχοι fuerit, hæc scholia describerentur, utraque librarium conjunxisse. HEMST. Recte Hemsterhusius. Vide scholion Parisinum p. 56, 3.

7. Oraculum hoc attulerunt Diodor. Excerpt. p. 15. ed. Mai. et Diog. Laert. 1, 28.

8. ὃς] τίς Diodorus. τὶς (i. e. ὅστις) Diogenes, recte.

ib. σοφίῃ] σοφίᾳ Diodorus.

ib. πάντων πρῶτος] πρῶτος πάντων Diodorus.

ib. τούτου Diogenes. Legebatur τούτῳ cum Diodoro.

ib. τρίποδ' αὐδῶ Diodorus et Diogenes. Legebatur τρίποδα δῶ.

9. δὲ] οὖν V.

10, 11. εἶναι—τρίποδα] εἶναι μὴ (corr. μὲν) λέγων, ἔχειν δὲ σοφώτερον ἑαυτοῦ. ἔδοξεν οὖν ἀναθεῖναι αὐτὸν τῷ Ἀπόλλωνι σοφωτέρῳ πάντων. ὅθεν ὁ λόγος ἐσχηκέναι αὐτὸν (αὐτὸν om. G.) τὸν τρίποδα V.

11—p. 25. l. 1. ἡ δὲ λέξις—τὰς μαντείας ἄγειν om. V.

12. θέσπιν ᾠδὴν Hemst. θεσπιῳδεῖν R. θεοπεδωδεῖν Ald. Θέμιν R. et Suidas s. θεσπιῳδεῖ. θεόμαντιν Ald.

ib. θεοπεδωδεῖν] Suidæ jam ætate vox mendosa. Scribendum est sine controversia παρὰ τὸ, θέσπιν ἀοιδήν· sic enim malo quam, quæ propius ad literas accedere videantur, θέσπιν ᾠδὴν, vel θέσπιν ᾄδειν, ut ipsum illud Homericum Od. A, 328. ad originem vocis demonstrandam adhibuerit. Eustath. p. 1420, 17. Θέσπιν ἀοιδὴν, ἤτοι θείαν καὶ ὡς ὑπὸ θεοῦ ἑσπομένην ἤτοι λεγομένην· τοῦτο δὲ συνθέντες οἱ μεθ' Ὅμηρον θεσπιῳδεῖν λέγουσιν, ὃ δηλοῖ τὸ μαντεύεσθαι. Deinde Suidas pro θεόμαντιν præbet Θέμιν· Themidi sane suum in tripodem et sortes Delphicas jus constat jam ante Apollinem: imo omnibus oraculis et vaticinis verbis numen præesse dicitur Themidis, ut ait Amm. Marcellin. 21,

ἐκεῖ τὰς μαντειας ἄγειν. χρυσοῦς δέ ἐστιν ὁ τρίπους, ὅτι τιμία ἡ ὕλη· καὶ οἱ διδόμενοι χρησμοὶ τίμιοι.

[οὕτω φασὶν ἐσχηκέναι τὸν Ἀπόλλωνα τὸν τρίποδα. ἁλιεῖς μισθῷ δίκτυον ἐν τῇ θαλάττῃ ἔριπτον, ἵνα τὸ ἀγρευθὲν εἴη τοῦ τὸν μισθὸν διδόντος αὐτοῖς. συμβεβήκει γοῦν ἀντὶ ἰχθύων τρίποδα χρυ-

1. p. 287. unde rationem verbi θεμιστεύειν repetere grammatici solent. Verum non video Themidi, quæ dudum pristinas sedes Phœbo cesserat, quis sit locus, nihil ad interpretationem verbi θεσπιῳδεῖν conferenti: nam non metuo ne quis similitudine duarum priorum literarum niti velit: quare tenendum est τὴν θεόμαντιν, quam Pythiam vatem intelligo Apolline plenam. Θεομάντεις et χρησμῳδοὶ junguntur a Platone Apol. Socr. p. 17. E. et Men. p. 427. D. quemadmodum a Galeno lib. 1. ad Hippocr. περὶ Δ. Ο. θεομάντεις καὶ χρησμολόγοι. Jam porro quicumque cogitarit, quam inusitate dicatur μαντείας ἄγειν, haud difficulter mihi largietur reponendum esse ᾄδειν· hoc enim vestigio, quod alioqui nullum est, ducimur ad fontes verbi θεσπιῳδεῖν· præterquam quod confestim sequitur οἱ ᾀδόμενοι χρησμοί. Nunc eadem opera liquet aptius isto pacto locum totum posse constitui: ἡ δὲ λέξις ἠτυμολόγηται παρὰ τὸ θέσπιν ἀοιδὴν, ἢ παρὰ τὸ τὴν θεόμαντιν ἐκεῖ τὰς μαντείας ᾄδειν· non enim duplicem diversamque notationem proponit, sed unam duntaxat, quam additis hisce ἢ παρὰ τὸ τὴν θ. ἐ. τ. μ. ᾄ. illustrat et confirmat. Denique mox particula ὡς videtur excidisse: ὅτι ὡς τιμία ἡ ὕλη, καὶ οἱ ᾀδ. χ. τ. Aureus, inquit, est tripus, quia quemadmodum hæc materia est pretiosa, sic similiter et vaticinia: post ὡς, καθάπερ in altero orationis membro sæpius οὕτως omittitur. HEMST. Non opus ὡς particula.

1, 2. χρυσοῦς—τίμιοι om. R.

ib. χρυσοῦς] χρυσὸς V.

2. διδόμενοι V. ᾀδόμενοι Ald.

ib. τίμιοι] Sequitur in Ald. recentissimi grammatici additamentum, nullo in codice inventum, καὶ τὰ μὲν περὶ τοῦ Πυθίου τρίποδος διαφόρως ἱστορούμενα ἐν τοῖς Πινδάρου ὕμνοις εὐκαίρως ἡμῖν διείληπται. ὃν δὲ τρόπον τὸ ἐν Δελφοῖς εὑρέθη μαντεῖον, Διόδωρος ἐν τῷ ἑκκαιδεκάτῳ τῶν ἱστοριῶν βιβλιοθήκης (c. 26.) οὕτω πως φησίν· "ὄντος γὰρ χάσματος ἐν τούτῳ "τῷ τόπῳ, καθ' ὃν ἦν τὸ ἄδυτον, καὶ "περὶ τοῦτον γενομένων αἰγῶν, διὰ τὸ "μήπω κατοικεῖσθαι τοὺς Δελφοὺς, αἰεὶ "τῷ χάσματι τὴν προσιοῦσαν καὶ προσ-"βλέψασαν αὐτῷ σκιρτᾷν θαυμαστῶς, "καὶ προΐεσθαι φωνὴν διάφορον· τὸν δὲ "ποιμένα θαυμάσαι, καὶ προσελθόντα "τῷ χάσματι ταὐτὸ παθεῖν ταῖς αἰξὶ, "καὶ προλέγειν τὰ μέλλοντα. τῆς δὲ "φήμης διαδοθείσης, πλείους ἀπαντᾷν "ἐπὶ τοῦτον τὸν τόπον, καὶ τοὺς πλη-"σιάζοντας ἐνθουσιάζειν· δι' ἃς αἰτίας "νομισθῆναι τῆς γῆς εἶναι τὸ χρη-"στήριον. καὶ πολλῶν ἀφανιζομένων "διὰ τὸν ἐνθουσιασμὸν, προφῆτιν μίαν "καταστῆσαι. ταύτῃ δὲ κατασκευα-"σθῆναι μηχανὴν, ἐφ' ἣν ἀναβαίνουσαν "ἀσφαλῶς μαντεύεσθαι, ἔχουσαν τρεῖς "βάσεις, ἀφ' ὧν αὐτὴν τρίποδα κληθῆ-"ναι. θεσπιῳδεῖν δὲ τὸ ἀρχαῖον παρ-"θένον λέγεται διὰ τὸ ἁγνόν. ὕστερον "δὲ Ἐχεκράτη τῆς χρησμολογούσης ἐρα-"σθῆναι διὰ τὸ κάλλος, καὶ συναρπά-"σαντα βιάσασθαι. διὸ νομοθετῆσαι "τοὺς Δελφοὺς" (τοὺς Δελφούς huc transposuit Portus. In Ald. legitur post βιάσασθαι.) "γυναῖκα πεν-"τήκοντα ἐτῶν παρθενικῇ σκευῇ χρη-"στηριάζειν, καθάπερ ὑπόμνημά τι τῆς "παλαιᾶς προφήτιδος."

σοῦν περιλαβεῖν αὐτοὺς τῷ δικτύῳ. φιλονεικούντων οὖν τῶν τε ἁλιέων καὶ τοῦ μισθώσαντος, καὶ τῶν μὲν λεγόντων ὡς οὐ τρίποδα πεπράκασιν, ἀλλ' ἰχθῦς, τοῦ δὲ ὡς πᾶν ὅ τι τύχοι· ἔχρησεν οὖν ὁ Ἀπόλλων, τῷ σοφῷ τοῦτον ἀνενεγκεῖν. ἀγαγόντες οὖν τοῦτον ἐπὶ τοὺς ἑπτὰ φιλοσόφους, ἐπεὶ ἀπηρνεῖτο εἷς ἕκαστος μὴ εἶναι σοφὸς, ἀνέθηκαν τῷ Ἀπόλλωνι εἰκότως· μάντις γὰρ ὢν, τοὺς τρεῖς χρόνους εἶδε, τὰ τ' ὄντα τά τ' ἐσόμενα πρό τ' ἐόντα. Paris. μαντεύεται καὶ χρησμοδοτεῖ καὶ θείας φωνὰς λέγει. χρυσηλάτου: Ἐκ χρυσοῦ πεποιημένος. Gl. Θ.]

11. ὅτι ἰατρὸς ὢν καὶ μάντις: Τῶν δυοῖν ἀρετῶν τοῦ θεοῦ μέμνηται κατὰ τὸ παρὸν, θεσπίσεώς τε καὶ τῆς κατὰ τὴν ἰατρικὴν ἐπιστήμης. εὐκαίρως δὲ τούτων τὴν μνήμην ἐποιήσατο· ἰατρικῆς μὲν, ὅτι ἀνίατον ἀπέπεμψε τὸν δεσπότην, καὶ τὴν μὴ προσοῦσαν περιῆψε μελαγχολίαν. θεσπίσεως δὲ, διὰ τὸ προσεχὲς τῆς ἐκεῖθεν ἐξόδου. τὴν δὲ μουσικὴν κατέλιπε, μὴ χρείαν αὐτῆς ἔχων.

τριῶν οὐσῶν τεχνῶν, ὧν μετεῖχεν ὁ θεὸς, νῦν μέμνηται μαντείας καὶ ἰατρικῆς, παρῆκε δὲ τὴν μουσικὴν, ὡς ἐπὶ τοῦ παρόντος μὴ χρείαν αὐτῆς ἔχων· ἢ διὰ τοῦ σοφὸς τὴν μουσικὴν αἰνίττεται. πρὸς τὸ χάριεν οὖν διαβάλλει τὸν θεὸν, ὅτι τῶν ἄλλων ἰατρὸς ὢν, οὐκ ἰάτρευσεν αὐτόν· ἐξέπεμψε δὲ πρὸς τούτῳ καὶ τῆς προσούσης αὐτῷ συνέσεώς τε καὶ σοφίας ἀπεστέρησεν, ἐκταράξας διὰ τῆς μαντείας. τοῦτο οὖν ἔοικε λέγειν, ὅτι διὰ τῶν ἑαυτοῦ μᾶλλον οἰκείων ἔβλαψε τὸν δεσπότην.

10. Scholiis et glossematis ad v. 11—45. caret Θ.
ib. δυοῖν R. δυεῖν Ald. β′ V.
ib. τοῦ θεοῦ] τοῦδε R. om. V.
11. θεσπίσεως V. et, ut opinor, R. θεσπεσίας Ald.
ib. τε om. V.
11, 12. τῆς κατὰ—ἐπιστήμης] . . . μὴν καὶ τῆς κατὰ μουσικῆς R.
11. τὴν ἰατρικὴν] τὴν om. V.
12–15. εὐκαίρως—ἔχων om. V.
13. ἀπέπεμψε Hemst. ἔπεμψε R. Ald.
14. θεσπίσεως] θεσπιάσεως R. Legebatur θεσπεσίας.
ib. τὸ προσεχὲς τῆς ἐκεῖθεν ἐξόδου] Paulo durior locutio, hoc sensu capienda: *artis vaticinandi mentionem fecit propterea quod jam modo templo Pythico exierant.* HEMST.
ib. προσεχὲς] προσχερές R.
ib. τῆς ἐκεῖθεν ἐξόδου om. R.
15. τὴν δὲ—αὐτῆς ἔχων addidi ex R. Sequentia om. R.
16. τριῶν] Legebatur τριῶν δέ. Est hoc alius scholii initium.
18. ἢ διὰ τοῦ σοφὸς] προσθεὶς δὲ καὶ τὸ σοφὸς V.
21. διὰ] περὶ V.
22. μᾶλλον οἰκείων V. μᾶλλον ἀρετῶν Ald. ἀρετῶν μᾶλλον Portus.
ib. δεσπότην] Addit Ald. ἥπερ ὠφέλησεν· καὶ διὰ μὲν τῆς μαντείας

[ἰατρὸς ὢν καὶ μάντις: Οὐ μόνον ἰατρὸν καὶ μάντιν φασὶ τὸν Ἀπόλλωνα, ἀλλὰ καὶ μουσικόν· τὸ μὲν μουσικὸν παρῆκε, διὰ τὸ μὴ χρείαν ἔχειν· τῆς δὲ ἰατρικῆς καὶ μαντικῆς ἐμνήσθη, τῆς μὲν, ὅτι ἔδει ὡς ἰατρὸν νοσοῦντα τὸν αὐτοῦ δεσπότην θεραπεῦσαι, ἀλλὰ μὴ εἰς μανίαν μᾶλλον κινῆσαι· τῆς δὲ μαντικῆς, ὅτι οὐκ ἔχρησεν αὐτῷ, ἃ ἐβούλετο, ἀλλὰ μάτην ἀπέπεμψεν. Dorv. τὸ ὥς φασιν ὡς ἀπιστῶν φησιν ἐξ ὧν αὐτὸς ἐπειράθη. R.]

[12. ψεύδεται ὁ δοῦλος· οὐ γὰρ ἀληθῆ λέγει ὅτι μελαγχολᾷ μου ὁ δεσπότης, ἐπεὶ ἐκεῖνος κατὰ πρόσταξιν τοῦ θεοῦ τοῦτο ἐποίει. οὐ μὴν ἀληθῆ ἦν. V.]

[μελαγχολῶντα: Χολᾶν παρὰ τοῖς Ἀττικοῖς τὸ μαίνεσθαι· παρὰ δὲ τοῖς κοινοῖς τὸ θυμοῦσθαι. Junt.]

15. οἱ γὰρ βλέποντες: Τὸ εὔηθες καὶ μανικὸν κατηγορεῖ τοῦ δεσπότου ἐκ τοῦ κατὰ τὸν περίπατον ἐναντίου· ἡγεῖσθαι γὰρ προσῆκεν, οὐχ ἕπεσθαι τυφλῷ. [τὸ εὔηθες ἢ μανικὸν τοῦ δεσπότου λέγει ἐκ τῆς ἐναντιώσεως· ἡγεῖσθαι γὰρ προσῆκεν, οὐχὶ ἕπεσθαι τυφλῷ. ἄλλως. τὸ εὔηθες ἢ μανικὸν κατηγορεῖ τοῦ δεσπότου ἐκ τῆς κατὰ τὸν περίπατον ἐναντίον τῷ δέοντι σχέσεως. V.]

[ἡγούμεθα: Ἡγοῦμαι τὸ προοδοποιῶ, πρὸς δοτικὴν ἀποδιδόμενον δοκεῖ κατὰ τὴν σύνταξιν ἐλλειπῶς ἔχειν· εἰ γὰρ κατὰ τὸ πλῆρες λεχθείη, γενικῇ ἂν καὶ αὐτὸ συνταχθείη, οἷον, ἡγοῦμαί σοι τῆς ὁδοῦ. Junt.]

[16. κἀμὲ προσβιάζεται: Ἤγουν, σὺν τῷ ἀκολουθεῖν αὐτὸν τῷ τυφλῷ κἀμὲ τοῦτο ποιεῖν ἀναγκάζει. Junt. δηλονότι ἀκολουθεῖν. R.]

17. [ἀποκρινομένου: Τοῦ τυφλοῦ ἢ τοῦ Χρεμύλου. Gl. D. τοῦ τυφλοῦ ἀπόκρισιν διδόντος. Borg. τὸν Πλοῦτον φησίν. μὴ ἀπο-

ἐτάραξεν· διὰ δὲ τῆς ἰατρικῆς μελαγχολᾷν ἐποίησεν· διὰ δὲ τῆς σοφίας, ὅ ἐστι φρονήσεως, καὶ τὸ φρονεῖν αὐτὸν ἀφείλετο. τοῦ δὲ ποιεῖν (v. 14.) ἡ παραλήγουσα κοινὴ, καὶ οὐ χρὴ ποεῖν γράφειν. Quæ om. V.

2. παρῆκε addidit Hemst.

6. μάτην Hemst. μάντις codex.

7. φησιν] σοφὸς R.

10. μὴν] μὲν V.

14. τοῦ κατὰ τὸν πᵉπατ̀ R. Legebatur τοῦ παράπαν. Vera scriptura etiam in scholio Veneto est.

ib. προσῆκεν] προσήκειν R. Legebatur προσήκει. Correxi ex scholio Veneto.

15. τυφλῷ] τῷ τυφλῷ G.

17. τῆς] τοῦ V.

19. Ἡγοῦμαι] Eadem Moschopulus habet, additis Aristophanis verbis, in Ἀττικῶν ὀνομάτων ἐκλογῇ. HEMST.

κρινομένου τὸ παράπαν οὐδὲ ὀλίγον. V.] *οὐδὲ γρύ: βραχύ. ἔστι δὲ ὄνυχος ῥύπος. τινὲς δὲ παρὰ τὸν γρυλισμὸν, τουτέστι τὴν φωνὴν τῶν χοίρων. ἢ εἶδος μικροῦ νομίσματος· γρὺ γὰρ τὸ μικρὸν καὶ βραχύτατον. ὅθεν καὶ γρύτη τὰ λεπτὰ σκεύη· καὶ γρυτοπώλης, ὅπερ οὐκ εἴρηται παρὰ τοῖς παλαιοῖς, ἀλλ' ἀντὶ τούτου ῥυποπώλης καὶ γρυτάρης. κέχρηται δὲ τῇ λέξει ἐπιτείνων τὸ στεγανὸν τῆς ἀποκρίσεως ἀπὸ τοῦ πρὸς τοὺς ὄνυχας ῥύπου, ὃς μικρὸς καὶ εὐτελής. ὅταν δὲ θέλωμεν ἐκφαυλίσαι τινὰ, φαμὲν οὐδὲ γρὺ φθέγγεσθαι, ἀντὶ τοῦ οὐδὲ τὸ τυχόν· οὐδὲ γὰρ ἔχει τινὰ σύστασιν ὁ τοῦ ὄνυχος ῥύπος, πλὴν ὅσον ἀπὸ τῆς θέας μόνον δοκεῖ τι. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν πολυκτημόνων ἀνθρώπων, ὡς ὄχλον διὰ τοῦτο ἐχόντων. τὸ δὲ*

1. Post *ὀλίγον* V. pergit *ἄλλως. βραχύ. τῇ λέξει δὲ ἐχρήσατο ἐπιτείνων —εὐτελής. ἢ εἶδος νομίσματος μικροῦ ἀνθ~* (*ὅθεν* G.) *καὶ γρύτη τὰ μικρὰ σκεύη.* (v. 21.) *ἡ στεφανηφορία* —.

1—p. 29. l. 1 .*βραχύ—ὑπόνοιαν*] *οὐδὲ γρύ. τὸν . . . ὄνυχος λέγει. τινὲς δὲ τὸν γρυλλισμὸν, τουτέστι τὴν φωνὴν τῶν χοίρων. ἢ εἶδος μικροῦ νομίσματος.* et inferius, *τυχ. . . καὶ μικρο. . . . ἐκ μεταφορᾶς τοῦ ὄνυ. . . . ῥύπου* R.

2. *ῥύπος*] *ῥῦπος* Ald. hic et infra.

5. *ῥυποπώλης*] Adsentior H. Stephano Ind. Th. in *γρυτοπώλης* ad hanc scholiastæ vocem notanti: *forsan ῥωποπώλης scripsit:* quamvis enim me non fugiat, quid ad defendendum *ῥύπον* pro *frivolis, minorisque pretii mercibus* adferri possit, hoc tamen præfero. Schol. ad Luciani Lexiph. c. 3. *γρυποπώλην*] *ἔστι δὲ ὁ τὰ εὐτελῆ σκευάρια πωλῶν παρὰ τὸ γρύ· οὕτως δὲ Ἀθηναῖοι τὸν ῥύπον φασὶ τῶν ὀνύχων·* legendum esse *γρυμαιοπώλην*] *γρυτοπώλην· ἔστι δὲ* etc. ad Lucianum ostendimus. HEMST. Corruptius etiam Suidas s. *γρῦ, ὅθεν καὶ γρύτη καὶ γρυτοπώλης, ὅπερ οὐκ εἴρηται, ἀλλὰ γρυτοπώλης.*

6. *γρυτάρης*] Forma vocis satis demonstrat originem non nimium vetustam, et in citeriore tantum Græcia quærendam: similiter enim atque *ἁμαξάριος* et *ἁμαξάρης, βασταγάριος* et *βασταγάρης, κουρσάριος* et *κουρσάρης, νωτάριος* et *νωτάρης* apud Suidam, *φουρνάριος* et *φουρνάρης* dicuntur, sic et *γρυτάριος, γρυτάρης,* scrutarius, de quo simul et *ῥωποπώλῃ* Hadr. Junius in Adag. egregie docuit. Hujus generis longe plura facile suppeditabit Ducangius in Glossario. Tale est *μυλωνάρης* scholiastæ nostri ad Equ. v. 253. Hic igitur potius scribendum arbitror, *ῥωποπώλης, ὃς καὶ,* vel *κοινῶς γρυτάρης.* HEMST.

6–10. *κέχρηται—μόνον δοκεῖ τε*] Superius hæc subjicienda sunt post *ὄνυχος ῥύπος,* unde dissimilibus insertis male separantur: constat hoc itidem ex scholio codicis Dorv. Factum autem fuit non raro, dum interpretationes diversæ ex diversis libris atque enarratoribus excerpuntur, ut quædam, temere congestis pluribus, alienum locum occuparent: quod ex his ipsis ad Aristophanem scholiis abunde constat. HEMST.

6. *ἀποκρίσεως* V. et Victorius in libro Poggiano. *ἀποχρήσεως* Ald.

10. *δοκεῖ τι* Junt. et Victorius. *δ' ὅτι* Ald.

10, 11. *εἴρηται δὲ—ἐχόντων*] Hunc solum istis locum attribuit Ald. et caret scholio, quod totidem fere verbis iteratur ad *πράγματα* v. 20. in Juntina. Portus non hæc tantum sede sua deturbavit, sed insu-

σχῆμα παρ' ὑπόνοιαν. [οὐδὲ γρύ: Οὐδ' ὁτιοῦν. γρὺ ὁ ῥύπος τοῦ ὄνυχος· καὶ τὰ μικρὰ τῶν γρύλων, ἤτοι τῶν χοίρων. ἀπὸ τούτου δὲ λέγεται ἐπὶ οὐδαμινοῦ πράγματος· ὅταν οὖν θέλωμεν φαυλίσαι τινὰ, λέγομεν ὅτι οὐδὲ γρὺ φθέγγεται, ἀντὶ τοῦ, οὐδὲ τὸ τυχόν· οὐδὲ γὰρ ἔχει τινὰ σύστασιν ὁ τοῦ ὄνυχος ῥύπος, πλὴν ὅσον ἀπὸ τῆς θέας μόνον. Dorv.]

[18. ὅπως σιγήσομαι: Τὸ ὅπως μεταληπτικῶς ἀντὶ τοῦ ὅτι. ἔστι μὲν γὰρ τὸ ὅπως ἀντὶ τοῦ ὡς, τὸ δὲ ὡς ἀντὶ τοῦ ὅτι. ἀντὶ τοῦ, οὐδαμῶς σιωπήσω, κατὰ περίφρασιν Ἀττικήν. Junt.]

[20. πράγματα: Τὰς ὀχλήσεις φησὶ ἐκ μεταφορᾶς τῶν πολυκτημόνων ἀνθρώπων, ὡς ὄχλον διὰ τούτων ἐχόντων. Junt. δώσω ὀχλήσεις. Gl. Dorv. ἀντὶ τοῦ ἐνοχλήσεις. V.]

21. οὐ γάρ με τυπτήσεις: Ἔθος τὸν εἰς θεοὺς ἀπιόντα στεφανοῦσθαι, καὶ ἀνεύθυνον εἶναι. πρὸς τὸ ἔθος, ὅτι καὶ ἀνακομιζόμενοι ἐκ τοῦ μαντείου ἐστεφανηφόρουν. [ἔθος ἦν εἰς τὸν Ἀπόλλω ἀπιόντας μετὰ στεφάνων ἐντεῦθεν ἀναχωρεῖν. ὡς οὖν στέφανον ἔχων ὁ Καρίων παρρησιάζεται πρὸς τὸν δεσπότην καὶ τοῦτο φησίν. Paris.] Ἄλλως. ἡ στεφανηφορία διακόσμησις τοῖς εἰς τὸν θεὸν ἀπιοῦσιν ἰσοτίμως δούλοις τε καὶ ἐλευθέροις ἐδίδοτο, οὐδὲν πλεονεκτήματος τεκμήριον

per ista, τὸ δὲ σχῆμα (ῥῆμα ed. Genevensis, erratum arbitror typorum) παρ' ὑπόνοιαν, adnotationi ad v. 20. subjecit; quam rationem etsi secutus fuerit Kusterus, non probo: certe in πράγματα qualis sit figura præter expectatum cadens, nullus video; quæ tamen hic intelligi quodammodo potest, quod post excitatam responsi spem per καὶ ταῦτ' ἀποκρινομένου subito sequatur, τὸ παράπαν οὐδὲ γρύ. Ceterum ista εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν πολυκτημόνων ἀνθρώπων etc. eum in modum capio, ut significet scholiastes, Aristophanem in illis ἀποκρινομένου οὐδὲ γρὺ consuetudinem imitari hominum opulentorum, qui præ fastu aliis, præsertim tenuioris fortunæ hominibus et servis, respondere graventur, atque interpellationibus ingratis molestiam sibi creari superba taciturnitate demonstrent. Quamobrem si alterutro loco hæc eradenda sunt, posteriore malim; ideo præcipue, quod apud Suid. in Πράγματα, ubi hoc ipsum παρέξω πράγματα exponit, ἀντὶ τοῦ ἐνοχλήσω, nihil istorum appareat; nec Dorv. aliud habet, quam inter versus δώσω ὀχλήσεις. HEMST. Victorius in libro Poggiano ante εἴρηται inseruit: πράγματα τὰς ὀχλήσεις.

3. τινὰ Hemst. τὶ codex.

4. οὐδὲ Hemst. οὐδὲν codex.

12. ἀντὶ τοῦ ἐνοχλήσεις om. G.

13, 14. Ἔθος—ἀνεύθυνον εἶναι om. R.

14. ὅτι καὶ R. Legebatur οὖν.

15. μαντείου] οἱ χρησ... (fort. οἱ χρηστηριαζόμενοι) addit R.

17. Ἄλλως om. R.

18. διακόσμησις addidi ex V.

ib. τὸν θεὸν R. Aberat τόν.

18, 19. ἀπιοῦσι—οὐδὲν R. ἀπιοῦσι δούλοις τε καὶ ἐλευθέροις ἰσοτίμως ἐδίδοτο, οὐδὲν Ald. εἰσιοῦσιν ἐγγυτάτω (corr.

ἐλευθέροις δωρουμένη· οὐδὲ μὴν δούλοις ὀνειδίζουσα τὸ τῆς τύχης ὑποδεές. ἔπαιξε δὲ ἅμα χαριέντως καὶ δυσωπητικῶς ὁ Καρίων· καὶ ὡς στέφανον ἔχων παρρησιάζεται καὶ τοῦτό φησι. [τὸ δὲ τυπτήσεις Ἀττικόν ἐστιν ἀπὸ τοῦ τυπτέω ἀχρήστου θέματος. Junt.]

[22. καθίκοιτο γὰρ ἂν οὕτω μᾶλλον τῆς κεφαλῆς. δέχεται γὰρ τὸ σκέπας τὸ ἐν ταῖς καλύψεσι τὸν τῶν προσπιπτόντων φόρτον πληγῶν. ἤτοι τοῖς τοῦ στεφάνου περιθέμασι στερισκόμενος· ἢ ἵνα μᾶλλον ἀλγῇς δεχόμενος τὰς τῶν πληγῶν καταγωγὰς, διὰ τὸ γυμνὸν καθικνεῖσθαι τῆς κεφαλῆς. τὸ δὲ σχῆμα τοῦ λόγου παρ' ὑπόνοιαν. V.]

23. λῆρος, οὐ γὰρ παύσομαι: Εἰ μὲν ἐμφανῶς "τὸ λῆρος" πρὸς τὸν δεσπότην εἶπεν, ἀντὶ τοῦ περιττολογία εἶπεν· εἰ δὲ τὸ "οὐ γὰρ παύσομαι, πρὶν ἂν φράσῃς μοι," εἰς ἐπήκοον αὐτοῦ εἶπε, τὸ δὲ "λῆρος" καθ' ἑαυτὸν, οὕτως εἴποις· λῆρος καὶ φλύαρος εἶ ταῦτα λέγων.

ἐδίδοτο) ἰσοτίμως πᾶσι δούλοις τοὺς ἐλευθέρους τυχεῖν (fort. πᾶσιν, ὥστε δούλους τοῖς ἐλευθέροις τυχὸν) ἐν ταυτῷ μετρεῖσθαι ἀξιώματι κατὰ τὴν ἐνταῦθα εἴσοδον, οὐδὲν V.

1. οὐδὲ] οὔτε R.V.

2. δυσωπητικῶς V. δυσωπικῶς R. Ald. Post δ. pergit V, ἄλλως. ὅτι καὶ (corr. ὅτι οἱ ex G.) ἀντικομιζόμενοι (corr. ἀνακομιζόμενοι) ἐκ τοῦ μαντείου ἐστεφανηφόρουν καὶ οἱ χρησόμενοι. καὶ ἄλλως. ὅτι πάντες οἱ εἰς θεὸν ὁρμῶντες καὶ ἀπὸ θεοῦ ἐπανιόντες ἐστεφανηφοροῦντο (corr. ἐστεφανηφόρουν), θεοῦ ἰσοτέλειαν δούλου καὶ ἐλευθέρου διδόντος.

2, 3. ὁ Καρίων—τοῦτό φησι om. R.

5. οὕτω—τῆς κεφαλῆς] οὐ—ταῖς κεφαλαῖς V. De hoc scholio R. hæc tantum habet, ἵνα μᾶλλον ἀλγῇς. ἢ πρὸ τῆς τοῦ στεφάνου περιθέσεως ἵνα μᾶλλον ἀλγῇς δεχόμενος τὰς τῶν πληγῶν ....

ib. δέχεται] λέγεται G.

9. τῆς κεφαλῆς] ταῖς κεφαλαῖς V.

11–14. Εἰ μὲν—λέγων om. R.V.

12. καθ' ἑαυτὸν—ἀκουσθῆναι] His in Ald. omissis sensus erat inextricabilis: quæ revocavi ex Juntina aditum quidem ad intelligendum aperiunt faciliorem, neque tamen nullam relinquunt difficultatem; quam ut pro virili levarem, ista τὸ, οὐ γὰρ, vel potius τὸ γὰρ, οὐ γὰρ π. . . . εἶπεν parenthesi conclusi: proxima quum ita scriberentur, τὸ δὲ λῆρος καθ' ἑαυτὸ, οὕτως εἴποις, paululum reformavi: quanquam et δὲ potius mutaverim in δὴ, particulam orationi, quæ fuerat intermissa, repetendæ dicatam. Hæc fere scholiastæ fuit mens: *si aperte* λῆρος *ad herum dixerit Carion, intelliges, frustra minitare; nihil agis; istis enim tuis dictis non absterrebor, quo minus interpellem te: sin vero apud se dixerit* λῆρος, *sive tacite, ut non audiatur (nam istud,* Οὐ γὰρ π. *clara voce protulit, ut ab hero exaudiretur) tum, inquam,* λῆρος *per se significarit, nugax es, et garritor, qui ista dicas.* Quod sequitur post ed. Ald. invectum non satis capio, etiamsi refingas, ut sane faciendum videtur, τινὲς δέ φασιν ἐσχηματισμένως εἰρῆσθαι λῆρος ἀντὶ τοῦ, μαντικός· an voluit ex quorumdam sententia figurate dici λῆρος, quasi vaticinandi, id est, nugandi (non aliter sæpe de vaticiniis comici

[τινὲς δέ φασιν ἐσχηματισμένως εἰρῆσθαι ἀντὶ τοῦ λῆρος, ἤγουν μαντικός. Junt. ἀντὶ τοῦ ληρεῖς, ὅ ἐστι φλυαρεῖς. Ἄλλως. Χαριέντως καὶ τὸν σκοπὸν ἤνυσε καὶ ὑβρίζειν οὐκ ἔδοξε, καίτοι λυπούμενος. ἐπεὶ τὸν δεσπότην ἔμελλεν ὑβρίζειν, εὐστόχως οὐκ εἶπε ληρεῖς, ἀλλὰ λῆρος ἀορίστως. R.V.]

25. πάνυ σφόδρα: Ὅτι σύνηθες Ἀττικοῖς παράλληλα τιθέναι τὰ ἰσοδυναμοῦντα· δηλοῦται δὲ ἕν τι ἐξ ἀμφοτέρων. οὕτως ἔχει καὶ τὸ "τυχὸν ἴσως." [Ἄλλως. εἶπεν ἀμφότερα καὶ τὸ πάνυ καὶ τὸ σφόδρα δηλῶν τὴν ὑπερβολὴν τῆς εὐνοίας. τὸ δὲ πυνθάνομαι, τὸ ἐρωτῶ καὶ τὸ ἀκούω· ὧν τὸ μὲν πρὸς γενικὴν συντάσσεται, τὸ δὲ ἀκούω πρὸς ἀπαρέμφατον, ἢ πρὸς αἰτιατικήν. Junt.]

27. κλεπτίστατον: [κερδαλέον, συνετόν· ἀντὶ τοῦ φρονιμώτατον, πανουργότατον. Ὅμηρος "κλεπτοσύνῃ τε." Ἄλλως. ἀντὶ τοῦ εἰπεῖν ἡγοῦμαί σε εὐνούστατον καὶ φρονιμώτατον, τὸ παρ' ὑπόνοιαν ἐπήγαγε κωμικῶς παίζων. V.] τὸ σχῆμα παρ' ὑπόνοιαν· ἀντὶ τοῦ εἰπεῖν εὐνούστατον, παίζων κωμικῶς ἅμα καὶ χαριεντιζόμενος διὰ τὸ τῆς κωμῳδίας μειδιαστικὸν, ἅμα δὲ καὶ τὸν οἰκέτην ποιεῖ ἀποδοχῆς τε τυγχάνοντα καὶ χλεύης ἐκ τοῦ δεσπότου· ἦν γὰρ ἐλπὶς συμφώνως τῷ πρώτῳ λεχθήσεσθαι τὸ δεύτερον· ἢ ἀντὶ τοῦ κερδαλέον

loquuntur) facultate præditus, quia jam modo reversus ab oraculo fuerat? Cicer. pro Sext. §. 13. *vaticinari atque insanire dicebat.* HEMST. εἰ μὲν ἐμφανῶς τὸ λῆρος πρὸς τὸν δεσπότην εἶπεν ἀντὶ τοῦ περιττολογία, νοήσεις. εἰ δὲ εἰς τὸ οὐ γὰρ παύσομαι πρὶν ἂν φράσῃς μοι, εἰς ἐπήκοον αὐτοῦ εἶπεν. τὸ δὲ λῆρος καθ' ἑαυτὸ, οὕτως εἴποις. Ald. νοήσεις. εἰ δὲ καθ' ἑαυτὸν εἶπε τὸ λῆρος, ἤγουν ἡσύχως ὥστε μὴ ἀκουσθῆναι τὸ οὐ γὰρ παύσομαι κ. τ. λ. Junt. In Hemsterhusii editione scriptum ἀντὶ τοῦ περιττολογία νοήσεις· εἰ δὲ καθ' ἑαυτὸν εἶπε τὸ λῆρος, ἤγουν ἡσύχως, ὥστε μὴ ἀκουσθῆναι (τὸ, οὐ γὰρ παύσομαι, πρὶν ἂν φράσῃς μοι, εἰς ἐπήκοον αὐτοῦ εἶπεν) τὸ δὲ λῆρος καθ' ἑαυτὸ οὕτως εἴποις,—. Ego codicis Parisini scripturam dedi.

2. ἀντὶ—Ἄλλως om. R. ὅ ἐστι φλυαρεῖς. Ἄλλως om. G.

3. καὶ τὸν] καὶ om. G.

6. Scholion v. 25. om. R.V.

9. πυνθάνομαι] Similia tradunt Suid. et Moschop. Ἀττ. Ὀν. Ἐκλ. in v. verbisque ipsis parum discrepant. HEMST.

13. Ὅμηρος] Od. T, 396.

16. παίζων] Quanquam in his veterum scholiorum reliquiis, quæ ex diversis exemplaribus sunt in ordinem non aptissimum redactæ, concinnum styli nitorem haud magnopere requiram, hic tamen addendum videtur tale quippiam: ἀντὶ τοῦ εἰπεῖν εὐνούστατον, ἔλεγε, vel ἐπήγαγε κλεπτίστατον παίζων etc. et mox τὸν οἰκέτην ποιῶν. Homeri locus Il. A, 132. HEMST. Totum scholion om. V. Illa tantum, τὸ κερδαλέον καὶ—παραλογίζου habet R.

καὶ συνετόν. Ὅμηρος "κλέπτε νόῳ" ἀντὶ τοῦ παραλογίζου. εἰώθαμεν δὲ καὶ ἐν τῇ κοινῇ συνηθείᾳ κλέπτην τὸν φρόνιμον λέγειν· ἢ μυστηριακώτατον· τὰ γὰρ μυστήρια κρυφίως γίνονται. [Ἄλλως. δέον οὕτως εἰπεῖν, πιστότατον ἡγοῦμαί σε καὶ εὐνούστατον, ὁ δὲ παρ' ὑπόνοιαν κλεπτίστατον εἶπεν. ἀεὶ γὰρ οἱ δοῦλοι τὰ τῶν δεσποτῶν ὑφαιροῦνται. Junt.]

[κλεπτίστατον: Ἢ ὅτι τὸν φρόνιμον οἱ Ἀττικοὶ κλέπτην ἐκάλουν. ἢ ἀπὸ μεταφορᾶς τῶν κλεπτῶν τοῦτο φησί. φρονιμώτεροι γὰρ οἱ κλέπτοντες ἑαυτῶν γίνονται, ὅταν κλέπτωσιν, ἀναγκαζόμενοι παντὶ τρόπῳ συγκαλύπτειν ὅπερ ἔδρασαν. ὡς καὶ ἡ ἐτυμολογία δείκνυσι τοῦ ὀνόματος. κλέπτης γὰρ ἀπὸ τοῦ καλύπτω ἐτυμολογεῖσθαι δοκεῖ. Schol. cod. B. φρονιμώτατον. Gl. D.]

[28. καὶ δίκαιος ὢν ἀνήρ: Ἕπεται τῷ θεοσεβεῖ τὸ δίκαιον εἶναι, γνώρισμα γὰρ αὐτοῦ τοῦτο. ὁ γὰρ θεοσεβής, ἃ τῷ θεῷ ἐστι φίλα, ταῦτα πράττει. Junt.]

[29. ἦν: Ἀντὶ τοῦ ἤμην Ἀττικῶς. αἰνίττεται δὲ πρὸς τί τοῦ δράματος ὁ σκοπός. V.]

30. ἱερόσυλοι, ῥήτορες: Τινὲς οὐ στίζουσιν εἰς τὸ ἱερόσυλοι· οἱ ῥήτορες γὰρ ὡς φαῦλοι διεβάλλοντο· διὸ εἶπεν ἱερόσυλοι ῥήτορες.

31. καὶ συκοφάνται: Λιμοῦ γενομένου ἐν τῇ Ἀττικῇ τινὲς λάθρα τὰς συκᾶς τὰς ἀφιερωμένας τοῖς θεοῖς ἐκαρποῦντο· μετὰ δὲ ταῦτα εὐθηνίας γενομένης, κατηγόρουν τούτων τινὲς, καὶ ἐκεῖθεν συκοφάνται λέγονται. Ἄλλως. ἀπείρητο Ἀθήνῃσι μὴ ἐξάγειν ἐντεῦθεν ἄλλοσέ που σῦκα· βουλομένων οὖν τινων ἐξενεγκεῖν, ἱστάμενοι ἐν ταῖς τῶν πυλῶν ἐξόδοις ἄνδρες πανοῦργοι τὸ τούτων ἐξήλεγχον τέχ-

16. Addidi lemma ἦν.
ib. Ἀττικῶς] παρ' ἀττικούς (scr. Ἀττικοῖς) R.
17. Post σκοπός V. a m. sec. habet οἶδά φησι πρὸς τί αἰνίττεται τοῦ δράματος ὁ σκοπός. Eadem annotatio est in R. sed omissis illis αἰνίττεται δὲ—σκοπός.
18. οἱ R. (qui præcedentia verba om.). καὶ Ald.
19. γὰρ om. R.
20. Λιμοῦ R.V. et Suidas s. συκοφάντης. λοιμοῦ Ald.
ib. τινὲς R.V. et Suidas. ὅτι Ald.
21. τὰς συκᾶς τὰς ἀφιερωμένας] τὰς ἀφιερωμένας συκᾶς V. non Suidas.
22. κατηγόρουν] ἐκακηγόρουν V.
23. λέγονται] Sequentia om. R. V.
ib. Ἄλλως] Alterum de sycophantis scholium extat itidem in cod. Dorv. paulo tamen vitiosius: pro τὸ τούτων ἐξ. τ. ibi legitur τὸ τοιοῦτον et ἐκαλοῦντο οὖν οὗτοι συκοφάνται. HEMST.
23,24. Ἀθήνῃσιν—ἄλλοθί που Paris.

νασμα, ὃ περὶ τὴν ἐξαγωγὴν ἐποίουν. ἐκαλοῦντο οὖν οὗτοι συκοφάνται, ὡς τὰ σῦκα φαίνοντες. ἐπεκράτησεν οὖν ἐξ ἐκείνου τοὔνομα πρὸς πάντας τοὺς πανούργους. [εὕρηται δὲ περὶ τούτου καὶ ἑτέρα ἱστορία πάνυ ψυχρά. Paris. πείθομαι: Πιστεύω. Gl. Dorv.]

23. ἐπερησόμενος οὖν: Ἐπερωτήσων τὸν Ἀπόλλωνα. ὡς τὸν θεόν δὲ, πρὸς τὸν θεόν. τὸ δὲ ἑξῆς, ᾠχόμην οὖν πρὸς τὸν θεὸν, ἐπερησόμενος, καὶ ἐρωτήσων, νομίζων τὸν βίον μὲν ἐμοῦ αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν ἄντικρυς ἐκτετοξεῦσθαι καὶ κεκενῶσθαι, πευσόμενος δὲ καὶ ἐρωτήσων, εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους τὸν υἱὸν, ὃς μόνος μοι τυγχάνει, εἶναι πανοῦργον, ἄδικον, μηδὲν ὑγιὲς (ὁ γὰρ ἄδικος καὶ ἅρπαξ οὐχ ὑγιαίνει τῇ ψυχῇ) ὡς νομίσας τοῦτο αὐτὸ συμφέρειν ἐν τῷ παρόντι βίῳ. εἶπε δὲ τὸ πευσόμενος κατ' ἐπανάληψιν, ἐπειδὴ ἐπερησόμενος προειπὼν ἔθηκε διὰ μέσου, τὸν ἐμὸν μὲν, μέχρι τοῦ βίον. [ὡς: Εἰς. Gl. Cant. 1. 2. ἀντὶ τοῦ πρὸς τὸν θεόν. V. (non G.)]

[33. τὸν ἐμὸν μὲν αὐτοῦ: Ἀντὶ τοῦ ἐμοῦ αὐτοῦ Ἀττικῶς. Junt.]

33. τοῦ ταλαιπώρου: Τοῦ τλητικοῦ, ἢ τοῦ τετληκότος. ταλαίπωρος δὲ παρὰ τὸ τλῆναι τὸν πῶρον, ὅ ἐστι πένθος. ὅτι δὲ πῶρος πένθος ἐστὶ, καὶ Ἀντίμαχός φησι,

πῶρός τοι ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος.

[34. ἐπερωτῶν πρὸς τὸν Ἀπόλλωνα ᾠχόμην, τὸν ἐμὸν, φησὶ, βίον νομίζων ἐκτετοξεῦσθαι, ὅ ἐστιν ἐξαναλωθῆναι, ἀπὸ μεταφορᾶς τῶν τοξευόντων καὶ ἐκδαπανώντων τὴν φαρέτραν. Ἄλλως. ἀντὶ τοῦ

1. οὗτοι addidi ex Paris.
5–21. ἐπερησόμενος—ἕκαστος om. R.V.
18–21. ταλαίπωρος — ἕκαστος] Scholion recentius ex Suida (s. ταλαίπωρος), ut videtur insertum. Duo autem ab Suida versus memorantur Antimachi, alter πῶρον τίν' ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἔθεντο, alter πωρητὸν ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος. unus ab schol. Soph. Œd. Col. 14. (qui πωρεῖν pro πενθεῖν ab Eleis dici annotavit) πωρήτοιν ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος. et ab schol. Eurip. Orest. 392. (382 Matth.) ταλαίπωρος παρὰ τὴν πώρην, ὃ δηλοῖ τὸ πένθος. Ἀντίμαχος, πώρη τοι ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος. πωρητὺς per ταλαιπωρία, πένθος explicat Hesychius: quod vocabulum Antimacho esse restituendum animadvertit Sopingius, falsus tamen ille in eo quod poetæ verba esse putavit πωρητὺν δ' ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἔθεντο. Nam sic potius est corrigendum, coagmentatis duobus apud Suidam versibus, πωρητὺν ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος | θέντο. quod probabilius videtur quam ἕκαστος | — — —ἔθεντο.
22. Addidi ᾠχόμην.
24. ἀντὶ τοῦ] ἄρχεται G.

ἐξοίχεσθαι πρὸς ἀπόληξιν τῆς ἐν αὐτῷ διατριβῆς ἐκπίπτοντα. Ἄλλως ἀπολέσθαι· ἀπὸ τῶν τοξευομένων, ἢ τῶν ὅλα τὰ βέλη ἀφιέντων τοξοτῶν. V. ἐκκενωθῆναι. Gl. V. ἐγγὺς ἀπωλείας εἶναι διὰ τὸ γῆρας. V. ἐκτετοξεῦσθαι: Τετελειῶσθαι, ἀνηλῶσθαι, ἐκ μεταφορᾶς τῶν τοξευόντων, ὅταν τὴν φαρέτραν κενώσωσιν. Junt. ἐκκεκενῶσθαι, ἀνηλῶσθαι· ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ τοξείᾳ ἀναλισκόντων τὰ βέλη. R. ὑπολαμβάνων κατηναλῶσθαι, ἠφανίσθαι τὴν περιουσίαν. Gl. in codd. Brunck. ἐκ μεταφορᾶς εἴρηται τοῦτο τῶν τοξοτῶν, ὅταν τοξεύοντες πάντας τοὺς ἑαυτῶν οἰστοὺς ἀφήσωσιν. Schol. cod. B.]

[35. τὸν δ' υἱόν: Ἀντὶ τοῦ περὶ τοῦ υἱοῦ Ἀττικῶς. καὶ Μένανδρος ἐν Περικειρομένῃ, τὸ δὲ κεφάλαιον οὔπω λογίζομαι τὸν δεσπότην. V.]

[36. πευσόμενος: Ἐρωτήσων. Gl. Dorv. τοὺς δικαίους. Gl. R.]

[37. διαβάλλει τὸ δίκαιον τῶν Ἀθηναίων. Ἄλλως. ἀντὶ τοῦ μηδὲν τῶν δικαίων φρονεῖν αὐτόν. V. εἰς τὸ φιλόδικον τῶν Ἀθηναίων σκώπτει. V. (a m. sec.) R.]

[39. ἔλακεν ἐκ τῶν στεμμάτων: Ἡ λέξις Εὐριπίδου. ἀντὶ τοῦ ἔχρησε. G.] τραγικώτερον δὲ τοῦτο ἐξ Εὐριπίδου, διασύρων τὸν Εὐριπίδην. οἱ γὰρ τρίποδες δάφνῃ ἦσαν ἐστεμμένοι καὶ ἡ προ-

2. ἀφιέντων] ἀφέντων G.

3, 4. ἐκκενωθῆναι—γῆρας om. G. ἐγγὺς—γῆρας a m. sec. habet V.

3. ἀπωλείας] ἀπωλίας V.

5–7. ἐκκεκενῶσθαι—βέλη] Exscripsit Suidas s. ἐκτετοξεῦσθαι.

12. οὔπω corruptum.

ib. δεσπότην] Sequitur in V. γράφεται προστιθέμενος οὖν ἑαυτοῦ υἱὸν ἀριστοφάνης. Quæ non intelligo, nec leguntur in G.

16. ἀντὶ τοῦ om. G.

19. Addidi lemma ἔλακεν ἐκ τῶν στεμμάτων.

ib. Εὐριπίδου] εὐριπίδους G.

20. τραγικώτερον—ἐπεὶ οἱ μαντευόμενοι] ἔλακεν ἐκ τῶν στεμμάτων: Τραγικώτερον ἀπεφήνατο προσδιασύρων, ὥς φασιν, Εὐριπίδην. ὁ δὲ νοῦς, τί ἐφθέγξατο ἐκ τῶν στεφάνων τῆς προφήτιδος; ἐστεφανηφόρει γὰρ ἡ Πυθία. ἐπεὶ οἱ τρίποδες δάφνῃ ἦσαν ἐστεμμένοι. τὸ δὲ ἐκ τῶν στεμμάτων, ἐπεὶ οἱ μαντευόμενοι Ald. Correxi ex V. In R. hæc tantum leguntur, τραγικὴ λέξις. ἐπὶ τῶν στεμμάτων τῆς προφήτιδος. ἐστεφανηφόρει γὰρ ἡ Πυθία. et inferius illa, ἐπεὶ οἱ μαντευόμενοι—ἐριτίμων. Post ἐριτίμων autem V. pergit σαφῶς εἰπεῖν ἐμαντεύσατο. τραγικώτερον εἰπεῖν ἀπεφήνατο πρὸς διασυρμόν. Quorum priora sic sunt corrigenda εἶπε: Ἐμαντεύσατο et referenda ad v. 40. posteriora, in quibus delendum εἰπεῖν, ad hunc versum spectant. Apparet ex his lectionem Aldinam προσδιασύρων — Εὐριπίδην corruptam esse ex πρὸς διασυρμὸν—Εὐριπίδου.

ib. τὸν Εὐριπίδην G. τὸν om. V.

φῆτις. Ἄλλως. ἀπὸ τῶν στεμμάτων τῆς προφήτιδος· ἐστεφανηφόρει γὰρ ἡ Πυθία δάφνῃ. τινὲς δὲ καὶ θεσφάτων. Ἄλλως. γράφεται σκεμμάτων, ἐπεὶ οἱ μαντευόμενοι ἐγγράφῳ ἀνακοινώσει πρὸς τὸν θεὸν τὰς πεύσεις ἐποιοῦντο, γεγραφότες ἐν πυκτίῳ τὸ κατὰ προαίρεσιν αὐτοῖς κείμενον, στεφάνῳ τε ἀμφιέσαντες ἁβρῷ, τῇ μαντιπόλῳ ἐχειροτόνουν· ἡ δὲ ἐντυχοῦσα σύμφωνον τοῖς προτεινομένοις ἐποιεῖτο τὴν ἀπόκρισιν. οἱ δὲ, ὅτι ἐν μέσῳ τῶν στεφάνων καθημένη ἔλεγεν ἡ Πυθία· ἢ ὅτι δάφνῃ ἔστεπτο ὁ τρίπους, ἐφ' οὗ καθῆστο ἡ Πυθία· καὶ ἀλλαχοῦ, " ἴαχεν ἐξ ἀδύτοιο διὰ τριπόδων ἐριτίμων." ["Ἄλλως. στέφανοι ἐπὶ τοῦ τρίποδος ἔκειντο, οὓς ἡ Πυθία ἐν τῇ κεφαλῇ φοροῦσα ἐμαντεύετο. [ἢ τὸν τρίποδα λέγει διὰ τὸ κυκλοτερὲς αὐτοῦ. Dorv.] ἦν δὲ ἡ Πυθία γυνὴ, ἥτις, ὥς φασιν, ἐπικαθημένη τῷ τρίποδι

2. γράφεται] γράφει V.

4. γεγραφότες V. γράφοντες Ald.

ib. προαίρεσιν] πρόθεσιν V.

5. ἀμφιέσαντες R.V. ἀμφιάσαντες G. ἀμφιστάντες Ald.

ib. ἁβρῷ epitheton ineptum quorsum spectet, ignorare me fateor: debuerat potius scripsisse δάφνης vel δαφνίνῳ. Proxima non minus intricata, nisi profundo vulnere laborare putes, grammatici recentioris atque imperiti notas præferunt: ἐχειροτόνουν videtur posuisse pro *porrigebant*. HEMST.

ib. τῇ] τῷ R.

ib. μαντιπόλῳ] μαντιπόλει V, non G.

6. ἡ δὲ ἐντυχοῦσα V. ὁ δὲ ἐντυχὼν Ald.

ib. τοῖς προτεινομένοις ἐποιεῖτο τὴν ἀπόκρισιν V. τὴν ἀπόκρισιν τοῖς προτεινομένοις ἐποιεῖτο Ald.

8. δάφνῃ R.V. στεφάνην Ald.

9. ἀλλαχοῦ] Equit. 1016.

ib. ἐξ ἀδύτοιο] ἐξαδύτοις V. ἐξ ἀδύτων G. ἐξάλυτος ο literis evanidis R. Correctum ex Equit.

10,11. στέφανοι....ἐμαντεύετο] Hæc totidem verbis extant in Dorv. nisi quod pro ἐμαντεύετο præferat ἐχρησμῳδει. HEMST. Totam hanc notam recentioris alicujus Græci ejusdemque Christiani esse, cuivis facile subolere potest. Tales autem non paucæ veteribus et genuinis scholiis immixtæ sunt, sed quæ pleræque, uti et hæc, in editione Aldina desiderantur. KUST.

12. ἦν δὲ ἡ Πυθία γυνή] Hæc eum in modum scripta, ut facile Christiani hominis, quod jam Kusterus fuit subodoratus, manum prodant: unde fluxerint, aperiet Œcumen. ad A. A. 16, 16. p. 130. D. cujus verba ponam: Λέγεται ἡ Πυθία αὕτη γυνή τις οὖσα ἐπικαθῆσθαι τῷ τρίποδι τοῦ Ἀπόλλωνος, διαιροῦσα τὰ σκέλη· εἶθ' οὕτως πνεῦμα πονηρὸν κάτωθεν ἀναδιδόμενον, καὶ διὰ τῶν γεννητικῶν αὐτῆς διαδυόμενον μορίων πληροῦν τὴν γυναῖκα τῆς μανίας, καὶ ταύτην τὰς τρίχας λύουσαν λοιπὸν βακχεύεσθαί τε καὶ ἀφρὸν τοῦ στόματος ἀφιέναι, καὶ οὕτως ἐν παροινίᾳ (lege παρανοίᾳ) γενομένην τὰ τῆς μανίας φθέγγεσθαι ῥήματα. Non dissimilia in aliorum ad hunc locum commentariis traduntur. Vide Origen. in Cels. 3. p. 125. 7. 333. HEMST. Joh. Meursius, prolato scholiastæ loco, eadem hæc totidem verbis apud Œcumenium reperiri notavit in Exerc. Crit. P. 2. c. 10. Conspirat Josephus in Hypomnest. citatus a Th. Galeo

τοῦ Ἀπόλλωνος, καὶ διαιροῦσα τὰ σκέλη πονηρὸν κάτωθεν ἀναδιδόμενον πνεῦμα διὰ τῶν γεννητικῶν ἐδέχετο μορίων, καὶ οὕτω μανίας πληρουμένη, καὶ τὰς τρίχας λύουσα, καὶ ἀφρὸν ἐκ τοῦ στόματος ἀποπέμπουσα, καὶ τἄλλα πάντα ποιοῦσα, ὅσα οἱ μαινόμενοι ποιεῖν εἰώθασιν, τὰ τῆς μαντείας, ἢ μᾶλλον μανίας, ἐφθέγγετο ῥήματα· ἢ καὶ δαίμων τις ἦν οὕτω καλούμενος πύθων, ἀφ' οὗ ἡ Πυθία παρωνομάζετο· ἢ καὶ αὐτὸς ὁ Ἀπόλλων Πύθιος ὀνομαζόμενος, διὰ τὸ τοῖς πυνθανομένοις χρησμοὺς διδόναι περὶ ὧν ἂν βούλοιντο. Junt.]

40. *πεύσει*: Οἱ Ἀττικοὶ τὰ τῶν παθητικῶν χρόνων δεύτερα πρόσωπα ἀεὶ διὰ διφθόγγου γράφουσιν. ὡς καὶ ἐνταῦθα καὶ ἐν τοῖς ἑξῆς εὑρήσεις· οὗτος γάρ, εἴπερ τις, τῇ Ἀττικῇ διαλέκτῳ χρῆται. ἡ δὲ κοινὴ διάλεκτος μόνου τοῦ βούλει, καὶ ὄψει, καὶ οἴει τὰ ἐνεργητικὰ μὴ ἐν χρήσει εὑροῦσα, τῇ Ἀττικῇ ἑπομένη συνηθείᾳ ἀεὶ διὰ διφθόγγου τὰ τρία ταῦτα ἐκφέρει. ἀπαγορευτικοῦ δὲ ἢ αἰτιολογικοῦ μορίου τεθέντος, οἱ Ἀττικοὶ οὐχ οὕτω τὰ δεύτερα πρόσωπα ἐκφέρουσιν, ὡς εἴρηται, ἀλλ' ὑποτακτικῶς.

[*εἶπε*: Ἐμαντεύσατο V.]

[41. *ἐξιών*: Ἐκ τοῦ ἱεροῦ δηλονότι. R.V.]

[42. *μὴ μεθίεσθαί μ' ἔτι*: Τὸ μεθίημι ἐνεργητικῶς πρὸς αἰτιατικὴν συντάσσεται· ὡς Συνέσιος "μεθῆκε τὸ πηδάλιον ἐκ τῶν χειρῶν." παθητικῶς δὲ πρὸς γενικήν, ὡς ἐνταῦθα. Junt. *μὴ μεθίστασθαι μηδὲ ἀναχωρεῖν*. V.]

[43. *πείθειν*: Ἐκεῖνον· πείθειν δ' ἐκεῖνον ἐμοὶ ξυνακολουθεῖν ἕως εἰς τὸν οἶκον. Dorv. *ξυνακολουθεῖν*: Σὺν αὐτῷ πορεύεσθαι. Gl. Cant. 2.]

[44. *τῷ ξυναντὰς*: Τούτῳ συναντίσας. Gl. Dorv. *τῷ*: Τίνι Gl. E.]

[45. *οὐ ξυνίης*: Οὐ νοεῖς. R. *οὐ γινώσκεις* V.]

[*τὴν ἐπίνοιαν*: Τὸ αἴνιγμα, τὴν γνώμην καὶ τὴν κληδόνα. R.V.]

ad Iamblich. de Myster. p. 215. Ἡ δὲ Πυθία ἐπὶ τοῦ τρίποδος ἀσχημόνως ἐπικαθημένη διὰ τῶν γυναικείων πόρων τὰς μαντικὰς ἀποκρίσεις ὑποδέχεται. HEMST. *in Addendis*.

9–16. Hæc quoque recentissimi grammatici annotatio est, qua carent codices nostri.

14. *τρία*] γ' Ald.

18. Addidi lemma *ἐξιών*. Totum gl. om. G. In R. ὅ τινι (scr. ᾧτινι) ἐξιὼν ἐκ τοῦ ἱ. δ.

20. *Συνέσιος*] Epist. 4. p. 161 d.

28, 29. Addidi lemmata *οὐ ξυνίης* et *τὴν ἐπίνοιαν*.

29. *τὸ αἴνιγμα* om. R.

[46. *σκαιότατε*: *ἀπαίδευτε*. Gl. V.Θ. et codd. Brunck.]

47. *τὸν ἐπιχώριον τρόπον*: *Τὴν ἐπιχώριον πολιτείαν τῶν Ἀθηναίων. αἰνίττεται δὲ αὐτῶν ἤτοι τῆς πολιτείας τὸ ἰταμόν τε καὶ δυσοικονόμητον.* [*μετέρχεσθαι τὸ τῆς χώρας ἔθος*. Gl. Θ.]

[48. *τῷ τοῦτο κρίνεις*: *Τίνι σημείῳ τοῦτο κρῖναι θέλεις*. V. *ποίῳ σημείῳ*. R. *ἐν τίνι πράγματι καὶ σημείῳ*. Θ.]

καὶ τυφλῷ: *ἤτοι πρὸς τὸν Πλοῦτον αἰνιττόμενος, ἢ τὸν πηρὸν τῷ νῷ· νοῦς γὰρ ὁρᾷ καὶ νοῦς ἀκούει. καὶ καθάπερ ὁ τυφλὸς τὴν πορείαν εὐθεῖαν οὐ ποιεῖται. πρὸς τὸ Ὁμηρικὸν δὲ*

καί κ' ἀλαός τοι ξεῖνε διακρίνειε τὸ σῆμα.

τυφλῷ δὲ οὐχὶ ὀφθαλμοὺς, ἀλλὰ τὴν καρδίαν, ὅ ἐστιν ἀνοήτῳ. παροιμία δ' ἐστὶ, τυφλῷ δῆλα τὰ μαρτύρια. τὸ δὲ ἑξῆς, ὅτι σφόδρα ἐστὶ τοῦτο συμφέρον, τὸ μηδὲν ὑγιὲς ἀσκεῖν. [*Ἄλλως. παροιμία ἐστὶ, τῷ τυφλῷ δῆλον, ἐπὶ τῶν πάνυ σαφεστάτων λεγομένη· τὰ γὰρ τοῖς τυφλοῖς δῆλα τοῖς βλέπουσι σαφέστατα σφόδρα. λέγει δὲ, ὡς ὁ κελεύσας σε τυφλῷ ἀνδρὶ ἐπακολουθεῖν δῆλόν σοι ἐντεῦθεν καθίστησιν, ὡς καὶ τυφλὸς ἂν γνοίη τοῦτο, ὡς ὃ πάντες μετέρχονται, τοῦτο δεῖ καὶ τὸν σὸν υἱὸν μετελθεῖν. ἢ ὅτι ἐπειδὴ πάντες τὴν ἄδικον πολιτείαν μετέρχονται, εἶπέ σοι ὁ Ἀπόλλων, ὡς ᾧ ἂν ἐντύχοις, πάντως τοιοῦτος ἔσται· καὶ ἀκολούθει αὐτῷ, ἤγουν τὴν αὐτὴν αὐτῷ καὶ σὺ*

1. *ἀπαίδευτε* om. G.

2. Scholia ad v. 47–57. om. Θ.

ib. *τὴν* V. *κατὰ τὴν* Ald.

ib. *τῶν Ἀθηναίων* om. R. *δὲ* om. R.

3. *δὲ αὐτῶν ἤτοι τῆς πολιτείας τὸ* V. *δὲ τὸ τῆς πολιτείας* Ald.

ib. *δυσοικονόμητον* V. *δυσοίκμητον διδάσκειν* R. *δυσκίνητον διδάσκειν* Ald. *διδάσκειν*, quod recte om. V, ortum est e lemmate *ἀσκεῖν*.

4. *μετέρχεσθαι*] *μὴ ἔρχεσθαι* Θ.

5. *τίνι*—*θέλεις* a m. sec. V. om. G.

7. *καὶ τυφλῷ*] *δηλονοτιὴ καὶ τυφλῷ* V. (a m. sec.)

ib. *ἤτοι* om. R.

ib. *πηρὸν*] *πονηρὸν* V.

ib. *τῷ νῷ*] Quæ sequuntur om. R.

8. *νοῦς γὰρ ὁρᾷ*] De hac nobilissima Epicharmi sententia vide Hier. Columm. ad Enn. Fragm. p. 171. Rittershus. ad Porphyr. de V. P. p. 73. Comment. ad Clem. Alex. Strom. 2. p. 442. Plura dicemus ad Luciani *B.* Πρ. in fine. HEMST. Vide Wyttenbach. ad Plutarch. vol. 6. p. 671.

8, 9. *καὶ καθάπερ*...*ποιεῖται*] Ex his congruentem sensum vix efficies, nisi legeris vel, *ὅτι* (Chremylus) *καθάπερ ὁ τ.* etc. vel *καὶ γὰρ οὗτος* (*ὁ πηρὸς τῷ νῷ*) *καθάπερ ὁ τ.* etc. HEMST.

9. *Ὁμηρικὸν*] Od. Θ, 195.

11. *ὅ ἐστιν* V. *τουτέστιν* Ald.

ib. *ἀνοήτῳ*] Pergit V. *ἀντὶ τοῦ μωρῷ. αἰνίττεται τὸν Πλοῦτον ἐπὶ χλεύης. ἢ πρὸς τὸν Πλοῦτον αἰνιττόμενός φησιν, ἢ τὸν πονηρὸν τῷ νῷ. τὸ δὲ ἑξῆς—τὸ μηδὲν ἀσκεῖν ὑγιές.*

15. *δῆλα* addidit Kust.

μετέρχου ὁδόν. Junt. δηλονοτὴ: Φανερὸν γὰρ ὅτι. γνῶναι: Νοῆσαι. Gl. Dorv. φανερόν ἐστιν ὅτι καὶ τυφλῷ νοῆσαι δοκεῖ τοῦτο. Gl. codd. Brunck. φανερόν ἐστι . . . τυφλῷ εἰς τὸ νοῆσαι. Θ.]

[49. σφόδρα—συμφέρον: Ὅτι λίαν ὠφέλιμον. Θ.]

[50. ἀσκεῖν ὑγιὲς: Μετέρχεσθαι δίκαιον. Θ.]

[51. ῥέπει: Φέρεται, ἀποβλέπει, ἐκ μεταφορᾶς τοῦ ζυγοῦ. Junt. ὥσπερ ζυγοῦ εἶπεν. R. ἀντὶ τοῦ ἐπιφέρεται. μεταφορικῶς ἀπὸ τοῦ ζυγοῦ. V.

[54. ὁ Πλοῦτος, τίνος ἕνεκεν ἐπὶ τὸ αὐτὸ ἀπήντησεν, εἰς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος ἐν Δελφοῖς. V. εἰς Δελφούς. R. τίνος χάριν ἦλθεν εἰς τὸ χρηστήριον τοῦ Ἀπόλλωνος. καὶ τίνος χρείαν εἶχεν σὺν ἡμῖν εἰς Δελφούς. Θ.]

[55. τὸν χρησμὸν ἡμῶν, ὅτι νοεῖ: Καὶ Πλάτων Νόμων ή. "τὸν "δὲ νόμον ὑμῶν ὅ τι νοεῖ περὶ τὰ τοιαῦτα οὐδέν με ἐξετάζειν δεῖ." Junt. ὅ τι σημαίνει. R.]

57. ἢ τἀπὶ τούτοις: Τὰ ἐπὶ τῇ ἀπειλῇ· καὶ γὰρ ἡ πεῦσις ἄνω ἀπειλητική. λέγει οὖν, βέλτιόν σοί ἐστιν ἐξειπεῖν λόγῳ πεισθέντα ἢ βιασθέντα· ἢ ὡς μὴ λέγοντός σου, βίαιόν τι διαπράξομαι. Ἄλλως. ἢ τἀπὶ τούτοις: Ἤγουν τὰ ἀκόλουθα τοῖς μὴ ἐθέλουσιν ἑαυτοὺς ἐκφαίνειν. τὰ δὲ ἐστὶ πληγαὶ καὶ τραύματα.

[λέγειν χρὴ: Τὸ λέγειν ἐπὶ τοῦ προφορικοῦ λόγου λέγεται, καὶ ἀπὸ τούτου ἐπὶ τοῦ ὀνομάζειν καὶ ἐπὶ τοῦ φράζειν. Junt. πρὸ τοῦ τυφθῆναί σε. Θ.]

[58. οἰμώζειν: Οἰμώζω, τὸ θρηνῶ. ἀφ' οὗ οἰμωγὴ, ὁ θρῆνος, καὶ οἴμωγμα οὐδετέρως παρ' Αἰσχύλῳ

οἰμώγμασίν θ' ὧν Ζεὺς ἀλεξητήριος.

7, 8. ἀντὶ—ζυγοῦ om. G.

13. Νόμων ή] P. 837 e.

14. ὑμῶν] ἡμῶν Junt.

16–18. ἢ τἀπὶ—διαπράξομαι] ἀπειλητικὴ ἡ πεῦσις τοῦ θεράποντος. καὶ τῷ λόγῳ πεισθέντα (πεισθέντι G.) βέλτιόν σοι σεαυτὸν ἐξειπεῖν ἢ βιασθέντα. ἄλλως. ὡς μὴ λέγοντός σου βίαιόν τι διαπράξομαι. τὰ ἐπὶ—λέγειν οὖν χρὴ λόγῳ πεισθέντα βέλτιόν σοι ὅ ἐστιν ἐξειπεῖν ἢ βιασθέντα—διαπράξομαι V. ὡς μὴ λέγοντός σου β. τι διαπράξομαι. (et post v. 81.) ἄγε δὴ σὺ πρότερον. ἀπειλητικὴ γὰρ ἡ πεῦσις, οἷον λόγῳ πεισθέντα βέλτιόν σοι ἐστὶν ἐξειπεῖν.....ασθέντα R.

16. ἄνω] Quorsum pertineat non capio: legendum est, nisi fallor, ἄγαν. HEMST.

19. Ἤγουν τὰ ἀκόλουθα] Hoc scholium extat etiam in Dorv. HEMST.

25. Αἰσχύλῳ] Sept. ad Th. 8.

ἐκ τούτου δοκεῖ καὶ οἴμοι θρηνητικὸν ἐπίρρημα γίνεσθαι. Schol. MS. ap. Brunck.]

[60. σκαιῶς: Ἀπαιδεύτως, σκληρῶς, ἀποτόμως. Θ.]

[61. τοῦτο πρὸς τὸν Πλοῦτον. πρόσκεισαι. εὐσεβοῦς, δικαίου. ἀποστροφὴ τὸ σχῆμα. Θ. ἀντὶ τοῦ εὐσεβοῦς. (R.) ἀπὸ μέρους δὲ ἀγαθοῦ. V.]

[62. κλᾴειν: Ἀττικῶς ἀντὶ τοῦ κλαίειν. Borg.]

63. δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν: τὴν κληδόνα, τὴν μαντείαν, καὶ τὸ σύμβολον. οὕτως ὁ Ῥόδιος Ἀπολλώνιος "μηδ' ὄρνις ἀεικελίη "πέλε νηΐ." κοινῶς γὰρ πᾶν σύμβολον ἐκφευκτικὸν ἢ προτρεπτικὸν ὄρνιν καλοῦσιν. ὄρνις, ἐπιφώνησις, πταρμὸς, καὶ τὰ τοιαῦτα, ὡς αὐτὸς ἐν Ὄρνισι ἐδήλωσεν. Ἄλλως. τὴν μαντείαν τοῦ Ἀπόλλωνος ὄρνιν λέγει, ἐπειδήπερ οἱ παλαιοὶ οὐ μόνον διὰ τῶν ἄλλων, ἀλλὰ καὶ δι' ὀρνίθων ἐμαντεύοντο. [καὶ ὅτι οἱ παλαιοὶ πᾶν τὸ ἐπὶ σημείῳ καὶ τεκμηρίῳ τινὶ παραλαμβανόμενον ὄρνιν ἐκάλουν, ἀπὸ μεταφορᾶς καὶ τὸ μάντευμα καὶ τὸ σύμβολον. Junt.]

64. μὰ τὴν Δήμητρα: Εἰκότως ταύτην ὅρκον λαμβάνει ὡς γεωργός· ἡ γὰρ Δημήτηρ τῆς γῆς ἔφορος. [διὰ τὸ μὴ φράσαι οὐκέτι χαιρήσεις. V.]

[65. ἢν μὴ φράσῃς: Ἐὰν μὴ εἴπῃς. Gl. in 2 codd. Brunck.]

66. ὦ τᾶν: Ἀντὶ τοῦ ὦ ἑταῖρε. τινὲς δὲ λέγουσιν ὅτι οὐ πρὸς ἕνα μόνον τὸ ὦ τᾶν, ἀλλὰ καὶ πρὸς δύο. καὶ Κρατῖνος "ἆρά γε, ὦ τᾶν,

8–12. τὴν κληδόνα —Ἄλλως om. Θ.

8. κληδόνα] κληδόνα Ald.

ib. τὴν μαντείαν om. R.

9. οὕτως ὁ P. Ἀ.] ὡς Ἀ. R.

9, 10. οὕτως—νηΐ hic om. V, qui post ἐδήλωσεν alterum ponit scholion τὴν κληδόνα—νηΐ.

9. Ἀπολλώνιος] 1, 304.

11. ὄρνιν καλοῦσιν om. V.

ib. τοιαῦτα V. ὅμοια Ald.

12. Ὄρνισι] 720. Sequentem notam eum in modum præfert Dorv. ut supra τὸν ὄρνιν τοῦ θεοῦ explicatio sit adscripta τὴν μαντείαν τοῦ Ἀπόλλωνος, tum reliqua ἐπειδήπερ...ἐμαντεύοντο in margine ponantur. Pro ἐκφευκτικὸν non deterius est Suidæ ἐφεκτικὸν in Ὄρνις. HEMST.

ib. ἐδήλωσεν R.V. δεδήλωκεν Ald.

13. ἐπειδήπερ] ἐπειδὴ Θ.

17. Scholia ad v. 64–204. om. Θ.

ib. ταύτην ὅρκον] ταύτην εἰς ὅρκον Junt. Ignoratio loquendi formulæ præposteram emendationem peperit: λαμβάνειν τινὰ ὅρκον, ut ποιεῖσθαι, de quo H. Vales. ad Sozomen. H. E. 7. p. 307. HEMST. εἰς etiam in Parisino libro inventum est. Totum scholion om. R.V.

21. ἀντὶ τοῦ et τινὲς δὲ λέγουσιν add. V. ὅτι οὐ—ἐθελήσετε R, omissis præcedentibus et sequentibus.

22. τὸ ὦ] φησὶν ὦ V.

ib. ἀλλὰ καὶ πρὸς δύο. καὶ] ἀλλὰ πρὸς β, ὡς V.

ib. ἆρά γε] Scribendum ἆρά γ', nisi hæc verba in fine versus posita fuerunt.

“ἐθελήσετε.” Ἄλλως. ὦ τᾶν, ὦ φίλοι, πληθυντικῶς νοητέον. ἢ ἀντὶ τοῦ ὦ φίλε. ἵν' ᾖ τὸ μὲν ὦ τᾶν πρὸς μόνον τὸν Χρεμύλον· οὗτος γὰρ αὐτῷ ἠπείλει· τὸ δὲ ἀπαλλάχθητον πρὸς ἀμφοτέρους· ἐπειδὴ καὶ ἄμφω τούτῳ ἠνώχλουν. ὃ καὶ κρεῖττον. εἰώθαμεν γὰρ ἐν τῇ κοινῇ συνηθείᾳ ἔστιν ὅτε τοὺς λόγους οὕτω ποιεῖσθαι.

πώμαλα: Ἀντὶ τοῦ οὐδαμῶς· ἔστι δὲ Ἀττικόν· ἔστι γὰρ ἐπίρρημα ἀρνήσεως.

67. καὶ μὴν ὃ λέγω: Τινὲς ἐν πρόσωπον αὐτὸ εἶναι λέγουσι τοῦ δούλου ἀπὸ τοῦ πώμαλα ἕως τοῦ ἐκτραχηλισθῇ πεσών.

[70. ἐκτραχηλισθῇ: Τὸν τράχηλον κατακλασθῇ (R.V.), ἐκσπονδυλισθῇ. Junt.]

72. ἀλλ' ἣν πύθησθε μ' ὅστις εἰμ' ἐγώ: Οὕτω τὴν αἰτιατικὴν ἀντὶ γενικῆς, καὶ ἀντὶ δοτικῆς τὴν αἰτιατικὴν Ἀττικοὶ λέγουσιν, ὡς Θουκυδίδης “εἰ οὖν τί σε τούτων ἀρέσκει, πέμπε ἄνδρα πιστὸν ἐπὶ θάλατταν.” καὶ Σοφοκλῆς

οὐ γάρ μ' ἀρέσκει γλῶσσά σου τεθηγμένη.

ἀντὶ τοῦ οὐ γάρ με. ὡς ἐπὶ ἀψύχου τὸ ἀναθείς. ἢ διὰ τὸ τυφλὸν αὐτὸν εἶναι.

74. ἐὰν βούλῃ γε σύ: Τοῦτο διττῶς νοητέον. νὴ τοὺς θεοὺς ἀφήσομέν σε, ἂν βούλῃ γε σὺ εἰπεῖν ὅστις εἶ. ἢ οὐκ ἀφήσομεν, ἐὰν βούλῃ σὺ μὴ εἰπεῖν ὅστις εἶ. [ἐὰν βούλῃ καὶ δοκῇ σοι, ἀφήσομέν

1–5. Ἄλλως—ποιεῖσθαι om. V.
2. ἀντὶ τοῦ addidi ex R.
6. ἔστι γὰρ ἐ. ἀρνήσεως om. R. In V. hoc scholion: πώμαλα, ἀρνήσεως ἐπίρρημα ἀντὶ τοῦ οὐδαμῶς. ἔστι δὲ ἀττικῶς, ἢ πόθεν δωρικῶς. ἡ δὲ λέξις ἀττικὴ, ἡ (scr. ἢ) γραικικὴ, ἤγουν σκλαβική.
8, 9. A m. sec. habet V, om. R.G.
8. Τινὲς ἐν προσώπῳ λέγουσιν αὐτὸ εἶναι τοῦ δούλου, ἵν' ᾖ βέλτιόν ἐστι πεισθέντα εἰπεῖν ἢ βιασθέντα (hæc ex schol. v. 57.), τινὲς δὲ τοῦ Πλούτου R. Idem scholion V. infert post κατακλασθῇ (v. 70.) sic scriptum, λέγουσιν αὐτὸ θεῖναι τοῦ δούλου, ἵν' ᾖ βέλτιόν σοί ἐστιν π. εἰ. ἢ β. τ. δὲ τοῦ π. Tum sequuntur illa, οὕτως τὴν αἰτιατικὴν ἀντὶ τοῦ (del. τοῦ) τῆς γενικῆς λέγουσιν. οὕτως καὶ ἀντὶ τῆς δοτικῆς αἰτιατικήν. ἔστι δὲ ἀττικῶν.
ib. Τινὲς om. V.
ib. τοῦ δούλου om. V.
12. ἀλλ' ἣν πύθοισθέ (scr. πύθησθέ) μ' ὅστις εἰμ' ἐγὼ R. ἐπὶ κρημνόν τινα Ald.
12, 13. οὕτω—λέγουσιν] οὕτως ἀττικοὶ αἰτιατικὴν ἀντὶ γενικῆς λέγουσιν R.
13–17. ὡς—οὐ γάρ με om. R.V.
14. Θουκυδίδης] 1, 28.
15. Σοφοκλῆς] Aj. 584.
17. ὡς ἐπὶ ἀψύχου τὸ (τὸ om. R.) ἀναθείς R.V. τὸ δ' ἀναθεὶς ὡς ἐπὶ ἀψύχου Ald.
19–21. ἐὰν—ὅστις εἶ om. R.V.
19. ἀφήσομέν σε G. ἀφήσομέν σοι V.

σε. τοῦτο γὰρ προσληπτέον. V. ἡμεῖς γ', ἐὰν βούλῃ, ἀπολύομεν. τοῦτο δέ φασιν ἀπολύσαντες αὐτόν. Ἄλλως. ἐὰν δὲ σοὶ δοκῇ, τουτέστι τὸ ἀπολυθῆναι. προσληπτέον τὸ ἀφήσομεν. V. a m. sec.]

[75. μέθεσθε παροξυτόνως οἱ Ἀττικοὶ λέγουσιν. R. Εἰρηναῖός φησι παροξυτόνως Ἀττικοὺς λέγειν τὸ μέθεσθε. V.]

[ἠνὶ: Ἰδού. Gl. Dorv. et codd. Brunck. μέθεσθε ἀντὶ τοῦ ἀπολείφθητε καὶ πόρρω γίνεσθε. κανόνισον. ἵημι τὸ καταλείπω, ὁ μέλλων ἥσω. ὁ δεύτερος ἀόριστος ἧν. ὁ μέσος ἕμην, ἕσο, καὶ τὸ προστακτικὸν ἕσο, καὶ ἐκβολῇ τοῦ σ, καὶ κράσει τοῦ ε καὶ ο εἰς ου δίφθογγον οὗ, καὶ μετὰ τῆς μετὰ προθέσεως καὶ συγκοπῆς καὶ τροπῆς τοῦ ψιλοῦ εἰς δασὺ, μεθοῦ, μεθέσθω, μέθεσθον, μεθέσθων, μέθεσθε, μεθέσθωσαν. Paris.]

77. ἢ παρεσκευασμένος: Τὸ ἦ ἄνευ τοῦ ν ἀντὶ τοῦ ἤμην. οἱ γὰρ Ἀττικοὶ τὸ ἦν καὶ ὑπῆρχον ἐγὼ ἦ φασιν, οὕτως· ἀπὸ τοῦ εἰμὶ τὸ ὑπάρχω γίνεται ὁ παρατατικὸς εἶν διὰ διφθόγγου· [ὡς καὶ ἀπὸ τοῦ εἴδημι ᾔδειν· Paris.] καὶ διαλύσει Ἰωνικῇ τῆς ει διφθόγγου εἰς ε καὶ α γίνεται ἔα, ὡς καὶ τὸ ᾔδεα, καὶ τὸ τιθεῖσι τιθέασιν. ἡ χρῆσις δὲ παρ' Ὁμήρῳ, ὡς τὸ "οὐ γὰρ ἀμενηνὸς ἔα" εἶτα κιρνῶντες τὸ ε καὶ α εἰς η, ἦ φασὶν, ὡς καὶ ἐνταῦθα καὶ ἐν τοῖς ἑξῆς εὑρήσεις. [ἀντὶ τοῦ ἤμην. R. τινὲς ἄνευ τοῦ ν αὐτὸ γράφουσι τὸ η μόνον ἀφιέντες. ἀντὶ τοῦ ἤμην, κατ' ἔλλειψιν τοῦ ν. οἱ δὲ ὅτι ἐπὶ τρίτου προσώπου τίθεται τὸ ῥῆμα. ὅτι δὲ τάσσεται καὶ κατὰ τοῦ ἤμην δῆλον ἐκ τοῦ Ὁμήρου, εἴποτ' ἔηνγε. V.

78. μιαρώτατε ἀνδρῶν ἁπάντων: Πεφυλαγμένως ποιεῖται τὴν πρὸς τοὺς θεοὺς ὑπέρθεσιν, ἵνα μὴ θεῶν ὑπερτιθεὶς, κἀκείνους πάθει ὑποτάξῃ. ἢ ὅτι ἐν σχήματι ἀνδρὸς ἐφάνη ὁ Πλοῦτος. δεῖ δὲ ἐννοεῖν τὸν Πλοῦτον ῥυπῶντα καὶ ταπεινὸν ὄντα τὸ σχῆμα.

1–3. ἡμεῖς—ἀφήσομεν om. G. Sola illa, τὸ ἀπολυθῆναι. ἰδοὺ ἀπολύομεν. τοῦτο δέ—αὐτόν habet R.

5. τὸ μέθεσθε] τὸ μέθετόν με νῦν V.

13–19. ἢ—εὑρήσεις om. V.

18. Ὁμήρῳ] Il. E, 887. ἤ κεν ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσι.

23. Ὁμήρου] Il. Ω, 426. Od. T, 315.

ib. εἴποτ'] ἢ ἔην εἴποτ' V.

24. Addidi μιαρώτατε.

25. πρὸς τοὺς θεούς delendum. Alio modo sententia scholiastæ expressa est in V, μὴ (hoc delendum) πεφεισμένως ἀνδρῶν εἶπεν ἐνταῦθα, ἵνα μὴ κατὰ τῶν θεῶν εἰπὼν κἀκείνους πάθει προζεύξῃ (scr. προσζεύξῃ vel ὑποζεύξῃ). ὅτι (scr. ἢ ὅτι) ἐν σχήματι ἀνδρὸς φασι (scr. ἐφάνη). εἰκότως οὐκ ἔγνω αὐτὸν εἶναι πλοῦτον, οὕτως ῥυπῶντα καὶ ταπεινὸν ὄντα τῷ σχήματι.

26, 27. δεῖ—σχῆμα] Habet hæc R, omisso δέ.

79. εἶτ' ἐσίγας: Εἰ μὲν οὕτω τὴν σύνταξιν τρέψεις, τὸ εἶτα ἀργὸν ἐρεῖς, καθὼς ἐν ταῖς ἀποδόσεσι τῶν μετοχῶν ποιεῖν εἰώθαμεν. ὦ μιαρώτατε ἀνδρῶν ἁπάντων, ὢν Πλοῦτος εἶτα ἐσίγας. εἰ δὲ τὸ εἶτα ἐν ἀρχῇ θήσεις, οὐκ ἀργὸν νοήσεις. εἰώθαμεν γὰρ ἐν τοῖς τῆς βαρύτητος σχήμασιν ἐν ἀρχαῖς πολλάκις τιθέναι τὸ εἶτα, οὕτως· εἶτα ὦ μιαρώτατε ἀνδρῶν ἁπάντων ὢν Πλοῦτος ἐσίγας;

83. αὐτότατος: Ἡ αὐτότατος ἀντωνυμία πέπαικται κωμικῶς. τὰ γὰρ ἀόριστα τῶν πραγμάτων ἀνεπίτατα. εἰ οὖν ἡ ἀντωνυμία ἐπὶ οὐσίας παραλαμβάνεται, κατὰ τοῦτο ἐπίτασιν οὐ δέχεται, ὡς τὰ ἄλλα μέρη. Ἄλλως. ἔπαιξεν αὐτότατος ὑπερθετικῶς εἰπὼν, ἵνα δείξῃ, ὡς ἀληθῶς αὐτός ἐστιν· ὥσπερ καὶ τὸ μονώτατος. ἰστέον δὲ ὅτι τὸ μὲν μονώτατος εὕρηται ἐν τοῖς λογοποιοῖς, τὸ δὲ αὐτότατος οὔ. [αὐτότατος οὐ λέγεται, ὡς οὐδὲ ἐγώτατος ἀπὸ τοῦ ἐγώ. τοῦ γελοίου δὲ χάριν οὕτω πέπαικται. Θ.]

84. τὸν Πατροκλέα κωμῳδεῖ ὡς Ἀθηναῖον μὲν καὶ πλούσιον, σκνιπὸν δὲ καὶ φειδωλόν. ἦν δὲ τραγῳδίας ποιητὴς, ἄλλως δὲ καὶ κακόβιος καὶ φιλοχρήματος, ὡς καὶ ἐν τοῖς Πελαργοῖς εἴρηται περὶ τούτου, ὅστις ἕνεκεν τῆς φειδωλίας οὐδένα εἴα προσίεσθαι φυλακῆς ἕνεκα τῶν χρημάτων καὶ γλίσχρου βίου. ἦν δὲ οὗτος εἷς τῶν τὸν

1–7. om. R.V.

8. πέπαικται] πεποίηται R.

9. τὰ γὰρ ἀόριστα τῶν πρ.] Nihil mutat, qui scholion hoc descripsit, Suidas in αὐτότατος. Kusterus legendum putat τὰ γὰρ ὁριστά, quæ vox haud scio an apud grammaticos sit in usu pro τὰ ὡρισμένα. Laborare videtur πραγμάτων, cujus vice si reponas προσώπων, sensus erit non abhorrens: pronominum enim tertiæ personæ qualitas est infinita, ut grammatici Latini loquuntur. Mox etiam malim, ᾗ οὖν ἡ ἀντωνυμία etc. H. Stephanus App. de D. A. p. 87. scholiastæ locum attingit, eoque modo, ut difficultatem dissimulet. HEMST.

ib. ἀνεπίτατα] ἀνεπίστατα R.

ib. ἐπὶ] ἀντὶ V.

10. παραλαμβάνεται] λαμβάνεται V.

11–14. Ἄλλως—οὔ om. R.V. Quorum V. post μέρη addit, ἔπαιξε τὸ αὐτότατος. οὐ γὰρ ἐπιδέχεται ὑπέρθεσιν ἡ ἀντωνυμία.

16–18. τὸν Πατροκλέα—Πελαργοῖς] ἐκ Πατροκλέους ἔρχομαι: Εἷς ἦν τῶν τὸν Λακωνικὸν βίον ζηλούντων Ἀθηναίων (ἀθηναῖος, omissis præcedentibus verbis R.), πλούσιος μὲν σφόδρα, ἄλλως δὲ κακόβιός τις καὶ φιλοχρήματος καὶ σκνιφὸς κωμῳδεῖται ὡς ἐν (τοῖς add. R.) Πελαργοῖς Ald. Mutavi ex V.

16. σκνιπὸν] κνιπὸν V. Forma σκνιπός utitur Suidas, qui hunc versum explicat s. Πατροκλῆς.

19. τῆς om. V, habet Suidas.

ib. εἴα προσίεσθαι R. et Suidas. εἴα om. V. Post προσίεσθαι R. illa habet εἷς ἦν τῶν τὸν Λ. β. ζ.

20–p. 73. l. 3. ἦν δὲ—ηὔχμει addidi ex V, in quo ηὔχει scriptum.

Λακωνικὸν ζηλούντων βίον. Ἄλλως. οὗτος ὁ Πατροκλῆς Ἀθηναῖος φιλοχρήματος, ὃς ἐφύλαττε τὰ χρήματα καὶ ἦν ῥυπαρὸς τῷ βίῳ καὶ ηὔχμει. [ἐκ Πατροκλέους: Ἐκ τῆς οἰκίας τοῦ Πατροκλέους. Gl. Br.]

[86. τουτὶ δὲ τὸ κακὸν: Ἤγουν τὴν τύφλωσιν. Gl. Br.]

[87. φθονῶν: Φθόνος παρὰ τοῖς φιλοσόφοις, ἡ ἐπ' ἀλλοτρίοις ἀγαθοῖς λύπη, ἤτοι ἡ ζηλοτυπία, ὡς ἐνταῦθα· παρὰ δὲ τοῖς ῥήτορσιν ἡ μέμψις, ὡς Εὐριπίδης "ἀποκτείνειν φθόνος γυναῖκας." Junt.]

88. ἐγὼ γὰρ ὢν μειράκιον: Τοῦτό φησιν, ἵνα τὸ προπετὲς τῆς ῥήσεως ἀναφέρῃ ἐπὶ τὸ ἐξημμένον καὶ δόξῃ συγγνώμην ἔχειν ἡ ἁμαρτία, ὅτι μειράκιον ὢν ἠπείλησε. καὶ μὴν οὐκ ἔστιν ἁμάρτημα τὸ τοὺς μὲν φαύλους καταλιπεῖν ὁμολογῆσαι, καταλαβεῖν δὲ τοὺς χρηστούς. πῶς οὖν ὁ Ζεὺς νοούμενος εἰς τὸ πρῶτον αἴτιον, καὶ μᾶλλον βουλόμενος τοὺς ἀγαθοὺς εὖ πράττειν, ἐτύφλωσε τὸν Πλοῦτον εἰπόντα τοῦτο; λέγομεν οὖν, ὅτι εἰ πάντως τοῖς ἀγαθοῖς καὶ τοῖς ἀρετὴν ἀσκοῦσι παρείπετο τὸ πλουτεῖν, πάντες ἂν διὰ τὸ πλουτεῖν μετῄεσαν τὴν ἀρετὴν, οὐ δι' αὐτὴν τὴν ἀρετήν. ὁ δὲ Ζεὺς βουλόμενος τοὺς ἀνθρώπους οὐ διά τι χρήσιμον καὶ ἐπωφελὲς τὴν ἀρετὴν μετιέναι, ἀλλὰ δι' αὐτὴν τὴν ἀρετὴν, τοῖς ταύτην ἀσκοῦσι καὶ ἀποτυχίαν χρημάτων ἔσθ' ὅτε δίδωσιν ἐν τῷ βίῳ, ἵνα ἕκαστος ἐφίηται τῆς ἀρετῆς δι' αὐτὴν τὴν ἀρετὴν, καὶ μὴ διὰ τὸ ἐλπίζειν ὅτι πάντως διὰ τῆς ἀρετῆς εὐπορήσει χρημάτων.

90. ὁ δέ μ' ἐποίησε τυφλόν [ἐπεὶ ἔμελλεν ἀνατρέπειν τοὺς ἀδί-

3. ηὔχμει] Addit V, ἐπειδὴ δὲ πλούσιος μὲν σφόδρα ὤν, διὰ τὸ μὴ λούεσθαι κωμῳδεῖται.

8. Εὐριπίδης] Hecub. 288.

9. Τοῦτό φησιν, ἵνα] ἵνα, φησὶ V.

ib. τῆς ῥήσεως ἀναφέρῃ ἐπὶ R.V. τῆς ῥήσεως ἐπὶ τὴν ἡλικίαν ἀνενέγκῃ καὶ Ald.

11. ὢν addidit Hemst.

12. καταλιπεῖν V. καταλείπειν Ald.

ib. καταλαβεῖν] καταλαβὼν V.

13. ὁ (ὁ om. R.) Ζεὺς νοούμενος R.V. νοούμενος ὁ Ζεὺς Ald.

14. βουλόμενος] βουλόμενον V.

15. ὅτι] τοῦτο ὅτι V.

ib. τοῖς ἀγαθοῖς R.V. τοῖς om. Ald.

16. πάντες ἂν διὰ τὸ πλουτεῖν om. V.

17. οὐ δι' αὐτὴν τὴν ἀρετήν add. R.V.

18. τὴν ἀρετὴν post ἀνθρώπους posuit V.

20. τῆς om. V.

21. καὶ μὴ R.V. οὐ μὴν Ald.

ib. διὰ τῆς] δι' V.

23. Lemma omittit et ἄλλως ponit V.

κους, οὐκ εἴασεν ὁ Ζεύς. τῷ μὲν γὰρ Πλούτῳ συνέφερεν, ὅτι καλῶς αὐτῷ ἐχρῶντο, ἐκεῖνοι δὲ οὔ. V.] παρῴδηται ἐκ τῶν Ἡσιόδου

κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισιν.

ἢ ὅτι ἀνόσιος ὁ διὰ τῆς ἀρετῆς τοῦ πλούτου φόρτος τοῖς δικαίοις, εἰ χαυνωθεῖεν ἐκ περιουσίας.

93. διὰ τοὺς χρηστούς γε: Ἰστέον ὅτι ἡ διὰ πρόθεσις οὐ μόνον γενικῇ συντάσσεται, ὅταν δηλοῖ ἐνέργειαν, ἀλλὰ καὶ αἰτιατικῇ, ὡς ἐνταῦθα· εὑρήσεις δὲ τοῦτο καὶ ἐν πολλοῖς τῶν λογοποιῶν. καὶ μὴν ὅταν δηλοῖ αἰτίαν, αἰτιατικῇ μὲν ὡς ἐπὶ τὸ πολὺ συντάσσεται· ἀλλὰ καὶ πρὸς γενικὴν εὕρηται σπανίως.

[94. ὁμολογῶ σοι: Ἀντὶ τοῦ συναινῶ σοι. R. συμφωνῶ σοι, ὅμοιά σοι λέγω ἐν τούτῳ· εὑρίσκεται δὲ καὶ πρὸς αἰτιατικήν. Junt.]

[φέρε, τί οὖν; Ἄγε δή. ἔστι δὲ μετάβασις τοῦ λόγου. R.V.]

[96. ἤδη: Ἀντὶ τοῦ λοιπὸν ταχέως. R.V.]

[97. ὡς: Ἀντὶ τῆς πρός. V.]

98. πολλοῦ γὰρ αὐτοὺς: Διὰ τὸν ἐπιχώριον τρόπον· ταῦτα γὰρ εἰς τὴν τῶν Ἀθηναίων φησὶ πολιτείαν, ἀποσκώπτων αὐτοὺς ὡς πονηρούς.

99. καὶ θαῦμα γ' οὐδέν: Οὐδέν φησι παράδοξον, εἰ τυφλὸς ὢν οὐχ

2. ἐχρῶντο] Intelligendi οἱ δίκαιοι.

ib. ἐκεῖνοι] ἐκεῖ V. ἐκεῖνοι sunt οἱ ἄδικοι.

ib. παρῴδηται] ἄλλως iterum præponit V.

ib. τῶν] τοῦ V.

ib. Ἡσιόδου] Op. et D. 42.

3. κρύψαντες γὰρ ἔχουσι θεοὶ] ἔκρυψαν δὲ θεοὶ V.

4. Quæ post Hesiodi versum sequuntur, male adfecta sunt, atque a priore forte adnotatione divulsa per errorem huc transierunt. HEMST.

6–10. Scholion recentissimum, quo carent R.V.

9. Legendum est, ἀλλὰ καὶ πρὸς γενικήν· εὕρηται δὲ σπανίως· nisi, quum scholiastes tantum scripsisset, ἀλλὰ καὶ πρὸς γενικὴν, ab alio deinde additum in margine credas, εὕρηται σπανίως. HEMST.

11. συμφωνῶ] Hanc solam explicationem habet Suidas, reliquis, quæ inepta sunt, omisis. HEMST.

14. ἔστι δὲ μετάβασις τοῦ] ἔστιν μετάφρασις R.

15. ἤδη om. V.

ib. ταχέως R. ταχέως τὸ ἤδη V.

16. ὡς: Ἀντὶ τῆς πρὸς om. G.

17. διὰ] διὰ δὲ V, non R.

18. φησὶ πολιτείαν] φασὶ πόλιν V.

ib. ἀποσκώπτων] ἀποσκώπτοντος R. ἀποσκώπτοντα V. ἀποσκοποῦντα G.

ib. αὐτοὺς om. R.V.

ib. πονηρούς] ὄντας add. V.

20. φησι] φασι V.

ἑώρακας [αὐτοὺς, ἐπεὶ καὶ ἐγὼ βλέπω μὲν, ἀλλὰ νῦν γε αὐτοὺς οὐχ ὁρῶ. V.]

[100. ἴστον: Ἀντὶ τοῦ ἐγνώκατε. τὸ δὲ ἴστον δυϊκόν. ἀντὶ τοῦ ἐάσατε· ἐγνώκατε γάρ. V.]

101. ἀντεχόμεθά σου, ἐπειδὴ Πλοῦτος εἶ. V.]

103. καὶ σύ γ', ἀντιβολῶ: Πεποίηται παρὰ τὸ ἄντομαι καὶ βάλλω τὸ ἀντιβολῶ. ἔχει δὲ τὴν ὁρμὴν πρὸς τὸ "ἀλλὰ πολλῷ μᾶλλον "ἑξόμεθά σου." τὸ δὲ οὐκ ἠγόρευον ὥσπερ διὰ μέσου. τὸ δὲ πιθοῦ περισπᾶται· ἔστι γὰρ δεύτερος ἀόριστος, ὡς καὶ ἡ γραφὴ δηλοῖ καὶ τὸ μέτρον βούλεται. τούτους δὲ οἱ Ἀττικοὶ περισπῶσι καὶ ἡ χρῆσις ἠκολούθησε τῇ διαλέκτῳ. ἡ γὰρ ἀναλογία βαρύνει, ὥς φησιν Ἀπολλώνιος.

[106. μὰ τὸν Δία: Τὸ μὰ τὸν Δία ἢ πρὸς τὸ ὄπισθεν σύναπτε, καὶ μόνον λέγε, ἵν' ᾖ βεβαιωτικὸν τοῦ οὐχ εὑρήσεις, ἢ πρὸς τὸ ἐπαγόμενον σύναπτε. Junt. Paris.]

109. ἀτεχνῶς: Ἀντὶ τοῦ ἁπλῶς, καθάπαξ, ὅ ἐστιν ἐνὶ λόγῳ, ἀληθῶς. τέχνη γὰρ ὁ δόλος παρὰ τοῖς Ἀττικοῖς· τὸ δὲ ἄνευ δόλου ἀληθές. ὁ γὰρ τόνος διαστέλλει τὸ σημαινόμενον, τήν τε τῆς τέχνης στέρησιν καὶ τὸ διάφορον τῆς χρήσεως. ἀτεχνῶς οἱονεὶ ἀτενῶς

7. τὸ ἀντιβολῶ add. V.

7, 8. ἔχει—διὰ μέσου om. V.

9, 10. ὡς καὶ—βούλεται add. V.

10. τούτους V. et Suidas s. πιθοῦ. τοῦτον Ald.

ib. δὲ om. Suidas.

ib. οἱ om. V. et Suidas.

14. καὶ μόνον Schæferus. ἢ μόνον Junt. Paris.

ib. τοῦ] τὸ Paris.

16–18. ἀτεχνῶς—ὁ γὰρ] ἀληθῶς. τέχνην τὸν δόλον Ἀττικοὶ λέγουσιν. τὸ δὲ ἄνευ δόλου ἀληθές ἐστιν. ἄλλως. ἀντὶ τοῦ ἁπλῶς ἢ καθάπαξ. ὁ γὰρ V. ἀντὶ τοῦ ἁπλῶς, καθάπαξ. ὁ γὰρ R.

18. τὸ σημαινόμενον] τὰ σημαινόμενα V.

19. καὶ τὸ ἀδιάφορον τῆς χρήσεως] Hæc sana non videntur. Post ἀληθὲς subjici debebat, ἀτέχνως, ἄνευ τέχνης, ἀμαθῶς, ἀμελῶς, aut simile quiddam, ut commode sequeretur, ὁ γὰρ τόνος etc. Omissa fuisse descriptoris culpa jure suspiceris, eoque magis, quod Suidas habeat; licet Aristophanis loco, quod alioqui solet, non posito, aliunde sua videatur quam ex his scholiis hausisse. Τὸ ἀδιάφορον τῆς χρήσεως, hic alienum est, ubi præcessit διαστέλλειν· præciso capite integrior erit lectio, τὸ διάφορον τῆς χρήσεως· quemadmodum Etymolog. in Ἤρια· ὁ διάφορος τόνος διάφορον ποιεῖ καὶ τὴν σημασίαν. et in Πούς· ὀνόματα πρὸς διάφορον σημαινόμενον διάφορον ἔχοντα καὶ τὸν τόνον. Non satis apte conglutinata puto, quæ separatim inveniebantur binis in codd. quorum in uno, ὁ γὰρ τόνος διαστέλλει τὸ σημαινόμενον, in altero fuerit, ὁ γ. τ. δ. τὴν τῆς τέχνης στέρησιν, καὶ τὸ διάφορον τῆς χρήσεως. HEMST. Recepi διάφορον.

ib. χρήσεως] τέχνης V.

μετὰ περισσοῦ τοῦ χ. Ἄλλως. *ἁπλῶς, ἄνευ τέχνης· ἐκ μεταφορᾶς τῶν ἀθλητῶν τῶν μὴ τέχνῃ νικώντων, ἀλλὰ δυνάμει. ἢ καθάπαξ, ἢ ἀδόλως. ἐὰν δέ τις παρὰ τὴν τέχνην λέγῃ τι ἢ ποιῇ, οὐκέτι περισπωμένως, ἀλλὰ βαρυτόνως· ἀτέχνως ποιεῖς, ἀτέχνως λέγεις. ὁ δὲ νοῦς, κἂν φύσει τις ᾖ χρηστὸς, ἐπὶ τὸ χεῖρον μεθίσταται ὑπὸ τῶν χρημάτων.*

[*ὑπερβάλλουσι*: *Ὑπερβάλλω καὶ ὑπερβάλλομαι τὸ αὐτὸ, ὡς ποιῶ καὶ ποιοῦμαι· καὶ συντάσσεται πρὸς μὲν τὸ πρόσωπον αἰτιατικῇ, πρὸς δὲ τὸ πρᾶγμα δοτικῇ, οἷον, ὑπερβάλλω τὸν δεῖνα λόγῳ. ὑποβάλλω δὲ λόγους, ἀντὶ τοῦ ὑποτίθημι· ὅθεν καὶ τὸ* " *ὑποβλήδην*" *παρ' Ὁμήρῳ· καὶ ὑποβάλλω βρέφος· ὅθεν καὶ τὸ ὑποβολιμαῖος· καὶ ὑποβάλλομαι παθητικῶς, ἀντὶ τοῦ ὑπόκειμαι· καὶ ὑποβάλλεται ἡ θεμέλη τῷ τοίχῳ ἀντὶ τοῦ ὑποτίθεται· καὶ ὑποβάλλεται ὁ χόρτος τῇ στρωμνῇ. προβάλλω τὸ εἰς τοὔμπροσθεν τίθημι, ἀφ' οὗ πρόβολοι· προβάλλομαι δὲ μάρτυρα.* Junt.]

[*ὑπερβάλλουσι τῇ μοχθηρίᾳ*: *Τῇ κακίᾳ ἐπὶ τὸ χεῖρον μεθίστανται ὑπὸ τῶν χρημάτων.* Junt.]

111. *ἀλλ' ἁπαξάπαντες*: *Δύο μέρη τοῦ λόγου τὸ ἁπαξάπαντες· οὐ φησὶ πάντες, ἀλλ' ὁμοῦ πάντες. τὸ γὰρ ἅπαξ ἐπὶ ἐπιτάσεως λαμβάνεται. ὑφ' ἓν δὲ ταῦτα τάττει· καὶ προφέρονται ὡς δηλαδὴ, ἁπαξαπλῶς.*

[113. *ὅρμησόν σου τὸν νοῦν, καὶ ὅρα ἵνα μάθῃς.* V.]

1. *μετὰ περισσοῦ*] *κατὰ περισσοῦ* V. *περισσοῦ ὄντος* R.

ib. Post *χ* pergit R, *τέχνη γὰρ ὁ δόλος παρ' Ἀττικοῖς. τὸ δὲ ἄνευ δόλου ἀληθές.* Sequentia om. R.

ib. *ἐκ* V. *ἀπὸ* Ald.

3. *ποιῇ, οὐκέτι* V. *μὴ, οὐκ ἔστι* Ald.

11. *Ὁμήρῳ*] Il. A, 292. Ut levissimum est hoc scholion, sic ineptum plane quod sequitur. Ejusmodi non pauca reperiuntur in adsumentis ed. Junt. quorum tamen bonam partem ex libris scriptis sed recentioribus esse sumtam cod. Dorv. ostendit. HEMST.

18. *ἀλλ'—τὸ ἁπαξάπαντες* om. R. Totum scholion om. V.

19. *ἀλλ' ὁμοῦ πάντες*] *ἀλλ' ἅπαξ ἀλλ' ὁμουπάντες* R.

ib. *ἅπαξ* Dobræus. *ἁπαξάπαντες* Ald. *ἅπαξ ἅπαντες* R.

19, 20. *ὑφ'—ἁπαξαπλῶς* om. R.

20. *τάττει*] *τάττεται* melius congruit. *Δύο μέρη τοῦ λόγου* et *ὑφ' ἓν τάττεσθαι* plerumque grammaticis quasi opponuntur; velut apud Etymol. in *Ἀμβωμοῖσι*. Propterea duplex observatio: prima veteris grammatici, qui separatis orationis partibus scribi volebat, *ἅπαξ ἅπαντες*· quam in exemplari suo solam invenisse Suidam patet: altera serioris, *ὑφ' ἓν ταῦτα τάττεται.* HEMST.

115. *τῆς ὀφθαλμίας*: Ἀντὶ τοῦ τῆς πηρώσεως· ἰδίως δὲ ὀφθαλμίαν τὴν πήρωσιν τῶν ὀφθαλμῶν φησι· διὸ καὶ ἐν τῷ δευτέρῳ μεταπεποίηται

τῆς συμφορᾶς ταύτης σε παύσειν ἧς ἔχεις.

[Ἄλλως. ὀφθαλμία κυρίως ἡ κατὰ τοὺς ὀφθαλμοὺς ἀπὸ νοσήματός τινος γινομένη βλάβη, ἥτις καὶ ἰάσιμός ἐστιν· ἐνταῦθα δὲ ἀντὶ τῆς τυφλώσεως παρείληπται· τύφλωσις γάρ ἐστιν ἡ παντελὴς τῆς ὁράσεως στέρησις. Junt.]

119. *ὁ Ζεὺς μὲν οὖν εἰδὼς τὰ τούτων*: Τὰ τῶν ἀνθρώπων πάντα εἰδὼς, ἐπεὶ οὐδὲν αὐτὸν λανθάνει· μεταπεποίηται δὲ καὶ τοῦτο ἐν τῷ δευτέρῳ. [Ἄλλως. εἰ μὲν γράφεται μῶρ' ἔμ' εἰ, οὕτω συνταχθήσεται, ὁ Ζεὺς μὲν εἰδὼς τὰ τούτων μῶρα ἔπη, εἰ πύθοιτο ἐμὲ ἀναβλέψαντα, ἐπιτρίψεταί με. εἰ δὲ μῶρ' ἔπη, τὸ πύθοιτ' ἂν διὰ μέσου ἔσται· τουτέστι, γνοίη ἂν ταῦτα καὶ οὐδὲν αὐτὸν λήσεται. Junt.]

121. *περινοστεῖν ἐᾷ*: [Ἀπὸ τόπου εἰς τόπον μεταβαίνειν. R. ἀντὶ τοῦ περιπατεῖν τὸν σφαλλόμενον καὶ καταπίπτοντα. V.] νόστος κυρίως μὲν ἡ ἀπ' ἀλλοδαπῆς οἴκαδε ἐπάνοδος, καταχρηστικῶς δὲ καὶ ἡ ἀπὸ τόπου εἰς τόπον μετάβασις καὶ πορεία.

1. ἀντὶ τοῦ add. R.

ib. πηρώσεως] τυφλώσεως V.

2. τῶν ὀφθαλμῶν add. V.

ib. φησι R. φασι Ald. om. V.

ib. φησι] Ita scribendum fuit, non φασι, quod edd. habent: φησὶ, nimirum Aristophanes, quem monet grammaticus ὀφθαλμίαν, qui pravus oculorum est adfectus, sive lippitudo, ut Celsus ait, posuisse pro cœcitate singulari sibique propria ratione: id enim est ἰδίως, quemadmodum Antiphontem multa notant veteres ἰδίως usurpasse. Ut auribus Atheniensium teretibus et fastidiosis obsecundaret Aristophanes, in Pluti διασκευῇ, voce ὀφθαλμίας abjecta, versum talem substituit: Τῆς συμφορᾶς ταύτης σε παύσειν, ἧς ἔχεις· παύσειν inquam; nam quod editur παύσει, vitiosum est: priorem sane versum cur mutaret, causa fuerat nulla; atque adeo, οἶμαι γὰρ οἶμαι παύσειν σε, non secus atque ἀπαλλάξειν antea. HEMST.

4. σε] γε V.

ib. παύσειν R.V. παύσει Ald.

ib. ἧς ἔχεις] ἥ σ' ἔχει Valckenarius apud Dobræum.

9. Lemmati addidi τὰ τούτων cum Hemst.

ib. Τὰ τῶν ἀνθ. R. τὰ τούτων τῶν ἀνθ. Ald.

10. αὐτὸν λανθάνει] λανθάνει αὐτὸν V, non R.

11. δευτέρῳ] Addit V, ἄλλως. τὰ τῶν ἀνθρώπων πάντα. Post δευτέρῳ Ald. addit τὸ δὲ μῶρα μεταξύ, quæ om. R.V.

16. νόστος additum ex Suida s. περινοστεῖν. Totum scholion om. R.

17. μὲν] δὲ G.

ib. ἀπ' G. ἀπὸ Ald. ἐπ' V.

ib. ἐπάνοδος V. ἄφιξις Ald.

ib. καὶ add. V.

18. τόπου] τοῦ τόπου V.

ib. εἰς τόπον μετάβασις καὶ om. V.

ib. μετάβασις καὶ πορεία om. Suidas.

[*περινοστεῖν ἐᾷ*: Περιέρχεσθαι ἀφίησιν, ἀπὸ τόπου εἰς τόπον μεταβαίνειν· ἢ περί ἐνταῦθα τὸ κύκλιον δηλοῖ· τυφλὸν γὰρ ὄντα εἰκὸς μὴ ὀρθῶς βαδίζειν αὐτόν. ὑπονοστεῖν δὲ ἀντὶ τοῦ ὑποχωρῆσαι. Dorv.]

122. *ὀρρωδῶ πάνυ*: Φοβοῦμαι, ἀπὸ τοῦ ὄρρου, ὅ ἐστι μεσοπύγιον τῆς περιστερᾶς· ἔστι γὰρ τρομερὸν τὸ μέρος. ὀρρωδεῖν κυρίως μὲν ἐπὶ τοῦ τῶν ἀλόγων δέους. πεποίηται δὲ παρὰ τὸ σείοντα τὴν οὐρὰν δηλοῦν τὸ δέος. ἢ παρὰ τὸ ἐγκρύπτειν τούτῳ τῷ μέρει τὰ αἰδοῖα κατὰ τὴν τοῦ δέους διάθεσιν. ἢ ὅτι τῶν φοβουμένων εἴωθεν ὁ ὄρρος πρῶτος ἱδροῦν. [ὀρρωδῶ λέγεται τὸ φοβοῦμαι, ἐκ μεταφορᾶς τῶν ζώων τῶν διὰ τῆς οὐρᾶς δεικνύντων τὸ δέος. εἴωθε γὰρ ταῦτα φοβηθέντα συνάγειν τὴν οὐρὰν ἐντὸς τῶν μηρῶν. ἢ ὅτι τῶν φοβουμένων εἴωθεν ὁ ὄρρος πρῶτος ἱδροῦν. Paris. ὄρρος δέ ἐστι τὸ ἐπάνω τῆς πυγῆς ὀστοῦν, ἐξ οὗ ἡ οὐρὰ τῶν ζώων φύεται. (ὃ καὶ ὀρροπύγιον λέγεται. Paris.) Junt. Paris.]

123. *ἄληθες*: Ἴσον ἐστὶ τῷ ὄντως. ἀξιοῦσι δὲ ὀξύνειν τὴν πρώτην, ὅταν τοῦτο δηλοῖ· ἔστι δὲ ἐπίρρημα θαυμασμοῦ, ἀντὶ τοῦ ἀληθῶς λέγεις.

125. *τοὺς κεραυνοὺς*: Τὰ μέγιστα ἀμυντήρια τοῦ Διός· ἐκ δὲ τούτων τὴν δύναμιν αὐτοῦ λέγει.

126. *κἂν μικρὸν χρόνον*: Τὸ κἂν δηλοῖ τὸ καὶ ἐάν· νῦν δὲ ἐπὶ τῆς συνηθείας, ὃ σπανίως εὕρηται.

4, 5. ὀρρωδῶ—μέρος om. R.

4. ὀρρωδῶ—ὄρρου om. V.

4, 5. ὅ ἐστι—μέρος infra post ἱδροῦν infert V. Sic etiam Suidas s. ὀρρωδεῖ, qui inter ἱδροῦν et ὅ ἐστι recte interponit, ἔστι δὲ τὸ φοβεῖσθαι, ἀπὸ τοῦ ὄρρου. Post μέρος autem V. pergit, ἄλλως. κυρίως ὀρρωδεῖν ἐπὶ τῶν ἀλόγων τῶν τὴν οὐρὰν σειόντων ἐν τῷ φοβεῖσθαι καὶ τὰ αἰδοῖα ἐπικρύπτειν (ἐπικρυπτόντων G.) μετὰ τῆς οὐρᾶς.

4. μεσοπύγιον] μεγοπάγειον G.

5. ὀρρωδεῖν κυρίως R.V. καὶ κυρίως Ald.

ib. μὲν om. V.

6. σείοντα] σείοντας V.

7. τούτῳ] ἐν τούτῳ R, non Suidas.

9. πρῶτος R. et Suidas. πρῶτον Ald. (quod ante εἴωθεν ponit V.) ἤγουν ὁ πρωκτὸς codex Taurin. 145. apud Peyron. annotat. ad Etym. M. p. 991. ἤτοι ὁ πρωκτὸς Junt.

ib. ἱδροῦν om. Junt.

13. ἡ οὐρὰ] υἱοῦ γὰρ Paris.

15–17. ἀντὶ τοῦ ὄντως ἀττικῶς R.

15. ἐστὶ add. V.

ib. τῷ] τὸ V.

15, 16. ἀξιοῦσι—δηλοῖ] ἀττικὸν δὲ τοῦτο. ἄληθες προπαροξυτόνως V. Cum Ald. consentit Suidas in ἄληθες.

16. δηλοῖ Suidas. δηλῇ Ald.

16, 17. θαυμασμοῦ—λέγεις V. θαυμαστικὸν καὶ προπαροξύτονον Ἀττικῶς Ald.

19. τούτων] τούτου V.

20. καὶ om. R.V.

ib. ἐάν· νῦν] ἐὰν νῦν R, omissis reliquis.

21. ὃ] ὡς V.

127. ἆ, μὴ λέγ᾽: Ἐπίρρημα ἐπιτιμητικόν. [ἐπίρρημα τοῦτο ἐκπληκτικόν. Dorv.] πόνηρε δὲ, ἤγουν γεωργὲ, ἢ ἄθλιε· εὕρηται γὰρ καὶ οὕτως μετατιθεμένου τοῦ τόνου Ἀττικῶς. [ὦ πονηρὲ: Ὅτι πόνηρος ὁ γεωργὸς ἀπὸ τοῦ πονεῖν. πόνηρος ὁ ἀσθενὴς ἀπὸ τοῦ αἴρειν πόνους. πόνηρος ὁ κακότροπος ἀπὸ τοῦ εἴρειν ἢ πλέκειν πόνους. Borg.]

[132. ὅτι μάρτυρος τάξιν ἀναπληροῖ ὁ δοῦλος. εἰπὼν δὲ ὁδί τὸν Πλοῦτον δείκνυσι. V.]

133. θύουσι δ᾽ αὐτῷ: Ὅπερ ἐπὶ τῶν δυναστευόντων ἀνθρώπων συμβαίνει, τοῦτο ἐπὶ τοῦ Διὸς μετήγαγεν. [θύω σφαγιάζω, ὡς τὸ θύω βοῦν, καὶ συντάσσεται αἰτιατικῇ. θύω δὲ ἀντὶ τοῦ θυσίαν ποιῶ, καὶ συντάττεται δοτικῇ. Paris. τουτονί: Τὸν Πλοῦτον δηλονότι. V.]

134. ἄντικρυς: Δι᾽ ἐναντίας, φανερῶς. ὁ δὲ ποιητὴς ἐκτεταμένως λέγει καὶ δίχα τοῦ σ, ἀντικρὺ δὲ παραὶ λαπάρην.

[136. ὅτι τί δή: Ἤγουν, πῶς ἂν τὸ τιμᾶσθαι τὸν Δία καὶ βασιλεύειν τῶν θεῶν παύσω; ἤγουν, πῶς ἄρα, ἢ διὰ τίνα τρόπον τοῦτ᾽ ἔλεξας. Junt. ἤγουν τὸ τιμᾶσθαι τὸν Δία καὶ βασιλεύειν τῶν θεῶν πῶς οὖν παύσει, ἀντὶ τοῦ διατί ἢ πῶς ἆρα. Paris. ὅτι τί δή: Διατί. Gl. Br. ἀντὶ τοῦ διὰ τί ἢ πῶς ἄρα. V.]

137. θύσειεν: Ὅτι καὶ ἐπὶ τοῦ θυμιάσαι τὸ θύειν. ἐπὶ μὲν γὰρ τοῦ βοὸς σφάξειεν, ἐπὶ δὲ τοῦ ψαιστοῦ θύσειεν. ψαιστὸν δὲ κυρίως ἄλευρον ἐλαίῳ δεδευμένον· καταχρηστικῶς δὲ καὶ τὸ πόπανον. [Ἄλλως. εἶδος πλακοῦντος ἐξ ἀλφίτων γενομένου. V.]

[138. ψαιστὸν: Ἔστιν ἄλευρον ἐλαίῳ δεδευμένον. ἔστι δὲ τὸ κοινῶς λαλάγκιον. Paris.]

139. ὅπως; οὐκ ἔσθ᾽ ὅπως: Τὸ πρῶτον ὅπως εἰ μὲν καθ᾽ ὑποστιγμὴν νοεῖς, ἀντὶ τοῦ πῶς νοήσεις· εἰ δὲ κατὰ ἀπόφασιν ἀντὶ τοῦ ὅτι.

1. Totum scholion om. R.G. Nihil præter ἐπιτιμητικὸν ἐπίρρημα habet V.
9, 10. Ὅπερ—τοῦτο V. ἅπερ—ταῦτα Ald.
15. καὶ add. R.
ib. τοῦ om. R.
ib. ἀντικρὺ δὲ παραὶ λαπάρην] ἀντικρὺ καὶ παραιλαπάρην R. ἀντικρὺ δηλονότι Ald. Locus Homeri est Il. Γ, 359.
17. τῶν θεῶν] τὸν θεὸν Junt. Correctum ex Paris.
21. καὶ add. V.
ib. μὲν γὰρ R.V. μέντοι Ald.
22. θύσειεν R. θυμιάσειεν Ald.
ib. ψαιστὸν δὲ κυρίως R.V. κυρίως δὲ ψαιστὸν Ald.
23. ἐλ. δ.] δ. ἐλ. V.
ib. δὲ om. V.
28. νοεῖς—νοήσεις] ἐρεῖς—νοεῖται Dorv.

[140. δήπουθεν: Ἀπό τινος πόρου. Gl. C.]

[141. τἀργύριον: Ἄργυρος ἡ οὐσία τοῦ ἀργύρου. ὥσπερ καὶ χρυσὸς ἡ οὐσία τοῦ χρυσοῦ. τὸ δὲ ἀπὸ τούτου κέρμα ἀργύριον καὶ χρυσίον. Paris.]

[142. καταλύσεις: καταλύω τὸ ἀφανίζω, καὶ διαλύω, ὃ καὶ μεταβαίνει συντασσόμενον μετὰ αἰτιατικῆς, ὡς κἀνταῦθα. καὶ ὁ Φάλαρις "εἰ βούλεσθε τὸν πρὸς ὑμᾶς καταλῦσαι πόλεμον." καταλύω καὶ τὸ ἀναπαύομαι ἀμεταβάτως, ἀφ' οὗ καὶ κατάλυμα, ἡ ἀνάπαυσις. Junt. τὴν δύναμιν—καταλύσεις: Τὴν βασιλείαν ἀφανίσεις, ἣν ἐκεῖνός σε λυπῇ. Paris.]

143. φήμ' ἐγώ: Ὅτε ἀναβιβάζεται ὀξεῖα, πάλιν ὀξεῖα ὀφείλει τίθεσθαι· οὐ μὴν περισπωμένη· ἄτοπον γάρ, ὥσπερ ἐνταῦθα τὸ φήμ' ἐγώ· καὶ τὸ χρήστ' ἔδρασε· καὶ τὸ δείν' ἄττα· καὶ τὰ τοιαῦτα. ἀλλὰ καὶ ὅτε περισπωμένη ἔν τινι λέξει κεῖται μονοσυλλάβως, εἰ μὲν πρὸ δύο συλλαβῶν ἐστι τόνος, ἐγκλινέσθω· οἷον, οὔτοι που σπουδὴν ποιεῖς, οὐκ ἔστι πω τὰ πράγματα ἐν τούτῳ· εἰ δὲ πρὸ τριῶν συλλαβῶν ἐστιν ὁ τόνος, ἄτοπον τὴν περισπωμένην ἀναβιβάζειν καὶ ὀξεῖαν ποιεῖν, ὡς ἐν τῷ, ἕνεκα σοῦ μύθους λέγει, καὶ τοῖς τοιούτοις· χρὴ γὰρ ἀκίνητον τηρεῖν τὴν περισπωμένην, καὶ μὴ διὰ τὸν πρὸς τὴν ἀνάγνωσιν κρότον ἄτοπά τινα καὶ ἀνάρμοστα πάνυ καινοτομεῖν· ἔνθα δὲ ἀνάγκη τίς ἐστι, καὶ οὐκ ἂν ἄλλως ἔχῃ ῥηθῆναι, οὐ καινόν ἐστι καινοτομῆσαί τι· οἷον ἐπὶ τοῦ μέμνηταί μου, καὶ τῶν τοιούτων. ἄνευ δ' ἀνάγκης τοιαῦτα καινοτομεῖν, οὔ μοι δοκεῖ λόγον ἔχειν.

[144. τὸ καλὸν ἐπὶ τοῦ ἐραστοῦ λέγεται, τὸ χάριεν ἐπὶ ἡδονῆς, τὸ δὲ λαμπρὸν ἐπὶ ὄψεως. Paris.]

[145. χάριεν: Οἱ Ἀττικοὶ πρὸ δύο ἀναπέμπουσι· τὸ δὲ πρὸ μιᾶς κοινὸν χαρίεν. R.V.]

[146. ἅπαντα τοῦ πλούτου ἐστὶν ὑπήκοα καὶ ὑποτεταγμένα. Ἄλλως. οὐδὲν γὰρ ἐν ἀνθρώποις ἄνευ ἀργυρίου πράττεται. V.]

6. Φάλαρις] Epist. 5.
11–24. Scholion recentissimum, quod non exstat in R.V.
15. οὔτοι (scr. οὔτι) που] Ran. 525.
16. οὐκ] Plut. 399.
18. ἕνεκα] Plut. 177.
22. οὐ καινόν] Etsi non improbem, malo tamen οὐκ ἄκαιρον. HEMST.
27. Οἱ Ἀττικοὶ] οἱ γὰρ ἀττικοὶ G. οὐ γὰρ ἀττικοὶ V.
ib. ἀναπέμπουσι] Intelligit τὸν τόνον.
28. κοινὸν om. G.

[τῷ πλουτεῖν: Τῷ πλούτῳ. Gl. Paris.]

147. διὰ μικρὸν ἀργυρίδιον: Καλῶς τὸ μικρόν. οὔτε γὰρ πολυτίμητοι οὔτε ἀξιόπιστοι οἱ δοῦλοι. ἐξηυτέλισε δὲ ἑαυτὸν πρὸς τὸ ἐπιτυχεῖν τοῦ σκοποῦ. διαφέρει δὲ ἡ ἔγωγε τῆς ἐγὼ τῷ τὴν μὲν ἔγωγε ἐπὶ ἀρχῆς μόνον τίθεσθαι, καί ἐστιν Ἀττική· τὴν δὲ ἐγὼ καὶ ἐν τῇ ἀρχῇ καὶ μεταξὺ, καί ἐστι κοινή. τὸ δὲ ἴσως ἢ διστακτικὸν, ἢ ἐπίσης τοῖς ἄλλοις. [τὸ δὲ "γε τοι" ἢ ἀντὶ τοῦ δέ, ἢ ἀντὶ τοῦ γάρ, ὃ καὶ κρεῖττον. εὕρηται δὲ καὶ ἐν πολλοῖς τῶν λογοποιῶν, ὡς ἐξετάζων εὑρήσεις. Λιβάνιος γάρ φησι "σὺ δὲ οὕτω πικρὸς, ὥστε καιροῦ "παραπεσόντος ἐτιμωρήσω. Ἰούλιός γέ τοι τῶν μὲν ἄλλων γράμ"ματα ἐκόμισε, παρὰ σοῦ δὲ σιγῆς αἰτίαν." Junt.]

[148. δοῦλος γεγένημαι: Πρότερον ὢν ἐλεύθερος. R.]

[149. τάς γ' ἑταίρας: Δηλοῖ ὡς ἀπὸ τῆς Λαΐδος· Κορινθία γὰρ ἦν. τὰ δὲ ὀνόματα αὐτῶν Λαῒς, Κυρήνη, Λέαινα, Σινώπη, Μυρρίνη, Σκιώνη. R. τὰς πόρνας· πολλαὶ γὰρ ἐν Κορίνθῳ εἰσὶ πόρναι, Σινώπη, Λαῒς, Κυρήνη, Λέαινα. ἄλλοι δὲ λέγουσιν ἐπισήμους πόρνας ἐν Κορίνθῳ εἶναι. τὸ δὲ πειρῶν ἀντὶ τοῦ πειράζων ἐστὶ καὶ παρακαλῶν. V.] πόρνας. Λαῒς, Κύρκη, Λέαινα, Σινώπη, Πυρήνη, Σικιώνη. Gl. Paris. ἡ Λαῒς πρώτη ἑταιρὶς ἐν Κορίνθῳ. Dorv.]

150. πειρῶν: Προσβάλλων ἢ συνουσιάζων. τοῦτο γὰρ δηλοῖ τὸ πειρῶν. R. δοκιμάζων, προσβάλλων. Gl. Paris.]

2. πολυτίμητοι] πολύτιμοι V.

3–7. ἐξηυτέλισε—τοῖς ἄλλοις om. R.

3. ἐξηυτέλισε] ἐξευτελίζει V.

4–6. διαφέρει—τοῖς ἄλλοις om. V. ib. Hæc in codice Parisino versui 128. adscripta ita leguntur: ἰστέον ὅτι ἔγωγε ἀντωνυμία διαφέρει τοῦ ἐγώ. τὴν μὲν ἔγωγε ἐπὶ ἀρχῆς μόνον τίθεσθαι, καί ἐστιν ἀττικόν· τὴν δὲ ἐγὼ ἐπὶ ἀρχῆς μεταξὺ, καί ἐστι κοινόν.

6. διστακτικὸν] Ita reposui, præeunte Kustero, pro διαστατικόν. Apollon. de Synt. 3. p. 261. ὑποτακτικὴν ἔγκλισιν ab aliis appellari διστακτικὴν tradit: διστακτικῶς Ammon. in Βούλει. HEMST.

9. Λιβάνιος] Epist. 1044.

13. Ad v. 149. Ald. ἐπίσημοι ἐν Κορίνθῳ ἑταῖραι μνημονεύονται Λαῒς, Κυρήνη, Λέαινα, Σινώπη, Πυρρίνη, Σικυώνη. Στράβων δὲ ἐν ὀγδόῳ τῶν γεωγραφουμένων εἶναί φησιν ἐν Κορίνθῳ Ἀφροδίτης ἱερὸν, ἐν ᾧ πλεῖν ἢ χιλίας ἑταιρίδας ἀφωσιωμένας τῇ θεᾷ προκεῖσθαι τοῖς βουλομένοις, ἕκαστον τῶν ἀφικνουμένων ὑπαγούσας, μηδένα μέντοι τῶν μὴ βίῳ διαφερόντων προσιεμένας· ὅθεν τὸ λεγόμενον πεπαροιμιάσθαι, "οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθόν ἐσθ' ὁ πλοῦς." Φωκίων (corrige Σωτίων) δὲ ὁ περιπατητικὸς ἐν τῷ κέρατι τῆς Ἀμαλθείας Δημοσθένην ἱστορεῖ, Λαΐδος αὐτὸν μυρίας δραχμὰς αἰτησαμένης εἰς μισθὸν παννυχίδος, "οὐκ ὠνοῦμαι" φάναι "μυρίων δραχμῶν μεταμέλειαν." περὶ δὲ Λαΐδος ἐν τοῖς ἑξῆς ἀκριβέστερον εἰρήσεται. quæ om. R.V. Scholion recentissimi grammatici, compositum ex Strabone 8. p. 378. et Gellio 1, 8.

14,15. Μυρρίνη, Σκιώνη] πυρρίνη, σκιώπη R. Conf. Suidam s. ἑταῖραι Κορίνθιαι.

17. πειράζων ἐστὶ] ἐστὶ om. G.

151. *οὐδὲ προσέχειν τὸν νοῦν*: Οὐ μόνον ὅτι οὐ θέλουσι σὺν αὐτοῖς βιῶσαι, ἀλλ' οὐδὲ προσδιαλέγονται. [*προσέχειν τὸν νοῦν*: Προσκολλᾶν τοῖς λεγομένοις ἐκείνῳ δηλονότι. Gl. Paris.]

152. [*τὸν πρωκτὸν*: Ἤγουν εὐθὺς εἰς αὐτὸν τὸν πειρῶντα τρέχειν καὶ περιπλέκεσθαι Gl. Paris.] *τὸν πρωκτὸν αὐτάς*: Πρὸς τὸ ἐρεθίζειν αὐτούς. ἄτοπον δὲ τὴν γυναῖκα τὸ ἔμπροσθεν μόριον ἐπισείειν. σφόδρα δὲ ἄσεμνον τὸ βαδίζουσαν ἐγκρούειν τῷ πρωκτῷ. [*πρωκτὸν*: Κῶλος. Gl. Dorv.]

[153. *κεκράτητο παρὰ τοῖς παλαιοῖς ἡ τιμωρία τῆς παιδικῆς φύσεως ἀσχημοσύνης. διὸ καὶ οἱ ἐρωτικῶς γεγραφότες περὶ παίδων ἔτυχον διὰ βίου.* V.]

[153. *ἐνταῦθα διασύρει τὴν τῶν Ἀθηναίων διαγωγὴν, ὅτι ἦσαν ἀρσενοκοῖται καὶ φαῦλοι.* Dorv.]

154. *οὐχ ὅτι ἀγαπῶσιν αὐτούς· ἄπιστοι γάρ εἰσιν.* R.V.]

[155. Χρηστοὺς: Οὐ τοὺς σεμνοὺς καὶ ἐπιεικεῖς φασι τοῦτο ποιεῖν, ἀλλὰ τοὺς ἀσελγεῖς τοὺς ἀναιδῶς τὸ κακὸν πράττοντας. Gl. Paris.]

[*ὅτι ἀρσενικῶς ὁ πόρνος καὶ θηλυκῶς· ζητείσθω δὲ εἰ καὶ οὐδετέρως. πόρνοι λέγονται οἱ κακὰ βουλευόμενοι κατά τινων ἀνθρώπων, διὰ τὸ πονεῖν αὐτοὺς ποιεῖν οἷς κακά τινα βουλεύονται.* V.]

156. [*αἰτοῦσιν*: Αἰτοῦμαι τὸ αὐτὸ, ὥσπερ ποιῶ καὶ ποιοῦμαι· πλὴν ὅτι τὸ μὲν αἰτῶ τὸ ἁπλῶς ζητῶ, τὸ δὲ αἰτοῦμαι τὸ μεθ' ἱκεσίας. Junt.]

τί δαί: Σύνδεσμος ἐρωτηματικός· διὰ τὴν ἔκτασιν δὲ διφθόγγου γράφεται.

[157. *ἵνα ὁ μὲν ἱππικὴν, ὁ δὲ θηρευτικὴν μεταδιώκει. ἀγαθὸν*

1. Οὐ μόνον ὅτι] ὅτι οὐ μόνον G.

ib. οὐ θέλουσι σὺν αὐτοῖς βιῶσαι, ἀλλ' οὐδὲ προσδιαλέγονται V. οὐ προσδιαλέγονται, ἀλλ' οὐδὲ ὁρῶσι σχεδόν R. Ald.

5. τὸν πρωκτὸν αὐτὰς: Πρὸς τὸ ἐρεθίζειν] ἀντὶ τοῦ ἐρεθίζειν R. τὸ δὲ τρέπειν ἀντὶ τοῦ ἀντερεθίζειν V.

7. σφόδρα] οὐ σφόδρα R.V.

ib. ἄσεμνον R. ἄσημον V. Ald. ἄσχημον Kusterus.

ib. τὸ βαδίζουσαν add. R.V.

10. ἀσχημοσύνης] ασχημοσ/ V.

ib. ἐρωτικῶς] ἱερωτικῶς V.

12. ἦσαν Hemst. οὖσαν Dorv.

14. ἄπιστοι] ἄπειστοι G.

17. ὅτι ἀρσενικῶς ὁ πόρνος] τοὺς πόρνους ἀρσενικῶς R.

18, 19. πόρνοι—βουλεύονται om. R.

19. κακά τινα] κατά τινα V.

20. Aliam differentiam τοῦ αἰτῶ et αἰτοῦμαι tradit Ammonius v. αἰτῶ, quem vide. KUST.

23. τὴν ἔκτασιν δὲ V. δὲ τὴν ἔκτασιν Ald. δὲ om. R.

ib. διὰ διφθόγγου γράφεται] διὰ διφθόγγου γράφουσι V. διὰ διφθόγγου γραφῶν R. διφθογγογραφεῖται Ald.

δὲ ἄγαν θέοντα. V. . . . . . *ἵππου· ὁ δὲ θηρευτικὴν . . . . . διώκῃ. λόγῳ ἑτέρῳ διὰ τὸ αἰτεῖν ἵππον ἢ τοιοῦτόν τι.* R. *ἀγαθὸν: Ἐπιτήδειον εἰς δρόμον, ἤγουν ἄγαν θέοντα, ἀρετὴ γὰρ ἵππου τοῦτο.* Gl. Paris.]

[158. *αἰσχυνόμενοι: Αἰσχύνομαι ἐγὼ ἀμεταβάτως· αἰσχύνω δὲ ἕτερον.* Paris.]

159. [*ὀνόματι: Ἵππου ἢ ἄλλου τινὸς καλύπτουσι τὴν κακίαν.* Dorv. *ὀνόματι: Τοῦ ἵππου.* Gl. Paris.] *περιπέττουσι: Διὰ τὸ τῷ προσθέτῳ κοσμεῖσθαι κόσμῳ. ὁ αὐτὸς Θεσμοφοριαζούσαις·*

ὅσ' ἦν περίεργ' αὐταῖσι τῶν φορημάτων,
ὅσαις τε περιπέττουσιν αὐτὰς προσθέτοις.

μοχθηρίαν δὲ τὴν τοῦ ἀργυρίου ἐπιθυμίαν, ἢ τὴν τῆς αἰτήσεως τοῦ ἀργυρίου. τὸ δὲ περιπέττειν ἤτοι ἀπὸ τοῦ παραπετάσματος εἴρηται, ἢ ἀπὸ μεταφορᾶς τῶν τῇ ζύμῃ τὰ ἄλφιτα περιλαμβανόντων καὶ τούτοις περικαλυπτόντων τινά. ἐκεῖνοι γὰρ τὰ καταλιμπανόμενα ἀφ' ἑκάστου ἄρτου μιγνύντες ποιοῦσιν ἄρτον. φησὶν οὖν ὅτι εἰώθασι καταχρῆσθαι τῷ ὀνόματι τοῦ ἵππου εἰς τὴν μοχθηρίαν. [*Ἄλλως. περιβάλλουσι τὴν μοχθηρίαν, ὡς τὴν φιλαργυρίαν κοσμῆσαι. περικαλύπτουσι καὶ ἀφανίζουσι καὶ διά τινος ὀνόματος περικαλύπτουσι τὴν ἀσέλγειαν.* V. *δι' ὀνόματος ἑτέρου περικαλύπτουσι τὴν ἐπιθυμίαν τοῦ ἀργυρίου.* Gl. Br. *περιπέττουσι: Σκέπουσι.* Gl. Paris. *μοχθηρίαν: Τὴν τοῦ ἀργυρίου ἐπιθυμίαν, τὴν βδελυρίαν καὶ τὴν κακίαν αὐτῶν.* Gl. Paris.]

160. *τέχναι δὲ πᾶσαι διὰ σὲ: Οἷον μηχαναί, πλοίων κατασκευαί.*

9. *Διὰ τὸ τῷ προσθέτῳ] οὕτω τῷ πρόσθε τῷ* V, non male, si scribatur *οὕτω τὸ τῷ προσθέτῳ.* Totum scholion om. R.

ib. *θεσμοφοριαζούσαις* V. *θεσμοφόροις* Ald. Vid. fragm. 310.

11. *ὅσ' ἦν περίεργ'* Hemst. apud Dobræum et, ut videtur, V. *ὃς ἦν περίεργος* Ald.

12. *ὅσαις τε* Porsonus et, ut videtur, V. *ὅσαι ἔτι* Ald.

ib. *αὐτὰς* Toupius. *ἑαυτὰς* V. Ald.

ib. *προσθέτοις] πρόσθε* V. Sequitur in Ald. *ἢ περιπέττουσιν ἀντὶ τοῦ περικαλύπτουσι τὴν ἀσέλγειαν,* quæ om. V.

14. *τὸ δὲ περιπέττειν] περιπέττειν δὲ* V.

15. *ἀπὸ μεταφορᾶς τῶν τῇ ζύμῃ* V. *ἀπὸ τῶν ζύμῃ* Ald.

ib. *καὶ* om. V.

16. *ἐκεῖνοι* V. *εἰώθασι* Ald.

17. *ποιοῦσιν* V. *ποιεῖν* Ald.

ib. *φησὶν* V. *δοκεῖ* Ald.

17, 18. *εἰώθασι—μοχθηρίαν]* Suidas s. *περιπέττειν.*

18. *ἵππου]* Respicit ad v. 157.

25. *Οἷον μηχαναὶ] οἱ μηχανοποιοὶ* V.

ib. *πλοίων κατασκευαί] πλοίου κατασκευή* R. *πλοίων καὶ ἄλλων τινῶν* V.

[τέχναι λέγονται τὰ τῶν ἀνθρώπων σοφίσματα, οἷον χαλκευτικὴ καὶ τεκτονικὴ, χρυσοχοϊκὴ καὶ ὅσαι ἄλλαι τοιαῦται. τέχνη λέγεται καὶ ἡ μηχανὴ, καὶ ὁ δόλος, ἀφ' ἧς καὶ τεχνάζομαι ἀντὶ τοῦ δολιεύομαι καὶ μηχανῶμαι. σοφίσματα δὲ λέγουσι Θ. Junt.] τὰ διὰ λόγων μαθήματα. [τέχναι λέγονται τὰ τῶν ἀνθρώπων ἐπιτηδεύματα, χαλκευτικὴ, χρυσοχοϊκὴ καὶ ὅσα τὰ τοιαῦτα. τέχνη λέγ. καὶ ἡ μ. κ. ὁ δ. ἀφ' ἧς τεχνάζομαι λέγεται ἀντὶ τοῦ δολιεύομαι καὶ μηχ. σοφίσματα τὰ διὰ λόγων μαθήματα.— σοφίσματα ἐφευρέσεις τεχνῶν ἢ εἰδῶν μὴ προϋπαρχόντων. οὐ γὰρ πάντα ἦν εὑρημένα. Paris. τέχναι: Ἐπιστῆμαι. σοφίσματα: Ὑπὸ σοφίας μηχανήματα. Gl. Paris.

161. ἔσθ' εὑρημένα: Τὴν σύνταξιν πρὸς τὸ οὐδέτερον τελευταῖον ἀπέδωκε· λέγω δὴ, τὸ εὑρημένα πρὸς τὸ σοφίσματα. [εἰσὶν ἐπινενοημένα. ἕνεκα τοῦ λαβεῖν τι δηλονότι. Gl. Paris.]

162. σκυτοτομεῖ: Ἀντὶ τοῦ σκυτοτόμος ἐστὶ, ὁ τέμνων τὰ σκύτη. Gl. Paris. ὑποδήματα ῥάπτει. V.]

163. χαλκεύει: Χαλκεύς ἐστι. τεκταίνεται: Τέκτων ἐστί. Gl. Paris.]

[164. χρυσοχοεῖ: Χρυσοχόος ἐστὶ, χρυσὸν ἀπὸ σοῦ δεξάμενος. Gl. Paris.]

[165. Τὰ ἱμάτια συλῶν· λῶπος γὰρ τὸ ἱμάτιον λέγεται. ὁ δὲ τοιχωρυχεῖ· μειδιασμοῦ ἕνεκα παραπλέκει ἅμα τὰ γελοῖα καὶ τὰ ἀστεῖα. R. λωποδυτεῖ: Κλέπτης ἐστὶ συλῶν τὰ ἱμάτια. τοιχωρυχεῖ: Τοίχους οἴκων διορύττει, τὰ ἐντὸς τούτων ὑφαιρεῖσθαι σπουδάζων. Gl. Paris. τρυπᾷ τοῖχον. Gl. Dorv.]

166. κναφεύει: [Διαφόρως μὲν διὰ τοῦ κ, διὰ τὴν ἐν τῇ κνήστι ξέσιν. γναφεύει δὲ παρὰ τὴν τοῦ φάρους γνάψιν. Ἄλλως. V.]

1–5. τέχναι λέγονται—μαθήματα habet Θ.

1. καὶ τεκτονικὴ, χρυσοχοϊκὴ καὶ Θ. τεκτονικὴ καὶ Junt.

4. λέγουσι add. Θ.

5. μαθήματα R.V.Θ. Junt. μαθήματα πάντα Ald.

12. ἔσθ' εὑρημένα: Τὴν σύνταξιν πρὸς] εὕραμεν κατὰ σοφίσματα. τὴν σύνταξιν δὲ παρὰ V.

13. λέγω V. λέγε Ald.

ib. πρὸς τὸ] κατὰ V.

16. ὑ. ῥάπτει om. G.

21. ἀντὶ τοῦ πλέκει. μειδιασμοῦ δὲ ἕνεκεν περιπλέκει ἅμα τὰ γέλοια καὶ τὰ ἀστεῖα. (hæc om. G.) λωποδυτεῖ ἀντὶ τοῦ ἱμάτια συλᾶται· λώπη γὰρ τὸ ἱμάτιον V.

24. ὑφαιρεῖσθαι Bastius. ὑφαίρεσθαι Paris.

26. Lemma ὁ δὲ κναφεύει habet R.

27. τοῦ φάρους] τῶν φαρῶν G.

Ἀττικὸν μὲν τὸ διὰ τοῦ κ, κοινὸν δὲ τὸ διὰ τοῦ γ. οἱ παλαιοὶ δὲ Ἀττικοὶ διὰ τοῦ κ παρὰ τὸ κνάφος. ἔστι δὲ ἀκανθῶδές τι, ᾧ ξύουσι τὰ ἱμάτια. οἱ δὲ νεώτεροι διὰ τοῦ γ παρὰ τὴν γνάψιν. κναφεὺς μὲν παρὰ τὸ κνῶ, ὃ σημαίνει τὸ ξύω. Ὅμηρος "ἐπὶ δ' αἴγειον κνῆ τυρὸν κνήστι χαλκείῃ." γναφεὺς δὲ παρὰ τὴν τοῦ φάρους γνάψιν, ἥτις ἐστὶ παρὰ τὸ γάνος τὸ λαμπρόν. [κναφεύει: Γναφεύω, τὸ τὰ δέρματα ξέω. γναφεῖον, ὁ τόπος, ὥσπερ κουρεῖον. γνάφαλλα, τὰ ἀποξέσματα. καὶ γναφεὺς, ὁ γνάφων. ἀπὸ τοῦ γνάφω, γναφεύω· ἄρδω, ἀρδεύω. πάντα οἱ Ἀττικοὶ ταῦτα διὰ τοῦ κ γράφουσι. — τὸ κναφεύει Ἀττικῶς διὰ τὸ κ. κοινῶς διὰ τὸ γ. κνάφος ἐστὶν ἀκανθῶδες φυτὸν, ᾧ ξύουσι τὰ ἱμάτια. τὸ διὰ τοῦ γ, παρὰ τὴν γνάψιν· τὸ δὲ διὰ τοῦ κ, ἀπὸ τοῦ κνῶ, τὸ ξύω, γίνονται. καὶ Ὅμηρος "ἐπὶ δ' αἴγειον κνῆ τυρόν." γναφεὺς δὲ παρὰ τὴν τοῦ φάρους γνάψιν, ἥτις ἐστὶ παρὰ τὸ γάνος, τὸ λαμπρόν. Schol. cod. C. Ἀττικόν ἐστι τὸ κναφεύειν, ἤγουν πλύνειν, παρὰ τὸ καινὰ φαίνειν τὰ λευκανθέντα. οἱ δὲ νεώτεροι καὶ γναφεύειν γράφουσι, παρὰ τὸ γάνος, τὸ λαμπρόν. Cant. 2. 3. 4. κναφεὺς μὲν ἐπὶ ἱματίων λέγεται· γναφεὺς δὲ ἐπὶ δερμάτων. Taur. κναφεύει: Διὰ τοῦ κνάφου τὰ ἱμάτια καλλωπίζει. ἔστι δὲ κνάφος εἶδος ἀκάνθης. Gl. Paris. βάπτει ἢ λευκαίνει. Gl. Dorv. κώδια: Δέρματα. Gl. Paris.]

1. Ἀττικὸν μὲν τὸ διὰ τοῦ] οἱ ἀττικοὶ διὰ τοῦ V. τινὲς ἀττικοὶ τὸ διὰ τοῦ R.

ib. δὲ τὸ διὰ] δὲ διὰ V.

ib. οἱ παλαιοὶ—] Alius scholiastæ verba, quæ inserto δὲ post παλαιοί cum præcedenti scholio sunt conjuncta.

2. δὲ Ἀττικοὶ] ἀττικοὶ δὲ V.

ib. παρὰ τὸ add. R.V.

ib. δὲ ἀκανθῶδές τι, ᾧ] δὲ καὶ ἀκανθῶδες κνάφος, ᾧ V. Vulgatam scripturam habet Harpocratio s. γναφεύς.

3. γνάψιν] Sequentia om. R, V. autem sic pergit, πλύνει τὰ δέρματα σὺν ἐρίοις κναφεὺς, παρὰ τὸ κνῶ, ὅ ἐστι ξύω. Ὅμηρος—χαλκείῃ. οἱ παλαιοὶ δὲ ἀττικῶς διὰ τοῦ κ. ἔστι δὲ ἀκανθῶδες, ᾧ ξύουσι δέρμα προβάτου.

4. μὲν] μὲν οὖν Harpocratio.

ib. Ὅμηρος Il. Λ, 638.

5. κνῆ] κνεῖ V.

ib. κνήστι] κνήστει V. καὶ κνήστῃ Ald. Correctum ex Homero.

6. γάνος] Suidas γανὸν adjective: quod satis placet; sed alterum est frequentioris usus. Γνάπτειν autem oriri a γάνος, non intercedo, quin pro futili grammaticorum nugacium commento explodatur. De commutatione τῶν γ et κ in hisce vocibus egi ad Lucian. Δ. Φων. p. 86. HEMST. γάνος Harpocratio.

17. Scholion Taurinense edidit Peyron. ad Etym. M. p. 923.

[167. ἕτερος δὲ τὰς βύρσας ἕψει. λέγονται δὲ βύρσαι τὰ δερμάτια τῶν βοῶν. Gl. Paris.]

168. [ἁλοὺς: Κρατηθείς. Gl. Paris.] διὰ σέ γε, ὦ Πλοῦτε, ὁ ἁλούς γε μοιχὸς παρατίλλεται, ἵνα δοὺς χρυσὸν ἀπολυθῇ. λέγει οὖν, ὅταν ὁ μοιχὸς μὴ ἔχῃ ἀργύριον, διὰ σὲ, ὦ Πλοῦτε, παρατίλλεται. παρατίλλουσι γὰρ ἵνα λάβωσι χρυσὸν καὶ ἀπολυθῶσιν. Ἄλλως. διασείεται, τὰς τρίχας τοῦ πρωκτοῦ τίλλεται· αὕτη γὰρ ὥριστο δίκη τοῖς μοιχοῖς πένησιν, ἀποραφανίδωσις καὶ παρατιλμοί. οἱ γὰρ πλούσιοι χρήματα παρέχοντες ἀπελύοντο. παρατίλλεται οὖν, φησι, διὰ τὸ ἀπορεῖν σοῦ καὶ μὴ δύνασθαι χρήμασι λυτροῦσθαι τὴν φυγήν. δημοσίᾳ γὰρ ταῦτα ἔπασχον. [παρατίλλεται: Ἤγουν τὰς περὶ τὸν πρωκτὸν τρίχας ἀφαιρεῖται. Gl. Paris. ἤγουν διὰ τὸ μὴ ἔχειν ἀργύριον δοῦναι εἰς ἀπαλλαγὴν, τὰς ὑπογαστρίους παρατίλλεται τρίχας, καὶ τέφραν ζέουσαν περιπάσσεται. Paris.]

170. μέγας δὲ βασιλεὺς: Τὸν τῶν Περσῶν λέγει· οὕτως γὰρ ἔλεγον αὐτὸν διὰ τὸ πλείονι δυνάμει χρῆσθαι τῇ Περσικῇ. κομᾷ δὲ εἶπεν, τουτέστι, σεμνύνεται τῇ περιουσίᾳ τῆς ἀρχῆς, ἀπὸ τῶν μέγα φρονούντων τῇ κόμῃ.

[μέγας βασιλεὺς: Τὸν τῶν Περσῶν βασιλέα, ὡς πάσης τῆς Ἀσίας ἄρχοντα, μέγαν ἐκάλουν. Paris.]

[κομᾷ: Ἐπαίρεται, θάλλει. Gl. Paris. κομᾷ τις ἀντὶ τοῦ κόμην ἔχει. καὶ κομᾷ τις τῷ πλούτῳ, καὶ κομᾷ τις διὰ τὸν πλοῦτον. Paris.]

171. ἐκκλησία δὲ: Ἵνα πόρον εὕρῃ χρημάτων. ἐκκλησιάζομεν

3–6. διὰ σέ γε — ἀπολυθῶσιν. Ἄλλως V. παρατίλλεται: Ἔθος ἦν τὸν ἁλόντα μοιχείας παρατίλλεσθαι, ἵνα δοὺς ἀργύριον ποινῆς (ποινὴν Hemst.) λυθῇ. παρατίλλεται οὖν Ald.

7–11. διασείεται—ἔπασχον] Hæc habet R. et Suidas s. παρατίλλεται.

7. τοῦ om. V, habet G.

ib. τίλλεται] διατίλλεται Suidæ codex Paris. παρατίλλεται cod Leid. διασείεται ed. Mediol.

8. πένησιν hic omittit et τοῖς πένησιν post παρατιλμοί habet Suidas: quod præstat.

ib. παρατιλμοί R.V. et Suidas. παρατιλμός Ald.

10. ἀπορεῖν σου καὶ add. R.V. Suidas, οἱ δὲ ἀποροῦντες μὴ δυνάμενοι χρήμασι λυτροῦσθαι τὴν φυγὴν δημοσίᾳ ταῦτα ἔπασχον.

ib. τὴν φυγήν om. R.

11. δημοσίᾳ γὰρ ταῦτα] ταῦτα δὲ δημοσίᾳ R.

ib. ἔπασχον] ἔπασχε V.

15. τῶν et λέγει om. R.

ib. οὕτως γὰρ ἔλεγον om. V. Solum γὰρ om. R.

16. τῇ add. R.

ib. τῇ Περσικῇ] πέρσαις V.

16–18. κομᾷ—κόμῃ om. R.V.

23. Ἵνα—χρημάτων om. R.

23 – p. 87. l. 2. ἵνα—τριώβολον om. V.

γὰρ ἢ τῶν ἰδίων τὶ σῶσαι βουλόμενοι, ἢ τῶν ἀλλοτρίων σφετερίσασθαι. διαβάλλει δὲ τὸ ἐπὶ φιλοδικίᾳ τῶν Ἀθηναίων τριώβολον. [διώβολον γὰρ ἐδίδοτο εἰσιοῦσιν εἰς τὴν ἐκκλησίαν βουλεύεσθαι περὶ πόρων. διαβάλλει δὲ τὸ φιλόδικον τῶν Ἀθηναίων. V.]

[ἐκκλησία: Ἡ συνέλευσις κριτῶν. Gl. Dorv. ἐκκλησία γίγνεται: Συνάθροισις ἵσταται. Gl. Paris. ἐλάμβανον γὰρ οἱ δικάζοντες καθ' ἑσπέραν τριώβολον. Paris.]

172. τὰς τριήρεις: Οἱ γὰρ εὔποροι τῶν τριηραρχῶν πλείονας ναύτας ἔτρεφον, καὶ διὰ τοῦτο ἐπλήρουν τὰς ναῦς, οἱ δὲ πένητες οὐδαμῶς.

[τριήρεις: Τὰς ναῦς τὰς ἐχούσας τρεῖς κώπας, ὅ φασι κοινῶς τριτζέριον. Gl. Θ.]

[πληροῖς: Πεπληρωμένας ναυτῶν δεικνύεις. Gl. Paris. ὁ γὰρ τῶν ναυτῶν μισθὸς καὶ τὰ τούτων ἐφόδια ἐκ πλούτου γίνεται. Paris.]

173. τὸ δ' ἐν Κορίνθῳ: Φασὶ τοὺς Κορινθίους διὰ τὸ τῶν Ἀθηναίων ἐπικρατὲς συμμαχίᾳ κεχρῆσθαι τῇ ξενικῇ δυνάμει. ἦν δὲ καταστήσας ἐν Κορίνθῳ τοὺς ξένους Κόνων ὁ Ἀθηναίων στρατηγὸς, καθελὼν Λακεδαιμονίους, ὅπως φυλάττοι τὴν ἔφοδον αὐτῶν. Ἄλλως. ὡς τῶν Ἀθηναίων δι' ἑαυτῶν μὴ βουλομένων πολεμεῖν πρὸς Κορινθίους διὰ τὸν κίνδυνον, μισθουμένων δὲ ξένους εἰς τὸν πόλεμον καὶ τρεφόντων αὐτούς. τοῦτο δὲ ἐν τοῖς πολλοῖς τῶν πολέμων διεπράττοντο. Ἄλλως. ὡς ἀεὶ ξενικόν τι ἐχόντων Κορινθίων, καὶ οὐχ ὡς ἔνιοι κατὰ τὸν χρόνον τοῦτον· δῆλον δὲ ἐκ τοῦ ἐν δευτέρῳ φέρεσθαι, ὃς ἔσχατος

2. φιλοδικίᾳ R. et Suidas in ἐκκλησίαν. φιλονεικίᾳ Ald. Permiscet scholiasta mercedem judicum cum mercede concionis populi.

4. τὸ φιλόδικον] τὸ φιλοδίκαιον V. Scribendum τὸ φιλόδικον fuit aut τὴν φιλοδικίαν.

8, 9. Habet R.

9. οὐδαμῶς V. οὐδαμοῦ Ald.

10. Τὰς ναῦς—κώπας] Hæc etiam Paris. habet.

11. τριτζέριον] Correxi codicis scripturam τριττέριν. τριτζέριον et διτζέριον ex Moschopulo et Niceta Choniata memoravit Ducangius.

14–17. Φασὶ τούς—αὐτῶν. Ἄλλως ex V. hoc loco posui, omissis quæ similia infra post ἔτρεφον Κορίνθιοι exhibet Ald. φασὶ δὲ αὐτοὺς ὑφορωμένους Ἀθηναίους ξενικὸν τρέφειν συμμαχίας χάριν. ἦν δὲ καταστήσας τοὺς ξένους ἐν Κορίνθῳ Κόνων—αὐτῶν.

15. συμμαχίᾳ κεχρῆσθαι G. συμμαχίαν κεκτῆσθαι V.

18. ὡς τῶν Ἀθηναίων etc.] Ex adnotatione tota nihil aliud quam hæc priora usque διεπράττοντο Suidas in lexicon s. ξενικόν retulit, forma tantum orationis mutata. HEMST.

19. ξένους] κορινθίους V. (ξένους supra) κορινθίους G.

21, 22. ἔνιοι—χρόνον V. ἰδίως—καιρὸν Ald.

22. φέρεσθαι V. et Portus. φέρεται Ald.

ib. ὃς Portus. ὡς V. ὁ Ald.

ib. ἔσχατος] ἔσχατον V.

ἐδιδάχθη ὑπ' αὐτοῦ εἰκοστῷ ἔτει ὕστερον· εἰ μὴ, ὅπερ εἰκὸς, ἐκ τοῦ δευτέρου Πλούτου τοῦτο μετενήνεκται. ἐκεῖ γὰρ ὀρθῶς ἔχει. ἤδη γὰρ ὁ Κορινθιακὸς πόλεμος συνέστη τρισὶν ἢ τέτρασιν ἔτεσι πρότερον τοῦ Ἀντιπάτρου, ἐφ' οὗ ἐδιδάχθη, καὶ τὸ συμμαχικὸν ἐπανήθροιστο ἐν Κορίνθῳ· τὸ δὲ Λακεδαιμόνιον ἐν Σικυῶνι. Ἄλλως. μετὰ τὸν πόλεμον τὸν Πελοποννησιακὸν καὶ αὐτοὶ οἱ σύμμαχοι τῶν Λακεδαιμονίων συνεκρότησαν πόλεμον κατ' αὐτῶν· συνέλαβον δὲ αὐτοῖς Ἀθηναῖοι, καὶ ἔσχον τὴν Κόρινθον ὁρμητήριον, εἰς ἣν ἔπεμψαν ξενικὸν στράτευμα, καὶ αὐτοὶ ἔτρεφον αὐτό. τοῦ δὲ στρατεύματος ἦρχεν Ἰφικράτης ὁ στρατηγός. [Ἄλλως. τούτου καὶ Δημοσθένης ἐν α' Φιλιππικῶν μέμνηται "ὅτι καὶ πρότερόν ποτ' ἀκούω ξενικὸν τρέφειν ἐν "Κορίνθῳ τὴν πόλιν, οὗ Πολύστρατος ἡγεῖτο καὶ Ἰφικράτης καὶ "Χαβρίας καὶ ἄλλοι τινὲς, καὶ ὑμᾶς αὐτοὺς συστρατεύεσθαι· καὶ "οἶδα ἀκούων ὅτι Λακεδαιμονίους παραταττόμενοι μεθ' ὑμῶν ἐνίκων "οὗτοι οἱ ξένοι καὶ ὑμεῖς μετ' αὐτῶν." V.] τινὲς δέ φασι Κορινθίοις ἀδικουμένοις ὑπὸ Λακεδαιμονίων συμμάχους πέμψαι Ἀθηναίους, οὓς ἔτρεφον Κορίνθιοι. Ἄλλως. διπλῶς ᾄδεται ἡ ἱστορία· ἢ ὅτι Κορίνθιοι Λακεδαιμονίους ὑφορώμενοι ἐμισθοῦντό τινας τῶν Ἀθηναίων εἰς τὴν αὐτῶν φυλακήν· ἢ Ἀθηναίους ἐφοβοῦντο, ἵνα μὴ ὑπ' αὐτῶν δουλαγωγηθεῖεν, καὶ διὰ τοῦτο ξένους τινὰς ἐν Κορίνθῳ ἔτρεφον,

1. *εἰ μὴ, ὅπερ εἰκὸς ἐκ τοῦ δευτέρου*] *εἰ μὴ ὅτι περ* (*ὥσπερ* G.) *δευτέρου* V.
2. *Πλούτου* add. V.
ib. *μετενήνεκται* V. *μετήνεγκται* Ald.
2, 3. *ἐκεῖ—συνέστη*] *ἔχει γὰρ ὀρθὸς ὁ κορινθιακὸς πόλεμος λεγόμενος συνέστη* V.
3. *τέτρασιν ἔτεσι πρ.*] *τέτρασι πρ.* V.
ib. *τοῦ* om. V.
4. *ἐφ'* Petitus Miscell. 1, 2 *ἀφ'* V. *ὑφ'* Ald.
5. *λακεδαιμόνιον* V. *Λακεδαιμονικὸν* Ald.
ib. *τὸν π. τὸν Πελ.*] *τὸν πελ. π.* V.
6. *καὶ* add. V.
7. *συνεκρότησαν* V. *ἐκρότησαν* Ald.
ib. *αὐτῶν*] *αὐτό* V.
ib. *συνέλαβον* Dobræus. *συνέβαλον* Ald. *συνέβαλλον* V.
10. *Δημοσθένης*] P. 46, 19.
12. *οὗ Πολύστρατος ἡγεῖτο*] *οὐ πολυστρατηγεῖτο* V. *οὐ ἐστρατηγεῖτο* G.
ib. *καὶ Ἰφ.*] *καὶ* om. G.
14. *ἀκούων*] *δακρύων* V, corruptum fortasse ex *δ' ἀκούων*.
ib. *ἐνίκων* G. *ἐνίκουν* V.
15. *ὑμεῖς*] *ἡμεῖς* G.
15–17. *τινὲς — Κορίνθιοι*] Alius scholiastæ verba, quæ sola de his scholiis habet R.
15. *δὲ* om. R.
17. *οὓς* R. *καὶ* V. Ald.
ib. *διπλῶς ᾄδεται* etc.] Hoc scholium, quod prorsus omissum non desideraremus, ostendit etiam margo Dorv. sine ulla variatione. HEMST. Om. R.V.

ἀσφαλείας ἕνεκα. [ξενικὸν: Τὸ ἀπὸ ξένης ἐλθὸν, στράτευμα δηλονότι. Gl. Paris.]

174. ὁ Πάμφιλος δὲ: Ὁ Πάμφιλος οὗτος καὶ ὁ Βελονοπώλης ἀμφότεροι δανεισταὶ Ἀθήνῃσιν. ἀντὶ τοῦ εἰπεῖν πλουτοῦσιν εἶπεν οὐχὶ κλαύσονται; ὁ Πάμφιλος δὲ δημαγωγὸς ἦν καὶ ἔκλεπτε τὰ τοῦ δήμου, ὡς καὶ Πλάτων φησὶν Ἀμφιαράῳ "καὶ νὴ Δί' εἰ Πάμ-" "φιλόν γε φαίης κλέπτειν τὰ κοινὰ, ἅμα τε συκοφαντεῖν." οὗτος οὖν ἁλοὺς ἐπὶ κλοπῇ τῶν δημοσίων χρημάτων, ἀθρόως ἐξέπεσε δημευθεὶς, ταύτην δίκην πεπονθώς. τινὲς δὲ τὸν Βελονοπώλην παράσιτόν φασι τοῦ Παμφίλου· δυστυχοῦντος οὖν τοῦ Παμφίλου ἀνάγκη καὶ αὐτὸν συνδυστυχεῖν. [Πάμφιλος, ὅστις γεγένηται κλέπτης τῶν δημοσίων, οὐσίαν ἐδημεύθη. ἐκ τούτων δὲ ἐσπουδακότα πλουτεῖν κλαύσεσθαί φησιν ἁλόντα ἐπὶ κλοπῇ δημοσίων. κωμῳδεῖται δὲ καὶ ὡς δειλός. Ἄλλως. δημωγαγὸς ἦν καὶ κλέπτης τῶν τοῦ δήμου. ὁ δὲ Ἀγύρριος ἐπὶ μαλακίᾳ διαβάλλεται καὶ εἰς θρασύτητα κωμῳδεῖται. V. Πάμφιλος: Κλέπτης. κλαύσεται: Κλαύσει καὶ τιμωρηθήσεται. Gl. Paris.]

[ὁ Πάμφιλος δημαγωγὸς ἦν ἐν Ἀθήναις, καὶ ἐνοσφίζετό τινα τῶν δημοσίων χρημάτων. ἐπεὶ οὖν ἔμελλε φωραθήσεσθαι καὶ δώσειν δίκην ὡς κεκλοφὼς τὰ δημόσια, κωμῳδεῖ αὐτόν. εἶχε οὗτος ὁ Πάμφιλος καί τινα κόλακα παράσιτον βελονοπώλην καλούμενον, ὃς ἔμελλε παραπολαύσειν τῷ Παμφίλῳ τῶν κακῶν. Paris.]

[175. Ἀριστόξενος ἐλέγετο παράσιτος. οὗτος πρότερον βελονο-

3. Ὁ Πάμφιλος οὗτος] ὁ Πάμφιλος om. R. Totum scholion usque ad πεπονθώς om. V.

5. κλαύσονται] Sequentia usque ad πεπονθώς om. R.

ib. δημαγωγὸς ἦν] οἱονεὶ πολιτευόμενος add. Ald. Delevit Hemst. Suidas, Πάμφιλος, δημαγωγὸς Ἀθήνῃσι. καὶ ἔκλεπτε τὰ τοῦ δήμου, καὶ φωραθεὶς ἐπ' αὐτοφώρῳ κατελύθη, ὥς φησιν Ἀριστοφάνης.

7. συκοφαντεῖν Hemst. συκοφάντην Ald. Versus fortasse sic corrigendi, καὶ νὴ Δί' εἰ τὸν Πάμφιλόν γε φαίης (vel εἴ τις Πάμφιλόν γε φαίη) | κλέπτειν τὰ κοινὰ χἄμα συκοφαντεῖν. Meinekio Quæst. scen. 2. p. 15. scribendum videbatur, καὶ νὴ Δί' εἴ γε φαίης | τὸν Πάμφιλον κλέπτειν τὰ κοινὰ χἄμα συκοφαντεῖν.

9. δὲ om. R.V.

11. συνδυστυχεῖν R.V. συνδυστυχεῖν αὐτῷ Ald. Ceterum scholion hoc τινὲς συνδυστυχεῖν, præfixo ἄλλως, scholio ad v. 175. (post κλέπτων) adjungit V.

12. οὐσίαν ἐδημεύθη] ὃς ἀνεδημεύθη V.

13. φησιν] φησι V.

ib. κλοπῇ] κλοπὴν V.

15. Ἀγύρριος] ἀργύριος V.

πωλῶν, ὕστερον δὲ πεπλούτηκε καὶ ἀλαζονευόμενος. εὑρέθη δὲ καὶ οὗτος μετὰ τοῦ Παμφίλου κλέπτων. ὁ τὰς βελονοθήκας πωλῶν. V. παράσιτος τοῦ Παμφίλου. Gl. Paris.]

176. Ἀγύρριος δὲ: [Οὗτος πλούσιος ὢν πολλὰ πάνυ ἤσθιε. παρέπεται δὲ καὶ τοῖς τρυφῶσι καὶ πολλὰ ἐσθίουσι τὸ πέρδεσθαι. ἢ ὡς εὐρύπρωκτον αὐτὸν, ἢ ὡς τοῦτο ποιοῦντα αὐτὸν ὅτε πασχητιᾷ. V.] Ἀθηναῖος οὗτος ἐπὶ μαλακίᾳ τοσοῦτον διαβάλλεται, ὡς καὶ πορδὰς ἀφιέναι. καὶ εἰς θρασύτητα δὲ τὸν Ἀγύρριον κωμῳδοῦσι. πέρδεται δὲ, στρηνιᾷ πλουτῶν, ἐπεὶ τοῖς πολυφάγοις παρέπεται τὸ πέρδεσθαι. [Ἀγύρριος πένης ὢν καὶ μὴ ἔχων ὅθεν τὸν βίον πορίζεσθαι, ἐκορδάκιζέ τε καὶ ἔπερδε, καὶ ἕτερα αἰσχρὰ ἐποίει, ἵνα λάβοι ἀργύριον. ἢ τοῦτο λέγει, ὅτι πορνευόμενος τοῦτο ἐποίει. Paris. πέρδεται: Κλάνει. Gl. Dorv.]

177. Φιλέψιος: Οὗτος πένης ὢν λέγων ἱστορίας ἐτρέφετο. τερατώδης δὲ καὶ λάλος διαβάλλεται, ὡς ὁ Πλάτων ὁ κωμικός. [Ἄλλως. οὗτος ὡς λάλος καὶ πονηρὸς κωμῳδεῖται. λαλῶν δὲ ἱστορίας καὶ μύθους καὶ παίγνια οὕτως ἐτρέφετο. V. μύθους λέγει: Ἱστορίας πλάττει, μυθοπλαστεῖ. Gl. Paris. Φιλέψιος καὶ οὗτος πένης ἦν, συντιθεὶς οὖν μύθους χαρίεντας, ἔθαλε τοὺς ἀκούοντας, καὶ οὕτω τὴν τροφὴν αὐτῷ ἐπορίζετο. Paris.]

178. ἡ ξυμμαχία: Ἐπὶ Ἀμάσιδος Αἰγυπτίων βασιλέως ἐν σιτοδείᾳ ὄντες οἱ Ἀθηναῖοι ἔπεμψαν πρὸς αὐτὸν αἰτοῦντες σῖτον· καὶ ἔπεμψεν αὐτοῖς ἱκανόν. ἐκ τούτου Ἀθηναῖοι ἔπεμψαν τοῖς Αἰγυπτιοις

2. ὁ τὰς β. πωλῶν om. G.

4. Ἀγύρριος] ἀργύριος Ald. et infra ἀργύριον.

6. αὐτὸν] Fort. addendum κωμῳδεῖ.

ib. ὅτε G. ὅταν V.

ib. πασχητιᾷ] πάσχῃ V.

7. Ἀθηναῖος om. R. Totum scholion om. V.

ib. τοσοῦτον om. R.

9. στρηνιᾷ om. R.

ib. ἐπεὶ—πέρδεσθαι addidi ex R.

10. ἐκορδάκιζε] ἐκέρδακιζε Paris. In libro Poggiano, qui idem scholion habet, scriptum est, ὅθεν πορίζεσθαι βίον ἐκορδάκιζε καὶ ἔπερδε — ἵνα λάβῃ —.

14. Οὗτος] Φιλέψιος δὲ V.

ib. ὢν—ἐτρέφετο om. R. καὶ λάλος ἱστορίας λέγων ἐτρέφετο V.

ib. τερατώδης δὲ] καὶ τερατώδης R.

14, 15. τερατώδης—κωμικός om. V.

15. ὡς ὁ Π. ὁ κ. om. R, qui post διαβάλλεται pergit λαλῶν ἱστορίας—ἐτρέφετο, ut V.

16. ἱστορίας R. καὶ ἱστορίας V.

21— p. 91. l. 4. ἐπὶ—ἡγουμένου] Hæc sola habet R, V. autem nihil præter illa quæ infra ex eo apposuimus.

συμμαχίαν εἰς τὸν πρὸς Πέρσας πόλεμον, καὶ εἶχον φιλίαν καὶ συμμαχίαν πρὸς ἀλλήλους. ὕστερον μέντοι ἐλύθη, καὶ συνεμάχησαν οἱ Ἀθηναῖοι τοῖς βασιλέως στρατηγοῖς κατὰ τῶν Αἰγυπτίων Ἰφικράτους ἡγουμένου. ἦσαν γὰρ ἄμφω αὐτοῖς φίλοι. διὸ καὶ Ψαμμίτιχος λέγεται πέμψαι πυρῶν μυριάδας τρεῖς. Ἄλλως. Ψαμμίτιχος χαλεπὸς Αἰγυπτίων τύραννος καὶ σκαιότατος, Βούσιριν ὑπερηκοντικώς, οὗ καταψηφισάμενοι οἱ ἀρχόμενοι πρεσβεύουσι πρὸς Ἀθηναίους, διὰ σίτου ἀποπομπῆς ἀμοιβαῖον αἰτοῦντες, καὶ ἀμείλικτον ἄρχοντα τοῦτον ἐκβαλόντες. Ἄλλως. ὅτε Ξέρξης ἐπ' Αἰγυπτίους ἐστρατεύτο, οἱ Ἀθηναῖοι συμμαχίαν αὐτοῖς ἀπέστειλαν. [ὁ Ξέρξης ἐπ' Αἰγυπτίους ἐστράτευσεν, οἱ δὲ Ἀθηναῖοι συνεμάχησαν αὐτοῖς. Ἄλλως. Καμβύσης βασιλεὺς τῶν Αἰγυπτίων· τούτῳ Ψαμμίτιχος πόλεμον συνεκρότησεν, Αἰγύπτιοι δὲ ἔπεμψαν πρὸς Ἀθηναίους καὶ εἰλήφασι συμμαχίαν. σίτου δὲ ἔπεμψε τοῖς Ἀθηναίοις μυριάδας τριάκοντα. V.] *Ἄλλως. Ἰνάρως ὁ τῶν Αἰγυπτίων βασιλεὺς ἀπέστησε τοῦ βασιλέως Ξέρξου μοῖράν τινα τῆς Αἰγύπτου, καὶ χρήματα πέμψας [τοῖς Ἀθηναίοις ἔλαβε συμμάχους.* Junt.], *οἵτινες καὶ διαπεράσαντες εἰς τὴν Αἴγυπτον, καὶ ἔν τινι τῶν τοῦ Νείλου στομάτων ἀναπλεύσαντες, προσέσχον τοῖς ἕλεσι. Μεγάβαζος δὲ ὁ τοῦ βασιλέως Περσῶν*

1. *πρὸς Πέρσας* R. *τῶν Περσῶν* Ald.

4, 5. *ἦσαν—μυριάδας τρεῖς*] Recentioris grammatici additamentum.

4. *Ψαμμίτιχος*] Vera nominis forma *Ψαμμήτιχος* est, de qua v. Duk. ad Thucyd. 1, 104. Et *Ψαμμήτιχος* recte in schol. Vesp. 716.

5–9. *Ἄλλως—ἐκβαλόντες*] Hanc quoque novitii grammatici annotationem esse ex ipso genere dicendi intelligitur.

11. *Καμβύσης βασιλεὺς τῶν Αἰγυπτίων*] Imo *τῶν Περσῶν*.

14. *ἔπεμψε*] *ἔπεμψεν* V.

ib. *τοῖς* om. G.

ib. *μυριάδας τριάκοντα*] Corrigendum *μυριάδας τρεῖς* ex scholio superiore. Conf. schol. Vesp. 716.

15. *Ἰνάρως*] De Inaro juvabit adire interpretes Thucydidis 1, 104. et de Megabazo 1, 109. HEMST.

17. *εἰς*] *πρὸς* Paris.

18. *ἀναπλεύσαντες*] *ἀναπλώσαντες* Paris.

19. *ἕλεσι*] *ἕλλησι* Ald. [et Paris.] Certissimam emendationem restituere non dubitavi; eoque magis, quod calculum tulit P. Wesselingii ad Hierocl. *Συνέκδ.* p. 726. Ægyptus olim sub primo rege Mena *πλὴν τοῦ Θηβαϊκοῦ νομοῦ πᾶσα ἕλος·* Herodot. 2, 4. postquam fluvii beneficio limum agentis nata fuit atque aggesta, totum Delta paludibus adfluxit; præsertim singulis annis exundante Nilo, quem merito paludosum vocat Statius. Hinc non tantum crebro memorantur *τὰ τοῦ Νείλου ἕλη*, vel *τὰ ἕλη τὰ περὶ τὸν Νεῖλον* Themist. Or. 10. p. 140. A. sed etiam *τὰ κατ' Αἴγυπτον ἕλη* Hesych. in *Σάριν· τὰ Αἰγυπτιακὰ ἕλη καὶ λίμναι* Strab. 17. p. 1151. A. inter Tanicum et Pelusiacum ostia *λίμναι*

στρατηγὸς τὸν ποταμὸν διακόψας καὶ ἀλλαχόσε τρέψας εἷλεν ἐκείνους ἐπὶ ξηρᾶς καὶ ἀπέκτεινεν. [διὰ σέ: Ἐγένετο δηλ. Gl. Paris.]

179. ἐρᾷ δὲ Λαῒς: Ὅτι Ἀριστοφάνης οὐ λέγει σύμφωνα κατὰ τοὺς χρόνους· ληφθῆναι γάρ φασιν αὐτὴν ἐν Σικελίᾳ πολιχνίου τινὸς ἁλόντος ὑπὸ Νικίου ἑπτέτιν· ὠνηθῆναι δὲ ὑπὸ Κορινθίου τινὸς καὶ πεμφθῆναι δῶρον τῇ γυναικὶ εἰς Κόρινθον. * * * ἵνα δὴ ἐπὶ Χαβρίου τὶς ταῦτα γενέσθαι δῷ, ὅτε εὖ ἔπραττον Ἀθηναῖοι ἐν Σικελίᾳ. ἔστι δὲ ἕως Διοκλέους ἔτη ιδ΄, ὥστε ἄλογον διὰ ὀνόματος αὐτὴν ἐπαίρειν. ἐμφαίνει δὲ καὶ Πλάτων ἐν τῷ Φάωνι ἑπτακαιδεκάτῳ ἔτει ὕστερον διδαχθέντι ἐπὶ Φιλοκλέους, ὡς μηκέτι αὐτῆς οὔσης. δύναται μέντοι καὶ αὐτῆς ζώσης λέγεσθαι. Φιλωνίδην δὲ οὐ τὸν ποιητήν φησι τὸν ἐν τοῖς Ἀριστοφανείοις ἐγγεγραμμένον δράμασιν, ὡς οἱ

καὶ ἕλη μεγάλα καὶ συνεχῆ p. 1154. D. e Pelusio progredientibus εἶναι διώρυγα τὴν πληροῦσαν τὰς κατὰ τὰ ἕλη καλουμένας λίμνας ex Artemidoro p. 1156. nam τὰ ἕλη τὰ περὶ τὸ Πηλούσιον, quorum meminit 1. p. 87. A. non alia sunt, quam quæ proprie Βάραθρα dicebantur, et τὰ τῆς Σερβωνίδος ἕλη Plutarcho in Anton. p. 917. A. Τὰ ἐν τῷ ποταμῷ καὶ τοῖς ἕλεσιν Theophr. Hist. Pl. 4, 3. et de Caus. Pl. 6, 16. καθάπερ ἐν Αἰγύπτῳ τοῦ καλάμου τοῦ ἐν τοῖς ἕλεσιν. Verum præterea τὸ Ἕλος Ægypti inferioris pars hoc proprio designata nomine, Bolbitino et Sebennytico ostiis inclusa; quemadmodum schol. Æschyli ad Pers. v. 39. ἑλειοβάτας exponit τὸ Αἰγύπτιον ἕλος οἰκοῦντας· eoque pacto capiendum arbitror in Euseb. ad Hesaiam p. 431. C. sæpius τὰ Ἕλη apud Herodot. 2, 92. 137. 140. 151. 152. Theophrast. Hist. Pl. 4, 11. νῆσοι πλοάδες, ὥσπερ ἐν Αἰγύπτῳ περὶ τὰ Ἕλη. Thucydides autem, cui consentit in hac ipsa captorum a Megabazo cæsorumque Atheniensium historia noster scholiastes, alios auctores secuto Diodoro 11. p. 282. B. meminit Ἀμυρταίου τοῦ ἐν τοῖς Ἕλεσι βασιλέως. Contingere tamen non raro fateor, ut dubium videatur, hæc regio insularis, an paludes Ægypti universe sint intelligendæ. Eadem haberi debeant τὰ Βουκόλια, nec ne, alibi disquiretur. HEMST.

4. De scholiis ad v. 179. R.V. nihil habent præter illa, Φιλωνίδης— τῆς Σικελίας ἦν p. 94. l. 2—4.

7. Ante ἵνα indicavi lacunam.

ib. ἐπὶ Χαβρίου] Inter Chabriam (olymp. 91, 2.) et Dioclem (92, 4.) archontes anni intersunt quinque: quod ergo sequitur, ἔστι δὲ ἕως Διοκλέους ἔτη ιδ΄, eorum initium est a Laïde nata ducendum. Simul apparet, hæc eum in modum esse scripta, ut, quin priorem Plutum in manibus haberet, enarrator iste non dubitarit. HEMST.

9. ἐπαίρειν] Potius duco ἐπαινεῖν. HEMST.

10. Φάωνι Clinton. Fast. Hell. vol. 2. p. 99. et Meinek. Quæst. scen. 2. p. 26. Legebatur Φαίδρῳ.

11. Φιλοκλέους Hemst. Legebatur Διοκλέους. Fuit autem Philocles eponymus olymp. 97, 1.

ib. αὐτῆς] Excidisse videtur μεμνημένος.

13. τὸν ἐν τοῖς Ἀριστοφανείοις ἐγγε-

περὶ Καλλίστρατον ἐν τῇ ὁμωνυμίᾳ πλανηθέντες· ἀλλὰ παιδιᾶς ἕνεκεν τὸν αἴσχιστον καὶ ἀπαίδευτον. κωμῳδεῖται δὲ ὡς εὔπορος καὶ ὡς μέγας τῷ σώματι καὶ ἠλίθιος. Νικοχάρης Γαλατείᾳ·

> τί δῆτ' ἀπαιδευτότερος εἶ Φιλωνίδου
> τοῦ Μελιτέως;

περὶ δὲ τοῦ μεγέθους Φιλύλλιός φησιν

> ἥτις κάμηλος ἔτεκε τὸν Φιλωνίδην.

καὶ Πλάτων δὲ Λαΐῳ φησὶν

> οὐχ ὁρᾷς, ὅτι
> Φιλωνίδην που τέτοκεν ἡ μήτηρ ὄνον
> τὸν Μελιτέα κοὐκ ἔπαθεν οὐδέν;

καὶ Θεόπομπος Ἀφροδισίοις

> ὄνος μὲν ὀγκᾶθ' ὁ Μελιτεὺς Φιλωνίδης·
> ὄνῳ μιγείσης μητρὸς ἔβλαστε τῇ πόλει.

δόξειε δ' ἂν ἐρᾶσθαι τῆς Λαΐδος ἐκείνης ὑπαγομένης αὐτόν. οὐ γὰρ

γραμμένον δράμασι] Scribendum, puto, τόν τισιν Ἀριστοφανείοις ἐπιγεγραμμένον δράμασιν, ut sensus sit, nomen Philonidis fabulis quibusdam Aristophanis inscriptum fuisse; sive nomen Philonidis pro Aristophanis in commissione fabularum quarundam ab judicibus comicorum, volente procul dubio et probante Aristophane, in catalogo victorum scriptum fuisse. Juvat hanc interpretationem quod legitur in argumento Ranarum, Φιλωνίδης ἐπεγράφη καὶ ἐνίκα. Et apud schol. Vesp. 1013. οὐκ ἐκ τοῦ φανεροῦ, φησὶν, ἐπικουρεῖ ὁ ποιητὴς (Ἀριστοφάνης) τοῖς θεαταῖς, ἀλλὰ δι' ἑτέρων ποιητῶν λάθρα, ἐπειδὴ διὰ Φιλωνίδου καὶ Καλλιστράτου καθίει τινὰ τῶν δραμάτων. Confer nos etiam ad Equit. v. 510. Videntur nimirum olim comici vel ad declinandam invidiam vel ob alias quasdam causas alterius nomine interdum fabulas in theatra commisisse. Uti autem hoc loco Philonides ἐπιγεγραμμένος dicitur τοῖς Ἀριστοφανείοις δράμασι, ita scholiastes Ran. 78. de Iophonte filio Sophoclis scribit, eum comicorum jocis exagitatum fuisse ἐπὶ τῷ ταῖς τοῦ πατρὸς τραγῳδίαις ἐπιγράφεσθαι. KUST. Lege, Φιλωνίδην δὲ οὐ τὸν ὑποκριτήν φησι, τὸν τοῖς Ἀ. ἐπιγεγραμμένον δράμασιν. DOBRÆUS. Defendi potest scriptura vulgata.

1. ἐν τῇ] οἴονται Hemst. Articulum servare debebat.

3. Νικοχάρης] Nicocharis verba repetuntur in scholio ad v. 303.

4. τί δῆτ'] ἠδέ τ' Ald. Correctum ex altero loco. Rectius fortasse ἤδη τ' Meursius in Bibl. Attica. ἢ δῆτ' Bentleius.

6. Φιλύλλιος Jungermann. ad Polluc. 10, 93. Φύλλιος Ald.

8. Λαΐῳ Casaubonus Animadv. ad Athen. 2, 27. λαΐ Ald.

10. ὄνον τὸν Bentleius. ἀνόητον Ald.

11. κοὐκ] καὶ οὐκ Ald.

13. Μελιτεὺς Bentleius. μελίτου Ald.

14. ἔβλαστε τῇ πόλει] Scribendum numeris melioribus ἔβλαστεν πόλει. Videtur autem hic versus ex alio fabulæ loco sumptus esse quam qui præcedit.

15. ὑπαγομένης] ἐπαγομένης intulit

ἐκείνου ἠράσθη Λαΐς, ᾗ Διογένης ὁ φιλόσοφος ἐπιγράφει τῆς Ἑλληνικῆς ἀκρασίας τὸ τρόπαιον. Φιλωνίδης οὗτος πλούσιος ἐν Κορίνθῳ. τούτου δὲ προσεποιεῖτο ἐρᾶν διὰ τὸν πλοῦτον Λαΐς. αὕτη δὲ θυγάτηρ ἦν Τιμάνδρας, ἥτις ἐξ Ὑκκάρων τῆς Σικελίας ἦν. ταύτην δὲ Φιλο-

Junt. quod si veterum librorum fide factum constaret, amplecteremur forte: est enim ἐπάγεσθαι aliquando *adlicere, blanditiis ad se perducere*, meretrici verbum utique conveniens; a qua potestate illa itidem dicuntur ἐπαγωγὰ, quæ vim pellacem, magnumque lenocinium habent. Verum cur ab editionis Ald. vestigiis abeamus, nihil est causæ: nam in ὑπάγεσθαι residet diversa quidem parumper, sed adfinis tamen significandi virtus, *dolis aliquem capere, deceptumque suæ potestatis facere:* quod a Laïdis insidiis, quas non tam Philonidæ, quam divitiis ejus struebat, minime abhorret. Iamblich. in Protr. ex Platone: ἐνεδρεύει καὶ θηρεύεται τὴν δόξαν ἐπὶ ἀπάτῃ, καὶ ἃ ποιεῖται, ταῦτα καλλωπίζεται ὑπαγόμενος τοὺς ἀνθρώπους· commode scholiastes ad Equ. v. 269. ὑπέρχεται exponit, ὑπάγεται τὸν δῆμον ὑποτρέχων, καὶ κολακεύει· eleganter Ion apud Athen. 13. p. 604. D. ὡς εὖ ὑπηγάγετο τὸν παῖδα, *se bene callido commento decepisse puerum*. Hæc pro veteri lectione firmanda sunt satis. Præterea distinctionem cunctis in edd. post Λαΐδος interjectam, quæ sensum alienum efficiebat, tollere consultum duxi, ut aptior oriretur sequentibusque congruens hunc in modum: *videatur autem amore fuisse captus Laïdis istius*, de qua paulo ante dixi, Siculæ, *blandas insidias admoventis: neque enim eum amaverit illa Lais, cui Diogenes* (Cratetem alii auctorem dicti ferunt) *adscripsit erectum Græcorum intemperantiæ tropæum*. Opportunum utique erat admonere, ne quis imprudens in eundem, qui sane multos fefellerat, errorem incideret, de duabus eodem nomine meretricibus, una Sicula, quæ Hyccaris orta Corinthum fuerat venumdata, altera vere Corinthia. Menagius hæc proferens ad Diogen. 6, 60. minus adtente consideravit. HEMST.

2. Φιλωνίδης] Hic adnotationis novæ, quæ ab alio, quam superior, auctore fuerit profecta, initium est statuendum, ut ex eo intelligere facile licet, quod Philonides huic enarratori non ille Melitensis Athenis, sed Corinthius habeatur divitiis potens: de Laide non minus cum altero dissentit, hac tantum parte concordans, quod eam amorem simulasse perinde tradat. HEMST.

ib. οὗτος R. V. δὲ Ald.

3. τούτου] τούτῳ R.

ib. ἐρᾶν post πλοῦτον ponit R.

ib. διὰ τὸν π. Λ.] ἡ Λ. διὰ τὸν π. G.

4. Τιμάνδρας R. πηγάνδρας V. ἐπιμάνδρας Ald.

ib. Τιμάνδρας] ἐπιμάνδρας Ald. Secutus sum Plutarch. in Alcib. p. 213. D. et Athen. 12. p. 535. C. τήν τε Λαΐδος τῆς Κορινθίας μητέρα Τιμάνδραν· non quidem me fugit aliud ejus referri nomen 13. p. 574. F. Δαμασάνδραν τῆς Λαΐδος τῆς νεωτέρας μητέρα· sed illud quin ex comœdia, ubi Timandra, quæ Alcibiadem, tantum virum, amore domuerit, a comicorum aliquo risus gratia Damasandra fuerit appellata, sit depromtum minime dubito: neque repertum iri credo, qui mihi neget, ad eandem, quæ scripsit Demetr. περὶ ἑρμ. §. 326. ὁ τῆς Τιμάνδρας κατηγορῶν, ὡς πεπορνευκυίας, pertinere: unde licet appareat, auctorem hujus actionis Timandræ intentatæ haberi incer-

ξένῳ τῷ διθυραμβοποιῷ δέδωκε Διονύσιος ὁ ἐν Σικελίᾳ τύραννος. εἰς Κόρινθον οὖν ἦλθεν ἅμα Φιλοξένῳ, καὶ ἐπίσημος ἐκεῖ ἐγένετο, καὶ ἐφιλήθη ὑπὸ πάντων, καὶ περιβόητος ἦν ἑταιρίς. λέγουσι δὲ ὅτι ἅμα Ἀλεξάνδρῳ ἀπεδήμησεν εἰς Πέρσας ἐκ Κορίνθου. ἡ δὲ Λαῒς ἐπισημοτέρα γέγονε τῆς μητρὸς ἐν Κορίνθῳ. ὕστερον δὲ καὶ αὐτὴ ἀπεδήμησεν εἰς Θεσσαλίαν, ἔνθα Εὐρυλόχου τινὸς ἢ Ἀριστονίκου ἠράσθη,

tum et neutiquam reprehensionis immunem, Hyperidi tamen adtributam fuisse nonnullorum judicio, Suidas ostenderit in Παιδάριον, siquidem ibi legendum est, Ὑπερίδης ἐν τῷ πρὸς Τιμάνδραν, non, quod edd. obsidet, Τίμανδρον. HEMST.

ib. ἐξ Ὑκκάρων] ἐκ καρῶν R.V. Ald. Correctum in edit. Basil. in quæ typothetæ culpa expressum est ἐξ ἰκκαρῶν. V. de Wassium ad Thucyd. 6, 62. et Goellerum ad Philistum p. 151.

3. λέγουσι δὲ etc.] Ordo orationis vetat ne quis hæc de alia dici existimet quam Timandra. Jam pone, Timandram olymp. 94, 1. quo mortem oppetiit Alcibiades, annos fuisse natam admodum viginti: quanquam ne hoc quidem ipsum difficultate caret, eam, quæ a Dionysio (is autem tyrannidem invasit olymp. 93, 4.) Philoxeno dono data Corinthum pervenit, jam ante cum Alcibiade familiariter consuevisse. Verum ista res in quamcumque partem accipiatur, nunc mea nihil refert: illud volebam, inter mortem Alcibiadis, atque Alexandri in Asiam expeditionem, quæ incidit in olymp. 111, 3. annos intervenisse 70. Habebimus igitur Timandram puellam nonagenariam, certe dignam, quæ id ætatis juveni regum maximo grata comes adhæreret. Quid ergo? ut aliqua saltem parte scrupulus eximatur, tentandum est, an inverso duarum periodorum ordine succurri possit: περιβόητος ἦν ἑταιρίς. Ἡ δὲ Λαῒς ἐπισημοτέρα γέγονε τῆς μητοὸς ἐν Κορίνθῳ· λέγουσι δὲ, ὅτι ἅμα Ἀλεξάνδρῳ ἀπεδήμησεν εἰς Πέρσας ἐκ Κορίνθου· ὕστερον δὲ καὶ αὖθις ἀπεδήμησεν etc. non quod de ipsa Laïde nihil impeditum restare putem; etenim hæc quoque nimium vetula, quam ut Alexandro placere potuisse credatur: sed quod persuasum mihi sit, in errore versari vel sponte sua lapsum enarratorem nostrum, vel pravo duci temere obsecutum, qui pro Thaïde literæ similitudine deceptus Laïdem supposuerit. Equidem in comitatu Alexandri neque Timandram, nec Laïdem usquam inveni: at certos testes citare licet Clitarchum apud Athen. 13. p. 576. E. et Plutarch. in Alex. p. 687. A. qui non adfuisse tantum in Perside Thaïdem, sed ejus etiam temulenta protervia factum doceant, ut subjectis facibus regia Persarum conflagrarit: tametsi de toto hoc negotio quid senserit, dum tacet Arrianus, satis clamat. Istius peccati a scholiasta commissi nulla suspicio Perizonium tetigit ad Æliani V. H. 10, 2. qui, quamvis Palmerii vestigiis insistens ad Pausan. Corinth. p. 368. in Laïde multo sudore defatigetur, parum tamen promovit. Scholiastæ nostri meminit Vales. in Not. Maussac. ad Harpocr. p. 310. HEMST.

6. Εὐρυλόχου] Hemst. in schedis MSS. "Is Eurylochus, ut videtur, "qui Socratem invitavit; Diog. L. "2, 25. Liban. vol. 1. p. 682 C. (3. "p 59, 1. Reisk.)" Hippolochum a Plutarcho Mor. p. 767 F. vocari monet Bentleius. DOBR.

παρ' ᾧ καὶ ἐβίωσε τὸν λοιπὸν χρόνον. αὐτῆς δὲ πολλοὶ τῶν Θετταλῶν ἠράσθησαν, καὶ τῷ ἔρωτι τὰ πρόθυρα αὐτῆς οἴνῳ ἔρραινον. καὶ φασὶν, ὅτι ζηλοτυποῦσαι αἱ Θετταλαὶ γυναῖκες ἐφόνευσαν αὐτὴν ξυλίναις χελώναις τύπτουσαι ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης, πανηγύρεως οὔσης, ἐν ᾗ ἄνδρες οὐ παρεγίνοντο. διὸ τούτου ἕνεκα λοιμὸς κατέλαβε τὴν Θετταλίαν, ἕως ὕστερον ἱερὸν ἐποίησαν ἀνοσίας Ἀφροδίτης, ἐπειδὴ αἱ γυναῖκες ἐν τῷ ἱερῷ ἀνόσιον τετολμήκασι φόνον.

4. ξυλίναις χελώναις] Timæus an Polemo (uter enim tradiderit, per structuram orationis dubiam minus est apertum) crudele Thessalarum facinus narrat apud Athen. 13. p. 589. A. inde verbis iisdem fere sumsit noster scholiastes. Vicissim scholiastæ sua debet non solum Suidas, qui hæc, paucis omissis, in v. Χελώνη descripsit, sed et Helladius apud Phot. p. 872, 20. nam, ne dubites, præcedit observatio de μονώτατος, quod licet a grammaticis pro solœco habeatur, usurpasse tamen Aristophanem monet; atqui tertius ab hoc versus eum superlativum offert. Ab alio fonte derivasse, quæ scribit in Ἐρωτ. p. 768. A. Plutarchum non obscure liquet, ut qui referat, tum Thessalas in templum Veneris adductam Laïda, lapidibusque obrutam interemisse, tum Venerem ex eo casu dictam ἀνδροφόνον· quæ tamen appellatio quandoquidem rei, cujus designandæ causa fuit imposita, convenire non videtur, forte melius in ἀνοσιοφόνου commutabitur. Sunt autem ξύλιναι χελῶναι scabella lignea, quæ vel pedibus supponuntur, vel adscensum in lectos præbent: quare χελώνην Hesychius interpretatur ὑποπόδιον, et Sext. Empir. adv. Mathem. 1. §. 246. τὸ ὑφ' ἡμῶν καλούμενον ὑποπόδιον Ἀθηναῖοι καὶ Κῷοι χελωνίδα καλοῦσιν· unde dubitari non potest, quin, rejecta grammaticorum explicatione, eadem sit hujus vocabuli potestas amplectenda Judith. 14. 15. Notavit H. Stephan. in Thes. L. Gr. T. 4. p. 466. F. 468. E. partim recte, partim secus. Ceterum iram Veneris, quæ cædem in mulierum formosissima patratam ferre non potuit, quin immissa peste ulcisceretur, solus exposuit enarrator Aristophanis. Illud autem pestilentiæ telum, quo majestatem læsam vindicarent, acerrimum in promtu habuerunt obsoleti veterum dii: quamvis enim ratione propria τῶν λοιμικῶν παθῶν αἴτιοι censerentur Apollo ac Diana, ideo tamen neque aliis, si usus ferret, ejusdem mali inferendi negata fuit potestas. Vide schol. Euripid. ad Med. v. 273. Propter ursam Braurone sagittis confixam in templo Dianæ λοιμώδης νόσος τοῖς Ἀθηναίοις ἐνέπεσε, teste Suida in Ἄρκτος. Æschines Athenis ejectus quum Delum appulisset, incolas invenit νοσεῖν λοιμώδη τινὰ νόσον, quæ eos invaserat κατὰ μῆνιν Ἀπόλλωνος, ταφέντος ἐν τῇ νήσῳ τινὸς τῶν ἐπιφανῶν, οὐ πρότερον εἰωθός. Ep. 1. Eam ob causam non ad oracula tantum confugiebant, quibus remediis plagam divinitus impositam averterent, sciscitaturi; sed et lustrationibus utebantur, novarumque vel statuarum vel ædium dedicationibus. Exemplum habet schol. ad Ran. v. 504. ubi refert in Melita Herculis Averrunci ἵδρυσιν γενέσθαι κατὰ τὸν μέγαν λοιμόν· ὅθεν καὶ ἐπαύσατο ἡ νόσος· non aliam equidem intelligi pestilentiam arbitror, quam quæ luculenter ab Historico gravissimo descripta 2, 49. veram τοῦ μεγάλου λοιμοῦ appellationem commeruit. HEMST.

[ἐρᾷ: Ἔρωτα ἔχει. Gl. Paris.]

[Φιλωνίδου: Φιλωνίδης ἀνήρ τις ἦν πλούσιος, οὗτινος ἀμόρφου ὄντος, διὰ τὰ χρήματα ἐρᾷ Λαῒς αὐτοῦ, ἡ ἐν Κορίνθῳ ᾀδομένη πόρνη. Paris.]

180. ὁ Τιμοθέου δὲ πύργος: Οὗτος εἰς τοσοῦτον ἤρθη τύχης, ὥστε καὶ ἐν ὄψει τούτῳ τὴν δαίμονα φαίνεσθαι. κατασκευάσας δὲ πύργον οὐκ ἀπὸ τύχης ἔφη κατεσκευακέναι, ἀλλ' ἀπ' ἀνδρείας. ὀργισθεῖσα δὲ ἡ τύχη πένητα αὐτὸν ἐποίησεν. οὐκ εἴασε δὲ εἰπεῖν, διὰ τὸν πλοῦτον ἐγένετο, ἀλλ' ἐπήγαγε παρ' ὑπόνοιαν ἐμπέσοι γέ σοι. Ἄλλως. ὁ Τιμόθεος πλούσιος, ἅμα δὲ καὶ ὄλβιος ἀνὴρ, στρατηγὸς Ἀθηναίων, τεῖχος οἰκοδομήσας εἰς τοσοῦτον ἤρθη τύχης, ὡς τὴν δαίμονα φαίνεσθαι ἐν ὄψει τούτῳ. καὶ ἐν Ἀθήναις δὲ ἐν εἰκόσιν ἐποίουν αὐτὸν κοιμώμενον οἱ ζωγράφοι, καὶ τὰς τύχας φερούσας αὐτῷ εἰς δίκτυα πόλεις καὶ πορθοῦντα αὐτὰς, αἰνιττόμενοι

5–10. Οὗτος εἰς—ὑπόνοιαν. Ἄλλως om. R. In V. hic est ordo scholiorum, ὁ Τιμόθεος οὗτος ζάπλουτος ἅμα—Ἀθηναίων, εἰς τοσοῦτον ἤρθη—τούτῳ. τούτου κατασκευάσαντος πύργον καὶ οὐκ ἀπὸ τύχης κατεσκευακέναι φήσαντος, ἀλλ' ἀπὸ ἀνδρείας, ὀργισθεῖσα ἡ τύχη πένητα αὐτὸν ἐποίησεν—ὑπόνοιαν ἐμπέσοι γέ σοι. ἄλλως. Τιμόθεος οὗτος εὐδαίμων πάνυ καὶ πλούσιος στρατηγὸς Ἀθηναίων εἰς τοσοῦτον ἤρθη τύχης ὡς τὸν δαίμονα φαίνεσθαι (ἐν add. G.) ὄψει τούτῳ. καὶ ἐν Ἀθήναις δὲ ἐν εἰκόσι κοιμώμενον ἐποίουν αὐτὸν οἱ ζωγράφοι καὶ τὴν τύχην ἑαυτοῦ πλησίον φέρουσαν αὐτοῦ τὴν εὐδαιμονίαν. ὃς ὑψηλὸν πύργον ὡς πλούσιος ἐποίησε. (v. 184.) οἱ γὰρ πλούσιοι etc. Retinui vulgatum ordinem scholiorum receptis quæ præferendæ viderentur codicis Veneti lectionibus.

5. τύχης V. τῆς τύχης Ald.

6. τούτῳ V. τούτου Ald.

8. αὐτὸν add. V.

ib. διὰ τὸν πλ.] Consentit Dorv. qui primæ versus parti, ὁ Τιμοθέου δὲ πύργος, superne addidit, οὐχὶ διά σε ἐγένετο, alteri, τοῦτο παρ' ὑπόνοιαν. HEMST.

ib. διὰ τὸν πλοῦτον] διὰ τὸ πλούσιον V.

9. ἐγένετο om. V.

ib. ἐμπέσοι γέ σοι addidi ex V.

10. ἅμα δὲ καὶ ὄλβιος ἀνὴρ] Suidas, cujus codex adnotatione præcedenti caruit, horum initium ita præbet: οὗτος ὁ Τιμόθεος πλούσιος ὢν, καὶ στρατηγὸς Ἀθηναίων τεῖχος ᾠκοδόμησεν· ὃς εἰς τοσοῦτον etc. omissis, quæ sane sunt inepta, ἅμα δὲ καὶ ὄλ. ἀν. tum ὡς τὸν δαίμονα φαίνεσθαι ὄψει τούτῳ. HEMST. Suidæ locum (s. Τιμόθεος) om. cod. Paris. A.

ib. πλούσιος ἅμα δὲ καὶ] οὗτος ζάπλουτος ἅμα καὶ V.

11. εἰς] ὃς εἰς R. et Suidas.

ib. τύχης R.V. et Suidas. τῆς τύχης Ald.

12. τὴν δαίμονα] τὸν δαίμονα R. et Suidas.

ib. φαίνεσθαι ἐν ὄψει V. φαίνεσθαι ὄψει R. et Suidas. ὄψει φαίνεσθαι Ald.

ib. Ἀθήναις δὲ R.V. δὲ om. Ald. Suidas hæc aliis verbis expressit.

14. εἰς δίκτυα—αἰνιττόμενοι om. R.

τὴν εὐδαιμονίαν αὐτοῦ. ἀλαζονευόμενος δὲ ἐπὶ τῇ εὐτυχίᾳ ὁ Τιμόθεος ἔφη μᾶλλον αὐτοῦ εἶναι ἢ τῆς τύχης τὰ πραττόμενα. διὸ καὶ ἠτύχηκεν ὕστερον, νεμεσησάσης αὐτῷ τῆς τύχης. πολλοὶ δὲ Τιμόθεοι κωμῳδοῦνται· νῦν δὲ τοῦ στρατηγοῦ μέμνηται, ὃς ὑψηλὸν πάνυ πύργον ἐποίησεν ὡς πλούσιος.

[ὁ Τιμοθέου δὲ πύργος: Οὐκ ἐγένετο διὰ σέ. Gl. Dorv. Paris. ὁ Τιμόθεος στρατηγὸς ἦν Ἀθηναίων, ὃς εἰς τοσοῦτον ἦλθε τῆς τύχης, ὥστε οἱ ζωγράφοι, αἰνιττόμενοι αὐτοῦ τὴν εὐδαιμονίαν, ἐν δικτύῳ ἐξωγράφησαν φέρειν αὐτὸν τὰς πόλεις. ἀλαζονευσάμενος δὲ ὕστερον ἠτύχησε. ἐποίησε δὲ πύργον πολυτελέστατον ἐν Ἀθήναις. Paris.]

ἐμπέσοι γέ σοι: Παρ' ὑπόνοιαν τοῦτό φησι, δέον εἰπεῖν θαυμαστὸς καὶ μέγας. [ἐμπέσοι: Τοῦτο παρ' ὑπόνοιαν. Gl. Dorv. ἀντὶ τοῦ· εἴθε ἐπάνω σοῦ πεσεῖται. σχῆμα παρ' ὑπόνοιαν. Paris.]

[181. αἱ πράξεις πᾶσαι—ἐνεργοῦνται. Gl. Paris.]

[182. μονώτατος γὰρ εἶ σύ: Λυκοῦργος κατὰ Λεωκράτους "τοι-"γαροῦν μονώτατοι ἐπώνυμοι τῆς χώρας εἰσί." Junt. ὡς αὐτότατος πέπαικται. R. αἴτιος: Πρόξενος, πάροχος. Gl. Paris.]

[183. διὰ σὲ ἡ κλοπὴ καὶ τὰ λοιπά· διὰ σὲ καὶ τὰ κάλλιστα ἐν τοῖς ἀνθρώποις. Dorv. καὶ τῶν καλῶν: Καλὸς ἐπὶ τῷ σώματι, ἀγαθὸς ἐπὶ ψυχῇ. Borg.]

184. κρατοῦσι γοῦν: Χρήμασι γὰρ ἐπισπῶνται συμμάχους καὶ περιγίνονται. [οἱ γὰρ πλούσιοι φέροντες χρήματα καὶ παρέχοντες ἐπισπῶνται βοήθειαν καὶ νικῶσι. V. ἄρχουσι. Gl. Dorv. νικῶσι. Gl. Paris. τὸ ἑκάστοτε ἀντὶ τοῦ ἀεί· οὐ γὰρ λέγεται πάντοτε. R.V.]

1. εὐδαιμονίαν] δαιμονίαν R. αὐτοῦ et quæ sequuntur om. R.

1–5. 11, 12. 22, 23. In editione Aldina hæc ita scripta sunt: τὴν εὐδαιμονίαν αὐτοῦ. ὃς ὑψηλὸν πάνυ πύργον ἐποίησεν ὡς πλούσιος. Ἐμπέσοι γέ σοι, παρ' ὑπόνοιαν—μέγας. ἀλαζονευόμενος δὲ—στρατηγοῦ μέμνηται. Κρατοῦσι γοῦν cet. Correxit Hemst. Suida duce.

2. πραττόμενα] κατορθώματα Suidas. Quæ de Timotheo scripsit Ulpian. ad Demosth. Olynth. 2. p. 30. A. neque re nec verbis multum ab enarratore nostro distant. HEMST.

11. τοῦτό φησι] τὸ ἐμπέσοι γέ σοι R.

15. Λυκοῦργος] P. 159, 3.

17. πάροχος] παροχός Paris.

21, 22. Χρήμασι—περιγίνονται om. V. Post scholion v. 190. habet R.

21. ἐπισπῶνται] ἐπικτῶνται Ald.

22. περιγίνονται] τῶν πολεμίων addit Hemst.

24. τὸ ἑκάστοτε om. R. τὸ ἑκ.—πάντοτε om. G.

185. ἐπικαθέζηται: Ἀπὸ μεταφορᾶς τῶν ζυγῶν· ἐπικαθέζεσθαι γὰρ τὸ βαροῦν λέγομεν. [ἐνυπάρχει. Gl. Paris.]

[186. τοσαῦτα: Ὅσα λέγεται. Gl. Paris.]

187. ναὶ μὰ Δία: Ὅτι καὶ ἐπὶ κατωμοτικοῦ τὸ μὰ Δία, ὅταν αὐτοῦ προτάσσηται τὸ ναί.

[188. ὥστ' οὐδὲ τῶν ἄλλων, φησὶ, πάντων ἡμῖν ἐστι κόρος, τοῦ πλούτου δὲ οὐδαμῶς. ἂν γάρ τις κτήσηται δέκα, θέλει ποιῆσαι δεκαπέντε. V. μεστός: Κεχορτασμένος. Gl. Dorv. πεπληρωμένος. Gl. Paris.]

189. τῶν μὲν γὰρ ἄλλων ἐστὶ: Παρὰ τὸ Ὁμηρικὸν

πάντων μὲν κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος.

[ἄλλων: Πραγμάτων ὑπάρχει πλήρωσις, κόρος. Gl. Paris. πλησμονή: Χορτασία. Gl. Dorv.]

190. ἔρωτος: Ὁ δοῦλος λέγει τὰ πρὸς τὴν γαστέρα, πρὸς τὸ θυμῆρες τῆς κωμῳδίας τοῖς ὑπὸ τοῦ δεσπότου λεγομένοις σπουδαίοις ταῦτα παραπλέξας. [ὅρα πῶς ὁ δεσπότης τὰ πρέποντα αὐτῷ λέγει, ὁ δοῦλος τὰ συμφέροντα αὐτῷ. Dorv.]

[τραγημάτων: Τὰ μετὰ τὴν εὐωχίαν τῇ τραπέζῃ τιθέμενα καλοῦσι τραγήματα· ὅθεν καὶ παροιμία, ἐκ τραγημάτων τὴν εὐωχίαν· λέγεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀπὸ τῶν ἡττόνων τὰ μείζω θαυμαζόντων. Junt. τρωγαλίων. Gl. Paris.]

[191. πλακούντων: Χλανιδίων. Gl. Θ. Paris. ἀνδραγαθίας: Τροπαιουχίας. Gl. Paris.]

192. [φιλοτιμίας: Δόξης, ἐπιδείξεως. μάζης: Ἄρτου μὴ ὄντος ἄζου. στρατηγίας: Ἡγεμονίας στρατοῦ. Gl. Paris.]

1. ἐπικαθέζηται om. R. τὸ δὲ ἐπικαθέζεται V. τὸ δὲ ἐπικαθέζεσθαι G.

ib. τῶν ζυγῶν] τοῦ ζυγοῦ V. Illud habet Suidas s. ἐπικαθίζηται.

ib. ἐπικαθέζεσθαι R. et Suidas. καθέζεσθαι Ald. V. alio verborum ordine καὶ γὰρ τὸ ἐπιβαροῦν ἐπικαθέζεσθαι.

2. λέγομεν R.V. et Suidas. λέγεται Ald.

4, 5. om. R.

4. ἐπὶ κατωμοτικοῦ] Suid. in Μὰ Δία· ἐπεὶ κατωμοτικὸν . . . . προτάττηται αὐτοῦ τὸ ναί. HEMST.

6. φησὶ G. φασὶ V.

10. τὸ Ὁμηρικὸν] τῷ ὁμήρῳ V, non R. Est Il. N, 636.

11. φιλότητος] πλούτου δ' οὐκ ἔστι κόρος add. V.

14. Ὁ δοῦλος λέγει om. R.

15. ὑπὸ τοῦ δεσπότου λεγομένοις om. R.V.

16. ταῦτα post κωμῳδίας lectum huc transposui cum R.V.

20. τὰ Hemst. τὸ Junt.

22. χλανίδιον de edulio nusquam mihi lectum. SCHÆF.

φακῆς: Φακῆ *θηλυκῶς ἡ ἑψηθεῖσα, ἀρσενικῶς δὲ ὁ ἀνέψητος. περισπᾶται δὲ, ὥσπερ συκῆ, ἀμυγδαλῆ, καὶ τὰ τοιαῦτα.* Θεόκριτος,

κάλλιον, ὦ 'πιμελητὰ φιλάργυρε, τὸν φακὸν ἑψεῖν.

[193. *μεστός*: Πεπληρωμένος. V. (non G.)]

[194. *τάλαντα*: Ἰστέον, *ὅτι ἡ δραχμὴ ἓξ ὀβολοὶ εἰσίν· ἡ δὲ μνᾶ ἑκατὸν δραχμαί· τὸ δὲ τάλαντον ὀγδοήκοντα μναῖ. καὶ ὁ στατὴρ τὶ νόμισμα.* Dorv. *τάλαντον λέγεται τὸ ἀπὸ θεοῦ δωρηθέν τινι δῶρον, ἤγουν ἡ σοφία, ἢ πλοῦτος, ἢ ἄλλο τι τοιοῦτον. λέγεται τάλαντον καὶ τὸ νόμισμα. λέγεται τάλαντον καὶ σταθμὸς χρυσοῦ πεποσωμένος.* Paris.]

195. *ἑκκαίδεκα*: Οἱ *γράφοντες ἑξκαίδεκα, καὶ φάσκοντες οὕτω κάλλιον γράφειν, ἐπεὶ οὐκ ἔστιν ἐξ πρόθεσις, ἵνα συμφώνου ἐπαγομένου ἐκ γένηται, οὐ καλῶς, οἶμαι, λέγουσι· καὶ δῆλον ἀπό τε τοῦ ἕκτου καὶ τοῦ ἐκτὸς, καὶ ἀπὸ τοῦ ἑκτικοῦ λεγομένου πυρετοῦ· οὐ γὰρ μόνον ἐν τῇ προθέσει τὸ ξ τρέπεται, ἀλλὰ καὶ ἐν ἑτέροις, ὡς δηλοῖ τὰ εἰρημένα· τὸ γὰρ ἑκτικὸν ἐκ τῆς ἕξεως γέγονε, καὶ τὸ ἐκτὸς ἐκ τοῦ ἔξω, καὶ τὸ ἕκτον ἀπὸ τοῦ ἕξ.*

[196. *ἀνύσῃ*: Ἀναπληρώσῃ. Gl. Dorv. *εἰς τέλος ἀγάγῃ ἢ λάβῃ.* Gl. Paris. *βούλεται*: Λαβεῖν. Gl. Paris.]

[197. *ἤ φησιν*: Εἰ *μὴ λάβοι.* Gl. Paris. *βιωτὸν*: Βιώσιμον *τὴν ζωήν.* Paris. *οὐκ εἶναι βιώσιμον, ἄξιον ζωῆς.* Dorv. *εἰ μὴ λάβῃ, λέγει μὴ εἶναι αὐτῷ τὸ ζῆν ἡδύ.* V.]

[198. *ἀντὶ τοῦ δέ.* R.V. *φαίνεσθον*: Τοῦ Χρεμύλου *εἰπόντος μόνου, δυϊκῶς ὁ* Πλοῦτος *ἴσως εἶπεν, ὅτι* Ἀττικὸν *ἔθος ἐστί.* Ἄλλως. *ἀντὶ τῆς ἑνικῆς πτώσεως ἐπήγαγεν, ὅτι ἡ σύνταξις* Ἀττική. V. *φαίνεσθον*: Δοκεῖτε. *πάνυ*: Σύναπτε *τοῦτο πρὸς τὸ εὖ.* Gl. Paris.]

1. *φακῆ* (*φακὴ* V. om. R.) *θηλυκῶς—ἀνέψητος* R.V. *φακός ἐστιν ὁ ἀνέψητος, φακῆ δὲ ἡ ἑψημένη* Ald.

2, 3. *περισπᾶται—ἑψεῖν* om. R. V.

2. *Θεόκριτος*] 10, 54. ibi *δωρικώτερον* legitur, *τὼς φακὸς ἕψειν·* quanquam scholiastes, non aliter ac noster, *τὸν φακὸν* invenerit. HEMST.

11–17. Scholion recens, quo carent R.V.

12. *ἐπεὶ οὐκ ἔστιν ἐξ πρ.*] Quid velit, intelligi potest ex Etymol. p. 324, 14. *Ἡ ἐξ πρόθεσις, ὅταν αὐτῇ σύμφωνον ἐπιφέρηται, τρέπει τὸ ξ εἰς κ.* HEMST.

21, 22. *εἰ—ἡδύ*] *εἰ μὴ λάβῃ, λέγει τὸ ζῆν ἑαυτῷ μὴ εἶναι ἡδύ* R.

23. *ἀντὶ τοῦ δέ* (*τοῦ λέγε* V.)] Gl. ad *τοι*, ut videtur, referenda. Quamobrem *δὴ* corrigendum.

199. *πλὴν ἓν μόνον δέδοικα*: Τυφλὸς γὰρ ὢν οὐ δύναμαι ἐπελθεῖν, εἰ καί μοι τοσαύτη δύναμίς ἐστι. δέον οὖν ἐστιν ἀναβλέψαι με. [καὶ δέδοικα μὲν ἐγὼ ἀμεταβάτως, δεδίττω δὲ ἕτερον πρὸς αἰτιατικὴν συντασσόμενον. Junt. *τοῦ πέρι*: Ἀντὶ τοῦ ἕνεκεν τίνος δέδοικας; Gl. Paris.]

[200. *ὅπως*: Ἀντὶ τοῦ πῶς. *δύναμιν*: Ἰσχύν. Gl. Paris. δέδοικα ἔχων δὴ τὴν δύναμιν, ἣν ὑμεῖς φατὲ ἔχειν με, πῶς γενήσομαι ταύτης κύριος. μεγάλη γάρ τίς ἐστι καὶ δυσκόλως ἄν τις κτήσαιτο ταύτην ἐξουσιαστικῶς. τοῦτο δέδοικα, ὅπως, ἤγουν πῶς, γενήσομαι δεσπότης τῆς δυνάμεως ταύτης ἣν ὑμεῖς φατέ. Schol. Br.]

[201. *δεσπότης*: Ἐγκρατής. V. (non G). *κύριος*. Gl. Paris.]

202. *νὴ τὸν Δί', ἀλλὰ καὶ λέγουσιν*: Οὐ σὺ μόνος λέγεις σαυτὸν δειλὸν, ἀλλὰ καὶ πάντες. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ὁ Πλοῦτος εἶπεν, πλὴν ἓν μόνον δέδοικα. τὸ δὲ νὴ τὸν Δία κατωμοτικῶς ἀντὶ τοῦ ἔσῃ κύριος τῆς δυνάμεως. [οὐ μόνον σὺ λέγεις δῆλον, ὅτι δειλὸς εἶ, ἀλλὰ πάντες. Gl. Paris.]

203. *δειλότατον ἔσθ' ὁ πλοῦτος*: Ἐπεὶ ἀγωνιᾶν αὐτοῖς ἔδοξεν εἰ δύναται τὴν δύναμιν ἣν φασιν αὐτὸν ἔχειν. λέγεται δὲ περὶ τῶν πλουσίων ὅτι δειλοὶ διὰ τὸ ἀγωνιᾶν περὶ τῶν χρημάτων. αἰνίττεται δὲ εἰς Εὐριπίδην· ἐκεῖνος γάρ φησιν

δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.

ἀναφέρεται δὲ ἐπὶ θεὸν ἡ τῶν χρωμένων κατηγορία.

204. [οὕτως οἱ Ἀττικοὶ διπλασιάζουσιν. ἀσφαλίζονται δὲ οἱ πλούσιοι τὰς οἰκίας αὐτῶν. καὶ ὅτι οἱ πλούσιοι δειλοὶ, μή πως ἀπολέσωσι τὸν πλοῦτον. Ἄλλως. V.] *περὶ πολλοῦ γὰρ ποιοῦν-*

1, 2. om. R.V.
14. πλὴν add. R.V.
ib. τὸ δὲ—κατωμοτικῶς om. V.
ib. τὸν δία R. τὸν om. Ald.
14, 15. ἀντὶ—δυνάμεως om. G.
15. δυνάμεως] δυνάμεώς μου V.
17. Hoc scholion om. R.
17, 18. Ἐπεὶ—ἔχειν add. V.
17. Ἐπεὶ] ἄλλως. ἐπεὶ V.
18. λέγεται δὲ V. δὲ om. Ald.
19, 20. αἰνίττεται—φησιν] καὶ εὐριπίδης V.
20. Εὐριπίδην] Phœn. 600.
22. ἀναφέρεται—κατηγορία om. V.
ib. θεὸν ed. Basil. θεῶν Ald.
23. οὕτως οἱ Ἀττικοὶ διπλασιάζουσιν] Hæc referenda videntur ad εἰς præpositionem post verbum εἰσδύς repetitam. Nam verba sic sunt construenda, εἰσδὺς εἰς τὴν οἰκίαν οὐκ εἶχεν οὐδὲν λαβεῖν.
24. οἰκίας G. οἰκείας V.
25. γὰρ add. R.V.

ται τῶν οἰκιῶν τὴν ἀσφάλειαν οἱ πλούσιοι· καί τις τῶν κωμικῶν φησι

τί ποτ' ἐστὶ χλωρὸν, ἀντιβολῶ, τὸ χρυσίον ;
δέδοικ' ἐπιβουλευόμενον ὑπὸ πάντων ἀεί.

πρόχλωρον γὰρ δοκεῖ εἶναι. Ἄλλως. οἱ γὰρ εὔποροι τῷ φόβῳ τοῦ μὴ ληφθῆναι τὰ χρήματα δειλότεροι γίνονται. τὸ ἐπ' ἐκείνων οὖν μετήνεγκεν ἐπὶ τὸν Πλοῦτον.

[διέβαλ': Ἐσυκοφάντησεν. Gl. Dorv. διέστρεψεν, διέσυρεν. Gl. Paris. εἰσδὺς: Λάθρα ὑπεισελθών· τοῦτο γὰρ τὸ εἰσδὺς σημαίνει. R.V. εἰσελθών. Gl. Paris.]

206. ἁπαξάπαντα: Ἀντὶ τοῦ τέλεον. τὸ δὲ ἑξῆς, εἶτα εὑρὼν ἁπαξάπαντα κατακεκλεισμένα.

[207. ἐὰν λάβῃ. διότι ἐπρονοησάμην, ἐκάλεσέ με δειλόν. V. πρόνοιαν: Τὴν πρόγνωσιν, τὴν περὶ ἐμῶν προμήθειαν. Gl. Paris. τύχη λέγεται ἐπὶ τῶν συμβαινόντων καλῶν ἢ κακῶν, μηδενὸς βουλευομένου περὶ αὐτῶν· πρόνοια δὲ ἐπὶ θεοῦ, ἀπὸ τοῦ προνοεῖσθαι. Paris.]

[208. μελέτω: Φροντὶς ἔστω σοι. ὡς: Ὅτι. Gl. Paris.]

209. ἀνὴρ πρόθυμος: Ἐὰν προθυμηθῇς καλῶς μετελθεῖν ταῦτα τὰ πράγματα, ὥστε τοῖς μὲν δικαίοις συνεῖναι, τοῖς δὲ πονηροῖς μηδαμῶς. [πρόθυμος: Σπουδαῖος. πράγματα: Ἃ ἡμεῖς βουλόμεθα ποιῆσαι. Gl. Paris.]

210. [ἀποδείξω: Ἀποφανῶ. Gl. Paris.] ὀξύτερον τοῦ Λυγκέως:

1. τῶν οἰκιῶν (οἰκειῶν R.) addidi ex R.V.

ib. τις τῶν κωμικῶν] Quis comicorum elegantem sententiam Diogenis (eum enim auctorem prodit Diogen. L. 6, 51.) his iambis expoliverit, equidem ignoro. Ejusdem dicti mentionem quoque fecit Eustath. ad Il. K. p. 812, 56. HEMST.

5. πρόχλωρον γὰρ δοκεῖ εἶναι addidi ex R.V.

ib. Ἄλλως add. V.

9. ὑπεισελθών] εἰσελθών R.

11, 12. om. R.V. Habet Θ, omisso τὸ ἑξῆς, insertoque post τέλεον, Ἀττικὸν δέ ἐστι ὡς τὸ πώμαλα.

13. ἐὰν λάβῃ om. G. Corrigendum fortasse ὃ ἂν λάβῃ referendumque ad λαβεῖν v. 205.

ib. ἐκάλεσε] ἐκάλεσαν G.

15. βουλευομένου Schæferus. βουλομένου Paris.

19. προθυμηθῇς] προθυμηθῇ V.

ib. ταῦτα om. V.

20. ὥστε V. ὡς Ald.

ib. μηδαμῶς] οὐδαμῶς V. Vulgatam totius scholii scripturam habet R.

Τοῦ ἀδελφοῦ Ἴδα, ὡς δ' αὐτὸς ἐν Δαναΐσι φησὶν, υἱὸς Αἰγύπτου. ἐροῦμεν δ' ἐκεῖ τὰ περὶ αὐτοῦ· ἐπεὶ δοκεῖ παρ' ἱστορίαν λέγειν. τοσοῦτον δὲ ὀξυωπέστατος ἦν, ὡς καὶ δι' ἐλάτης ἰδεῖν Κάστορα δολοφονήσαντα τὸν ἀδελφὸν, ὥς φησι Πίνδαρος. καὶ Ἀπολλώνιος δέ φησι περὶ αὐτοῦ ἐν τοῖς Ἀργοναυτικοῖς

εἰ ἐτεόν γε πέλει κλέος, ἀνέρα κεῖνον
ῥηϊδίως καὶ νέρθεν ὑπὸ χθονὸς αὐγάζεσθαι.

γεγόνασι δὲ Λυγκεῖς διάφοροι· εἷς παῖς Αἰγύπτου· καὶ ἄλλος Ἀφαρέως παῖς, ὁ Λάκων, λέγεται Λυγκεὺς, οὗ μέμνηται καὶ Θεόκριτος ἐν τῷ εἰς Διοσκούρους ὕμνῳ

τὼ μὲν ἀναρπάξαντε δύω φερέτην Διὸς υἱὼ
δοιὰς Λευκίπποιο κόρας· δοιὼ δ' ἄρα τώγε
ἐσσυμένως ἐδίωκον ἀδελφεὼ υἷ' Ἀφαρῆος
γαμβρὼ μελλογάμω Λυγκεὺς καὶ ὁ καρτερὸς Ἴδας.

ὃς ἐλέγετο εἶναι πάνυ ὀξυδερκέστατος, ὥστε καὶ τὰ ὑπὸ γῆν ὁρᾷν. οὕτω μὲν μυθολογοῦσι· πρὸς δὲ τὸ πιθανὸν τοῦ λόγου ἐπινενόηται,

1–16. Τοῦ ἀδελφοῦ—πρὸς δὲ] οὗ μέμνηται καὶ Ἀπολλώνιος· ὃς τοσοῦτον ὀξέως ἑώρα ὡς ἰδεῖν δι' ἐλάτης—πίνδαρος. γεγόνασι δὲ καὶ Λυγκεῖς διάφορος (διάφοροι G.) παῖς αἰγύπτου, καὶ ἄλλος ἀμφιάρας, καὶ ἄλλος ὁ λάκωνος Λυγκεὺς, οὗ μέμνηται θεόκριτος· ὃς ἐλέγετο πάνυ εἶναι ὀξυδερκέστερος, ὥστε καὶ τὰ ὑπὸ γῆς ὁρᾶν. τοῦτο μὲν εἴρηται (corrig. λελήρηται), πρὸς δὲ V.

1. Τοῦ ἀδελφοῦ Ἴδα, ὡς δ' αὐτὸς Θ. Λυγκεὺς, ὡς αὐτὸς Ald.

ib. υἱὸς] ὡς Θ.

2. ἐπεὶ δοκεῖ παρ' ἱστ. λ.] Hæc quorsum pertineant, ægre perspici potest, nisi in Danaïdibus Aristophanem statuas, comica forte jocandi libertate, utrosque Lynceos, hunc Ægypti, illum Apharei filium confudisse, alterique, quod alterius erat, acumen visus incredibile tribuisse. Suidas: Λυγκέως ὀξυωπέστερον βλέπεις· οὗτος ἐγένετο ἀδελφὸς Ἴδα· ὡς δὲ Ἀριστοφάνης ἐν Δαναΐσιν, υἱὸς Αἰγύπτου· τοσοῦτον δὲ ὀξυωπέστατος ἦν etc. Quæ post Apollonii versus sequuntur, nihil eorum in Suida: et sunt sane notæ recentioris minusque spectatæ. Burmann. Catal. Argon. in Lynceus scholiastæ nostri verba parum adcurate perpendit. HEMST.

3, 4. τοσοῦτον δὲ—Πίνδαρος] Hæc sola de his scholiis habet R.

4. Πίνδαρος] Nemeon. 1, 115. modo is sit locus, non alius aliquis ex amissis Pindari carminibus, quem in animo scholiastes habuit: nam ibi quidem δρυὸς ἐν στελέχει sedentem Lynceus videt. HEMST.

ib. καὶ addidi ex Θ.

5. ἐν τοῖς Ἀργοναυτικοῖς] 1, 154. ubi νέρθε κατὰ χθονὸς editur. HEMST.

7. νέρθεν] ἔνερθεν Θ.

8. εἷς om. Θ.

9. οὗ] καὶ οὗ Θ.

9–14. ἐν τῷ—καρτερὸς Ἴδας om. Θ.

9. ἐν τῷ εἰς Δ. ὕ.] 22, 137. Hinc patet, titulum olim huic poëmati fuisse Ὕμνον εἰς Διοσκούρους. HEMST.

ὅτι πρῶτος οὗτος εὗρε μέταλλα χρυσοῦ καὶ σιδήρου καὶ τῶν ἄλλων· ἐν δὲ τῇ μεταλλεύσει λύχνους μεταφέρων ὑπὸ τὴν γῆν, τοὺς μὲν κατέλιπεν ἐκεῖσε, αὐτὸς δὲ ἀνέφερε τὸν χαλκὸν καὶ τὸν σίδηρον, καὶ τὰ λοιπά· ἔλεγον οὖν οἱ ἄνθρωποι ὅτι Λυγκεὺς καὶ τὰ ὑπὸ γῆν ὁρᾷ καὶ καταδύνων ἀργύριον ἀναφέρει.

[211. τὸ ποιῆσαί με βλέψαι· θεοῦ γὰρ δεῖται τὸ τοιοῦτον ἔργον. Gl. Paris. et Θ.]

[212. καλῶς ἐλπίζω. Gl. Paris.]

[213. Πυθικὴν σείσας δάφνην: Φασὶν ὡς πλησίον τοῦ τρίποδος δάφνη ἵστατο, ἣν ἡ Πυθία, ἡνίκα ἐχρησμῴδει, ἔσειεν. Junt. μαντικήν. V. οὕτω γὰρ μαντεύεται. R.V.]

[214. κἀκεῖνος: Ὁ Ἀπόλλων. R.V.Θ. ξύνοιδε: Συγγινώσκει. φήμ' ἐγώ: Ναί. Gl. Paris.]

[215. ὁρᾶτε: Σκέψασθε. V. (non G.) μήπως ὁ Ζεὺς ἀκούσας χαλεπήνῃ. μὴ φροντίζετε μηδέν: Μηδενὸς ἔχετε φροντίδα. Gl. Paris.]

[218. χἄτεροι: Καὶ ἕτεροι ἡμῖν. συνίζησις. Θ.]

[219. οὐκ ἦν ἄλφιτα: Ἀντὶ τοῦ οὐκ ἦν χρήματα, ἀπὸ μέρους τὸ πᾶν· ἀπὸ γὰρ τῶν ἀλφίτων τὴν περιουσίαν δηλοῖ. R. Junt. ἢ ἀπὸ τοῦ προηγουμένου τὸ ἑπόμενον. Junt.]

220. παπαί, πονήρους εἶπας: Τὸ παπαὶ σχετλιαστικὸν ἐνταῦθα. πονήρους δὲ, ἐπιπόνους, ἀτυχεῖς, ἀθλίους· ἢ τοῦ πόνου φροντίζοντας. ἴσον τῷ ἀσθενεῖς, ἀπράκτους. ὡς φαμὲν, πονήρως ἔχει τὰ πράγματα ἡμῖν.

1. οὗτος om. V.

ib. εὗρε μέταλλα etc.] Palæphatum descripsit περὶ Ἀπ. c. 10. ubi vide Galeum: item Apostolius 12, 13. HEMST.

1–5. ἄλλων—ἀναφέρει] ἄλλων καὶ διὰ τοῦτο ἐρρήθη (εὑρέθη V.) ὑπὸ γῆς ὁρᾶν, ἐπειδὴ τὰ εἰρημένα τύχῃ τινὶ ἐπενόησε καὶ εὗρε V.Θ.

4. Λυγκεὺς] Ald. et Junt. Λυγγεύς· in præcedentibus nusquam in hoc nomine fuerat erratum: de isto mendo vide Pantinum ad Apostol. p. 325. HEMST.

5. ἀναφέρει] Omnes edd. περιφέρει· nec discrepat Apostolius. Res ipsa postulat ἀναφέρει, quod legitur in Palæphato: paulo ante: ἀνέφερε τὸν χαλκόν. HEMST.

6. τὸ π. με βλέψαι om. Paris.

12. Ὁ om. V. ὁ Ἀπόλλων om. G.

14. Ad v. 215. in V adscriptum συναιρέσει et τοῦδε, quæ om. G. Corrigendum videtur συναίρεσις, quod spectat ad ὦγαθέ. τοῦδε autem suppletur ad φροντίζετε.

ib. μήπως ὁ ζεὺς ἀ. χαλεπανῇ Θ.

18. οὐκ ἦν om. R.

21–23. Τὸ παπαὶ—πράγματα ἡμῖν] σχετλιαστικόν. ἀντὶ τοῦ ἀτυχεῖς, ἀθλίους R. πονήρους, ἀθλίους, ἀτυχεῖς, ἀπράκτους, ὡς φαμὲν, πονήρως ἡμῖν ἔχει τὰ πράγματα V.

στικτέον δὲ εἰς τὸ πονήρους· σημαίνει γὰρ νῦν τὸ ἐπιπόνους. [πονήρους: Γεωργοὺς ἀσθενεῖς. Gl. Paris. πόνηρον: Γεωργόν. Gl. Dorv. ξυμμάχους: Βοηθούς. Gl. Paris.]

221. οὐκ, ἥν γε πλουτήσωσιν: Οὐκ ἔσονται, φησὶ, μοχθηροὶ καὶ ἐπίπονοι ἅπαξ πλουτήσαντες. [πλουτῶ ἀμεταβάτως, ἀντὶ τοῦ πλοῦτον ἔχω· καὶ πλουτῶ μεταβατικῶς πρὸς αἰτιατικὴν, οἷον πλουτῶ ἀρετήν· καὶ πλουτῶ μεταβατικῶς πρὸς γενικὴν, ὡς παρὰ Λιβανίῳ, "πλουτῶ ῥημάτων," ἤγουν ἕνεκα τῶν ῥημάτων. Junt. οὐκ: Οὐκ ἀσθενεῖς ἔσονται. Gl. Paris. πλουτήσωσιν: Πλοῦτον σχῶσι. Gl. Paris.]

[221. πάλιν: Ὡς καὶ πρώην. Junt.]

[222. πρὸς τὸν θεράποντά φησι τὸ ἴθι. τοῦτον δὲ ἀποστέλλει τοῦ καλέσαι τοὺς φίλους αὐτοῦ πένητας ὄντας καὶ δικαίους, ὅπως καὶ αὐτοὶ τοῦ πλούτου μεταλάβωσι καὶ μὴ κακῶς τὸν βίον διάγωσι. V. ἀλλ' ἴθι: Τὸ ἴθι ῥῆμα μὲν ὂν μετὰ μέλλοντος μετοχικοῦ συντάσσεται, οἷον, ἴθι ποιήσων τόδε· ἐπίρρημα δὲ παρακελευσματικὸν, ὥσπερ τὸ ἄγε, μετὰ προστακτικοῦ, οἷον, ἴθι ποίησον τόδε. Junt. ἄπιθι πρὸς τὸν θεράποντα φησίν. Gl. Paris.]

[223. τοὺς ξυγγεώργους: Ξυγγέωργος βαρυτόνως· σύνθετον γὰρ, ὡς πάγκαλος, πάνσοφος. τὰ γὰρ εἰς ος ὀξύτονα συντιθέμενα βαρύνεται. R. Junt.]

[224. ταλαιπωρουμένους: Ταλαιπώρως καὶ δυστυχῶς διακειμένους. τοῦτο γὰρ εἶπεν διὰ τὸ δύσεργον τῆς Ἀττικῆς· πετρώδης γάρ ἐστιν. V. κακοπαθοῦντας. Θ. κοπιῶντας, ταλαιπώρους. Gl. Paris.]

1. στ. δὲ εἰς τὸ π.] Hæc in edd. Porti ac Kusteri prætermissa revocavi ex Ald. et Junt. etsi non diffitear parum me, quo pertineant, exploratum habere. Nonnihil ab his discrepat Suidas in Πόνηρος· dubitabit autem nemo, quin vocis πόνηρος discordes interpretationes ex diversis enarratoribus in unum sint conflatæ. Exemplo, quod ponitur, convenit illud Philostrati H. p. 664, 15. πονήρως οὖν τὰ ἐμὰ εἶχεν. HEMST. στικτέον—ἐπιπόνους om. R.V.

4. μοχθηροὶ R.V. πόνηροι Ald. Totum scholion om. G.

7. μεταβατικῶς πρὸς γενικὴν] ἀμεταβάτως πρὸς γενικὴν Kusterus.

15. Τὸ ἴθι ῥῆμα] Totidem fere verbis in Moschopuli Ἐκλ. Ἀ. Ὀ. leguntur. HEMST.

19. Ξυγγέωργος om. R. Simile scholion in V. προπαροξυτόνως, ὅτι σύνθετόν ἐστι τὸ ὄνομα, γεωργὸς ξυγγέωργος, σοφός πάνσοφος, καλός πάγκαλος.

23, 24. τοῦτο—ἐστιν] Hæc habent etiam R.Θ.

23. τοῦτο γὰρ] Aptius τοῦτο δέ.

ib. πετρώδης γάρ ἐστιν] ἔστιν γὰρ πετρώδης R.Θ.

[225. ὅπως: Ἵνα. ἶσον: Κατὰ, ἤγουν ἐπίσης. παρών: Παραγενόμενος. Gl. Paris.]

[226. ἡμῖν μετάσχῃ: Ὥσπερ μεταλαμβάνω τούτου καὶ τοῦτο φαμὲν, οὕτω καὶ τὸ μετέχω διπλῶς συντάσσεται· καὶ ὅτε μέν ἐστι γενικὴ, τὸ μετὰ ἔχει τὴν δύναμιν· ὅτε δὲ αἰτιατικὴ, τὸ ἔχω, ἢ τὸ λαμβάνω. Junt. μετάσχῃ: Κοινωνήσῃ. Gl. Paris.]

227. [καὶ δή: Ἤδη. Gl. Paris.] τοῦτο τὸ κρεάδιον: Ὃ ἔρχεται ἀπὸ τῆς θυσίας ἔχων ἐκ τῶν Δελφῶν. οἱ γὰρ ἐκ θυσίας ἰόντες, ἔφερον ἐξ αὐτῆς τοῖς οἰκείοις κατὰ νόμον τινά. Ἄλλως. ὅπερ ἧκον ἄγοντες λειφθὲν ἀπὸ τῆς θυσίας. ἔνιοι δὲ, τὸ λεβήτιον. [κρεάδιον: Τὴν χύτραν. Gl. Θ. Dorv. codd. Br. Paris. κρεάδιον τὴν χύτραν λέγει, ἐν ᾗ τὰ κρέα ἔδονται καὶ κατεσθίονται, καὶ δαπανῶνται ἑψόμενα, ἣν ἐν τῇ ὁδῷ ἔφερον χρείας ἕνεκα. Paris.]

[228. τῶν ἐξερχομένων ἀπὸ τῆς οἰκίας εἰσαγαγέτω. Gl. Paris.]

229. [ἐμοὶ μελήσει τὸ εἰσενέγκαι, φησὶ, τὸ κρέας. τὸ δὲ ἀνύσας Ἀττικὸν ἀντὶ τοῦ ἄνυσον, σπούδασον. Ἀττικοὶ δὲ δασύνουσιν αὐτό. V. ἐμοὶ μελήσει: Τοῦ εἰσενέγκαι, φησὶ, τὸ κρεάδιον. τὸ δὲ ἀνύσας ἀντὶ τοῦ ἄνυσον. [μελήσει: Διὰ φροντίδος ἔσται. ἀνύσας: Σπεύσας. Gl. Paris.]

4. καὶ τὸ μετέχω διπλῶς συντάσσεται] Male ait τὸ μετέχειν nunc accusativum regere nunc genitivum. Nam proprie semper regit accusativum. Quando autem genitivo jungitur, id fit per ellipsin accusativi μέρος. Integra phrasis enim est, μετέχειν τινὶ μέρος τινὸς πράγματος, ut hoc loco apud comicum. KUST.

7–9. Ὃ—Ἄλλως om. R.

7. Ὃ] ποῖον τοῦτο ὃ V.

ib. ἔρχεται post ἔχων ponit V. et om. ἐκ τῶν Δελφῶν.

8. ἐκ τῶν R.Θ. ἐκ om. Ald.

9. αὐτῆς R.V. αὐτῆς τῆς θυσίας Ald.

9, 10. Ἄλλως—λεβήτιον om. V.

10. λειφθὲν] λοιπασθὲν R.Θ. Fortasse ἁρπασθέν.

ib. ἔνιοι δὲ, τὸ λεβήτιον] Non est, quod forte quis suspicetur, lectio varia; sed nova interpretatio vocis κρεάδιον· eodem spectat adscriptum illud explicandi causa in Dorv. τὴν χύτραν. Ratio non dissimilis obtinet in κρεῖον apud Homer. Il. I. 206. quod capiendum foret pro ipsa carne, an pro lebete, veteres dubitarunt: vide schol. et Eustath. p. 767. Hesych. in Κρεῖον· Κρήϊον. Modo, ἐξ αὐτῆς τι τῆς θ. HEMST.

12. Interpunctionem quæ in codice est, κατεσθίονται. καὶ δαπανῶνται ἑψόμενα ἣν correxit Schæferus, ἣν ad χύτραν referens. Bastio scribendum videbatur ἅ. De κρεάδιον Bastius affert Alciphron. 3, 22.

17, 18. Τοῦ εἰσενέγκαι—ἄνυσον om. R.V. In R. adscriptum ἐπὶ τοῦ ἀνῦσαι.

17. Τοῦ εἰσενέγκαι] τὸ εἰσενέγκαι Θ.

18. ἄνυσον] ἤγουν σπεῦσον. περιφραστικῶς, Ἀττικῶς add. Θ.

[230. *σὺ δ', ὦ κράτιστε*: Τὸ *κράτιστε ἤτοι ἐγκωμιάζων φησὶν, ἢ ὅτι προεδίδαξεν, ὡς καὶ θεῶν ὁ Ζεὺς δι' αὐτὸν βασιλεύει.* R.V.Θ. Junt. *Ἄλλως. παρεπιγραφὴ, ὅτι εἰς τὴν οἰκίαν ἔφθασαν. τοὺς δὲ λόγους πάντας ἐκείνους ἐρχόμενοι ἐν τῇ ὁδῷ ἔλεγον.* Junt.]

[232. *δεῖ*: *Ἐνδέχεται.* Gl. Paris.]

233. *καὶ δικαίως κἀδίκως*: [Τὸ *δικαίως ἄλλως προσείρηται ἀντὶ τοῦ πάσῃ τέχνῃ καὶ μηχανῇ καὶ παντὶ τρόπῳ· τὸ δὲ ἀδίκως ἁπλῶς ἔρριπται, οὐκ ἀπειλητικῶς δὲ, ἀλλὰ μειλικτικῶς προσαγγέλλει. ἢ ὅτι γελοίου χάριν, ἢ μεταβληθεὶς τοὺς τρόπους. ἀντὶ τοῦ παντὶ τρόπῳ. οὕτως Ἀττικοί.* V.] *τὸ ἀδίκως ἁπλῶς ἔρριπται, οἷον πάσῃ τέχνῃ. οὐ γὰρ ὑπόκειται αὐτῷ, ἄδικος οὗτος· οὐκ ἀπειλητικῶς δὲ, ἀλλὰ μειλικτικῶς προσαγγέλλει. Ἄλλως. ἀντὶ τοῦ παντὶ τρόπῳ· οὕτως Ἀττικοί.* [*παντὶ τρόπῳ.* Gl. Paris. Victor.]

[234. *ἄχθομαι*: *Ἀντὶ τοῦ φορτικὸν ἡγοῦμαι.* V. *βαρύνομαι. εἰσιὼν*: *Εἰσελθὼν, εἰσερχόμενος.* Θ. *εἰσερχόμενος.* Gl. Paris.]

[235. *ὡς τοῦ Πλούτου ἰδίαν διοίκησιν μὴ ἔχοντος. αὐτοῦ δὲ πώποτε ἀντὶ τοῦ αὐτόθι, τοπικὸν ἐπίρρημα. λέγει δὲ αὐτοῦ τοῦ εἰσελθεῖν.* V. *ἀλλοτρίαν*: *Ξένην. πάνυ*: Τοῦτο *πρὸς τὸ ἄχθομαι συναπτέον.* Gl. Paris. Θ.]

[236. *αὐτοῦ*: Τοῦ *εἰσέρχεσθαι.* Gl. Θ. Dorv. *εἰσελθεῖν.* Gl. Paris. *ὥσπερ κατηγορῶ σου τοδε φαμὲν, οὕτω καὶ ἀπολαύω σου τόδε. ἰστέον δὲ ὅτι τὸ πώποτε ποτὲ μὲν τὴν δύναμιν ἔχει τοῦ ποτὲ, ποτὲ δὲ, τοῦ πῶς.* Paris.]

1. Τὸ] *καὶ τὸ* R.

3. *παρεπιγραφὴ* etc.] Eadem in Dorv. sed brevius *τοὺς δὲ λ. π. εἰς τὴν ὁδὸν ἔλεγον.* HEMST.

10–12. *τὸ ἀδίκως—προσαγγέλλει*] Idem scholion supra ad v. 219. adscriptum habet V. (non G.) hoc modo: *δικαίως ἀδίκως τὸ ἁπλῶς ἔρριπται οἷον πάσῃ τέχνῃ. οὐ γὰρ οὐχ ὑπόκειται αὐτῷ ἄδικος οὕτως ἀπειλητικὸν, ἀλλὰ μειλικτικῶς προσαγγέλλει.*

ib. *τὸ ἀδίκως—προσαγγέλλει. Ἄλλως* om. V.

10. *πάσῃ* R.Θ. *ἁπάσῃ* Ald.

12. *προσαγγέλλει*] *προαγγέλλει* R. *παραγγέλλει* Hemst.

ib. *Ἄλλως* om. R.

14 et 16–18. *φορτικὸν ἡγοῦμαι. τοῦ εἰσελθεῖν. τοπικὸν τὸ ἐπίρρημα, αὐτόθι. ὅπου, φησὶ, εἰσέλθω* R. Duplex in his proponitur explicatio vocabuli *αὐτοῦ*, quod alii pro pronomine acceperunt interpretatique sunt *τοῦ εἰσελθεῖν*, alii pro adverbio, *αὐτόθι* significante.

16. *μὴ ἔχοντος* G. *μὴ* om. V.

20. *τοῦ* om. Dorv.

21. *ἀπολαύω* Bastius. *ἀπολάβω* Paris.

237. *φειδωλὸν*: Φειδωλός ἐστιν ὁ φεύγων τὸ δοῦναι, ὁ περίψηφος. *τινὲς δὲ παρὰ τὸ φείδομαι καὶ τὸ δοῦναι, φειδωδός τις ὢν, καὶ τροπῇ τοῦ δ εἰς λ φειδωλός.* [*φειδωλὸν*: Φειδόμενος ἔνθα οὐ δεῖ. Gl. Paris. *εἰσελθὼν τύχω*: Εἰσέλθω. Gl. Victor.]

[238. *κατώρυξεν*: Κατορύξας ἔκρυψεν ἐμέ. Gl. Paris. *κατέχωσε*. Gl. Dorv. *κατορύττω τι τὸ φανερὸν κρύπτω. ἀνορύττω δὲ τὸ κρυπτόμενον εἰς φῶς ἕλκω.* Paris.]

239. *κἂν τις προσέλθῃ χρηστὸς*: *ἵνα τὴν ὑπερβολὴν τῆς φιλαργυρίας σημάνῃ προκεκριμένης καὶ τῶν χρηστῶν φίλων.*

[240. *αἰτῶν*: Ζητῶν. Gl. Paris. *ἀργυρίδιον*: Ἢ δανείου χάριν ἢ δωρεὰν ἁπλῶς. Gl. Θ. Paris.]

241. *ἔξαρνός ἐστι*: Ἀπαρνεῖται. Gl. Paris. *ἰδεῖν*: Βλέψαι. Gl. Victor.]

242. *παραπλῆγα*: Ἄφρονα, *μωρὸν, ἀπὸ τῶν κρουμάτων τῶν διαπεπτωκότων τοῦ ἐναρμονίου λυρισμοῦ. ἀληθῶς γὰρ ἡ ἀσωτία πεπληγμένη ἐστὶ διάνοια.* [*ἐν κακίᾳ μανικὸν καὶ ἀκόλαστον*. Θ. *μανικόν*. Gl. Dorv.]

1. *φειδωλὸν*] *ἦν μὲν γὰρ εἰς φειδωλὸν* V.
ib. *φειδωλός ἐστιν ὁ* V. *φειδωλός τις* Ald. *φειδωλός τις ὢν* R.Θ. et Suidas s. *φειδωλός*: quod e proximo *φειδωλός τις ὢν* corruptum.
ib. *τὸ δοῦναι*] *τὸ εἶναι* Θ. *τοῦ διδόναι* Paris.
ib. *ὁ περίψηφος* addidi ex R.V. (non G.) et Suida.
ib. *περίψηφος*] In calculis sollicite ponendis occupatus. Vid. Suidam s. *λογισταί*. HEMST.
2. *τινὲς δὲ* addidi ex R.V.Θ. et Paris.
ib. *τινὲς—καὶ τὸ δοῦναι* om. G.
ib. *τὸ—τὸ*] *τοῦ—τοῦ* Paris.
2, 3. *φειδωδός—φειδωλός* om. R. et Paris.
2. *φειδωδός*] *φειδωλός* V. *φειδωτός* Θ.
3. *δ*] *τ* Θ.
ib. *φειδωλός*] *ἐγένετο φειδωλός* V.
8. *ὑπερβολὴν*] *προβολὴν* V. Habet hoc scholion R.
ib. Hoc scholion codex Paris. bis scriptum habet, primum sic: — *φιλαργυρίας δηλώσῃ προκεκρυμμένης τῶν χρηστῶν φίλων.* altero loco sic: — *προκεκρημένος καὶ τῶν χρηστῶν φίλων.*
9. *σημάνῃ*] *σημαίνῃ* Junt.
ib. *προκεκριμένης*] *προκεκρουμένης* V. *προκεκρουμένην* G.
14, 15. *Ἄφρονα—λυρισμοῦ*] *ἀφρόνως παραπλήκτην ἀπὸ τοῦ ἐναρμονίου λυρισμοῦ διὰ μεταστάσεως· ἢ ὅτι διὰ τὸν παραδέοντα κρουσμόν. ἄλλως. παραπλῆγα τὸν μωρόν* V. Nihil de his verbis præter *μωρόν* habet R.
15. *ἀσωτία*] *ἀσωτεία* Paris.
ib. *πεπληγμένη* R.V. et Suidas s. *παραπλήξ· παραπεπληγμένη* Ald.
16. Post *διάνοια* in libro Parisino statim sequuntur hæc: *ἄλλως· ὅπερ πάσχουσιν οἱ παραπλῆγες ἄνθρωποι, δι' ἀσωτείαν τεμνούμενοι, εἰς ἑαυτὸν μετήγαγε.* Quæ sunt ex scholio v. 244.

[*παραπλὴξ ὁ παραπαίων ἤτοι ὁ μαινόμενος, ὁ παρακεκομμένος τὴν φρόνησιν. καταπλὴξ δὲ ψοφοδεὴς, ὁ δεδοικὼς τὰ πάντα.* Paris.]

[243. *παραβεβλημένος*: *Ἐκδεδομένος.* Gl. Paris.]

244. [*θύραζ'*: *Ἐκτὸς τῆς θύρας.* *ἐν ἀκαρεῖ*: *Ὀλίγῳ.* Gl. Θ. Paris. *ἐπ' ὀλίγῳ.* R.] *ἐν ἀκαρεῖ*: [*Ἐν ὀλίγῳ. ἐπίρρημα τὸ ἀκαρεὶ, ἐξ οὗ παρῆκται τὸ ἀκαρὲς ἐπιρρηματικὸν ὄνομα.* V.] *πεποίηται δὲ παρὰ τὸ ἄτμητον τοῦ χρόνου, ὡς καὶ τῆς κειρομένης τριχός. ἀκαρὲς δὲ τὸ ἄτμητον. Ἄλλως. τῷ ἐλαχίστῳ, ὃ οὐχ οἷόν τε διακεῖραι καὶ διακόψαι διὰ τὸ βραχύτατον τοῦ χρόνου. πεποίηται δὲ ἀπὸ τῶν μικρῶν τριχῶν τῶν διὰ βραχύτητα μὴ δυναμένων καρῆναι. Ἄλλως. ἐπίρρημα τὸ ἀκαρῶς, ἀφ' οὗ τὸ ἀκαρὲς ἐπιρρηματικὸν ὄνομα. ὅπερ δὲ πάσχουσιν ἐκεῖνοι δι' ἀσωτίαν γυμνούμενοι, τοῦτο εἰς ἑαυτὸν ἐπήγαγε.*

245. [*μετρίου*: *Ἐλευθέρου, μέτρον καὶ τάξιν ἔχοντος ἐν τῷ βίῳ.* Gl. Θ. Paris.] *μετρίου γὰρ ἀνδρὸς*: *Τουτέστι, ταῦτα πάσχεις, ἐπεὶ οὐδέποτε μετρίου ἀνδρὸς ἐπέτυχες.*

246. [*τούτου τοῦ τρόπου*: *Τῆς μετριότητος δηλονότι. πως εἴμ' ἀεί*: *Εἰμὶ καταπολύ.* Gl. Θ. Paris.] *πῶς εἴμ' ἀεί*: *Τὸ πῶς θαυμαστικόν ἐστι· θαυμάζει γὰρ αὐτὸν ὡς ἀεί ποτε σύμμετρον ὄντα. μετρίου δὲ λέγει ἀνδρὸς, τοῦ διαμετροῦντος ἑαυτὸν τῷ ζῆν.*

247. *φειδόμενος*: *Ἀρετῆς γάρ ἐστι τῷ δέοντι καιρῷ ἁρμοζόμενον*

5. *τὸ ἀκαρεὶ*] *τὸ ἀκαρῶς* Suidas s. *ἀκαρῆ.*

6. *πεποίηται δὲ* V. Aberat *δέ.*

7. *τῆς κειρομένης τριχός. ἀκαρὲς δὲ τὸ* V. *τὸ κείρομαι τριχός. ἀκαρὲς τὸ* Ald. Omittit hæc R, qui orditur a verbis *τῷ ἐλαχίστῳ.*

8–13. *τὸ ἄτμητον—ἐπήγαγε*] *διὰ τὸ ἄτμητον, ὅπερ πάσχουσιν ἐκεῖνοι ὑπὸ τῆς ἀσωτίας γυμνούμενοι, εἰς ἑαυτὸν ἀναφέρει. ἄλλως. ἐν ἀκαρεὶ, τῷ ἐλαχίστῳ, ᾧ οὐχ οἷόν τε διακεῖραι καὶ διακόψαι διὰ τὸ βραχὺ τοῦ χρόνου. πεποίηται δὲ ἀπὸ τῶν μικρῶν τριχῶν τῶν διὰ βραχύτητα μὴ δυναμένων καρῆναι* V.

8. *διακεῖραι καὶ* addidi ex R.V. et Suida.

10, 13. *Ἄλλως—ἐπήγαγε* om. R.

12. *ἐπήγαγε*] *μετήγαγε* Θ.

14. *Ἐλευθέρου* om. Θ.

15, 16. *Τουτέστι—ἔτυχες* om. R. V.

16. *ἐπέτυχες* Θ. *ἔτυχες* Ald.

17. *δηλονότι* om. Θ.

19. *ἐστι* om. V.

ib. *θαυμάζει—ὄντα*] Hæc tantum habet R.

ib. *αὐτὸν*] *ἑαυτὸν* V.

20. *λέγει ἀνδρὸς*] *ἀνδρὸς λέγει* V.

ib. *τῷ*] *τοῦ* V.Θ.

21. *Ἀρετῆς*] *ἀρετὴ* V.

ib. *ἐστι* R.V.Θ. *ἐπὶ* Ald.

ib. *τῷ*] *τὸ τῷ* Θ.

ib. *ἁρμοζόμενον* R.V. *ἁρμοζομένως* Ald.

καὶ φείδεσθαι καὶ δαπανᾶν. [φειδόμενος: Ἀκριβολογούμενος τῶν χρημάτων. ὡς οὐδεὶς ἀνήρ: Χαίρει. Gl. Paris.]

248. [ἀναλῶν: Ἀντὶ τοῦ δαπανῶν. V. Χαίρω, ἡνίκ' ἂν τοῦ φείδεσθαι χρεία ᾖ. Gl. Paris. ἡνίκ' ἂν τούτου δέῃ: Τὸ ἡνίκ' ἂν τούτου δέῃ κοινῶς λάμβανε, καὶ πρὸς τὸ ἀναλῶν, καὶ τὸ φειδόμενος. Junt.]

249. ὡς ἰδεῖν σε βούλομαι: Οὐχ ἵνα ὁ Πλοῦτος ἴδῃ τὴν γυναῖκα καὶ τὸν υἱὸν, τυφλὸς γὰρ ἦν, ἀλλ' ἵνα ἐκεῖνοι τὸν Πλοῦτον ἴδωσιν· οὕτω γὰρ πρέπει. Ἀττικὸν δὲ τὸ πλεονάζειν τοῖς ἄρθροις. [δεῦρο εἰσέλθωμεν. ὡς: Ὅτι. Gl. Θ. Paris.]

[250. μόνον: Μονογενῆ. Gl. Paris.]

251. [ὃν ἐγὼ: Δείκνυσιν, ὡς καὶ τῶν παίδων αὐτῶν πλέον τὸν πλοῦτον φιλοῦσιν οἱ ἄνθρωποι. Paris. Victor.] πείθομαι: Χαριέντως τοῦτό φησιν· οἶδα γὰρ ὅτι καὶ τέκνων προτιμᾷς τὸν πλοῦτον. [ἢ ὅτι σε φιλῶ μάλιστα μετὰ τὸν υἱόν. V.]

[252. τί γὰρ ἄν τις: Ἡ κατασκευὴ αὕτη, ἡ τί γὰρ ἄν τις, πρὸς τὸ, ὃν ἐγὼ φιλῶ μάλιστα μετὰ σέ· τὸ δὲ πείθομαι διὰ μέσου τῷ Πλούτῳ εἴρηται. Junt. τί γὰρ ἄν: Διατί. Gl. Paris.]

253. ὦ πολλὰ δὴ τῷ δεσπότῃ: Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν ἐννέα πρὸς τοῖς τεσσαράκοντα, ἄχρι τοῦ, "ἐγὼ δὲ "τὴν Κίρκην," ὧν οἱ μὲν μέ τετράμετροί εἰσι καταληκτικοὶ, οἱ δὲ, "βληχώμενοί τε προβατίων," καὶ, "αἰγῶν τε κιναβρώντων μέλη," ἔτι δὲ, "ἡγούμενον τοῖς προβατίοις," καὶ, "εἰκῇ δὲ καταδαρθέντα "που," τέσσαρες ὄντες, δίμετροί εἰσιν ἀκατάληκτοι. καὶ τὸ μὲν τετράμετρον Ἱππωνάκτειον καλεῖται, διὰ τὸ κατακόρως αὐτὸν τούτῳ χρήσασθαι. οἷόν ἐστι καὶ τὸ, "εἴ μοι γένοιτο παρθένος καλή τε καὶ "τέρεινα." τὸ δὲ δίμετρον Ἀνακρεόντειον, οἷόν ἐστι τὸ, "καὶ μαί-"νομαι κοὺ μαίνομαι." ἐφ' ἑκάστῳ συστήματι παράγραφος· ἐπὶ δὲ

4. ᾖ Schæferus. ἦν Paris.

7, 8. Οὐχ ἵνα—ἀλλ' om. R.

8. τυφλὸς γὰρ ἦν add. V.

8, 9. ἐκεῖνοι—ἄρθροις] αὐτὸς ὑπ' αὐτῶν θεωρηθῇ. τὸ γὰρ ἰδεῖν σε ἀντὶ τοῦ θεαθῆναί σε. ἀττικὸν—ἄρθροις. λέγει δὲ αὐτὸν εἰσελθεῖν, ἵνα ἐκεῖνοι τὸν πλοῦτον ἴδωσι. τὸ δὲ ν πλεονάζει. ὅτι τὸ ν πλεονάζει. V. Postrema illa τὸ δὲ ν etc. quibus caret G, spectant ad ταυτόν v. 253.

9. ἄρθροις] ἀριθμοῖς R.

14. τοῦτό φησιν· οἶδα γὰρ ὅτι R.V. Θ. τοῦτο· οἶδα γὰρ, φησὶν, ὅτι Ald.

19—p. 112. l. 7. Scholion recens, quo carent R.V.

26. εἴ μοι] Versus Hipponactis apud Hephæstion. p. 30. ed. Gaisf.

τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα. ἰστέον ὅτι, ὅτε τίθεται ἐν τοῖς ἀμοιβαίοις τῶν ὑποκριτῶν προσώποις ἐν ἐκθέσει κῶλά τινα μετὰ τὴν περίοδον τῶν στίχων τοῦ αὐτοῦ μέτρου ὄντα, ἢ καὶ ἑτέρου (εὕρηται γὰρ καὶ οὕτως) ὁ τοιοῦτος σχηματισμὸς καλεῖται διπλῆ, διὰ τὸ μετὰ τὴν συμπλήρωσιν τούτων τὸ σημεῖον ἐκτὸς τίθεσθαι τῆς διπλῆς· ὅπερ τριγώνου πλαγίου σχήματι ἔοικεν τῆς βάσεως μόνης λιπούσης· μεθ' ἣν οὐδὲ χοροῦ πάροδος ἀεὶ γίνεται, ἀλλὰ σπανίως. ὅτε δὲ οὐ τίθεται κῶλα τοιαῦτα, ἀλλ' ἐν οἷς ἤρξαντο στίχοις, ἐν τούτοις οἱ ὑποκριταὶ παύονται, τὸ τοιοῦτο καλεῖται κορωνὶς, διὰ τὸ μετὰ τὴν συμπλήρωσιν τούτων τὸ σημεῖον τῆς κορωνίδος τίθεσθαι· ὅπερ γραμμή τίς ἐστι βραχεῖα, καμπήν τινα ὑποκάτω ἔχουσα· ἧς ἑξῆς ἀεὶ τίθεται κορωνὶς ἑτέρα χοροῦ, ἐπισφραγίζουσα οἷον τὰ ῥηθέντα. ἐν δὲ ταῖς στροφαῖς καὶ ἀντιστροφαῖς καὶ τῇ μεταξὺ τούτων τῶν ὑποκριτῶν περιόδῳ παράγραφος τίθεται, ὡς Ἡφαιστίων φησὶν, ἧς τὸ σχῆμα γραμμή τίς ἐστι βραχεῖα, ὥσπερ τινα στιγμὴν ἐν τῷ ἄκρῳ ἔχουσα. δῆλα δέ ἐστι τὰ τοιαῦτα σχήματα καὶ ἐν τῷ βιβλίῳ κείμενα· μεθ' ὧν ἐστι καὶ ὁ ἀστερίσκος, οὗ τὸ σχῆμα ἀστέρι ἔοικεν. Ἡφαιστίων δέ φησιν, ὅτι κατὰ τὴν Ἀριστοφάνειον ἔκδοσιν ὁ ἀστερίσκος ἐπὶ ἑτερομετρίας ἐτίθετο μόνης. χρώμεθα δέ, φησι, τῇ κορωνίδι ἐν τοῖς δράμασιν κατὰ τρόπους τρεῖς· ἤτοι ὅταν, τῶν ὑποκριτῶν εἰπόντων τινὰ καὶ ἀπαλλαγέντων, καταλείπηται ὁ χορός· ἢ ἔμπαλιν· ἢ ὅταν μετάβασις ἀπὸ τόπου εἰς τόπον γίνεσθαι δοκῇ τῆς σκηνῆς· τῇ δὲ παραγράφῳ ἤτοι κατὰ πρόσωπα ἀμοιβαῖα, ἔν τε τοῖς ἰαμβικοῖς καὶ τοῖς

1. Agit hoc loco scholiastes de signis, sive notis, quibus grammatici veteres in distinguendis comœdiarum et tragœdiarum partibus uti solebant. Ea autem ut facilius a lectore intelligantur, illorum figuras hic subjiciam:

κορωνὶς ʒ
παράγραφος —
διπλῆ ἔσω νενευκυῖα <
διπλῆ ἔξω νενευκυῖα >
διπλαῖ δύο ἔξω νενευκυῖαι < >
Harum altera nimirum in initio et altera in fine versus poni solebat.
ἀστερίσκος ⋇

De usu harum notarum apud veteres grammaticos abunde hoc loco scholiastes: cui jungere potes Hephæstionem in Enchiridio, et ex recentioribus Cœl. Rhodigin. Antiq. Lect. lib. 15. cap. 20. KUST. Et Villoison. præfat. ad Homer. p. XVIII.

17. Ἡφαιστίων δέ φησιν] P. 74. (133. Gaisf.) unde patet supplendum esse, ut integra sibi constet sententia, κατὰ τὴν Ἀριστοφάνειον τοῦ Ἀλκαίου ἔκδοσιν· loquitur enim Hephæstion de illa, quam Aristophanes grammaticus curaverat, Alcæi editione. HEMST.

23. κατὰ πρ.] ἤτοι κατὰ πρ. Hephæst. p. 75. et pro στροφῶν, στρο-

χορικοῖς, μεταξὺ τῆς τε στροφῆς καὶ τῆς ἀντιστρόφου. ἐὰν μέντοι ἡ στροφὴ ἐξ ἀμοιβαίων τυγχάνῃ συγκειμένη, οὐκ ἐξαρκεῖ πρὸς τὸ δηλῶσαι, ὅτι πεπλήρωται ἡ στροφὴ, ἡ παράγραφος, ἐπιφερομένης ἄλλης στροφῆς, ἐπεὶ καὶ ἐφ' ἑκάστου κώλου οὐδὲν ἧττον τίθεται· ἀλλὰ κεῖται καὶ ἡ ἔσω νενευκυῖα διπλῆ· τοῦτο δὲ, ἐὰν ἀντίστροφος ἐπιφέρηται, ὡς, ἐάν γε μεταβολὴ μόνον ᾖ στροφῶν, ἡ ἔξω βλέπουσα τίθεται.

253. [πολλὰ: Πολλάκις. ταυτὸν: Ὅμοιον. Gl. Paris. θύμος ἐστὶ τὸ ἀγριοκρόμυον, ᾧ δι' ἄκραν ἀπορίαν χρῶνται οἱ πένητες. ἔχει δὲ τὸ ῡ βραχύ. τὸ δὲ θυμὸς, ὃ δηλοῖ τὴν ψυχὴν, μακρόν. Paris. εἶδος βοτάνης. πρὸς τὸν χορὸν τῶν γεωργῶν. V.] ταὐτὸν θύμον: Ἀντὶ τοῦ, τῆς αὐτῆς πενίας μετασχόντες· θύμος γὰρ εἶδος βοτάνης εὐτελοῦς. τινὲς δέ φασιν ὅτι παρῴδηται ἐκ τῶν Ἡσιόδου

οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.

ἀντὶ τοῦ, ὦ δίκαιοι, τὰ εὐτελῆ θέλοντες ἐσθίειν διὰ τὸ μὴ ἐθέλειν ἀδικεῖν· ἅμα δὲ καὶ τὸ τραχὺ καὶ ἄκαρπον τῆς γῆς διαβάλλει. οὐδετέρως δὲ τὸ θύμον λέγεται καὶ βραχυπαραλήκτως καὶ βαρυτόνως· ἐκτεινόμενον γὰρ καὶ ὀξυνόμενον καὶ ἀρσενικῶς κλινόμενον δηλοῖ τὴν ψυχήν.

[254. δημόται: Ἤτοι οἱ ἀπὸ τοῦ αὐτοῦ δήμου. τοῦ πονεῖν ἐρασταὶ: Τοῦ κοπιᾶν ἐπιθυμηταί. Gl. Paris.]

φῆς. HEMST. Addidi ἤτοι, in codice Parisino inventum.

11. εἶδος—γεωργῶν om. G.

ib. θύμον] Ejus vocis Dorv. tale præbet interpretamentum: Ἀγριοκρόμμυον, ᾧ χρῶνται οἱ πένητες δι' ἄκραν ἀπορίαν· ἐστὶ δὲ τὸ υ βραχύ. HEMST.

ib. ταυτὸν θύμον: Ἀντὶ] ἄλλως. (ἄλλως om. G.) ταυτὸν θύμον φαγόντε (φαγόντες G.) ἀντὶ V.

12. μετασχόντες] μετέχοντες V.

ib. θύμος R.V.Θ. et Suidas s. θύμος. θύμον Ald.

ib. γὰρ R.V. et Suidas γάρ ἐστιν Ald. δέ ἐστιν Θ.

ib. εἶδος βοτάνης εὐτελοῦς] εἶδος εὐτελοῦς βοτάνης (βοτάνης om. G.) V. εὐτελὴς βοτάνη R. et Suidas.

13–19. τινὲς—ψυχήν] ἀπὸ δὲ τοῦ θύμου, σημαίνει τὸ λάχανον, συνεσταλμένον δέ. ἄλλως. οὐδετέρως τὸ θύμον καὶ βραχυπαραλήκτως. ἐν γὰρ τῇ συναλοιφῇ (vocabuli ταυτόν) ἐπεισάγεται τὸ ν τῆς αὐτό ἀντωνυμίας· εἰ γὰρ ἦν ἀρσενικὸν, τὸν αὐτόν ἦν καὶ οὐκ ἐγένετο (adde ταυτόν). συστέλλει δὲ νῦν τὸ υ τοῦ θύμον καὶ βαρυνόμενον γὰρ καὶ ἐκτεινόμενον (corrig. e loco superiore θύμον. βαρυνόμενον γὰρ καὶ συνεσταλμένον σημαίνει τὸ λάχανον, ἐκτεινόμενον δὲ) καὶ ὀξυνόμενον δηλοῖ τὴν ψυχήν. τινὲς δέ φασιν—διαβάλλει V.

13. τινὲς δέ] δέ om. R.

ib. παρῴδηται] πεπαρῴδηται Θ.

ib. Ἡσιόδου] Ἔργ. 41.

15. δίκαιοι τὰ R.V.Θ. et Suidas. δίκαια καὶ Ald.

16. καὶ ἄκαρπον addidi ex V.

16–19. οὐδετέρως—ψυχήν om. R.

18. καὶ ἀρσενικῶς κλινόμενον om. Θ.

255. ἴτ', ἐγκονεῖτε: Ἀντὶ τοῦ ἐνεργεῖτε, ταχύνατε· ἐπεὶ οἱ τρέχοντες κόνεως πληροῦνται. ἢ ἀπὸ τῶν ἀθλητῶν· ἐν κόνει γὰρ ἐκείνων τὸ ἔργον. ἢ ὅτι πρὸ τοῦ τῆς κόνεως ἅψασθαι νικῶσιν. [πρόσιτε, κόνιν ἐγείρετε, ὅτι ὁ καιρὸς οὐχὶ βραδύνειν ἐστί. Gl. Paris.]

ὁ καιρὸς οὐχὶ μέλλειν: Οὐ τοῦ μέλλειν καὶ ἀναβάλλεσθαι καιρός ἐστιν, ἀλλὰ τοῦ σπεύδειν καὶ κόνιν πέμπειν.

[256. ᾗ δεῖ παρόντ': Καθ' ἣν ἀκμεῖ δεῖ παρόντας βοηθεῖν. Gl. Paris.]

257. [οὔκουν: Τὸ λοιπόν. ὁρμωμένους: Κινουμένους. πάλαι: Πρὸ ὥρας. Gl. Paris.] πάλαι προθύμως: Συντόνως, δεικτικῶς. τὸ δὲ πάλαι οὐ μόνον βραδυτῆτός ἐστιν ἐπίρρημα, ἀλλὰ καὶ ταχυτῆτος.

[258. ὡς εἰκός ἐστιν: Ὁρμᾶν. ἀσθενεῖς: Ἀδυνάτους. ἤδη: Ἀπὸ τοῦ νῦν. Gl. Paris.]

1–3. ἐπεὶ—νικῶσιν om. R.

2. ἀθλητῶν· ἐν κόνει γὰρ] ἀθλητῶν ἐγκονεῖν· οὐ γὰρ V.

3. ἢ ὅτι πρὸ τοῦ τ. κ. ἅ. ν.] In his ultimis, qui totam adnotationem descripsit, ne litera quidem discrepat Suidas in ἐγκονεῖτε· quis tamen mirificam illam explicandæ τοῦ ἐγκονεῖν potestatis rationem intelligat? Sine dubio quiddam interiit, quod si restituere liceat, mota difficultas evanescet: absurdene conjectarim, nec ne, lector arbitretur: ἐν κόνει γὰρ ἐκείνων τὸ ἔργον· ὅθεν καὶ ἀκονιτὶ λέγεται, (vel ἀκονιτὶ νικᾶν λέγονται) ὅτε (vel ὅταν) πρὸ τοῦ τῆς κόνεως ἅψασθαι νικῶσιν. Etymologus ἀκονιτὶ exponit ἄνευ ἀγῶνος καὶ μάχης· ἐκ μεταφορᾶς τῶν ἀθλητῶν τῶν εὐμαρῶς περιγινομένων, ὥστε μὴ κονίσασθαι· similia traduntur a Suida. HEMST.

ib. νικῶσιν] κινῶσιν V. κυκῶσι G. om. Θ.

5, 6. Οὐ τοῦ—καιρός ἐστιν] τὸ δὲ μέλλειν ἀντὶ τοῦ μέλλειν καὶ (μέλλειν καὶ om. G.) ἀναβάλλεσθαι καιρὸς οὐκ ἔστιν V. Totum scholion om. R.

6. καὶ κόνιν πέμπειν om. V.

ib. πέμπειν] Melius, ut puto, scripsisset ἐγείρειν· quomodo Etymol. in Ἐγκονεῖν· οἱ γὰρ ἐπειγόμενοι τὶ πράττειν, κατὰ τὸν δρόμον ἐγείρουσι κόνιν. HEMST.

10. Συντόνως] Priores editt. habent συντόμως, quod nihil ad rem facit. Loquitur enim hic comicus de incessu sive gradu propero et contento, i. e. συντόνῳ, a verbo συντείνειν, quod de quavis contentione apud Græcos dicitur. Sic, quod huc præcipue facit, apud Eurip. Elect. 112. legas, σύντεινε ποδὸς ὁρμήν, i. e. *accelera gradum*, sive ut phrasi Plautina utar, *grandi gradum*. Pro συντόνως comicus noster infra v. 325. dixit συντεταμένως, ubi nos vide. Cæterum non solum hoc loco male συντόμως pro συντόνως legitur, sed etiam infra in scholiis ad Acharn. v. 686. ad Aves v. 1467. itemque apud Suidam v. λιταργοῦμεν et v. φαύλως, ut eorum locorum, quæ nunc mihi succurrunt, mentionem tantum faciam. Nam et alibi mendum hoc non raro occurrit. KUST. συντόμως R.Θ. σύνδεσμος ἀποδεικτικός (hoc ex scholio v. 261.) προθύμως δὲ ἀντὶ τοῦ συντόμως V.

10, 11. τὸ δὲ—ταχυτῆτος om. R.

11. βραδυτῆτος] βραχύτητος V.

ib. ἐστιν add. V.

259. [ἀξιοῖς : Ἄξιον κρίνεις. ἴσως : Ὁμοίως. Gl. Paris. ὁμοίως σοι τρέχειν. Θ.] ἴσως με θεῖν : Ἐξίσου σοι τρέχειν. τὸ δὲ λοιπὸν ἐν ὑπερβατῷ· καίτοι γε ἐξῆν εἰπεῖν, καὶ ταῦτα πρὶν φράσαι μοι.

[260. ὅτου : Οὔτινος. Gl. Paris.]

261. οὐκοῦν πάλαι δήπου : Σύνδεσμος ἀποδεικτικός· τοὺς γέροντας δὲ παίζει μηδὲν εἰπὼν, καὶ ὑποκρίνεται εἰρηκέναι, διὰ τὸ αὐτῶν τὰ ὦτα γήρᾳ πεπηρῶσθαι. ἐπεγγελᾷ οὖν τῷ ἀμυδρῷ τῶν αἰσθήσεων διὰ τὸ γῆρας. [Ἄλλως. δέον ἔλεξα εἰπεῖν πρὸς τὸ πάλαι, ὁ δὲ λέγω εἶπε δεικνὺς, ὡς οὐχ ἅπαξ, ἀλλὰ πάλαι καὶ νῦν λέγει. παίζων δὲ ὁ θεράπων τοῦτό φησιν· οὐ γὰρ προεῖπεν αὐτοῖς τίνος χάριν αὐτοὺς καλεῖ. Junt. δήπου λέγω : Θέλων ὡς κωφοὺς διαβαλεῖν τοῦτο φησίν. ἀκούεις : Ἐμοῦ. Gl. Paris.]

[262. φησιν : Ὑπισχνεῖται. Gl. Paris.]

263. ψυχροῦ βίου : Ἤτοι τοῦ ταλαιπώρου· ἢ ἐπιμεμφόμενος διὰ τὸ γῆρας τοῦτό φησιν, ἀντὶ τοῦ εὐτελοῦς· τὸ δὲ ἑξῆς, ὑμᾶς ἅπαντας ἀπαλλαγέντας ψυχροῦ καὶ δυσκόλου βίου ζήσειν. [ψυχροῦ : Νεκροποιοῦ· τοιοῦτος γὰρ ὁ τῶν πενήτων. δυσκόλου : Δυσπορίστου. ἀπαλλαγέντας ; Ἐλευθερωθέντας. Gl. Paris.]

[264. τί δέ ἐστιν —. ὅ φησιν : Ὅπερ ὑπισχνεῖται. Gl. Paris.]

[265. φέρων ἦλθεν ἐνταῦθα. Gl. Paris. ἀφῖκται : Παραγέγονε. Gl. Victor. πόνηροι : Γεωργοί. Gl. Dorv. Paris.]

[266. ῥυπῶντα : Αὐχμοῦ μεστόν. ἔστι καὶ ῥυπόω, ῶ, καὶ ῥυπάω, ὡς ἐνταῦθα, καὶ ῥυπαίνω. Junt. ῥύπον ἔχοντα. V.]

κυφὸν : Κυρτόν· [ἄθλιον : Παρὰ τὸ ἆθλον, ἐπίπονον. R.V.] ῥυσὸν δὲ, ῥυτίδας ἔχοντα· [μαδῶντα : Φαλακρόν. V.] νωδὸν δὲ, ὀδόντας

2. σοι R. με Ald. om. V.

3. ἐν ὑπερβατῷ] ὑπερβατὸν V.

ib. γε add. V.

5–7. Σύνδεσμος—πεπηρῶσθαι om. R. σύνδεσμος ἀποδεικτικός (scholio v. 259. additum) hic omittit V, sequentia autem post διὰ τὸ γῆρας collocat sic scripta, ἄλλως. τοὺς γέροντας παίζει —— διὰ τὸ πεπληρῶσθαι αὐτῶν τὰ ὦτα γήρᾳ.

7. ἐπεγγελᾷ οὖν] καὶ ἐπεγγελᾷ V. οὖν om. R.

ib. τῷ ἀμυδρῷ τῶν αἰσθ.] τῷ ἀδρῷ αἰσθ. V.

14. Ἤτοι τοῦ τ. V. ἤγουν τ. Ald. ἢ τ. R.Θ.

ib. διὰ add. R.

15. τὸ γῆρας τοῦτο R.V. τῷ γήρᾳ ταῦτα Ald.

15, 16. ἀντὶ—ζήσειν om. R.V.

15. ἑξῆς] ἐξῆν Θ.

17. τοιοῦτος—πενήτων habet etiam Θ.

23. ῥυπαίνω Kusterus. ῥυπάνω Junt.

24. ῥυσὸν δὲ] δὲ om. R.V.

25. δὲ om. R.V.

μὴ ἔχοντα διὰ τὸ γῆρας· οὐ γὰρ δὴ ἄφωνον· λαλεῖ γοῦν ὁ Πλοῦτος· ψωλὸν δὲ, ἀσχήμονα κατὰ παρέκτασιν τοῦ μορίου· μαδῶντα δὲ, φαλακρὸν, καθόλου τρίχας μὴ ἔχοντα.

[*μυδῶντα*: Γράφεται *καὶ μυδῶντα καὶ μαδῶντα. καὶ μυδῶντα μὲν ἀντὶ τοῦ δυσώδη ἀποπέμποντα· μαδῶντα δὲ ἀντὶ τοῦ κόμην μὴ ἔχοντα.* Junt.]

[*ῥυπούμενον, ζαρομάγουλον, κυρτὸν, ὡς κουκινὸν ἐξεματισμένον, ῥυτίδας ἔχοντα, φαλακρὸν, κυφὸν ἢ κυρτόν.* Θ. *ῥυπῶντα*: Ῥερυπωμένον. Gl. Paris. *κυφὸν*: Κυρτόν. Gl. Paris. *κεκυμμένον*. Gl. Victor. *ἄθλιον*: Δυστυχῆ. *ῥυσὸν*: Ῥυτίδας *ἔχοντα. μαδῶντα*: Φαλακρόν. *νωδόν*: Ἐστερημένον *ὀδοῦ*. Gl. Paris. *ἐστερημένον ὀδόντων.* Θ.]

[267. *ψωλὸν*: Εἰς *τὸ αἰσχρὸν μεταβέβηκε. τουτέστιν ἀσχήμονα κατ' ἐπέκτασιν τοῦ μορίου. καλῶς δὲ τὸ οἶμαι, ἐπειδὴ τὰ μὲν ἄλλα πάθη τοῦ σώματος εἰς ὄψιν ἑώρα, τοῦτο δὲ κρυφῇ ὂν καὶ μὴ ὁρῶν αὐτὸ ἀπὸ εἰκασμοῦ λέγει.* V.] *ψωλὸν*: Κηλήτην. Gl. B. Θ. Paris. *ἀσχημόνως κηλήτην.* Gl. C. *ἐσπασμένον.* Gl. D. *ὡς μετὰ τῶν ἄλλων κακῶν καὶ τὸ τῆς κήλης πάθος ἔχει τὸ γῆρας, χαυνωθέντος τῷ χρόνῳ τοῦ σώματος. — διαβάλλει ὁ ποιητὴς αὐτῶν τὴν κωφοτητα, ἕτερα γὰρ εἰπόντος, ἕτερα ἀκούειν ἔδοξαν. μὴ λάβῃς δὲ ἔξωθεν τὴν διά εἰς τὸ ἐπῶν. ἀλλ' ἔστιν ἡ γενικὴ πρὸς τὸ χρυσόν. ὡς φαμὲν σωρὸν χρημάτων. τὸν γὰρ χρυσὸν ἀγγείλας ἐπῶν, ἀντὶ τοῦ ἔπη λέξας χρυσὸν παριστῶντα.* Paris.]

268. *ὦ χρυσὸν ἀγγείλας ἐπῶν*: Ἀττικὴ *ἡ σύνταξις· ἀντὶ τοῦ, ὦ πλοῦτον ἐκ τῶν ἐπῶν ἀγγείλας· ἢ ἀντὶ τοῦ, ὦ τιμιώτατον εἰπὼν λόγον.*

[*ἀγγείλας*: Εἰπὼν, *μηνύσας. ἐπῶν*: Διὰ *τῶν.* Gl. Paris.]

1. *λαλεῖ γοῦν* (*γ' οὖν* V.) R.V. *λαλεῖ γὰρ* G. *λέγει γὰρ* Θ.
2, 3. *ψωλὸν—ἔχοντα* om. V.
2. *ψωλὸν δὲ*] *δὲ* om. R.
ib. *ψωλὸν*] Scholiasten descripsit Suidas in *ψωλός* et *μαδῶντα.* HEMST.
ib. (ad finem) *δὲ*] *ἀντὶ τοῦ* R.
5. *δυσώδη*] *δυσωδίαν* Dobræus, frustra corrigens infimi ævi scriptorem.
7. *ζαρομάγουλον*] I. e. qui maxillas habet rugosas. Addendum hoc vocabulum Glossario Ducangii.
17. *κηλήτην*] *κήλήτην* Paris.
22. *τοῦ*] *τῶν* Paris.
24—p. 116. l. 2. *τὸ ἑξῆς ὦ ἀγγείλας χρυσὸν διὰ τῶν ἐπῶν. ἀττικῶς* (corr. *Ἀττική*) *ἡ συνήθεια· ὡς δὲ πολύπειροι*—V.
25. *ἐκ τῶν ἐπῶν ἀγγείλας*] *ἀγγείλας ἐκ τῶν ἐπῶν* R.
ib. *ἢ* om. Θ.

269. δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα: Ὡς πολύπειροι συνῆκαν τὴν τοῦ Πλούτου ἐν μύθοις οὕτως ἔχουσαν ὑπογραφήν. κυρίως δὲ σωρὸς τὸ ἐκ μικρῶν σπερμάτων συναγόμενον πλῆθος, παρὰ τὸ σῶ, ὅ ἐστι σώζω, συνάγω· σορὸς δὲ θηλυκῶς ἐπὶ τοῦ τάφου καὶ διὰ τοῦ ο μικροῦ· ἐπὶ δὲ τῶν καρπῶν ἀρσενικῶς καὶ διὰ τοῦ ω μεγάλου. καλῶς οὖν ἀπὸ τῶν καρπῶν φαίνονται εἰρηκότες· οἱ γὰρ εὐθηνοῦντες καὶ πλούσιοί εἰσιν. ἢ ὡς γεωργοὶ ταύτῃ κέχρηνται τῇ παραβολῇ. [δηλοῖς: Παριστᾷς. αὐτὸν: Τὸν σὸν δεσπότην. σωρὸν: Πλῆθος ἐλθεῖν χρημάτων φέροντα. Gl. Paris.]

270. πρεσβυτικῶν μὲν οὖν: Διὰ τὸ τῷ γήρᾳ ἕπεσθαι ταῦτα τὰ συμπτώματα· ἀπὸ κοινοῦ δὲ τὸ δηλῶ. [πρεσβυτικῶν: Μᾶλλον μὲν οὖν —. Gl. Paris.]

271. [μῶν: Μὴ οὖν. V. (non G.)] φενακίσας: Φενάκη τὸ προκόμιον, οἷον τοῦ φαινομένου κρανίου τὸ ἄκος, καὶ σκέπη. [Ἄλλως. φενακίσας, ἀπατήσας· φενακισμὸς γὰρ ἡ ἀπάτη. V.] ἄλλως δὲ κεφαλῆς τριχῶν πενομένης ἄκος. φενάκη δὲ κυρίως ἡ προσθετὴ καὶ ἐπιτηδευτὴ κόμη, ἀπὸ τῶν κατερρυηκυιῶν γυναικῶν, καὶ οὕτως ἀπατουσῶν διὰ τῆς ἐπεισάκτου κόμης. [μῶν ἀξιοῖς: Ἄρα ἄξιον κρίνεις —. φενακίσας: Ἀπατήσας. ἀπαλλαγῆναι: Ἐλευθερωθῆναι. Gl. Paris.]

272. ἀζήμιος: Ἀντὶ τοῦ ἀβλαβής· κυρίως δὲ ζημία ἡ τῆς ζωῆς

2. τοῦ Πλούτου] πλουσίαν V.
ib. ἐν μύθοις οὕτως ἔχουσαν om. V. Totum hoc ὡς πολύπειροι—ἀπογραφήν om. R.
ib. ὑπογραφήν V. ἀπογραφήν Ald.
3. κυρίως δὲ] δὲ om. R.V.
ib. κυρίως δὲ σωρὸς] Exscripsit Suidas usque ad πλούσιοί εἰσιν in σωρὸν χρημάτων ἀγγέλλεις, omissis σορὸς δὲ .... ω μεγάλου, quæ in Ald. adnotationi finitimæ ad v. 270. subjuncta Portus in hunc commodiorem locum revocaverat. HEMST.
4. ὅ ἐστι σώζω om. R.
ib. συνάγω] τὸ συνάγω R.
4–6. σορὸς—μεγάλου om. R.Θ.
5. καὶ διὰ τοῦ ω V. καὶ om. Ald.
ib. μεγάλου om. V.
6. εὐθηνοῦντες R.V. εὐθυνοῦντες Θ. Ald.
7. εἰσιν om. V.
11. Post συμπτώματα in V. sequuntur illa θηλυκῶς (scrib. σορὸς δὲ θηλυκῶς) ἐπὶ — διὰ τοῦ ω.
ib. ἀπὸ κοινοῦ δὲ τὸ δηλῶ om. V.
13. προκόμιον] προκείμενον ἢ προκόμιον.
14–16. Ἄλλως—ἄκος om. R.Θ. et Suidas s. φενάκη.
16. φενάκη δὲ κυρίως] κυρίως δὲ V. omisso φενάκη.
17. κατερρυηκυιῶν R.V.Θ. et Suidas. κατερρυ. κυιῶν (sic) Ald.
ib. ἀπατουσῶν libri et Suidas. ἀπατωσῶν Hemst.
18. τῆς ἐπεισάκτου κόμης R.V. et Suidas. τὸ ἐπείσακτον τῆς κόμης Ald.
20. Hoc scholion om. R.
ib. Ἀντὶ τοῦ add. V.

μείωσις, ἢ τὸ ἐν τῇ ζωῇ μιαρόν. βακτηρία δὲ, ἤτοι ἡ τὴν βάσιν ποιοῦσα ἑδραίαν· ἢ βατηρία τὶς οὖσα, ἡ τῆς βάσεως αἰτία, κατὰ πλεονασμὸν τοῦ κ. Ἄλλως. πάντες οἱ γέροντες ἐν ταῖς Ἀθήναις δύο βακτηρίας ἐβάσταζον. ἦν δὲ προειρηκὼς, ἀσθενεῖς γέροντας ἤδη. εἶχον δὲ ἢ διὰ τὸ ἐπερείδεσθαι αὐτῇ, ἢ διὰ τὸ ἀμύνασθαι ταύτῃ μὴ δυναμένους χερσί. [ἀζήμιος: Ἀθῷος. ἔχοντος: Φέροντος, βαστάζοντος. Gl. Paris.]

273. πάντως γάρ: Ἀληθῶς γὰρ νομίζετέ με τοιοῦτον ἄνθρωπον τῇ φύσει εἰς ἅπαντα, καὶ οὐδὲν ὑγιὲς εἰπεῖν. [πάντως: Κακῶς κρίνετε. Gl. Paris. τοιοῦτον: Ἀπατεῶνα. Gl. Dorv.]

[274. ὑγιές: Οὐδὲν (πρᾶγμα) ὑπολαμβάνετε ἀληθὲς ἐμὲ εἰπεῖν. Gl. Paris.]

[275. ὡς σεμνός: Κατ' εἰρωνείαν. οὑπίτριπτος: Ὁ ἄξιος ἐπιτρίψεως, τῆς ἀπωλείας. Gl. Paris. ἐπιτριβῆναι ἄξιος. Gl. Victor. αἱ κνῆμαι: Οἱ ἄντζες. Gl. Dorv. οὑπίτριπτος: Ὁ ἐπιτρίψεως καὶ βλάβης ἄξιος. ἐπιτρῖψαι γὰρ τὸ διαφθεῖραι. κυρίως δὲ χοίνικας καλοῦσι πᾶν περιφερὲς ὡς καὶ τὸ μέτρον. συμπλέκει δὲ οὐχ ὡς ἕτερον σημαῖνον, ἀλλὰ τὸ μὲν ὡς γένος, τὸ δὲ ὡς εἶδος. ὅτι τῷ εἴδει καὶ τὸ γενικόν. αἱ γὰρ χοίνικες πέδαι εἰσί τινες. πέδας δὲ τὰς ἀλύσεις, αἳ ἐξήρτηνται τούτοις καὶ ἐμποδίζουσι τὴν πορείαν. τὸ δὲ ἰοὺ ἰού ὡς τῶν πεπεδημένων οὕτω σχετλιαζόντων. V.]

276. τὰς χοίνικας καὶ τὰς πέδας: Ἐν τῷ εἰδικῷ καὶ τὸ γενικὸν ἐπήγαγεν· αἱ γὰρ χοίνικες πέδαι τινές εἰσιν· χοῖνιξ δὲ πᾶν περιφερές· διὸ καὶ τὸ μέτρον χοῖνιξ καλεῖται. [χοίνικας: Τὰ δεσμὰ, καὶ τὰς ἰδιωτικῶς λεγομένας κλάπας. ποθοῦσαι: Ὀνειδίζει αὐτὸν ὡς δοῦλον. Gl. Θ. Paris.]

1. ἢ τὸ—μιαρόν add. V.
ib. ἡ τὴν] ἡ om. Θ.
2. ποιοῦσα ἑδραίαν] νεαροποιοῦσα V.
ib. οὖσα, ἡ τῆς V. ἐστιν, οἱονεὶ Ald.
ib. ἡ τῆς] ἢ τὶς τῆς G.
ib. κατὰ πλεονασμὸν V. καὶ ἐν πλεονασμῷ Ald.
3. Ἄλλως add. V.
ib. πάντες οἱ V. πάντες γὰρ οἱ Ald. πάντες δὲ οἱ Θ.
5. ἀμύνασθαι V.Θ. ἀμύνεσθαι Ald.
8. γὰρ νομίζετέ με] γάρ με νομίζετε Θ.
9. τῇ add. R.V.Θ.
15. καὶ βλάβης ἄξιος] ἄξιος καὶ βλάβης G.
18. τῷ εἴδει καὶ τὸ γενικόν] Addendum ἐπήγαγεν ex scholio Aldino.
19. πέδαι G. πέδαις V.
20. ἐξήρτηνται G. ἐξηρτημέναι V.
ib. ἐμποδίζουσι] ἐμποδίζουσαι V.
22. εἰδικῷ] ἰδικῷ R.
23. χοίνικες R. et Suidas s. χοίνικες. χοινικίδες Ald.
25. ἰδιωτικῶς om. Paris.

277. [σορῷ: Μνήματι. V. (non G.) τάφῳ. λαχὸν: Κληρωθέντος τοῦ γράμματός σου ἀττικοῦ. Gl. Θ. Paris. λαχόντος. Gl. D.] ἐν τῇ σορῷ νυνὶ λαχὸν: [Δέον εἰπεῖν αὐτὸν ἐν τῷ δικαστηρίῳ σου τὸ γράμμα ἔλαχεν, εἶπεν ἐν τῇ σορῷ, ἐπεὶ γέρων. οἱ δὲ γέροντες πλησίον εἰσὶ τῆς σοροῦ. V.] παρὰ τοῖς Ἀθηναίοις δέκα ἦσαν φυλαί. ἔθος οὖν ἀπὸ πασῶν τῶν φυλῶν δικαστὰς καθίζειν· εἶτα ἀπὸ μιᾶς ἑκάστης ἐλάμβανον ἄνδρας πέντε τοὺς ἐπισημοτέρους· καὶ πάλιν ἐκ τῶν πέντε ἕνα τὸν κλήρῳ λαχόντα ἐποίουν δικάζειν. ἀντὶ οὖν τοῦ

1. τάφῳ] τῷ τάφῳ Θ.

4. γράμμα] πράγμα V.

5. σοροῦ] Sequitur in V. ἄλλως. ἐν ταῖς ἀθήναις—χωρὶς κλήρου δικάσαι. ἄλλως. παρὰ τοῖς ἀθηναίοις—παρ᾽ ὑπόνοιαν παίζει.

5—p. 121. l. 18. παρὰ τοῖς—τῆς δικάσεως] Ad hæc scholia dissertationem edidit Georg. Fr. Schoemannus, ita inscriptam: Dissertatio de sortitione judicum apud Athenienses ad scholl. Aristoph. Plut. v. 277. Gryphiswaldiæ 1820. 48. pp.

6. οὖν] γὰρ R.V.

ib. ἀπὸ πασῶν τῶν φυλῶν] Judices κατὰ φυλὰς divisos præter scholiastam unus memorat scriptor lexici rhetorici in Bekkeri Anecd. vol. 1. p. 262, 10. Ἡλιαία, μέγα δικαστήριον Ἀθήνησιν, ἐν ᾧ τὰ μέγιστα τῶν δημοσίων πραγμάτων ἐκρίνετο. ἦν δὲ χιλίων πεντακοσίων καὶ ἑνός. συνῄεσαν δὲ οἱ μὲν χίλιοι πεντακόσιοι ἐκ τριῶν φυλῶν. Quodsi verum hi grammatici dicunt, non intelligitur quomodo fieri unquam potuerit, quod sæpe factum esse dicit Aristophanes v. 1167. hujus fabulæ, ut aliquis pluribus simul decuriis adscriberetur (οὐκ ἐτὸς ἅπαντες οἱ δικάζοντες θαμὰ | σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν), nisi si tribum suam dissimularet atque, postquam inter veros tribules suos scriptus esset, aliam tribum mentiretur, ut etiam in hujus decuriam irreperet; qualis fraus non apparet quomodo vel tantillum temporis latere potuerit, quum, etiamsi forte non omnes tribules, at certe δημόται noti inter se essent, ut alienum statim a multis agnosci oporteret. Manifestus in his error est grammaticorum illorum, sic, ut videtur, explicandus. Decem fuerunt judicum decuriæ litterarum notis ab A ad K distinctæ: hæ, quum judicia habenda essent, in sortem a thesmothetis conjectæ ex iisque totidem sunt eductæ quot judicia eo die futura essent. Idem quum esset Athenis tribuum numerus et annua sortitio judicum haud dubie tributim fieret, grammatici quidam decurias illas judicum, quas δικαστήρια vocant Demosthenes p. 702, 24. Pollux 8, 124. et Harpocratio s. Ἡλιαία, cum tribubus (φυλαῖς) confuderunt, quæ plane ab illis sejunctæ fuerunt, ita ut qui ejusdem essent decuriæ, tribuum diversarum, qui unius tribus, diversarum decuriarum esse possent. Hæc contra scholiastam monuit Schoemannus p. 16. et 20–23. Non melioris notæ absurdum illud commentum est de decem judicibus, verbis proximis expositum εἶτα ἀπὸ μιᾶς —— ἐποίουν δικάζειν, etiam a Valckenario notatum ut ex ejus schedis refert Dobræus.

7. ἐλάμβανον ἄ. πέντε] πέντε ἐλάμβανον ἄ. V.

8. τῶν πέντε] τῶν ε R.

ib. ἕνα τὸν R.V. τὸν ἔννατον Ald. τὸν ἕνα τὸν Θ. et ed. Basil.

ib. οὖν τοῦ εἰπεῖν R. οὖν εἰπεῖν V. τοῦ εἰπεῖν οὖν Ald.

εἰπεῖν ἐν τῷ δικαστηρίῳ κληρωθὲν τὸ γράμμα καὶ τὸ ψήφισμα, ὅ ἐστιν ὁ κλῆρος, δικάζειν σε καὶ δικαστὴν καθίστησιν, ὡς πρὸς γέροντα παρ' ὑπόνοιαν παίζει. Ἄλλως. *ἐν ταῖς* Ἀθήναις *πολλὰ ἦν δικαστήρια. καὶ ἐν τισὶ μὲν ἐδίκαζον περὶ φονικῶν πραγμάτων, ἐν τισὶ δὲ περὶ δημοτικῶν· καὶ ἕκαστον δὲ τούτων εἶχεν ἕν τι τῶν στοιχείων εἰδικὸν ὄνομα. οἷον ἦν τι τῶν δικαστηρίων λεγόμενον ἄλφα, ὁμοίως ἄλλο βῆτα, ἄλλο γάμμα, καὶ ἑξῆς τὸ δ καὶ τὸ ε καὶ οὕτως ἕως τοῦ κ. δέκα γὰρ ἦν δικαστήρια τὰ πάντα ἐν* Ἀθήναις, *καὶ πρὸ θυρῶν δὲ ἑκάστου δικαστηρίου ἐγέγραπτο πυρρῷ βάμματι τὸ στοιχεῖον, ᾧτινι τὸ δικαστήριον ὠνομάζετο. ὅσοι δὲ δικασταὶ ἦσαν ἐν* Ἀθήναις, *ἕκαστος καθ' ἕκαστον δικαστήριον εἶχε δέλτον, τουτέστι πινάκιον, ἐν ᾧ ἐγγεγραμμένον ἦν τὸ ὄνομα αὐτοῦ καὶ τοῦ δικαστηρίου. εἶχε δὲ καὶ ῥάβδον ἅμα τῷ πινακίῳ· καὶ ἐν αὐτῇ δὲ τῇ ῥάβδῳ ἦν τὸ ὄνομα τοῦ δικαστηρίου ἐγγεγραμμένον· ὅτε οὖν συνέβαινε καιρὸς τοῦ δικάζειν, ἤρχοντο πάντες οἱ δικασταὶ εἰς τὴν ἀγορὰν, κἀκεῖ κλήρους ἔβαλλον· καὶ ὅστις ἂν ἐκληροῦτο κλῆρον ἔχοντα τὸ α, ἀπήρχετο εἰς τὸ α δικαστήριον, ὁμοίως εἰς τὸ β καὶ τὰ ἐφεξῆς. καὶ πρῶτον μὲν ἐδείκνυε*

1. *καὶ τὸ ψήφισμα, ὅ ἐστιν ὁ κλῆρος* delet Hemst. *ψήφισμα* pro *tessera electionis* dixit scholiasta: quod animadvertit Dobræus.

2. *καὶ δικαστὴν*] *καὶ* om. V. Fortasse delendum *καὶ δικαστὴν* vel scribendum *δικαστήν σε*, deleto *δικάζειν*.

ib. *καθίστησιν* R.V. *καθέζεσθαι* Ald.

ib. *γέροντα*] *ἕτερον τὰ* Θ.

4. *περὶ φονικῶν πραγμάτων*] De cæde similibusque criminibus, veneficiis puta, vulneribus occidendi animo inflictis atque incendiis: hæc enim vulgo *τῶν φονικῶν* nomine designari solent. SCHOEMANN. p. 6.

5. *περὶ δημοτικῶν*] De causis civilibus. SCHOEMANN.

ib. *καὶ ἕκαστον δὲ*] *ἕκαστος δὲ* V.

6. *εἰδικὸν*] *ἰδικὸν* R.V.

7. *ἄλλο βῆτα* V.Θ. *ἄλλο β* R. *ἄλλο λεγόμενον βῆτα* Ald.

ib. *γάμμα, καὶ ἑξῆς τὸ δ καὶ τὸ ε*] *γ, καὶ δ ἐς τὸ ε* R.

ib. *καὶ τὸ ε*] *καὶ ε* V. *καὶ* om. Θ.

ib. *οὕτως* addidi ex V. Dobræo totum hoc *τὸ δ καὶ τὸ ε καὶ ἕως τοῦ κ. δέκα γὰρ ἦν τὰ δικαστήρια τὰ πάντα ἐν Ἀθήναις* delendum videbatur. Sed probabilius est hic quoque errorem subesse scholiastæ, qui ex decem judicum decuriis collegerit decem fuisse Athenis dicasteria: quæ aliquanto plura fuisse constat.

8. *ἦν δ.* R.V. *ἦν τὰ δ.* Ald.

ib. *τὰ πάντα* addidi ex R.V. Post *Ἀθήναις* habet Θ.

9. *πυρρῷ*] *πυρῷ* V.

10. *ἕκαστος*] *ἕκαστα* Θ.

11. Post *δέλτον* addit R. *παρ' ὑπόνοιαν δὲ λέγει σκώπτων τὸν γέροντα*, reliquis omnibus scholiis carens.

ib. *πινάκιον* V. *πινακίδιον* Ald.

12. *τὸ ὄνομα αὐτοῦ*] Hoc quoque absurdum esse fierique plane non potuisse ostendit Schoemannus p. 8.

13. *πινακίῳ* V. *πινακιδίῳ* Ald.

ib. *δὲ* om. V.

16. *ἔχοντα τὸ*] *ἔχοντος τοῦ* V.

17. *καὶ τὰ ἐφεξῆς*] *καὶ ἑξῆς ὁμοίως* V.

ib. *καὶ πρῶτον*] *ἀπήρχετο δὲ καὶ*

τῷ κήρυκι τοῦ δικαστηρίου τὸν κλῆρον τοῦ στοιχείου· ὁ δὲ κῆρυξ λοιπὸν ἐδίδου αὐτῷ τὸ πινάκιον αὐτοῦ καὶ τὴν ῥάβδον, εἶτα οὕτως ἐδίκαζεν. εἰ δέ τις δικαστὴς εἰσῄει μὴ κληρωθεὶς εἰς τὸ δικαστήριον, κατηγορεῖτο καὶ ἐζημιοῦτο διαφόρως. Ἄλλως. ἔρχεται ἕκαστος εἰς τὸ πινάκιον ἔχων ἐπιγεγραμμένον τὸ ὄνομα αὐτοῦ καὶ πατρόθεν καὶ τοῦ δήμου καὶ γράμμα ἕν τι μέχρι τοῦ κ, διὰ τὸ πάλαι δέκα φυλὰς εἶναι Ἀθήνῃσι, διῄρηντο γὰρ κατὰ φυλάς. εἶτα οἱ θεσμοθέται κατὰ φυλὴν ἕκαστος καὶ δέκατος ὁ γραμματεὺς ἐκλήρουν τὰ γράμματα μέχρι τοῦ κ. καὶ τὰ λαχόντα ἴσα τὸν ἀριθμὸν τοῖς μέλλουσι κληροῦσθαι δικαστηρίοις ὑπηρέτης φέρων ἐτίθει καθ᾽ ἕκαστον δικαστήριον ἕν· εἶτα πάλιν ἀπεκληροῦντο οἱ τὰ εἰληχότα γράμματα ἔχοντες τίνες δικάσουσι καὶ τίνες οὔ. τοῦτο οὖν ἐστιν, ὃ λέγει, ἀμείψας τοῦ γελοίου χάριν. ἀνθυπήλλαξε γὰρ εἰπὼν ἐν τῇ σορῷ, δέον ἐν τῇ Ἡλιαίᾳ. ἐγράφοντο δὲ, ὅτι, ἐπεὶ ἦν πέντε δικαστήρια, ἐκληροῦντο πέντε γράμματα ἀπὸ τοῦ α ἕως τοῦ ε. εἶτα τὸ πρῶτον ἀνενεχθὲν ἐπὶ τοῦ α προετίθετο δικαστηρίου, ὡς ἂν ἔτυχεν, καὶ οἱ δικάζοντες ἐκληροῦντο εἰς οἷον ἕκαστος λάχῃ δικάσαι. τοῦτο δὲ ἐγίνετο, ἵνα μὴ διαφθείρηται τὰ δικαστήρια, ἀκρίτως ἐρχομένων τινῶν χωρὶς κλήρου εἰς τὸ δικα-

πρῶτον V.Θ. ἀπήρχοντο δὲ καὶ πρῶτον Ald. Delevi verbum ex superioribus illatum.

1. κῆρυξ] κήρυξ Ald. hic et alibi.

4. κατηγορεῖτο καὶ addidi ex V.

ib. ἐζ. δ. V. δ. ἐζ. Ald.

4–17. Ἄλλως—λάχῃ δικάσαι om. V.Θ.

4. ἔρχεται] In forum, ut præcedentis scholii scriptor docet.

ib. εἰς τὸ non debebat delere Dobræus.

7. κατὰ φυλὴν ἕκαστος post ὁ γραμματεὺς sunt transponenda cum Schoemanno p. 12. nisi negligentius locutus est scholiasta.

8. δέκατος Luzac. de Socrate p. 70. ἑνδέκατος Ald. Schol. Vesp. 722. θεσμοθέται καὶ δέκατος ὁ γραμματεὺς κληροῦσι τοὺς δικαστὰς τοὺς τῆς αὐτῆς φυλῆς ἕκαστος.

9. τὰ λαχόντα Schoemannus p. 12. τὸν λαχόντα Ald.

ib. ἴσα] ἶσα Ald. hic et alibi.

14. ἐγράφοντο δὲ ὅτι, ἐπεὶ] Hæc mihi neque integra esse videntur, sed aliquot verbis in principio mutilata, neque ejusdem auctoris, cujus sunt priora, neque vero ullius pretii. Rursus melioris notæ hæc sunt: τὸ δὲ ὁ Χάρων τὸ ξύμβολον δίδωσι κ.τ.λ., pessimæ autem, quæ his subjunguntur: δέον δὲ εἰπεῖν κ.τ.λ. Hæc omnia e diversis auctoribus nullo judicio consarcinata sunt. SCHOEMANN. p. 13. ἐγράφοντο δὲ οὕτως. εἰ ἦν — Dobræus.

ib. γράμματα Hemst. apud Dobræum. γραμματεῖς Ald.

16. οἱ Dobræus. καὶ οἱ Ald. Junt.

17. τοῦτο δὲ ἐγίνετο] ἐκληροῦντο δὲ V.

ib. διαφθείρηται τὰ δικαστήρια V.Θ. διαφθείρῃ τις τὸ δικαστήριον Ald.

18. ἐρχομένων] εἰσιόντων V.

ib. εἰς τὸ δικαστήριον om. V.

στήριον δικάσαι. τὸ δὲ, "ὁ Χάρων τὸ ξύμβολον δίδωσι," τοιοῦτόν ἐστι. τοῖς λαχοῦσι δικάσαι εἰσελθοῦσιν ἑκάστῳ σύμβολον δίδοται δημόσιον παρὰ τῆς ἐπὶ τούτῳ εἰληχυίας ἀρχῆς, ἵν' οἱ ἐξιόντες καὶ τοῦτο προσφέροντες λαμβάνοιεν τὸν δικαστικὸν μισθόν. εἰπὼν οὖν σορὸν ἐπήγαγε Χάρων. δέον δὲ εἰπεῖν ὁ ἄρχων τὸ σύμβολον δίδωσιν, ὅς ἐστιν ὁ μισθὸς ὁ δικαστικὸς, εἶπεν ὁ Χάρων, ὡς γερόντων αὐτῶν καὶ μελλοθανάτων. ["Αλλως. δέον οὕτως εἰπεῖν, ὅτι καιρὸς ἦλθεν ὑμᾶς πλουσίους γενέσθαι, ὑμεῖς δὲ μέλλετε, ὁ δὲ οὐχ οὕτως εἶπεν, ἀλλ' ἠθέλησεν αὐτοὺς σκῶψαι ὡς γέροντας ὄντας, καὶ ἐγγὺς τοῦ θανάτου· σκώπτει δὲ οὐ καθαρῶς, ἀλλὰ διὰ τοῦ ἔθους, ὃ Ἀθηναῖοι εἶχον περὶ τὰς δίκας· ἦν δὲ τοιοῦτο. δέκα δικαστήρια ἦσαν παρ' Ἀθηναίοις, τὸ μὲν φόνου, τὸ δὲ μοιχείας, τὸ δὲ ἑτέρου τινός. οὐσῶν δὲ καὶ ί φυλῶν, ἐξελέγοντο ἐξ ἑκάστης φυλῆς ἕνα ἄνδρα, καὶ ἔταττον αὐτοὺς εἰς τὰ τοιαῦτα δικαστήρια κριτὰς εἶναι· πλὴν ἔγραφον πρότερον τὰ τῶν ἀνδρῶν ὀνόματα, καὶ κλήρου γινομένου, ὁ μὲν εἰς τοῦτο, ὁ δὲ εἰς ἐκεῖνο δικάζειν ἐλάγχανεν. ἐδίδου δὲ ὁ κῆρυξ αὐτοῖς ῥάβδον, ἥτις ἦν σύμβολον τοῦ δικάζειν, ἵνα ἕκαστος καθ' ἑσπέραν ἀποδιδοὺς τῷ πρυτάνει τὴν ῥάβδον τριώβολον λαμβάνῃ μισθὸν τῆς δικάσεως. ἀντὶ οὖν τοῦ εἰπεῖν ἐν τῷ δικαστηρίῳ τὸ γράμμα σοῦ λαχὸν δικάζειν, καὶ διὰ τοῦτο καὶ ὁ κῆρυξ δίδωσί σοι τὸ σύμβολον, ὁ δὲ σκώπτων αὐτοὺς ὡς γέροντας καὶ ἐγγὺς θανάτου ὄντας φησὶν ἐν τῇ σορῷ καὶ ὁ Χάρων. ἔστι δὲ ἡ σύνταξις σολοικοφανής· λαχόντος γὰρ τοῦ γράμματός σου ὤφειλεν εἰπεῖν· ὁ δὲ εὐθεῖαν ἔθηκεν ἀντὶ γενικῆς, Ἀττικῷ ἔθει χρησάμενος· ἔθος γὰρ τοῖς Ἀττικοῖς οὕτω ποιεῖν, ἐπὶ

1. Quæ post δικάσαι sequuntur om. V.

2, 3. σύμβολον—δημόσιον Θ. σύμβολα—δημόσια Ald.

3. τούτῳ Hemst. τούτων Ald. τοῦτον Θ.

ib. ἵν' οἱ Θ. ἵνα Ald.

5. δέον] ἔδει Θ.

ib. δίδωσιν] δίδωσι Ald.

6. ὅς ἐστιν] ὅς ἐστι καὶ Θ.

13. ί φυλῶν Kusterus. ιδ φυλῶν Junt.

16. ἐλάμβανεν] Equidem exactissimam loquendi formam in hoc scholio, quod multo quam priora minoris est pretii, haudquaquam desidero: scribi tamen accommodatius potest ἐλάγχανεν. In Dorv. nota quædam ad marginem erat apposita, sed ex hisce ipsis imperite contracta. HEMST. ἐλάγχανεν reposui e libro Poggiano.

18. λαμβάνῃ ed. Basil. λαμβάνει Junt.

19. οὖν addidi e libro Poggiano. Conf. p. 118. l. 8.

ib. λαχὸν liber Poggianus. λαχὼν Junt.

20. καὶ ὁ κῆρυξ] καὶ om. liber Pogg.

μέντοι τῶν οὐδετέρων μετοχῶν. ἔστιν οὖν ἡ σύνταξις καὶ ἡ διάνοια τούτου αὕτη· λαχόντος τοῦ γράμματός σου δικάζειν σὲ ἐν τῇ σορῷ, ἤγουν ἐν τῷ δικαστηρίῳ, σὺ οὐ βαδίζεις, ὁ δὲ Χάρων, ἤγουν ὁ κῆρυξ δίδωσί σοι τὸ σύμβολον τοῦ κριτὴν εἶναι, τουτέστι τὴν ῥάβδον. πάνυ δὲ ἀστείως καὶ τὸν κήρυκα Χάροντα ὠνόμασεν· ὁ γὰρ Χάρων κατὰ ἀναγραμματισμὸν Ἄρχων λέγεται. Junt.]

278. ὁ δὲ Χάρων τὸ ξύμβολον: Περὶ τοῦ παραδιδομένου τοῖς εἰσιοῦσιν εἰς τὸ δικαστήριον συμβόλου Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ οὕτω γράφει "τοῖς γὰρ δικαστηρίοις χρῶμα * * * * ἐπι-"γέγραπται ἐφ' ἑκάστῳ ἐπὶ τῷ σφηκίσκῳ τῆς εἰσόδου. ὁ δὲ λαβὼν "τὴν βακτηρίαν βαδίζει εἰς δικαστήριον τὸ ὁμόχρουν μὲν τῇ βακτη-"ρίᾳ, ἔχον δὲ τὸ αὐτὸ γράμμα, ὅπερ ἐν τῇ βαλάνῳ. ἐπειδὰν δὲ

1. μέντοι Pogg. μὲν τῷ Junt.

ib. καὶ ἡ διάνοια τούτου om. Pogg.

4. εἶναι] εἶναί σε Pogg.

5. Χάροντα Pogg. Χάρων Junt.

7—p. 123. l. 3. Περὶ τοῦ — σορόν om. R.V.Θ.

9. χρῶμα] Vel adjunctum verbum docuerit esse reponendum γράμμα· quis enim Græce sciens dicat ἐπιγράφειν χρῶμα; tum etiam, quod statim subsequitur, ἔχον δὲ τὸ αὐτὸ γράμμα· quanquam illud ἔχον nihil habens, quo referri possit, præter δικαστήριον, itidem vitio vacare non videatur: nisi quædam interciderint, litera mutanda est, ἔχων, nimirum in ista δέλτῳ vel πινακίῳ, cujus ad præcedentem versum scholiastes meminit. Βάλανον autem non aliam intelligo, quam τὸν σφηκίσκον τῆς εἰσόδου· dicemus ad v. 301. HEMST. Post χρῶμα, ab Hemst. male in γράμμα mutatum, lacunam indicavit Dobræus. Quæ fortasse sic est explenda ut scribatur, τοῖς γὰρ δικαστηρίοις χρῶμά τέ ἐστιν ἴδιον ἑκάστῳ καὶ γράμμα ἐπιγέγραπται ἐπὶ τῷ σφηκίσκῳ τῆς εἰσόδου.

10. ἐπὶ τῷ σφηκίσκῳ τῆς εἰσόδου] Non est aliunde cognitus hic usus vocabuli σφηκίσκος, quod in σφηνίσκῳ mutandum videbatur Schoemanno p. 15. male illud pro ἀέτωμα s. ἀετός accipienti. *Supercilium januæ* interpretatur Boeckhius Corp. Inscr. vol. 1. p. 341. Mihi non de toto supercilio intelligendum esse videtur, sed de lapide vel ligno quod in medio supercilio januæ paullulum eminet superciliumque cunei instar in duas partes dividit: quod et σφηκίσκος et σφηνίσκος apte dici potuit. Huic igitur cuneo inscripta fuit litera dicasterii, quemadmodum hodie numerum ædium non raro inscribi videmus.

ib. ὁ δὲ] Id est ὁ δικαστής.

11. εἰς δικαστήριον τὸ ὁμόχρουν] Conf. schol. Vesp. 1105. ἐδίδοντο δὲ καὶ βακτηρίαι τοῖς δικασταῖς ὁμόχροοι τοῖς δικαστηρίοις, ὅπου ἑκάστους εἰσελθόντας δικάζειν ἔδει, ἵνα τὸν διαμαρτάνοντα ἀπελέγξῃ τὸ χρῶμα. Lexicon rhet. in Bekkeri Anecd. vol. 1. p. 220, 17. ὁμόχρωμοι τοῖς δικαστηρίοις ἐδίδοντο βακτηρίαι, ἵνα ὁ λαβὼν οἱουδὴ χρώματος βακτηρίαν εἰς τὸ ὁμόχρωμον εἰσέλθῃ δικαστήριον καὶ μὴ εἰς ἕτερον πλανᾶται διὰ τὸ πολλὰ εἶναι τὰ δικαστήρια. Sic βατραχιοῦν et φοινικιοῦν a coloribus appellata memorat Pausanias 1, 28, 8.

12. ἐν τῇ βαλάνῳ] τὴν βάλανον glandem sive globulum esse arbitror, in summa scipionis parte im-

" εἰσέλθῃ, παραλαμβάνει σύμβολον δημοσίᾳ παρὰ τοῦ εἰληχότος " ταύτην τὴν ἀρχήν." ἀντὶ δὲ τοῦ εἰπεῖν ὁ κῆρυξ, ἢ ὁ δῆμος, ἀπήντησε πρὸς τὴν σορόν. [ἀντὶ τοῦ τεθνάναι μέλλεις. V.]

279. [διαρραγείης: Διασχισθείης. μόθων: Λίαν αἰσχρὸς, ἀνόητος. κόβαλος: Φλύαρος. Gl. Paris. μόθων: Φλύαρος. κόβαλος: Ὑβριστής. Gl. Dorv. μόθων: Λίαν ὑβριστής. Gl. Br. Μόθων: Φλύαρος, αἰσχρὸς, ἄτιμος, φορτικὸς, δουλοπρεπὴς, ἀπὸ Μόθωνος τινὸς αἰσχροποιοῦ. Schol. Br.] μόθων: Εἶδος αἰσχρᾶς καὶ δουλοπρεποῦς ὀρχήσεως· οἱ δὲ Λάκωνες τοὺς παρατρεφομένους τοῖς ἐλευθέροις παῖδας μόθωνας καλοῦσιν. Ἄλλως. μόθων, φλύαρος, φορτικὸς, ἄτιμος, αἰσχρός. λέγουσι γὰρ τοὺς Ἀθηναίους χειρωσαμένους τοὺς Μόθωνας δουλικῇ καὶ ἀγεράστῳ περιστῆσαι τύχῃ, ὅθεν καὶ Ἀττικοὶ μόθωνες. ἢ ἀπὸ Μόθωνός τινος αἰσχροποιοῦντος καὶ ἀεὶ ἐν τοῖς πότοις ὀρχουμένου. ἢ ἀντὶ τοῦ ἀνόητος. ἄλλοι δὲ λέγουσι, δουλοπρεπεῖς, σπερμολόγους. [κόβαλος δὲ ὁ λάλος, ὁ ῥήτωρ. V.]

κόβαλος: Κόβαλοι δαίμονές εἰσί τινες σκληροὶ περὶ τὸν Διόνυσον [ἀπατεῶνες. Junt. ἀπατεών. Gl. Victor.]

[280. τέτληκας: ὑπέμεινας. Gl. Paris.]

[281. κέκληκε δεῦρο: Ἐκάλεσεν ἡμᾶς ἐνταῦθα. Gl. Harl. 5.]

[282. οἵ: Οἵτινες, ἡμεῖς δηλ. Gl. Paris. μοχθήσαντες: Κοπιάσαντες. Gl. Dorv. Paris. σχολῆς: Ἀναπαύσεως. Gl. Paris.

positum; de quo ornamenti genere conf. Herodot. I, 195. et exstant hodieque, præcipue in vasis quæ dicuntur Etruscis, scipionum in hunc modum ornatorum exempla. Huic igitur scipionis glandulæ inscripta erat dicasterii nota. SCHOEMANN. p. 15. Βάλανον rectius quam Hemsterhusius, cujus verba supra apposui, interpretatur Schoemannus. Falsam autem esse interpretationem Hemsterhusii vel ex eo cognoscitur quod ἔχον in ἔχων mutato opus habet: quod si scripsisset Aristoteles, μὲν non post ὁμόχρουν sed post λαβὼν erat collocaturus.

3. ἀντὶ τοῦ τ. μ. om. G. ἀντὶ τοῦ μέλλεις ἀποθανεῖν R.

8–11. Εἶδος — αἰσχρός hic om. V, sed infra post ὀρχουμένου ponit τινὲς δὲ μόθωνα εἶδος εἶναι λέγουσιν αἰσχρᾶς — αἰσχρός. R. nihil habet præter illa Λάκωνες—καλοῦσιν.

9. παρατρεφομένους] παρεπομένους dicit schol. Equit. 631. ex eoque Suidas s. μόθωνες. παρατρεφομένους Harpocratio s. μόθων.

10. παῖδας om. R.

11. γὰρ om. V.

ib. τοὺς om. V.

12. δουλικῇ καὶ ἀγεράστῳ om. V.

ib. περιστῆσαι] παραστῆσαι Ald. Correctum ex Θ. et Harpocratione. κακεῖ περιέστησαν V.

14, 15. ἢ—σπερμολόγους om. V. Habet Harpocratio.

16. Κόβαλοι—Διόνυσον om. R.V.

ib. Κόβαλοι] δὲ addit Θ.

ib. τινες om. Θ.

οὐκ ἄγοντες σχολὴν χάριν τῶν ἔργων. V. ἀντὶ τοῦ οὐκ ὄντος καιροῦ. R.V.]

[283. πολλῶν θύμων: Τὸ πολλῶν θύμων ῥίζας ἐκπερῶντες τοιοῦτον ἔχει τὸν νοῦν. οἱ τὴν Ἀττικὴν οἰκοῦντες πένητες, ἐπεὶ μὴ εἶχον τὰς ἐκ τῶν σπερμάτων τροφὰς (ἀνεπιτήδειος γὰρ ὁ τόπος ἦν εἰς γεωργίαν, κατάξηρος ὢν) ἤσθιον θύμους, οὓς οἱ κοινοὶ βολβοὺς ἢ ἀγριοκρόμμυα φασίν. λέγει γοῦν ὁ χορὸς τῶν πενήτων ὅτι ἡμεῖς πολλὰ κοπιάσαντες, καὶ ταῦτα οὐκ οὔσης ἀδείας ἡμῖν, ἤλθομεν μετὰ προθυμίας ὧδε. Junt. θύμων: Ἀγριοκρόμμυον. Gl. Dorv. σκυλοκρομμύων. Gl. Paris. ἀντὶ τοῦ πολλοὺς ἀγρούς. θυμοφόρος γὰρ ἡ Ἀττική. R.]

[διεκπερῶντες: Ἀντὶ τοῦ παρορῶντες καὶ παρατρέχοντες ὑπὸ τῆς ἄγαν σπουδῆς, καὶ αὐτὰς δὴ τὰς τῶν θύμων ῥίζας πολλῶν ὄντων, ἃς ἐξ ἔθους εἴχομεν συλλέγειν. Junt. ἀνασπῶντες. Gl. Dorv. διασπῶντες. Gl. Paris.]

[284. ἀλλ' οὐκ ἔτ': Οὐδαμῶς. Πλοῦτον: Τὸν θεόν. Gl. Paris.]

[285. ἄγων ὁ δεσπότης: Ἄγω, τὸ φέρω, τὸ ὁδηγῶ· ἄγω, τὸ νομίζω, ἄγω τὸ τιμῶ· καὶ ἄγω τὸ συντρίβω, ἀφ' οὗ τὸ κατέαξαν, ἀντὶ τοῦ συνέτριψαν. Junt. ποιήσει: Καταστήσει. Gl. Paris.]

[286. ὄντως: Ἔστι πλουτῆσαι ἡμᾶς. Gl. Paris. ἡμὶν εἶναι: Ἐν Σοφοκλεῖ εἴρηται περὶ τοῦ ἡμὶν, ὅτι καὶ βραχύ ἐστι, διὸ καὶ ὀξύνεται. Paris.]

287. Μίδας μὲν οὖν: Μίδας, βασιλεὺς ὢν Φρυγίας πλουσιώτατος, ὦτα ὄνου ἔσχε. τοῦτο οὖν παροιμιωδῶς ἐλέγετο ἐπὶ τούτου, ἤτοι

1. οὐκ—καιροῦ om. G.

10. τοῦ] τοὺς R.

18, 19. ἄγω, τὸ νομίζω—συντρίβω] ἄγω, νομίζω, τὸ θυμῶ· καὶ τὸ συντρίβω Junt.

23. ὀξύνεται] βαρύνεται codex Cantabrig. ap. Kidd. ad Porsoni Miscell. p. 194.

24. Μίδας] τοῦτο παροιμιαστικός (-όν G.). ὁ μίδας V.

25. ἔσχε] εἶχε V. Tum sic pergit, ἄλλως. παροιμιῶδες ἐπὶ τοῦ μίδου. οἱ μὲν λέγουσιν αὐτὸν ὦτα ἔχειν ὄνου διὰ σὸν (δι' ἃ G.) εἰρήκαμεν. οἱ δὲ ὅτι ὄνους τοῦ διονύσου παριόντας ἠδίκησε. διὸ ὀργισθεὶς ὁ θεὸς ὦτα ὄνου αὐτῷ περιῆψεν. οἱ δὲ ὅτι ὦτα ὄνου μεγάλα ἔχειν φύσει παρεσκεύασεν. οἱ δὲ ὅτι παροιμιῶδες ἐλέγετο ἐπὶ τοῦ μίδου, ἐπεὶ ὄνος μᾶλλον ἀκούει τῶν ἄλλων ζώων πλὴν τοῦ μυός. καὶ ὁ μίδας δὲ πολλοὺς ὠτακουστὰς εἶχε. λέγεται δὲ τούτῳ τὸν πακτωλὸν χρυσὸν ῥεῦσαι. λέγεται δὲ αὐτὸν εὔξασθαι ὥστε πάντα γενέσθαι χρυσὰ ὅσων ἅψεται, καὶ διὰ τοῦτο αὐτὸν ἀπολέσθαι τῶν βρωμάτων γενομένων. ἄλλως. μίδας βασιλεὺς ἦν τῶν φρυγῶν. οὗτος ἔσχε δηλάτορας (δηλήτορας G.), καὶ μανθά-

ὅτι πολλοὺς ὠτακουστὰς εἶχεν, ἢ ὅτι κώμην Φρυγίας κατέσχεν, ἥτις Ὦτα ὄνου ἐλέγετο. λέγεται δὲ τούτῳ τὸν Πακτωλὸν χρυσὸν ῥεῦσαι. λέγεται δὲ αὐτὸν πάλιν εὔξασθαι ὥστε πάντα γενέσθαι χρυσὸν, ὧν ἂν ἅψαιτο. ἢ ἐπεὶ ὄνος μᾶλλον ἀκούει τῶν ἄλλων ζώων πλὴν μυός· καὶ Μίδας δὲ πολλοὺς ὠτακουστὰς εἶχεν. οἱ δέ φασιν, ὅτι ψέξας ποτὲ τὸν Διόνυσον ὁ Μίδας μετεβλήθη εἰς ὄνον. ἢ ὅτι ὄνους τοῦ Διονύσου παρόντας ἠδίκησε· διὸ ὀργισθεὶς ὁ θεὸς ὦτα ὄνου αὐτῷ περιῆψεν. οἱ δὲ, ὅτι ὦτα μεγάλα φύσει εἶχεν. Ἄλλως. οὗτος ὁ Μίδας σφόδρα πλούσιος ἦν· ᾔτησε γὰρ, ὥς φασι, τοὺς θεοὺς, ὅ τι ἂν εἰς χεῖρας λάβῃ χρυσὸν γίνεσθαι· καὶ τυχὼν τῆς εὐχῆς, λιμαγχονηθεὶς ἀπέθανεν· ὅσα γὰρ ἐλάμβανεν [εἰς τροφὴν Junt.] *εἰς χρυσὸν μετεβάλλετο· μυθεύονται δὲ αὐτὸν καὶ ὦτα ὄνου ἔχειν, ὅτι τὰ τῆς ἀκοῆς αἰσθητήρια μέγιστα εἶχεν, οἷάπερ ὄνος. τὸ δ' ἀληθὲς, ὅτι πολλοὺς εἶχεν ὠτακουστὰς, ὡς πάντ' ἔχειν γινώσκειν τὰ ἐν τῇ ὑπ' αὐτῷ χώρᾳ λεγόμενά τε καὶ πραττόμενα. τὸ δὲ μὲν οὖν, ἀντὶ τοῦ δέ. ἐμφαίνει*

νοντες παραλλήλως (scrib. *παρ' ἀλλήλων*) *τὰ πράγματα ἀπήγγελλον αὐτῷ. ἅτε δὴ οὖν ἀκούων τε ἄλλων ἔσχε τὴν ἐπωνυμίαν, ἢ ὅτι χώραν οὕτω καλουμένην ἔχειν ὄνου ὦτα ἐχειρώσατο καὶ ἀπὸ τούτου ἐκλήθη.* R. hæc tantum habet, *παροιμιῶδες ἐλέγετο περὶ τοῦ μίδου ὅτι πολλοὺς ὠτακουστὰς ἢ κώμην τινὰ εἶχε φρυγίας ὦτα ὄνου λεγομένην. ἢ ὦτα ὄνου λέγεται τὸν μίδαν ἔχειν διὰ τοὺς ὠτακουστάς . . . . νοίαν ἐπειδὴ ὁ ὄνος μᾶλλον ἀκούει τῶν ἄλλων ζώων πλὴν μυός. οἱ δὲ ὅτι ὄνους τοῦ διονύσου παριόντας ἠδίκησε. διὸ—φύσει εἶχεν.* Θ. hæc omnia om.

1. *Φρυγίας*] *Φρυγιακὴν* Suid. s. *Μίδας*. *Κατέσχεν* est occupavit, expugnavit. Diogenian. 6, 73. *Μίδας ὄνου ὦτα*] *Ὅτι ὠτακουστὰς εἶχεν· οἱ δὲ χωρίον αὐτοῦ φασιν οὕτω καλεῖσθαι ὑπ' αὐτοῦ ληφθὲν ἀνάλωτον·* totidem verbis leguntur in Apostolio 13, 19. Vide Tzetz. Ch. 1. Hist. 2. HEMST.

3. *αὐτὸν πάλιν*] Locum esse sibi suspectum in margine libri sui notavit Kusterus: in Suida tantum, *καὶ αὐτὸν εὔξασθαι*, ceteris neglectis, quæ non magno opere desideres: transpositu lenior evadet oratio: *πάλιν δὲ λέγεται αὐτὸν εὔξασθαι.* HEMST. *πάλιν* om. V.

6. *τοῦ*] *τοὺς τοῦ* Suidas.

7. *παριόντας* R.V. et Suidas. *παριὼν* Ald.

ib. *αὐτῷ*] *ἔχειν αὐτῷ* Suidas.

10. *λιμαγχονηθεὶς*] *Λιμαγχονεῖν* ex enarratore nostro et Basilio vol. 2. p. 16. A. protulit Budæus C. L. G. p. 869. Schol. Apollon. Rh. ad 2, 1031. Mossynœci *τὸν βασιλέα αὐτῶν ἄδικόν τι κρίναντα ἐγκλείουσι καὶ λιμαγχονοῦσι·* in eadem historia *λιμῷ ἀποκτείνειν* dixit Nicolaus Damascenus. HEMST.

14. *ὑπ' αὐτοῦ*] Apostolius *ὑπ' αὐτῶν*. Ergo legendum *ὑπ' αὐτῷ*, vel *ὑπ' αὐτόν·* nam illud Thucydidis 1, 110. *Αἴγυπτος πάλιν ὑπὸ βασιλέως ἐγένετο*, modo ne præferendum sit *ὑπὸ βασιλεῖ*, vel *ὑπὸ βασιλέα*, quod utrumque aliis in edd. et codd. invenitur, tam rarum est, ut scholiastæ placuisse credibile non videatur. HEMST. Dedi *ὑπ' αὐτῷ* ex codice Parisino. Idem liber omittit *λεγόμενά τε καὶ πραττόμενα.*

δὲ ἐντεῦθεν, ὡς οὐχ ἁπλῶς πλουσίους ποιήσει, Μίδας δὲ οἱονεὶ ὑπερβολικῶς πλουσίους, οἷος ὁ Μίδας. [Μίδας: Ὡς ὁ — γενήσεσθαι δηλ. Gl. Paris.]

[288. ὡς ἥδομαι: Λίαν εὐφραίνομαι. Gl. Paris.]

290. θρεττανελὸ τὸν Κύκλωπα: Ἡ τοῦ Κύκλωπος ἱστορία δήλη· ὅτι ποιμὴν ὢν καὶ λύραν κατέχων, ἡγεῖτο τοῖς αὐτοῦ θρέμμασι, καὶ ὅτι αὐτὸν Ὀδυσσεὺς ἐτύφλωσεν. ὥσπερ οὖν ἐκεῖνος, οὕτω καὶ οὗτος ἦν πρὸς τοὺς γέροντας, ᾄδων καὶ πορευόμενος μετ' αὐτῶν. ἔστι δὲ τὸ θρεττανελὸ τῆς λύρας ἀπήχημα, καὶ οὐ συνάπτεται πρὸς τὴν σύνταξιν· ἀλλὰ διότι καὶ αὐτὸς ᾖδε, τούτου χάριν ἐνέθηκεν. οἱ δὲ λέγοντες τὸν θρεττανελὼ Κύκλωπα, ἤγουν τὸν ᾄδοντα τὸ θρεττανελώ, καὶ διὰ τοῦτο καὶ τὸ λω μεγεθύνοντες, ἀμαθεῖς. τοῦτο δὲ ἐκ Κύκλωπος Φιλοξένου ἐστί· πεποίηκε γὰρ οὗτος τὸν Κύκλωπα κιθαρίζοντα. διὰ δὲ τοῦ εἰπεῖν, καὶ τοῖν ποδοῖν ὡδὶ παρενσαλεύων, ἔδειξεν ὅτι πρὸς τὴν πυγὴν αὐτοὺς τῷ ποδὶ ἔτυψεν. τὸ δὲ ἑξῆς, καὶ μὴν ἐγὼ βουλήσομαι ὑμᾶς ἄγειν. διασύρει δὲ Φιλόξενον τὸν τραγικὸν, ὃς εἰσήγαγε κιθαρίζοντα τὸν Πολύφημον. τὸ δὲ θρεττανελὸ ποιὸν μέλος καὶ κρουμάτιόν

5. Ἡ τοῦ Κ. ἱστ.] Habet margo Dorv. usque ad ᾄδων, cui voci statim subjicit, τὸ δὲ θρ. τῆς λ. ἐστὶν ἀπήχημα. HEMST.

5–15. Ἡ τοῦ—ἔτυψεν om. R.V. Θ. nulla ad hunc versum scholia habet præter illa, τοῦτο ἀπήχημα τῆς λύρας καὶ οὐ συνάπτεται τῇ συντάξει.

11. διὰ τοῦτο] Absurdum hoc, quum metrum recte habeat si τὸν θρεττανελὸ Κύκλωπα scribatur.

13. Post κιθαρίζοντα legebatur ἄλλως τε καὶ τὸ μέτρον συστέλλειν θέλει τὴν λο συλλαβήν, quæ post ἀμαθεῖς transposuit Hemst., ego delevi. Illud tamen recte animadvertit Hemst. ab alio grammatico illa esse adscripta et inepte quidem. Nam quod dicit de λο syllaba necessario corripienda in vulgatam cadit scripturam, non in conjecturam illam grammatici cujusdam, in qua metrum et θρεττανελό et θρεττανελώ fert.

15—p. 127. l. 2. τὸ δὲ ἑξῆς—ἐστί om. R.

15—p. 127. l. 17. τὸ δὲ ἑξῆς—ὠξυδόρκει] In V. hic est ordo scholiorum, φιλόξενος διθυραμβοποιὸς πεποίηκε γαλάτειαν δρᾶμα, ἐν ᾧ πεποίηκε τὸν κύκλωπα ἐρᾶν αὐτῆς καὶ κιθάραν κρούοντα καὶ ἐν τῷ κρούειν ἀπομιμούμενον θρεττανελὸ θρεττανελό. ἔστι δὲ καὶ τὰ περιγραφόμενα ἐκεῖθεν, ἀλλ' εἶα τέκνα θαμῖν' ἐπαναβοῶντες. ἄλλως. καὶ μὴν ἔγωγε βουλήσομαι ὑμᾶς ἄγειν· διασύρει δὲ τὸν φιλόξενον τὸν τραγικὸν, ὃς εἰσήγαγε κιθαρίζοντα τὸν πολύφημον. τὸ δὲ θρεττανελὸ ποιὸν μέλος καὶ κρουμάτιόν ἐστι. ἄλλως. ὁ φιλόξενος ὁ διθυραμβοποιὸς ἐν σικελίᾳ ἦν—ὠξυδόρκει. ἄλλως. φιλόξενον τὸν διθυραμβοποιὸν—τὸ μέλος ἐκεῖνο. ἡ γὰρ κιθάρα κρουομένη τοιοῦτον μέλος ποιεῖ, θρεττανελὸ θρεττανελό. τινὲς—φωνήν.

15. βουλήσομαι ὑμᾶς ἄγειν] Nam aliis placebat ex præcedenti repetere χορεῦσαι vel χορεύειν, ut proximum scholion ostendit: βουλήσομαι χορεύειν, καὶ ὑμᾶς ἄγειν. HEMST.

17. ποιὸν add. V.

ἐστι· τὸ δὲ, ἀλλ' εἶα τέκεα θαμίν' ἐπαναβοῶντες, ἐκ τοῦ Κύκλωπος Φιλοξένου ἐστί.

Φιλόξενον τὸν διθυραμβοποιὸν ἢ τραγῳδοδιδάσκαλον διασύρει, ὃς ἔγραψε τὸν ἔρωτα τοῦ Κύκλωπος τὸν ἐπὶ τῇ Γαλατείᾳ· εἶτα κιθάρας ἦχον μιμούμενος ἐν τῷ συγγράμματι, τοῦτό φησι τὸ ῥῆμα θρεττανελό. ἐκεῖ γὰρ εἰσάγει τὸν Κύκλωπα κιθαρίζοντα καὶ ἐρεθίζοντα τὴν Γαλάτειαν. ἐπεὶ οὖν ἔφη ὁ χορὸς, "ἥδομαι καὶ τέρπομαι καὶ βού-" λομαι χορεῦσαι, ὁ οἰκέτης φησὶ, "κἀγὼ βουλήσομαι χορεύειν·" καὶ ἅμα ἀναφωνεῖ τὸ μέλος ἐκεῖνο. ἡ γὰρ κιθάρα κρουομένη τοιοῦτον μελος ποιεῖ, θρεττανελὸ θρεττανελό. [τινὲς ἀγροικικὴν εἶναί φησι τὴν φωνήν. V.] Ἄλλως. ὁ Φιλόξενος ὁ διθυραμβοποιὸς ἐν Σικελίᾳ ἦν παρὰ Διονυσίῳ. λέγουσι δὲ ὅτι ποτὲ Γαλατείᾳ τινὶ παλλακίδι Διονυσίου προσέβαλε· καὶ μαθὼν Διονύσιος ἐξώρισεν αὐτὸν εἰς λατομίαν. φεύγων δὲ ἐκεῖθεν ἦλθεν εἰς τὰ ὄρη τῶν Κυθήρων, καὶ ἐκεῖ δρᾶμα τὴν Γαλάτειαν ἐποίησεν, ἐν ᾧ εἰσήνεγκε τὸν Κύκλωπα ἐρῶντα τῆς Γαλατείας· τοῦτο δὲ αἰνιττόμενος εἰς Διονύσιον· ἀπείκασε γὰρ αὐτὸν τῷ Κύκλωπι, ἐπεὶ καὶ αὐτὸς ὁ Διονύσιος οὐκ ὠξυδόρκει.

3. *τραγῳδιδάσκαλον*] Apud Suidam reperiuntur in *θρεττανελὸ* forma orationis variata: ibidem est *τραγῳδοδιδάσκαλον·* vulgaris vel scribendi pronunciandique modus, vel librariorum error, quem sæpe MSS. dissidentibus in Polluce offendimus. In Aristotelis I. *περὶ ψυχ.* p. 10. *Φιλίππῳ τῷ κωμῳδιδασκάλῳ·* ubi nescire se fatetur Sylburgius, euphoniæ causa contractum sit ab auctore, an per errorem truncatum a librariis. HEMST. *τραγῳδοδιδάσκαλον* V. *ἢ τραγ.* om. R. Suidæ codices *τραγῳδιοδιδάσκαλον.*

4. *ἔγραψε τὸν ἔ.*] *ἔγραψεν ἔ.* R.

ib. *τῇ* addidi ex R.V. et Suida.

6. *καὶ ἐρεθίζοντα* addidi ex R.V. et Suida.

7. *καὶ τέρπομαι* addidi ex R.V.

8. *χορεῦσαι*] *χορεύειν* R.

ib. *κἀγὼ* R.V. *καὶ ἐγὼ* Ald.

9, 10. *ἡ γὰρ—θρεττανελό* huc transposui cum R.V. et Suida. Supra ante *Φιλόξενον τὸν διθυραμβοποιόν* exhibet Ald. præmisso *θρεττανελό* : *Τὸν κιθαρῳδόν* et sequente *ἄλλως.* quæ om. R.

9. *κρουομένη*] *κινουμένη* R.

ib. *τοιοῦτον* R.V. *τοιοῦτο* Ald.

10. *θρεττανελὸ θρεττανελό*] Per *ω* scribit R.

11. *φωνήν*] *τὸν κιθαρῳδόν* hoc loco addit V, quod om. G.

ib. *Ἄλλως* add. V.

ib. *ὁ φιλόξενος* V. *Φιλόξενος δὲ ὁ* Ald.

12. *διονυσίῳ* V. *δωριεῦσι* Ald. Correxerat etiam Hemst.

ib. *Διονυσίῳ*] Ad Dionysium majorem, qui illud habuisse præcipuum traditur, ut satis esset in homines eruditos liberalis, teste Aristippo apud Lucian. in Necyom. c. 13, cum multis aliis Philoxenus Cytherius accessit. HEMST.

ib. *τινὶ* om. V.

14. *ὄρη τῶν* K. V. *μέρη* K. Ald.

ib. *καὶ ἐκεῖ δρᾶμα*] *δρᾶμα δὲ* V.

16. *τῆς* om. V.

ib. *τοῦτο δὲ*] Hoc si mendo ca-

[291. ὧδὶ: Οὕτως. Gl. Paris. παρασαλεύων: Μετρίως κινῶν, ἔτυψε γὰρ αὐτοὺς πρὸς τὴν πυγήν. Gl. Paris. παρενσαλεύων: Παρακινῶν. Gl. Victor.]

[292. ἄγειν: Ὁδηγεῖν. ἀλλ' εἶα: Ἄγε. θαμίν': Συχνῶς, πολλάκις λέγοντες. Gl. Paris. χλευάζει αὐτοὺς ὡς γέροντας. R.V.]

293. βληχώμενοι: Ποιᾷ φωνῇ χρώμενοι· βληχᾶσθαι γὰρ τὸ τὰ προβάτια ποιᾷ κεχρῆσθαι φωνῇ. τὸ δὲ ἑξῆς, βληχώμενοι μέλη ὡς οἱ τράγοι ἕπεσθ' ἀπομύζοντες ἑαυτούς. κινάβρα δὲ ἡ δυσωδία τῶν μασχαλῶν, ἢ τῶν αἰγῶν· κιναβρώντων οὖν, τῶν δυσωδίαν ἐχόντων ἢ τῶν δυσοσμίαν ποιούντων ἐκ τῶν μασχαλῶν. κυρίως δὲ ἡ τῶν κυνῶν βορὰ, κυνοβορά τις οὖσα. [βληχώμενοι: Βοῶντες, ᾄδοντες, λέγοντες. τὸ βληχᾶσθαι ἐπὶ προβάτων. συνάπτεται πρὸς τὸ προβατίων. Gl. Paris.]

[294. κιναβρώντων: Ὀσμὴν ἀποπεμπόντων. μέλη: Ἄισματα. Gl. Paris.]

295. [ἕπεσθ': Ἀκολουθεῖτε τὰ αἰδοῖα δεικνύντες. Gl. Paris.] τράγοι δ' ἀκρατιεῖσθε: Τὸ ἑξῆς, τράγοι δ' ἀπεψωλημένοι ἀκρατιεῖσθε.

rere ponatur, nihil est prius, quam ut eam in suspicionem venias excidisse unam, quæ huic respondeat, orationis partem: τοῦτο μὲν . . . . τοῦτο δὲ αἰνιττόμενος etc. *tum fabulam Cyclopis et Galateæ illo dramate pertractans, tum tacite respiciens ad Dionysium.* Alioqui parva plane mutatione rectum erit, τοῦτον (scil. τὸν Κύκλωπα) αἰνιττόμενος εἰς Διονύσιον, quod fere malim. HEMST.

1, 2. τοῖς ποσίν. οὕτως. ἔτυψε—πυγήν Θ.

7—10. Ποιᾷ φωνῇ — κιναβρώντων οὖν om. R.

8. προβάτια ποιᾷ κεχρῆσθαι φωνῇ V. et Suidas s. βληχή. πρόβατα ποιᾷ φωνῇ χρῆσθαι Ald.

8, 9. ὡς οἱ—ἑαυτούς add. V.

9—12. κινάβρα—οὖσα] τῶν ἐχόντων ἐν ταῖς μασχάλαις δυσωδίαν. κινάβρη γὰρ ἡ δυσωδία ἡ ἐν ταῖς μασχάλαις τῶν προβάτων ὑφισταμένη. κυρίως δὲ ἡ τῶν κυνῶν βορὰ, κυνοβορά τις οὖσα καὶ κινάβρα V.

10. τῶν (secundum)] Legebatur κακὴν, pro quo τὴν R. κακὴν post δυσωδίαν habet Θ.

ib. δυσωδίαν ἐχόντων ἢ τῶν om. R.

11. κυρίως δὲ R.V. κινάβρα δὲ κυρίως Ald.

ib. βορὰ R.V. βρῶσις Ald.

12. οὖσα] ἀλλ' εἰ τοῦτ' ἦν, ἐγράφετ' ἂν διὰ τοῦ υ ψιλοῦ addit Ald. quæ om. R.V.Θ.

ib. ἀλλ' εἰ . . . . υ ψιλοῦ] Hæc apud Suid. in κινάβρα non leguntur: per se liquet, ab alio fuisse adjecta propositam etymologiam refutante. Porro Suidas habet, ἡ δυσωδία τῶν μασχαλῶν τῶν αἰγῶν· et Κιναβρώντων αἰγῶν, τῶν δυσοσμίαν ἀποπεμπουσῶν [ποιούντων codices Gaisfordi] ἐκ τῶν μασχαλῶν. HEMST.

18. Τὸ ἑξῆς etc.] Quo conferri possit, adscribam integrum Suidæ locum: Ἀκράτεια· ἀκρατιεῖσθε. Ἀριστοφάνης Πλούτῳ· Τράγοι δ' ἀκρατι-

λείπει τὸ ὡς, ἀντὶ τοῦ ὡς τράγοι ἀκρατῆ πράσσετε· ἐπεὶ μετὰ τὴν συνουσίαν οἱ τράγοι λείχουσιν ἑαυτῶν τὰ αἰδοῖα ἐν τῷ ἄκρῳ μέρει. [ἀντὶ τοῦ φάγοιτε. V.] [ἤγουν δίκην τράγων τοὺς ὄρχεις λείχετε. Gl. Paris. λείχετε τὰ αἰδοῖα δηλονότι. Gl. Br.]

[296. θρετταναλὸ τὸν Κύκλωπα: Ὦι σαυτὸν παρείκασας. Gl. Paris.]

[297. βληχώμενοι: Ἀναβοῶντες. καταλαβόντες: Ὥσπερ ἐκεῖνον ὁ Ὀδυσσεὺς, κρατήσαντες. Gl. Paris.]

298. πήραν ἔχοντα: Φιλοξένου ἐστὶ παρηγμένον καὶ τοῦτο τὸ ῥητόν. τοιοῦτον γὰρ τὸν Κύκλωπα εἰσάγει, πήραν ἔχοντα καὶ ἐπὶ ταύτῃ λάχανα ἄγρια. ταῦτα δέ φησι καὶ τὰ ἑξῆς, ὡς καὶ τῆς τυφλώσεως αὐτοῦ οὔσης ἐν τῷ ποιήματι. [Ἄλλως. ἐνταῦθα ὁ ποιητὴς παιγνιωδῶς ἐπιφέρει τὰ τοῦ Φιλοξένου εἰπόντος πήραν βαστάζειν τὸν Κύκλωπα, καὶ λάχανα ἐσθίειν. οὕτω γὰρ πεποίηκε τὸν τοῦ Κύκλωπος ὑποκριτὴν εἰς τὴν σκηνὴν εἰσαγόμενον. ἐμνήσθη δὲ καὶ τῆς τυφλώσεως, ὡς οὔσης ἐν τῷ ποιήματι. ταῦτα δὲ πάντα διασύρων τὸν Φιλόξενον εἶπεν, ὡς μὴ ἀληθεύοντα. ὁ γὰρ Κύκλωψ, ὥς φησιν Ὅμηρος, κρέα ἤσθιε, καὶ οὐ λάχανα· ἃ τοίνυν ἔφησεν ἐκεῖ ὁ Φιλόξενος, ταῦτα ὁ χορὸς εἰς τὸ μέσον ἀναφέρει. Junt.]

εἶσθε· τουτέστιν, ἀπεψωλημένοι ἀκρατιεῖσθε· ἀντὶ τοῦ, ὡς τράγοι ἀκρατῆ πράξετε· ἐπεὶ μ. τ. σ. οἱ τ. λ. τὸ αἰδοῖον· τὸ ἄκρον λείξετε, ὡς τράγοι. Cujuscumque culpa confusa puto, et hunc in modum instauranda: Ἀπεψωλημένοι τράγοι δ' ἀκρατιεῖσθε· τουτέστι, τράγοι δ' ἀπεψωλημένοι ἀκρ. etc. nam τράγοι apte explicari non possunt per id ipsum vocabulum, quod in Aristophane connectendum est. HEMST.

ib. τὸ ἑξῆς—ἀκρατιεῖσθε om. R.V.

1. λείπει om. V.

ib. τὸ] ἢ R.

ib. ἀντὶ τοῦ add. R.V.

ib. τράγοι] τὸ δὲ ἀκρατιεῖσθε ἀντὶ τοῦ φάγοιτε. ἀκρατισμὸς γὰρ λέγεται τὸ πρωϊνὸν φαγεῖν. ἢ add. Θ. Ald. quæ om. R.V. et Suidas.

ib. ἀκρατῆ] ἀκρατεῖς G.

ib. πράσσετε] πράξετε Suidas.

ib. ἐπεὶ R.V. et Suidas. ἐπειδὴ Ald.

2. οἱ τράγοι om. R.V. οἱ τράγοι τὰ αἰδοῖα ἑαυτῶν καὶ ἑαυτοὺς λείχουσιν Θ.

ib. λείχουσιν ἑαυτῶν τὰ V. λείχουσιν αὐτῶν τὰ R. λείχουσι τὰ ἑαυτῶν Ald.

ib. ἐν τῷ ἄκρῳ μέρει R.V. ἢ λείχετε τὸ ἄκρον τοῦ αἰδοίου Ald.

3. ἀντὶ τοῦ φάγοιτε om. G.

9–11. Φιλοξένου—ἄγρια V. καὶ γὰρ παρὰ τῷ φιλοξένῳ πήραν ἔχων εἰσῆλθε R. Ald.

11. ἑξῆς] ἐφεξῆς Θ.

12. οὔσης ἐν τῷ ποιήματι R.V. ἐν ποιήματι οὔσης Ald.

ib. ποιήματι] ποιήματι αὐτοῦ V.

16. ὡς οὔσης] ὡς μελλούσης Jacobs. ad schol. Theocrit. 6, 7.

18. Ὅμηρος] Homerus humanas carnes avide devorare Cyclopem fecit; vide Od. I. 290. 297. 347. HEMST.

[πήραν: Σακούλιον, ὥσπερ ἐκεῖνος. λάχανα: Ἃ συνῆγεν ἐκεῖνος εἰς τροφήν. ἐμέθυσε γὰρ ἐκεῖνον Ὀδυσσεύς. δροσερὰ: τρυφερά. κραιπαλῶντα: Μεθύοντα. Gl. Paris.]

καὶ κραιπαλῶντα: Ἀντὶ τοῦ ἐκ μέθης ἀτακτοῦντα, μεθύοντα, ἀπὸ τοῦ τῶν καιρίων σφάλλεσθαι. [κραιπάλη γὰρ ἡ χθεσινὴ μέθη καραπάλη τις οὖσα. V.]

[299. ἡγούμενον: Προοδοποιοῦντα τούτοις, οἷς ἡμᾶς ἀπεικάζεις. Gl. Θ. Paris.]

300. [εἰκῆ: Μάτην. καὶ ὡς ἔτυχεν· ἢ ἀκαίρως· ὅθεν καὶ εἰκαῖος, ὁ μάταιος. Junt.]

εἰκῆ δὲ καταδαρθέντα: Ὡς ἔοικε κατακοιμηθέντα που, ὡς τὸν Κύκλωπα, ὃν μιμεῖται. τοῦ δὲ οἰκέτου μνησθέντος τοῦ Κύκλωπος, οἱ γέροντες ἐπάγουσιν ἃ ἔπαθε παρὰ τοῦ Ὀδυσσέως ὁ Κύκλωψ. [καταδαρθέντα: Καὶ ὑπνώσαντα καταπεσόντα. Gl. Paris.]

301. σφηκίσκον, ξύλον ὠξυμμένον, ἐπεὶ καὶ ὁ σφὴξ ὀξὺς ἐκ τῶν ὄπισθεν. Ἄλλως. ἐπιτετήδευται ἡ λέξις παρὰ τὸν σφῆκα· τὰ γὰρ μακρὰ τῶν ξύλων καὶ εἰς ὀξὺ συνηγμένα σφηκίσκους καλοῦσιν, ἐπεὶ καὶ οἱ σφῆκες τὴν κοιλίαν ἐπισυνεσταλμένην ἔχουσιν, ἰσχνοὶ ὄντες ὄπισθεν. καὶ τοὺς λαγαροὺς δὲ τοῖς σώμασιν ἀνθρώπους καὶ μὴ προκοιλίους, σφηκώδεις φασίν. [Ἄλλως. ξύλον τὸ μὲν ἄνω ἔχον παχὺ, τὸ δὲ κάτω λεπτόν. Ἄλλως. ὡς καὶ τῆς τυφλώσεως τοῦ Κύκλωπος

4. καὶ κραιπαλῶντα) ἀντὶ] κραιπαλῶντα δὲ ἀντὶ R.V.Θ.

4, 5. μεθύοντα—σφάλλεσθαι om. R.V.

4. μεθύοντα, ἀπὸ] μεθύοντα, ἀπὸ τοῦ τὸ κάρα πάλλειν τοὺς μεθύοντας, ἢ ἀπὸ Suidas s. κραιπαλῶντα.

9. Μάτην etc.] Ab Hesychio depromtum. HEMST.

11. καταδαρθέντα] Præfigendum est εἰκῆ· id enim exponitur per ὡς ἔοικε. HEMST. Præfixi εἰκῆ δὲ ex Θ. Lemma om. V. Totum scholion om. R.

15, 16. σκηφίσκον — Ἄλλως huc transposui cum V.Θ : quo loco etiam Suidas legit s. σφηκώδεις. Præfixo Ἄλλως. post σφηκώδεις φασὶν habet Ald.

15. σφηκίσκον om. R.V.

ib. ξύλον ὠξυμμένον R. (in quo ὀξυμμένον) Θ. et Suidas. ξύλον ἀπεξυμμένον V. ξύλον ἀπεξυσμένον G. ὠξυμμένον ξύλον Ald.

ib. ὀξὺς] ἰσχνὸς Θ.

16—p. 131. l. 2. Ἄλλως—μιμῇ om. R.

16. ἐπιτετήδευται] ἐπιτηδευτὴ V.

17. μακρὰ V.Θ. et Hesychius s. σφηκίσκοι. μικρὰ Ald. Suidas, Photius p. 560, 12, Zonaras p. 1695, Etym. M. p. 738, 39, Eustath. p. 897, 58.

ib. συνηγμένα] ξυνηγμένα Θ.

18. ἐπισυνεσταλμένην] ἐπεκταμένην V. ἐπισυνηγμένην Suidas, Hesychius, Etym. M.

ib. ἔχουσιν] λίαν ἔχουσιν V, non G. ἄγαν ἔχουσιν Hesychius.

19. δὲ om. V.

ib. σώμασιν] στόμασι V.

περικειμένης ἐν τῷ ποιήματι. V.] ἐκτυφλῶσαί σέ φησιν, ὡς τὸν Κύκλωπα, ὃν μιμῇ. [ἡμμένον: Κεκαυμένον. σφηκίσκον: Πάλον. Gl. Θ. Dorv. Paris. δαλόν. Gl. Br.]

302. ἐγὼ δὲ τὴν Κίρκην: Ἔκθεσις τῆς διπλῆς συστηματικῶν στίχων καὶ κώλων εἴκοσι. εἰσὶ δὲ τοῦ πρώτου συστήματος στίχοι καὶ κῶλα ἑπτά. τούτων ὁ πρῶτος τετράμετρος ἀκατάληκτος, οἷον τὸ τοῦ Ἀλκαίου,

δέξαι με κωμάζοντα, δέξαι, λίσσομαί σε, λίσσομαι.

ὁ δεύτερος τετράμετρος καταληκτικὸς, ὡς τὰ πρὸ τούτων· ὁ δὲ τρίτος δίμετρος ἀκατάληκτος· ὁ δὲ τέταρτος τετράμετρος καταληκτικὸς ὁμοίως τῷ δευτέρῳ· ὁ δὲ πέμπτος ὁμοίως τῷ τρίτῳ· ὁ ἕκτος τρίμετρος ἀκατάληκτος· ὁ δὲ ἕβδομος δίμετρος καταληκτικός· ὡς ἐκεῖνα τοῦ Ἀνακρέοντος

ὁ μὲν θέλων μάχεσθαι,
πάρεστι γὰρ, μαχέσθω.

ἐφθημιμερῆ δὲ τὰ τοιαῦτα καλεῖται, ὡς τρεῖς ἔχοντα πόδας καὶ συλλαβήν· ἐπὶ τῷ τέλει παράγραφος. [τὴν Κύρκην: Τὴν Λαΐδα. Gl. Paris. ἀνακυκῶσαν: Ταράττουσαν. Gl. Dorv. ταράττουσαν, μιγνύουσαν. Gl. Θ. Paris.]

303. ἑταίρους τοῦ Φιλωνίδου: Δέον εἰπεῖν Ὀδυσσέως, ὁ δὲ Φιλωνίδου εἶπε. κωμῳδεῖ δὲ αὐτὸν ὡς πλούσιον καὶ παρασίτους ἔχοντα καὶ διὰ τὸν Λαΐδος ἔρωτα ἐν Κορίνθῳ διάγοντα. κωμῳδεῖται δὲ καὶ ὡς συώδης σὺν τοῖς ἑταίροις αὐτοῦ, οὓς κάπρους εἶπε. τὴν δὲ Λαΐδα Κίρκην εἶπε, ἐπεὶ τοὺς ἐραστὰς ἐφαρμάκευεν. Ἄλλως. ὥσπερ καὶ

4. Scholion metricum om. R. V.Θ.
5. εἴκοσι Portus. ὀκτὼ Ald.
ib. στίχοι καὶ κῶλα Kusterus. στίχων καὶ κώλων Ald.
6. ἀκατάληκτος] Jure Kusterus scholiasten reprehendit, qui primum versum esse dixerit τετράμετρον ἀκατάληκτον, qualis est Alcæi prolatus etiam ab Hephæstione, ejusque enarratore p. 16. 86. quum sine dubio sit τετράμετρος καταληκτικός· qui in tam manifestum errorem labi potuerit, miror; nisi credibile putes eum reperisse, ἐγὼ δὲ τὴν Κίρκην γε τὴν τὰ φάρμακ' ἀνακυκῶσαν ἄν. HEMST.
13. Ἀνακρέοντος] In illis, quæ nomen Anacreontis gerunt, reliquiis od. 38. HEMST.
20–24. Δέον—Ἄλλως leviter mutata inferius exhibet V. δέον—ὅλῳ ἤθει om. R. δέον—ἐφαρμάκευεν habet Suidas s. ἀπαίδευτοι.
20. ὁ δὲ om. Θ.
21. εἶπε] οὗτος ὁ Φιλωνίδης οὐ μόνον μέγας ἦν, ἀλλὰ καὶ ἀμαθὴς καὶ ὑώδης addit Suidas.
ib. κωμῳδεῖ δὲ] δὲ om. Θ.
24. ἐφαρμάκευεν] ὡς ὄντας κάπρους add. Θ.
ib. Ἄλλως om. Θ.
ib. καὶ om. V.

Κίρκην φησὶ παίζων τὴν Λαΐδα φαρμάσσουσαν τοὺς ἐρῶντας. τροπικῶς δὲ παίζει εἰς ταύτην ἐκεῖθεν ἄγων τὴν ἱστορίαν· δῆλον δὲ ἐκ τοῦ περὶ Φιλωνίδου διειληφέναι. κάπρους δέ φησι τοὺς ἑταίρους τοῦ Φιλωνίδου τῷ ὅλῳ ἤθει, ἢ τῷ διαβεβλημένῳ ὡς ὑώδης. καὶ ταῦτα εἰς Φιλωνίδην τὸν Μελιτέα, ὡς οὐ μόνον μέγαν, ἀλλὰ καὶ ἀμαθῆ καὶ ὑώδη. καὶ Νικοχάρης ἐν Γαλατείᾳ

τί δῆτ' ἀπαιδευτότερος εἶ Φιλωνίδου
τοῦ Μελιτέως;

Ἄλλως. ἐν τῇ νήσῳ τῶν Λαιστρυγόνων ἡ Κίρκη ἦν, πάσας γυναῖκας παρελθοῦσα μαγείαις. προσέσχεν οὖν Ὀδυσσεὺς ἐν τῇ νήσῳ μετὰ τὸ φυγεῖν τὸν Κύκλωπα, καὶ πέμψας τινὰς τῶν αὐτοῦ ἰδεῖν, τίς ἂν εἴη ἐνταῦθα, ἔρημος γὰρ ἦν ὁ χῶρος, ἐπεὶ ἀπελθόντες οὗτοι, καὶ τὴν Κίρκην εὑρόντες, χοῖροι ὑπ' αὐτῆς διά τινος ποτοῦ γεγόνασιν, αὐτὸς εἰς τὴν τούτων ἀφίκετο ζήτησιν. ἐντυχὼν οὖν ἐν τῷ μέσῳ τῆς ὁδοῦ τῷ Ἑρμῇ, καὶ παρ' αὐτοῦ μαθὼν τὰ περὶ τῶν ἑταίρων, καὶ λαβὼν παρ' αὐτοῦ τὸ μῶλυ, ἥτις ἐστὶν ἀντιφάρμακος βοτάνη, τὸν τῆς Κίρ-

1. Κίρκην] κίρκη V.

4. ταῦτα R.V. ταῦτα δὲ Ald.

5. Μελιτέα] μελιττέα V. et infra μελιττέως.

ib. οὐ μόνον μέγαν ἀλλὰ καὶ om. V.

6. ὑώδη] κίρκην δὲ λέγει τὴν λαΐδα add. V.

ib. νικοχάρης R.Θ. νικόχαρις Ald.

7. τί δῆτ' R.V.Θ. ἠδέ τ' Ald. hic et in scholio v. 179.

ib. ἀπαιδευτότερος εἶ] ἀπαίδευτός τε εἶ G.

8. Μελιτέως] Sequuntur in V, ἄλλως. ἀντὶ τοῦ εἰπεῖν ὀδυσσέα, φιλωνίδην εἶπε. κωμῳδεῖ δὲ τὸν φιλωνίδην ὡς πόρνον καὶ πολλοὺς παρασίτους τρέφοντα. ἦν δὲ καὶ ὑώδης ὁ φιλωνίδης (ὁ φιλωνίδης om. G.). τοὺς δὲ ἑταίρους αὐτοῦ κάπρους εἶπε, τὴν δὲ λαΐδα κίρκην, ἐπειδὴ τοὺς ἐραστὰς αὐτοῦ (scr. αὐτῆς) ἐφαρμάκευε.

9—p. 133. l. 9. om. R.V.Θ.

ib. In codice Parisino scriptum: Ἄλλως ἔστιν ἡ Κύρκη ἐκ τῶν Λαιστρυγόνων, παρελθοῦσα πάσας τὰς γυναῖκας μαγείαις. προσέσχε δὲ αὐτῇ Ὀδυσσεὺς μετὰ τὸ φυγεῖν—ἐκπέμψας (sine καὶ)—ὑπ' αὐτῆς ἐγεγόνεισαν διά τινος ποτοῦ, νυκτὸς εἰς τὴν τούτων—μόλυ—καὶ πρὸς μοιχείαν αὐτῷ συνελθεῖν ἐπ.—ἐμίγη καὶ ἐποίησεν υἱόν. Θέλων οὖν—ἐκεῖσε τῆς Λ.

10. ἐν τῇ νήσῳ] Præpositionem Gelenius deleverat; recte quidem, si usus frequentissimi rationem habeas: attamen defendunt non Ald. solum et Junt. verum etiam Dorv. in cujus margine hæc ἱστορία τῆς Κίρκης, sed depravatior et mutilata, proponitur: ibi mox ridicule μετὰ τοῦ φαγεῖν τὸν Κ. deinde, ἀπελθόντες οὖν οὗτοι· tum, ὁ γοῦν Ὀδυσσεὺς εἰς τὴν τ. ἀ. ζ. paulo post, ἐπιχειρήσασα οὖν ἡ Κίρκη καὶ αὐτὸν (ita restitui pro αὐτῷ vel αὐτῷ priorum edd.) τὰ ὅμοια ποιῆσαι, οὐδὲν ἴσχυσεν· ἀλλὰ συνελθεῖν αὐτὸν ἐπεθύμησεν· ὁ δὲ καὶ ἐμίγη· καὶ παῖδας αὐτῆς ἔσχον τὸν Τηλέγονον· ὑφ' οὗ ὕστερον κέντρον ἀνηρέθη· quæ eo adscripsi, ut pateret, quantæ labes sæpe a festinantibus atque imperitis librariis inferri soleant, e quibus acumen vel sagacissimum vix enitatur. HEMST.

κης οἶκον κατέλαβε· ἐπιχειρησάσης οὖν καὶ αὐτὸν τὰ ὅμοια δρᾶσαι, τὸ ξίφος κατ' αὐτῆς ἀνέτεινεν. ὅθεν αὐτὴ φοβηθεῖσα τούς τε ἑταίρους αὐτοῦ πρὸς τὴν ἀρχαίαν μορφὴν ἀποκατέστησε, καὶ πρὸς μίξιν αὐτῷ συνελθεῖν ἐπεθύμησεν. ὁ δὲ καὶ ἐμίγη, καὶ παῖδα ἔσχεν ἐξ αὐτῆς Τηλέγονον, ὑφ' οὗ καὶ ὕστερον κατ' ἄγνοιαν ἀνῃρέθη κέντρῳ τρυγόνος. θέλων οὖν ὁ ποιητὴς σκῶψαι τὸν Φιλωνίδην, ὅτι αὐτοῦ ἤρα Λαῒς, ἀντὶ τοῦ εἰπεῖν τοὺς ἑταίρους τοῦ Ὀδυσσέως, Φιλωνίδου εἶπεν· ἀντὶ δὲ τοῦ εἰπεῖν ἐν τῇ νήσῳ τῶν Λαιστρυγόνων, ἐν Κορίνθῳ εἴρηκεν, ὡς ἐκεῖ τῆς Λαΐδος οἰκούσης. [ἔδει δὲ ἄρα καὶ τὸν Ὀδυσσέα θανάτῳ περιπεσεῖν—μέμνηται [τῆς] ἱστορίας καὶ ὁ Ὀππιανὸς ἐν ἁλιευτικῶν β^{ω}. Cant. I. ἢ τοὺς ἑταίρους: Τοῦ Ὀδυσσέως ὤφειλεν εἰπεῖν. σκώπτων δὲ τὸν Φιλωνίδην, οὗ ἤρα Λαῒς τις ἐν Κορίνθῳ πόρνη, τοῦτό φησιν. Paris. Φιλωνίδου: Ὀδυσσέως. Gl. Dorv.]

[304. ἔπεισεν: Κατέπεισεν. ὄντας κάπρους: Ὑπάρχοντας καὶ ἀγριοχοίρους. Gl. Paris.]

[305. μεμαγμένον: Μεμαλαγμένον καὶ ἐζημωμένον. Gl. Paris. μ. σκῶρ: Μεμαλαγμένον κόπρον. Gl. Θ. Dorv. σκῶρ: Κόπρον, σκάτον τρώγειν. αὐτή: Ἡ Κίρκη δὲ ἐμάλαττε τοῖς ἑταίροις. Gl. Paris. ἔματτεν: Ἐμάλαττεν. Gl. Dorv. ἐμάλαττε τοῖς ἑταίροις. Θ.]

[306. πάντας τρόπους: Τῆς Κίρκης τοὺς τρόπους μιμήσομαί φησι. Gl. Paris.]

[307. γρυλλίζοντες: Φωνὴν μικρῶν χοίρων ἀφιέντες· γρυλισμὸς γὰρ ἡ τῶν μικρῶν χοίρων φωνή. R.V. ὁμοίως χοίροις βοῶντες. Gl. Θ. Dorv. χοίρων φωνὴν ἀφιέντες. Gl. Paris. Victor. φιλιδίας: Φιλιδονίας. Gl. Dorv. φιληδίας: Ὑπὸ φιληδονίας καὶ ἀνοίας. Gl. R. Paris.]

[308. ἕπεσθε: Παροιμία ἐπὶ τῶν ἀπαιδεύτων λεγομένη. μητρί: Ἐμοί. Gl. Paris.]

1. αὐτὸν Dorv. αὐτῷ Ald.

5. κέντρῳ τρυγόνος] Qui de mortis genere, quo Ulyxes extinctus est, tradiderint, plures indicavit I. A. Fabricius ad Sext. Empiric. p. 273. Præterea vide Th. Galeum ad Parthen. p. 123. HEMST.

21. Solum φησὶ μιμήσομαι habet R.

23, 24. μικρῶν utrumque om. R.

24. γρυλισμὸς] γρυλλισμὸς G. γρυλλιασμὸς R.

26. ὑπὸ et καὶ om. Paris.

309. *οὐκοῦν σε τὴν Κίρκην*: Τοῦ *δευτέρου συστήματος στίχοι καὶ κῶλα ἑπτά. ἔχουσι δ' ὁμοίως τῇ προφθάσῃ περιόδῳ καθ' ἕκαστον.* [*τὸ ἑξῆς οὐκοῦν σε λαβόντες κρεμῶμεν.* V. (non G.) *οὐκοῦν σε λαβόντες κρεμάσομεν.* R. *ἀνακυκῶσαν*: Μ*ιγνύουσαν.* Gl. Dorv. Victor. *ἀναταράττουσαν.* Gl. Paris.]

[310. *μαγγανεύουσαν*: Γ*οητεύουσαν.* Gl. Paris. *μαγεύουσαν, γοητεύουσαν.* Gl. Victor. *μολύνουσαν*: Μ*ιαίνουσαν.* Gl. Paris. Victor.]

311. *λαβόντες*: Οὕ*τω κἂν τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται, ἵν' ᾖ ὅμοιον τῷ ἄνω τρίτῳ κώλῳ. τὸ δὲ, ἢν λάβωμεν, οὐ πάνυ δόκιμον.* [*λαβόντες*: Κ*ρατήσαντες. φιληδίας*: Φ*ιληδονίας.* Gl. Paris. Victor.]

312. *τῶν ὄρχεων κρεμῶμεν*: Δ*έον εἰπεῖν ξίφος ἐπιφέρομέν σοι, καθὰ καὶ* Ὀ*δυσσεὺς τῇ* Κ*ίρκῃ, ὁ δὲ, ὃ συμβέβηκε τῷ* Ὀ*δυσσεῖ κατὰ τὴν τοῦ ἐρινεοῦ ἐποχὴν ἐν τῷ στομίῳ τῆς* Χ*αρύβδεως, ἐπὶ τὴν* Κ*ίρκην μετήγαγεν. ἢ, ὡς ἐκεῖνος* Μ*ελάνθιον ἐκρέμασεν.* [Λ*αρτίου*, Υ*ἱὸν δηλ. τὸν* Ὀ*δυσσέα. τῶν ὄρχεων*: Ἀ*πὸ τῶν ὄρχεων.* Gl. Paris. *τῶν ὄρχεων κρεμῶμεν*: Ὥ*σπερ ἐκεῖνος τὸ ξίφος κατὰ τῆς* Κ*ίρκης ἀνέτεινεν, ἢ ὡς ἐκεῖνος* Μ*ελάνθιον ἐκρέμασε.* Victor.]

313. *μινθώσομεν*: Μ*ίνθον οἱ μὲν τὸν ἡδύοσμον· οἱ δὲ τὴν ἴυγγα,*

1. et 9. Scholia Aldina ad v. 309. 311. om. R.V.Θ.

13. *εἰπεῖν* R.V. *εἰπεῖν ὅτι* Ald.

ib. *ἐπιφέρομεν* R. Paris. *ἐπιφέρωμεν* Ald. *ἐπιφέρειν* V. *ἐπιφέρομεν* dixit scholiasta, non *ἐποίσομεν*, qui *κρεμῶμεν* pro indicativo præsentis haberet.

ib. *σοι* om. V.

14. *ὁ δὲ* om. R.V.

15. Illa *ἐρινεοῦ*, quem vespertilionis in modum adglutinatus Ulyxes adprehenderat, *ἐποχὴ* sumta est ex Od. M. 432. Melanthii meritissimam pœnam ad columnam suspensi graphice descripsit poëta Od. X, 175. 193. HEMST. *τοῦ* addidi ex V. Ceterum in V. supra post scholion v. 302. adscripta quæ huc pertinent *δέον* (*δέον* om. G.) *εἰπεῖν τὸ ξίφος ἐπανατείναντες ὥσπερ ὁ ὀδυσσεὺς τῇ κίρκῃ.*

ib. *στομίῳ*] *στόματι* Paris.

18, 19. *Ὥσπερ—ἀνέτεινεν*] Hæc habet Θ.

20–p. 135. l. 10. Μ*ίνθον—πταρμῷ*] *μίνθη κυρίως ὁ τράγος, καταχρηστικῶς δὲ ἡ ἀνθρώπου κόπρος, ᾗ ἐκέχρηντο—πταρμῷ. ἄλλως. μίνθη ἡ κόπρος τῶν αἰγῶν λέγεται. ἐπειδὰν—ἀηδίζονται. ἄλλως. οἱ μὲν τὸν ἡδύοσμον—οἱ τράγοι.* V.

20. *τὸν ἡδύοσμον*] Dioscorides 3, 41. *ἡδύοσμος, οἱ δὲ μίνθην, γνώριμον βοτάνιον·* et Suid. in Μ*ίνθη*. Alibi neutrum genus scholiastes, quippe non minus frequentatum, posuit: ad Ran. 1107. Μ*ίνθη δὲ τὸ παρ' ἡμῖν ἡδύοσμον· οἱ δὲ τὸν θύμον, ἢ κόπρον αἰγῶν.* Hesych. Μ*ίνθα, τὸ ἡδύοσμον, καὶ ἀνθρωπεία κόπρος.* Idem: Ψ*ώϊζος, ἄφο-*

ὡς κεῖται ἐν τῇ κωμικῇ λέξει. οἱ δὲ εἶδος ἄνθους ἐν τῇ κόπρῳ φυομένου, ᾧ χαίρουσιν οἱ τράγοι. Ἄλλως. μίνθος λέγεται ἡ κόπρος τῶν αἰγῶν. ἐπειδὰν δὲ οἱ τράγοι ψυγμῷ περιπέσωσιν, εἰώθασιν οἱ αἰπόλοι λαμβάνειν τὴν κόπρον αὐτῶν καὶ χρίειν αὐτῶν τοὺς μυκτῆρας, καὶ οὕτως τῇ δυσωδίᾳ πταρμὸν κινεῖν, τούτῳ δὲ τῷ τρόπῳ λύειν τὸ πάθος· ὁ γὰρ πταρμὸς θεραπεύει τὸ πάθος. ἐκ τούτου οὖν φησιν ὅτι ἀηδίσομέν σε, ἐπεὶ καὶ αἱ αἶγες ἐκ τῆς κόπρου ἀηδίζονται. Ἄλλως. κοπρώσομεν· μίνθος γὰρ ἄνθος ἐν τῇ κόπρῳ φυόμενον, ᾧ χαίρουσιν οἱ τράγοι. οἱ δὲ μίνθον φασὶ τὴν ἀνθρωπίνην κόπρον, ᾗ χρῶνται παρατρίβοντες οἱ ποιμένες ἐν τῷ δυσενεργήτῳ τῶν τράγων πταρμῷ.

δος ὑγρὰ, ἢ ὄνθος, δυσωδία, καὶ ἣν καλοῦσι μίνθαν· οἱ δὲ αὐχμὸν, ἢ μόλυσμα· sanavimus adfectum locum et male tentatum. Apud Etymologum itidem in Μίνθη pro μίθρον rectius admitti μίνθον nemo, qui nostrum enarratorem legerit, inficias ibit. Vide Poll. 6, 68. et Seber. H. Stephani Ind. Thes. L. G. in Μίνθα. Quid illi spectaverint, qui μίνθον reddiderunt τὴν ἴυγγα, equidem ignoro, et peritioribus enodandum trado. Est autem κωμικὴ λέξις liber comicorum vocabula complexus et declarans. Schol. Apollon. Rh. 4, 973. de orichalco quum diversas veterum opiniones exposuisset, addit: οὕτως ἦν ἐν τῇ κωμικῇ λέξει τῇ συμμίκτῳ· neque aliud existimo τὸ κωμικὸν Λεξικὸν, cujus mentionem fecit ad v. 1614. Auctorem Palamedem Etymologus indicat p. 145. v. 44. Παλαμήδης ἱστορικὸς ὁ τὴν κωμικὴν λέξιν συναγαγών· ubi miror historicum vocari, qui fuerit grammaticus, eoque titulo signetur a Suida: Παλαμήδης, Ἐλεάτης, γραμματικός. κωμικὴν καὶ τραγικὴν λέξιν. etc. Temporis, quo vixit, indicium Athenæo debemus, a quo Dipnosophistis adnumeratur ὁ Ἐλεατικὸς Παλαμήδης ὀνοματολόγος 10. p. 397. A. Idem sine dubio Palamedes, cujus auctoritate in verbis obscurioribus explicandis utuntur scholiastæ Apollon. Rh. ad 1, 704. 3, 107. 4, 1563. et noster ad Pac. et Vesp. ter quaterve. HEMST. Vide Boeckhium præfatione ad schol. Pindar. p. XIX.

1. λέξει] τάξει V.

ib. φυομένου] φυόμενον V. φερομένου Θ.

2. Ἄλλως] ἢ καὶ ἄλλως Ald.

2–7. μίνθος—ἀηδίζονται] Hæc sola habet R.

2. κόπρος τῶν αἰγῶν] τοῦ τράγου κόπρος R.

3. ἐπειδὰν] παραχρηστικῶς ..... ἐπειδὰν R. Scribendum videtur καταχρηστικῶς δὲ ἡ ἀνθρώπου κόπρος.

ib. οἱ τράγοι R.V.Θ. οἱ om. Ald.

ib. ψυγμῷ] ψυχμῷ V.

4. αὐτῶν τοὺς μ.] τοὺς μ. αὐτῶν V.

7. αἱ om. V.

9. οἱ δὲ om. Θ.

ib. χρῶνται παρατρίβοντες] ἐκέχρηντο περιτρίβοντες V. Vulgatum habet Suidas s. μινθώσομεν.

10. ἐν τῷ V. ἐν om. Ald. et Suidas.

ib. δυσενεργήτῳ V. δυσεργήτῳ Suidas. δυσριγεῖ Ald. corruptum fortasse ex δυσεργεῖ. Capræ δύσριγοι, alsiosæ, dicuntur ab Aristotele et in Geopon. 18, 9, 5.

ib. πταρμῷ] οἱ δὲ τῷ πταρμῷ V. Scholion hoc pluribus verbis esse defectum censebat Hemsterhusius. Mihi ex superiore scholio inepte excerptum videtur. Illud quoque absurdum, quod stercus humanum hircis adhiberi dicitur.

[μινθώσωμεν: Πάσωμεν. Gl. Dorv. κόπρῳ χρίσωμεν. Gl. Victor. κόπρῳ πάσσομεν, ὅταν γὰρ ὑπὸ κορύζης οἱ τράγοι κατασχεθῶσιν, οὕτω πρὸς ἀπαλλαγὴν πάττονται. μίνθος γὰρ ἡ κόπρος. Θ. Paris. ὥσπερ τράγου: Ὅταν οἱ τράγοι ὑπὸ κορύζης κατασχεθῶσι, κόπρῳ χρίονται εἰς ἀπαλλαγὴν τοῦ πάθους. Victor.]

314. σὺ δ' Ἀρίστυλλος: Ὁ Ἀρίστυλλος αἰσχρός· καὶ ἐν Ἐκκλησιαζούσαις μέμνηται αὐτοῦ ὡς αἰσχροποιοῦ. λείπει δὲ τὸ ὡς, ὡς ὁ Ἀρίστυλλος αἰσχρουργίαις κεχηνώς. αἰσχρουργὸν γὰρ αὐτόν φησι ποιητὴν, ὃς διὰ τὴν αἰσχρουργίαν αὐτοῦ ἀεὶ ἐκεχήνει. τοῦτο οὖν φησιν, ὥσπερ ὁ Ἀρίστυλλος κεχηνὼς ἐρεῖς, ἔπεσθε μητρὶ χοῖροι, ἀντὶ τοῦ ἐμοί· τοῦτο δὲ παροιμιῶδες εἶναί φασιν· οἱ γὰρ παῖδες τοῦτο εἰώθασι λέγειν, ἔπεσθε μητρὶ χοῖροι· παροιμιακὸν οὖν ἐστι, καὶ ἐπὶ τῶν ἀπαιδεύτων φασὶ λέγεσθαι. [ῥῖνα: Τὴν μίτην. Gl. Paris. ὁ Ἀρίστυλλος οὗτος μαλακὸς ἦν καὶ τῷ στόματι χάσκων, ὡς τοῖς ὁρῶσι κινεῖν γέλωτα. Paris. Victor.]

316. ἀλλ' εἶα: Τῆς τρίτης περιόδου στίχοι καὶ κῶλα ἕξ, ὧν τὸ μὲν πρῶτον καὶ τελευταῖον τετράμετρα καταληκτικὰ, τὰ δὲ μεταξὺ δίμετρα ἀκατάληκτα· ἐπὶ τῷ τέλει διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν τῇ ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. [σκομάτων: Ὕβρεων. Gl. Dorv. ὕβρεων ἐλευθερωθέντες. Gl. Paris. ἀπαλλαγέντες: Ἀποστάντες. Gl. Victor.]

[317. ἐπ' ἄλλ' εἶδος: Εἰς ἄλλην ὁδόν τινα. Gl. Paris. ἄλλο τι ἐναντίον, εἰς τὸ μηκέτι σκώπτειν. R.V.]

[318. ἐγὼ δ' ἰὼν: Δείκνυσιν ἐντεῦθεν, ὡς τοιαῦτα οἱ δοῦλοι ποιεῖν εἰώθασιν. Θ. Junt. Victor. ἰὼν: Πορευθείς. λάθρα: Κρυφίως τοῦ δεσπότου δηλ. Gl. Paris.]

[319. τοῦ δεσπότου: Δείκνυσιν ἐνταῦθα, ὡς τοιαῦτα οἱ δοῦλοι ποιεῖν εἰώθασιν. Paris.]

6–9. Ὁ Ἀρίστυλλος — ἐκεχήνει] ἀρίστυλλος αἰσχρὸς ποιητὴς καὶ ἐν ταῖς μουσουργίαις κεχηνώς· ἢ ὡς μοιχὸς διαβάλλεται καὶ ἐπὶ μαλακίᾳ, μέμνηται δὲ αὐτοῦ καὶ ἐν ἐκκλησιαζούσαις ὡς αἰσχροῦ καὶ ἀρρητοποιοῦ V. ὁ Ἀρίστυλλος—κεχηνώς om. R.

6. Ἐκκλησιαζούσαις] 647.

8. αἰσχρουργὸν γὰρ αὐτόν φησι ποιητὴν] ὁ δὲ ἀρίστυλλος αἰσχρὸς ποιητὴς R.

10. ὥσπερ] ὅτι ὡς R.

ib. ἕπεσθε et sequentia om. V. μητρὶ χοῖροι et sequentia om. Θ.

11–13. ἀντὶ τοῦ—λέγεσθαι om. R.

16. Scholion metricum om. R. V.Θ.

22. ἄλλο τι] ἀλλ' ὅτι R.V.

321. τῷ κόπῳ: Τῷ ἔργῳ καὶ τῇ περὶ τὸν πλοῦτον ἐπιμελείᾳ. ἀπὸ θέματος δὲ τοῦ μασῶ δευτέρας συζυγίας τὸ μασώμενος, ὡς γελώμενος. [μασσ. τὸ λοιπὸν, οὕτω: Εἰς τὸ ἑξῆς. Gl. Paris. κόπῳ: Τῇ ταλαιπωρίᾳ συνυπάρχειν — τῷ ὑστέρῳ, εἰ ἄρα τούτου δεήσεται. Paris.]

322. χαίρειν μὲν ὑμᾶς: Κορωνὶς, ὅτι εἰσίασιν οἱ ὑποκριταί. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λγ, ὧν ὁ τελευταῖος· "καὶ δὴ βαδίζω. σπεῦδε νῦν· τοῦτ' αὐτὸ δρῶ." ὁ Χρεμύλος, ὡς καινισθεὶς τῇ τύχῃ, καινοτέραν προσηγορίαν ἐπινοεῖ· τὸ γὰρ χαίρειν παλαιόν ἐστι. ἀμέλει οὖν ἐπιφέρει τὸ ἀσπάζομαι ἅτε δὴ καινότερον.

περὶ τοῦ ἐν τῇ συνηθείᾳ χαίρειν τοῦ τε ἐν ταῖς ἐπιστολαῖς, γέγραπται Διονυσίῳ μονόβιβλον περὶ αὐτοῦ· καὶ λέγει μὲν ὑπὸ Κλέωνος πρῶτον αὐτὸ τετάχθαι, γράφοντος πρὸς Ἀθηναίους ὡς ἕλοι τοὺς ἐν Σφακτηρίᾳ, Κλέων Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. λέγει δὲ αὐτὸ κεῖσθαι περιττὸν καὶ περὶ τὴν σύνταξιν ἀσύστατον. ἐκ δὲ τῆς συν-

1. Τῷ ἔργῳ καὶ add. R.Θ. V. hæc tantum habet ἀντὶ τοῦ δι' ἡμέρας οὕτω κάμνειν ἐσθίων. μασάω μασσῶ δέ.

2. μασῶ—μασώμενος R.Θ. μασσῶ—μασσώμενος Ald.

ib. γελώμενος R.Θ. κλώμενος Ald.

4. τῷ—δεήσεται habet etiam Θ, in quo δεήσειεν.

6–8. Κορωνὶς—δρῶ om. R.V.Θ.

8—p. 138. l. 3. ὁ Χρεμύλος—Ἀχαιούς] περὶ τοῦ—ἀχαιούς. ἄλλως. ὁ χρεμύλος—καινότερον V.

8. ὁ χρεμύλος R.V.Θ. ὁ δὲ Χρεμύλος Ald.

9. καινισθεὶς] καὶ ξενισθεὶς Θ.

ib. προσηγορίαν] τὴν προσηγορίαν V.

10. ἀμέλει—καινότερον add. R.V. Sequentia om. R.

11. περὶ τοῦ V. περὶ δὲ τοῦ Ald.

ib. τοῦ τε Kusterus. τοῦ V. τοῦτο Θ. Ald.

12. Διονυσίῳ] Dionysius ille quis fuerit, inter tot Dionysios a Meursio, Vossio et Io. Ionsio de Script. H. Ph. 3, 8. recensitos, definire non est pronum. HEMST.

ib. ὑπὸ Κλέωνος] Vid. Thom. Magistr. v. Χαίρειν, Menag. ad Diog. Laert. 3, 61. KUST.

13. αὐτὸ om. V.Θ.

ib. γράφοντος] δὲ αὐτοῦ add. V.Θ.

ib. ὡς ἕλοι] ἑλόντος V.Θ.

14. Κλέων Ἀθηναίων] ὁ κλέων ἀθηναίοις V.Θ.

15. περὶ τὴν σύνταξιν ἀσύστατον] *Locum esse salebrosum* observat in margine sui libri Kusterus: mihi scholiastæ mens satis videtur plana; disputat enim, ut Apollon. Alex. 3. p. 231. de usu infinitivi χαίρειν in hac epistolari formula, cujus rationem structuræ legitimæ repugnare monet, nisi quis imperativi vice Homerico more positum accipiat. Ex ea tamen parte vitium huic loco obvenisse suspicor, quod e duobus codd. in unum conflatæ sint binæ sententiæ similis periodi, quarum alterutra fuerat omittenda hunc in modum: λέγει δὲ (Dionysius) αὐτὸ κεῖσθαι περιττὸν, καὶ κατὰ τὴν σύνταξιν ἀσύστατον. εἰ μή τις αὐτὸ λάβοι etc. vel, ἐκ δὲ τῆς συντάξεως τοῦ λόγου φησὶν (Dionysius) ἀσύστατον, εἰ μὴ etc. HEMST. Post ἀσύστατον V. addit οὐ δὲ περιττὸν ὡς εἰσκείμενον.

τάξεως τοῦ λόγου φασὶν ἀσύστατον, εἰ μή τις αὐτὸ λάβοι ἀπαρέμφατον ἀντὶ προστακτικοῦ, ὡς καὶ παρὰ τῷ ποιητῇ

πειρᾶν δ', ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιούς.

[*ἐμφαίνεται ἐντεῦθεν, ὡς οἱ ἐξαίφνης καὶ παρ' ἐλπίδα εὐτυχήσαντες ἕτεροι τοῖς τρόποις γίνονται, καὶ πρὸς ὑπεροψίαν χωροῦσι· καὶ γὰρ οὐκ ἔστι τὸ χαίρειν κακόν· ἀλλὰ διότι πένης ὢν πρώην πρὸς τοὺς συνήθεις τοῦτο ἐχρῆτο, διὰ τοῦτο ἀτιμάζει αὐτὸ, θέλων μετὰ τοῦ βίου καὶ τὰ προσρήματα μεταβαλεῖν. σύναπτε δὲ τὸ ἔστι πρὸς τὸ ἀρχαῖον.* Junt. *ὦ 'νδρες δημόται*: Ὦ *ἄνδρες οἱ ἀπὸ τοῦ αὐτοῦ δήμου.* Gl. Paris.]

[323. *ἀρχαῖον δὲ ἀντὶ τοῦ παλαιόν. ἐκ παραλλήλου τὸ ἀρχαῖον καὶ σαπρόν. διαβάλλει τὴν λέξιν ὡς παλαιάν.* V. *ἀρχαῖον*: Τὸ ἔστι λέγει ἐνταῦθα. Dorv. *ἐνταῦθα τί ἐστι λέγε.* Θ. *ἐνταῦθα τὸ ἐστὶ λ ε καὶ χαιρετᾶν.* Paris. *σαπρόν*: Σεσηπωμένον. Gl. Paris. *ἐξίτηλον, ληρῶδες.* V. (non G.)]

324. *ἀσπάζομαι*: *ἀσπάζομαί φησιν ἅτε καινότερον, παρὰ τὴν ὑπόνοιαν δέ· εἰπὼν γὰρ μὴ ἐρεῖν χαίρειν, ἀσπάζομαί φησιν.* [*ἀσπάζομαι*: Καταφιλῶ *καὶ περιπλέκομαι.* Gl. Θ. Dorv. Paris.]

325. *καὶ συντεταγμένως*: Καθωπλισμένως *μετὰ τάξεως καὶ σπουδαίως καὶ γοργῶς καὶ μετὰ συγκροτήματός τινος. κατεβλακευμένως δὲ ἀντὶ τοῦ βραδέως καὶ τρυφερῶς· βλὰξ γάρ ἐστιν ὁ μαλθακευόμενος ἐν ὑποκρίσει τὸ σῶμα· καὶ βλακεία ἡ μεθ' ὑπεροψίας ὁμιλία.* [*συντεταγμένως*: Σπουδαίως. Gl. Dorv. *μετὰ τάξεως.* Gl. C. *συντεταμένως*: Μετὰ *τάξεως.* Gl. Paris. *σπουδαίως, γοργῶς.* Θ. *σπουδαίως.* Gl. D. *καταβεβλακευμένως*: Ῥαθύμως

2. ἀντὶ om. Θ.
ib. προστακτικοῦ] προστακτικὸν Θ.
ib. τῷ ποιητῇ] Il. Δ. 71.
4, 5. ἐμφαίνεται .... χωροῦσι] Hæc etiam ora cod. Dorv. præfert plane eadem, nisi quod ibi sit ἐμφαίνει, ut ad v. 287. HEMST.
6. ὢν Paris. ἦν Junt.
11, 12. ἐκ—σαπρόν habet R.
16, 17. ἀσπάζομαι—φησιν om. R. G. παρ' ὑπόνοιαν· εἰπὼν γὰρ μὴ προσαγορεύειν ἀσπάζεται pro his ponit V.
19–21. Καθωπλισμένως — βλὰξ] μετὰ τάξεως καὶ σπουδῆς, ἢ ἀντὶ τοῦ καθωπλισμένως, ἢ ἀντὶ τοῦ γοργῶς καὶ μετὰ συγκροτήματός τινος χοροῦ. τὸ δὲ οὐ καταβλακευμένως (καταβεβλακευμένως G.) ἀντὶ τοῦ σπουδαίως καὶ οὐ βραδέως. βλὰξ V.
19, 20. καθωπλισμένως—σπουδαίως καὶ om. R.
20. καὶ ante γοργῶς om. Θ.
ib. κατεβλακευμένως R. καταβεβλακευμένως Ald.
21. καὶ τρυφερῶς om. R.
22. βλακεία] μαλθακία Θ.
23. ὁμιλία] ἀμέλεια R.

ὡς οἱ τρυφῶντες. Gl. Θ. Dorv. ῥαθύμως. Gl. D. κατεβλακευμένως: Βλακεία ἡ ἀπὸ τῆς τρυφῆς ἄνεσις, ἢ ῥαθύμως. Gl. Paris. ἀντὶ τοῦ βραδέως καὶ τρυφερῶς. Gl. C. οὐ κ.: Ἀντὶ τοῦ οὐ ῥαθύμως. V. (non G.)]

[326. ὅπως: Ὁρᾶτε καὶ σκοπεῖτε. συμπαραστάται: Σύμμαχοι, βοηθοί. Gl. Paris.]

[327. διὰ τὴν τύφλωσιν. R. ἔσεσθε: Γενήσεσθε. σωτῆρες: Φύλακες. τοῦ θεοῦ: Τοῦ Πλούτου. Gl. Θ. Paris. τοῦ Πλούτου. παίζων δὲ λέγει· ὅταν γὰρ θέλῃ, ὀνομάζει αὐτὸν θεὸν, ὅταν πάλιν, ἄνθρωπον. V. ὄντως: Κατ' ἀλήθειαν. Gl. C.]

328. δόξεις μ' Ἄρη: Ὡς αὐτὸν τὸν Ἄρεα τὸν θεὸν ἕξεις με σύμμαχον. δόξεις με, φησὶ, τὸν Ἄρεα ὁρᾶν, ἀντὶ τοῦ κατορθωτικὸν καὶ πρακτικόν. ἄκρως καὶ ἀπειλητικῶς, φησι, βλέψω πρὸς τοὺς βιαζομένους. [Ἄλλως. παροιμία ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει συμπράττειν καὶ συναίρεσθαι εἰς βοήθειαν. Junt. θάρρει: Ἔχε θάρρος. ἄντικρυς: Φανερῶς. δόξεις: Νομίσεις, ἡμᾶς τὸν χορὸν δηλ. μ' Ἄρην: Πολεμικώτατον. Gl. Paris. ἀνδρεῖον ἤδη καὶ σπουδαιότατον καὶ πᾶν ὑπὲρ τούτου, εἰ δέοι, παθεῖν ἕτοιμον. Paris.]

329. εἰ τριωβόλου: Ὅτι οὐχ ἵστατο τοῦ δικαστικοῦ ὁ μισθὸς,

9. ὅταν bis G, ὅτ' ἂν V.

ib. Posui comma post πάλιν. Sed scholiasta fortasse scripserat ὅταν δὲ θέλῃ, πάλιν ἄνθρωπον.

11–14. Ὡς—βιαζομένους] δόξεις—πρακτικόν. ἢ ὡς αὐτὸν—σύμμαχον. ἄλλως. ἀντὶ τοῦ θάρσησον. νομίζεις γὰρ εἶναι μὲν (scr. με Ἄρη) εἰς τὸ βοηθῆσαί σοι. τῷ ἄρει· ἄκρως καὶ ἀπειλητικῶς βλέψω πρὸς τὸ βιαζόμενον V. Illa τῷ ἄρει—βιαζόμενον om. G.

11. αὐτὸν V. ἑαυτὸν Θ. Ald. ἂν R.

ib. ἕξεις με R.V. με om. Ald.

13. ἄκρως καὶ ἀ.] Vix dubito quin a scholiaste scriptum fuerit, ἀρείως καὶ ἀπειλητικῶς, *Martis in morem, et comminatorio vultu:* Suidas: Βλέπειν γὰρ ἄ. δ. μ' Ἄρη. ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει πράττειν (Mich. Apostol. συμπράττειν, nihil amplius addens) καὶ συνάρασθαι πρὸς βοήθειαν. Δόξεις με, φησὶν, Ἄρεα ὁρᾶν κατορθωτικὸν καὶ πρακτικόν· ubi primum post πρακτικὸν illud ἄκρως non comparet: deinde ἀντὶ τοῦ perperam, ut puto, deest: tum laciniam ed. Juntinæ, quod raro fit, excerptam vides. Notandum autem est, triplicem adferri interpretationem, unam alteramque pravam, tertiam satis commodam: βλέπειν enim Ἄρη non inepte reddiris, ἀρείως καὶ ἀπειλητικῶς βλέπειν πρὸς τοὺς βιαζομένους. HEMST. ἄκρως—βιαζομένους om. R.

19—p. 140. l. 2. Ὅτι—ὄντων om. R.V.

19. οὐχ ἵστατο] *Non constabat judicum merces,* vel *salarium; sed id pro temporis ratione mutabant:* scilicet aut ipse populus Atheniensis, aut populi moderatores et demagogi. Ἵστασθαι in eadem re sæpius usurpat, ad Nub. v. 860. ad Av. 1540. οὐχ εἱστήκει δὲ αὐτοῖς τὸ τριώβολον· Hesych. in δικαστικόν·

ἀλλὰ κατὰ καιρὸν μετέβαλλον. τοῦτο δὲ λέγει, ὥς τινων ἐκ τούτων δικαστῶν ὄντων. [*δεινὸν*: Χαλεπόν. *τριωβόλου*: Ἕνεκα τριῶν ὀβολῶν. Gl. Paris.]

330. *ὠστιζόμεσθ'*: Ἀντὶ τοῦ ὠθούμεθα. καὶ Ῥωμαῖοι ὤστια τὰς θύρας φασὶ παρὰ τὸ ἐξωθεῖν τὸν ἐπερχόμενον. ἐν τῇ ἐκκλησίᾳ δὲ οὐδεὶς ἐδίκαζεν, εἰ μὴ ἐπέβαινε τῶν ξ' ἐνιαυτῶν· ὅσοι δὲ τελείας ἡλικίας ἦσαν, εἰσήρχοντο μὲν εἰς τὴν ἐκκλησίαν, οὐκ ἐδίκαζον δέ. τούτους οὖν τοὺς ἐκκλησιαστὰς ἐποίησαν φανερόν τι λαμβάνειν ἀπὸ τῶν τῆς πόλεως προσόδων οἱ δημαγωγοὶ πείσαντες τὴν πόλιν· ὕστερον δὲ ὁ Κλέων ἐποίησεν αὐτὸ τριώβολον. ἀφῆλιξ δὲ εἰς τὴν ἐκκλησίαν οὐκ εἰσήρχετο. [*ὠστιζόμεσθ'*: Εἰσερχόμεθα ἀλλήλους ὠθοῦντες πάντοτε. Gl. Θ. Dorv. Paris. ὅτι οἱ Ῥωμαῖοι ὠστίας τὰς θύρας φασὶ καὶ τὸν θυρωρὸν ὠστιάριον. ἀπὸ τούτου οὖν ὠστίζω τὸ εἰσέρχομαι γίνεται. ἔστιν δὲ ὠστίζειν τὸ εἰσέρχεσθαι τινὰς ἀλλήλους ὠθοῦντας ἐπὶ τῆς θύρας. Paris. *ἐκκλησίᾳ*: Τῇ συναγωγῇ. Gl. Paris.]

[331. *παρείην*: Καταλείψαιμι, παραχωρήσαιμί τινι. Gl. Θ. Paris. καθ' ἑαυτὸν ὁ Βλεψίδημος σκέπτεται. V.]

[332. *Βλεψίδημον*: Βλεψίδημος ὁ πρὸς τὸν δῆμον βλέπων, κἀκ τούτου τὰ πρὸς ζωὴν ποριζόμενος. ὑπηρέτης γὰρ ἦν τῶν τὰ δημόσια ἐνεργούντων. Junt. Dorv.]

[333. *προσιόντα*: Προσερχόμενον. Gl. Paris.]

[334. *βαδίσει*: Περιπατήσει. *τάχει*: συντομίᾳ. Gl. Paris.]

[335. *πόθεν*: Ἀπὸ ποίας αἰτίας. *τρόπῳ*: Σκοπῷ. Gl. Paris.]

οὐ μέντοι ἕστηκεν, ἀλλ' ἄλλοτε ἄλλως ἐδίδοτο· quod ab Aristotele sumtum in Atheniensium Rep. scholiastes ostendit ad Vesp. v. 682. HEMST. Mercedem judicum permiscet scholiasta cum mercede concionis populi, de qua loquitur Aristophanes.

ib. ὁ om. Θ.

4. Totum scholion om. V. Habent R.Θ, quorum R. illa οὐδεὶς ἐδίκαζεν—οὐκ εἰσήρχετο in principio scholii ponit.

ib. Ἀντὶ τοῦ addidi ex R.

ib. ὤστια] Suidas habet ὠστίας in v. [quem locum om. cod. Paris. A.] ubi priora hujus adnotationis descripsit paulo plenius; posteriora totidem verbis in τριώβολον, omissis ἐν τῇ ἐκκλησίᾳ δέ. HEMST. ὠστίας R.

5. ἐξωθεῖν] ἔξω ὠθὴν (θ supra ω) R, quasi ἔξωθεν ὠθεῖν voluisset. Sed ἐξωθεῖν Suidas.

ib. τὸν ἐπερχόμενον] τὴν ἐρχομένην R.

ib. ἐν τῇ ἐκκλησίᾳ δὲ om. R.

8. φανερόν τι] *Certum quid.*

11. πάντοτε om. Θ.

16. παραχωρήσαιμι] παραχωρῆσαι uterque codex. Correxi ex G. et, qui παραχωρῆσαί με habet, V. καταλείψαιμι om. V.G.

18. κἀκ] κατὰ Dorv.

[336. ἐξαπίνης: Καὶ ἐξάπινα. γίνεται παρὰ τὸ ἀφανὴς, ἄφινα, καὶ ἄπινα. Junt. οὐ πείθομαι: Οὐ πιστεύω. Gl. Paris.]

[337. λόγος: Φήμη. Ἡρακλέα: Ὡς ἀποτρόπαιον τῶν κακῶν. Gl. Θ. Paris.]

338. ἐπὶ τοῖσι κουρείοισι: Διαβάλλει τοὺς Ἀθηναίους ὡς διημερεύοντας ἐπὶ τῶν κουρείων ἀργῶς καὶ ἐν τοῖς ἰατρείοις ποιουμένους τὰς συντυχίας. [κουρεῖα δὲ ἦσαν ἐργαστήρια, ἐν οἷς οἱ βουλόμενοι [κείρειν Junt.] τὰς τρίχας τῆς κεφαλῆς καὶ τοῦ πώγωνος [ἀπιόντες Junt.] ἐκείροντο, ὁπότε ἐκβαῖεν τοῦ μέτρου. Junt. Paris. κουρεῖα τὰ κοινῶς μπαρμπερεῖα. Gl. Paris. κουρίοις: Νέοις. Gl. Dorv.]

[339. ὅτι ἐξαίφνης ὁ ἀνὴρ ἐγένετο. Gl. Paris.]

[340. θαυμαστὸν: Ἐκπληκτικόν. Gl. Paris. ἄξιον θαύματος. Gl. Dorv.]

[341. ἀγαθόν τι ποιῶν — μετακαλεῖται. Gl. Paris.]

342. οὔκουν ἐπιχώριόν τι: Σκώπτει πάλιν τοὺς Ἀθηναίους ὡς ἐπιφθόνους. οὐκ ἀκολουθεῖ, φησὶ, τῇ Ἀθηναίων διαγωγῇ. καὶ ἀλλαχοῦ, "ἐπὶ τοῦ προσώπου γάρ ἐστιν Ἀττικὸν βλέπος." [ἐπιχώριον: Ἐντόπιον, σύνηθες. Gl. Dorv. σύνηθες τῇ χώρᾳ. Θ. οὐδαμῶς σύνηθες τῇ χώρᾳ τι πρᾶγμα ποιεῖ. Gl. Paris. διαβάλλει ἐντεῦθεν Ἀθηναίους ὡς φθονεροὺς καὶ κακογνώμονας καὶ μὴ μεταδιδόντας τοῖς φίλοις χρηστοῦ τινος. Paris.]

[343. ἀλλ' οὐδέν σε ἐγκαλύψας λέξω. Gl. Paris.]

[344. ἄμεινον: Κρεῖττον ποιοῦμεν. Gl. Dorv. κρεῖττον ἢ πρὸ [α] ποιῶμεν, διάγωμεν. Gl. Paris.]

[345. τὴν εὐπραγίαν σοι. εἶ γὰρ τῶν φίλων: Ὑπάρχεις γὰρ ἀπὸ τῶν φίλων. Gl. Paris. ἀντὶ τοῦ ὑπάρχεις. V. (non G.)]

[346. ἀληθῶς: Ὁμολογουμένως. Gl. Paris.]

5–7. Διαβάλλει—συντυχίας] διαβάλλει τοὺς ἀθηναίους ὡς ἀργοὺς καὶ ἐν τοῖς κουρείοις καθημένους καὶ οὐκ ἐν τοῖς ἰατρείοις ποιουμένους τὰς συντυχίας. τούτου ἕνεκεν εἶπεν ἐν τοῖς κουρείοις V.

5. ὡς] καὶ R.

6. ἀργῶς] καὶ ἀργούς R. Sequentia om. R.

ib. καὶ ἐν Hemst. καὶ οὐκ ἐν V.Θ. Ald. ους

ib. ποιουμένων Θ.

7. ἐργαστήρια ἦσαν τὰ κουρεῖα Paris.

10. μπαρμπερεῖα] Id est βαρβερεῖα: de quo v. vide Ducang.

15,16. Σκώπτει—ἐπιφθόνους om. R.

15. Σκώπτει] σκόπει V, non G.

16. οὐκ] ἄλλως. οὐκ V.

ib. διαγωγῇ] ἀγωγῇ V.

ib. ἀλλαχοῦ] Nub. 1176.

17. ἐπὶ—βλέπος om. G.

ib. γάρ] Corrige τ'.

25. τὴν εὐπραγίαν] τῆς εὐπραγίας Θ.

[347. *ἔσομαι*: Γενήσομαι. *αὐτίκα*: Ταχέως πάνυ. Gl. Paris. *εἰ μή τι δεινὰ πάθω. θεὸν δὲ ἢ τὸν Πλοῦτον ἢ ἄλλον τινά.* V.]

[348. *ἔνι*: Ἔνεστι. *κίνδυνος*: Φόβος. Gl. Paris. *ἐὰν ἀποτύχωμεν δηλονότι.* R.V.]

[349. *λέγ' ἀνύσας*: Οἱ λέγοντες τὸ ἀνύσας ἀντὶ τοῦ ἄνυσον καὶ τὸ λέξας ἀντὶ τοῦ λέξον οὐ καλῶς λέγουσιν. ἔχει δὲ οὕτως. λέγε ὅτι φῂς ποτε ἀνύσας, καὶ τελέσας τοῦτο· τουτέστιν, εἰς τέλος καὶ διασάφησιν ἀγαγὼν σὸν λόγον. Junt. *οἷος*: Μέγας. *ἀνύσας*: Σπεύσας. σύναπτε τὸ ποτέ πρὸς τὸ ἀνύσας. Gl. Θ. Paris.]

[350. *κατορθώσωμεν*: Ἃ βουλόμεθα. Θ. ἃ βουλεύομαι. Gl. Paris.]

351. [*σφαλῶμεν*: Ἀστοχήσωμεν, ἀποτύχωμεν τούτου. Gl. Θ. Paris. *ἐπιτετρίφθαι*: Τοῦτο εἶπε φοβούμενος, μὴ ἀποτυχὼν ἐγείρῃ τὸν Δία πρὸς ὀργὴν, καὶ ἐπιτρίβῃ αὐτούς. Junt. Paris. *ἀφανισθῆναι λέγω παντελῶς.* Gl. Θ. Paris.]

τὸ παράπαν: Ἀντὶ τοῦ παντελῶς, κατὰ πάντα τρόπον, ἐξ ὁλοκλήρου. Ἀττικὸν τὸ σχῆμα. ἀρέσκει με γάρ φησι.

[352. *φορτίον*: Τὸ βάρος, πρὸς ὃ δυσχεραίνεις καὶ δειλιᾷς. Gl. Paris. *τὸ πρᾶγμα.* Gl. Br. *τὸ φορτίον διχῶς λέγεται. τὸ βάρος. φορτίον καὶ ἡ μέμψις.* Paris.]

[353. *ἀρέσκει*: Ἀρεστὸν ἐμοὶ δοκεῖ. *ἐξαίφνης ἄγαν*: Παραυτίκα λίαν. Gl. Paris. *καί μ' οὐκ ἀρ.*: Ἐμοί. Gl. codd. Br.]

[354. *οὕτως*: Ὡς ᾄδεται καὶ ὡς αὐτὸς λέγεις. Gl. Θ. Dorv. Paris. *αὖ δεδοικέναι*: Πάλιν δειλιᾶν, φοβεῖσθαι. Gl. Paris.]

355. [*πρὸς*: Περισσόν. Gl. codd. Br. *ἀργόν.* Gl. Paris. *ἡ πρὸς περισσὴ Ἀττικῶς. ἔστι ἴδιον δηλ. κακοῦ.* Paris. *ἀνδρὸς*: Ἴδιόν ἐστι. Gl. Dorv. Paris. *ὑγιές*: Ἀληθές. Gl. Dorv. *ὀρθόν.*

2. *θεός*: ἢ ὁ πλοῦτος ἢ ἄλλος τις τῶν θεῶν R.

5. Οἱ λέγοντες] Eadem fere leguntur in ora Dorv. Λέγοντες . . . τὸ δὲ λέξας ἀντὶ τοῦ λέγε ψυχρόν· (ψυχρὸν, id est, οὐ καλῶς λέγουσι) ἔχει δὲ οὕτω· λέγε ὅτι φῇς ἀνύσας τοῦτο ποτὲ, τουτέστιν εἰς διασάφησιν καὶ τέλος ἀγαγὼν τὸν σὸν λόγον. HEMST.

8. Μέγας] ἀντὶ τοῦ μέγας V.

ib. *ἀνύσας*: Σπεύσας om. Θ.

9. πρὸς] εἰς Θ.

15. λέγω om. Paris.

16. τὸ—παντελῶς om. R.

ib. κατὰ πάντα] ἄλλως. πάντα V.

17. Ἀττικὸν—φησι R.V.Θ. Ἀττικὸν δὲ τὸ καί μ' οὐκ ἀρέσκει, ὡς προείρηται (ad v. 69.) Ald.

Gl. Paris. εἰργασμένου: Πράξαντος. Gl. Paris.] πρὸς ἀνδρὸς: Ἡ πρὸς ἐνταῦθα οὔτε περισσή ἐστιν, ὡς οἴονταί τινες, οὔτε ἀντὶ τῆς ὑπό κεῖται, ἀλλὰ τὸ καθῆκον σημαίνει· ὡς καὶ παρὰ Σοφοκλεῖ

οὐ πρὸς ἰατροῦ σοφοῦ
θροεῖν ἐπῳδάς.

[356. πῶς κ. τ. λ.: Ἴδιον ἀνδρὸς εἰργασμένου. Gl. Paris.]

[357. ἥκεις: Ἦλθες. Gl. Paris. ἀργύριον ἢ χρυσίον: Ἃ ἀνατιθέασιν ἄνθρωποι τῷ θεῷ. Gl. Dorv. Paris.]

[358. ἴσως: Τάχα. μεταμέλει: Μεταμέλεια γίνεται τῆς κλοπῆς. Gl. Θ. Paris. μεταμέλει ἀντὶ τοῦ μεταφροντίζεις φοβούμενος τὸ ἁλῶναι. Θ.]

359. ἀποτρόπαιε: Ὡς ἐν ἀρνήσει εἴληφε τὴν τοῦ θεοῦ ἐπίκλησιν. [ἀποσοβητὰ τῶν κακῶν. Gl. Θ. Dorv. Paris. Δί' ἐγὼ μὲν οὐ: Οὐδὲν τοιοῦτον ἐποίησα. Gl. Paris.]

[360. φλυαρῶν: Περισσολογῶν. οἶδα: Γινώσκω φανερῶς, ὅτι ἐπανούργησας. Gl. Paris. ὅτι πεπανούργηκας. Θ.]

361. [ὑπονόει: Ὑπόπτευε. Gl. Θ. Paris.] φεῦ: Ἀποδυσπετεῖ, ὡς ἠρνημένου Χρεμύλου τὸ κακούργημα.

362. ὑγιές ἐστιν οὐδενὸς: Οὐθεὶς, ὃς δοκεῖ ἔχειν πλεονέκτημα, ἀρετῆς ὑγιῶς ἔχει. [Πλάτων Φαίδωνι "τελευτῶν δὴ θαμὰ προσ-"κρούων μισεῖ τε καὶ πάντας ἡγεῖται οὐδενὸς οὐδὲν ὑγιὲς εἶναι το-"παράπαν." Junt. ἀτεχνῶς ὑγιές: Φανερῶς ἀληθές. Gl. Θ. Paris. οὐδενὸς: Ἀνθρώπου. Gl. Paris.]

[363. κέρδους—ἥττονες: Νικώμενοι ὑπὸ τοῦ κέρδους, ὥσπερ οὗτος ἡττᾶται καὶ τὸ ἀληθὲς οὐκ ἐθέλει λέγειν. Gl. Θ. Paris.]

[364. ὑγιαίνειν μοι δοκεῖς: Ἐπεὶ τοιαῦτα κατ' ἐμοῦ ὑποπτεύεις. Θ. Junt. οὔτοι: Οὐδαμῶς. δοκεῖς: Φαίνει. Gl. Paris.]

1–5. πρὸς—ἐπῳδάς] Nihil præter ἀντὶ τῆς ὑπό habet V, quod om. G. περισσὴ ἡ πρός. ἢ ἀντὶ τῆς ὑπό. ὀρθόν. ἴδιον ἀνδρὸς εἰργασμένου Θ. In R. scholion adeo evanuit ut hæc tantum legi possint . . . . πρὸς ἀνδρός. περισσὸν . . . . αν . . τῆς ὑπο . . . .

3. Σοφοκλεῖ] Ajac. 581.

9. ἀντὶ τοῦ μεταμέλη φροντίζεις V, quæ om. G.

12. τὴν] τοῦτο τὴν V.Θ. In R. nihil legi potest præter λείπει.

17. Ἀποδυσπετεῖ] ἀπὸ δυσπετείας V. Scholion om. R.

18. κακούργημα] Pergit V, ἄλλως. οὐδεὶς—.

19. οὐδεὶς V.Θ. ὅτι οὐδεὶς Ald.

ib. ὃς] ὁ V.Θ.

20. Φαίδωνι] P. 67 D.

21. ὑγιὲς addidi ex Platone.

25. λέγειν] φράσαι Θ.

[365. *μεθέστηχ' ὢν πρότερον*: Πρώην γὰρ χρηστὸς ὤν, νῦν πανοῦργος γέγονεν. Θ. Junt. Dorv. *ὡς πολὺ*: Λίαν καταπολύ. *μεθέστηχ'*: Μετεβλήθη. *εἶχε*: Ἐκέκτητο. Gl. Paris.]

[366. *μελαγχολᾷς*: Μαίνῃ. Gl. Paris.]

[367. *τὸ βλέμμ' αὐτοῦ*: Αὐτοὺς τοὺς ὀφθαλμούς. Gl. Paris. *κατὰ χώραν* δὲ ἀντὶ τοῦ κατὰ τὸ πρέπον. R. *κατὰ χώραν ἔχει*: Κατὰ τὸ καθεστηκὸς καὶ ὡς δεῖ. Gl. Dorv. *κατὰ τάξιν*. Gl. Paris.]

368. *ἐπίδηλόν τι*: Ἀλλ' ἔστι τὸ βλέμμα αὐτοῦ ὅμοιον πεπανουργηκότι βλέμματι. [*ἐπίδηλον*: Φανερόν. Gl. Dorv. *πεπανουργηκότι*: Αὐτῷ πανουργίαν ἐργασαμένῳ. Gl. Paris. *πεπανουργευκότι*: Ἀντὶ τοῦ πεπανουργηκότος. R.]

369. *οἶδ' ὃ κρώζεις*: [Ὃ βοᾷς ὃ λέγεις. V.] *παροιμία ἐπὶ τῶν μάτην θρυλούντων, ὡς αἱ κορῶναι· ἀντὶ τοῦ, σὺ ἄνω καὶ κάτω περὶ τοῦ κεκλοφέναι μοι διαλέγῃ.* [*γινώσκω, διὸ φωνεῖς, ἀκαίρως φθέγγῃ καὶ ὀχλεῖς ἡμᾶς, ὡς κορώνη*. Gl. Θ. Dorv. Paris.]

[370. *ζητεῖς μεταλαβεῖν*: Τῆς κλοπῆς. Gl. Θ. Dorv. *χρῄζεις κοινωνῆσαι, μετασχεῖν*. *μεταλαβεῖν*: Τοῦτο διὰ μέσου εἴρηται. *τίνος*: Πράγματος. Gl. Paris.]

[371. *οὐ τοιοῦτον*: Ὃ σὺ ὑπονοεῖς. Gl. Θ. Paris.]

[372. *ἥρπακας*: Κατεδυνάστευσας. *κακοδαιμονᾷς*: Μαίνῃ, ἄθλιος εἶ καὶ κακοδαίμων. Gl. Paris.]

[*ὡς ἐμοῦ τι κεκλοφότος*: Τὸ ὡς οὐκ ἔστιν ἐνταῦθα ἀντὶ τοῦ ὅτι, ὡς οἴονταί τινες· οὐ γάρ ἐστι πρὸς τὸ ζητεῖς ἀλλὰ πρὸς τὸ κεκλοφότος· καὶ ἔστιν ἀντὶ τοῦ καθά· στίζων οὖν πρὸς τὸ κρώζεις, τὸ λοιπὸν λέγε κομματικῶς. Junt.]

[373. *ἀπεστέρηκας*: Ἀποστερῶ ἐστὶν, ὅταν παρακαταθήκην τινὸς

1. Dorv. versibus interpositum habet *πρώην δὲ χρηστὸς ὢν καὶ νῦν πανοῦργος ἐστί.* Vel *ἦν*, vel omittendum erat *καί*. HEMST.

9. *δεδιὼς* (*ἄλλως. δεδιὼς* G.) *θέλει εἰπεῖν, ὅμοιος εἶ πεπανουργευμένῳ* V.

13. *ἐπὶ*] *δέ ἐστιν ἐπὶ* V.

14. *μάτην* additum ex Suida s. *κρώζει* et *οὐκ οἶδ' ὃ κρώζεις*. Pro eo *τὰ ἄνω* habet V.

ib. *θρυλούντων* V.Θ. *θρυλλούντων* R. Ald.

ib. *ὡς*] *ὥσπερ* V.

14, 15. *ἀντὶ—διαλέγῃ*] *ἀντὶ τοῦ λέγεις* R.

15. *τοῦ—μοι*] *τὸ—με* V.Θ.

18. *κοινωνῆσαι—εἴρηται* habet Θ.

22. *ἄθλιος εἶ καὶ κ.* habet Θ.

25. *καθά· στίζων* Kusterus. *καθαστίζων* Junt.

λαβὼν εἰς διαβολὴν χωρήσω, καὶ οὐκ ἐθέλω διδόναι αὐτῷ, ἃ ἔλαβον. Junt. Dorv. *ἀπεστέρηκας*: Τινὸς δηλονότι. Θ. *τινὸς οὐδένα ἄνθρωπον.* Gl. Paris.]

[374. *οὐ δῆτ'*: Οὐδαμῶς, *ἐποίησα δηλ.* *ὦ* Ἡράκλεις: Φεῦ. Gl. Paris. *φέρε*: Τί ἄν τις εἴποι ἕτερον; Gl. Θ. Dorv. Paris.]

[375. *φράσαι*: Εἰπεῖν. Gl. Paris.]

[376. *κατηγορεῖς*: Ναὶ οὐ *θέλω δηλ.* *πρὶν μαθεῖν*: Πρὸ τοῦ *γνωρίσαι.* *μου*: Σύναπτε *τό μου πρὸς τὸ κατηγορεῖς.* Gl. Paris.]

377. *ἐγώ σοι τοῦτ' ἀπὸ σμικροῦ*: Ὡς *πρὸς εὑρηκότα ἡ διάλεξις. χρῆται δὲ τῇ πηλικότητι ἀντὶ ποσότητος.* [*ὦ τᾶν*: Ὦ *φίλε. σμικροῦ*: Ὀλίγου. Gl. Paris. *τοῦτ'*: Ὃ *πεπανούργηκας. σμικροῦ*: Ἀναλώματος. Gl. Dorv.]

[378. *ἐθέλω*: Χρήζω. Gl. Paris. *διαπρᾶξαι*: Οἰκονομῆσαι. *πυθέσθαι*: Μαθεῖν, *ἀκοῦσαι.* Gl. Dorv.]

379. *τὸ στόμ' ἐπιβύσας*: Φράξας· *ὅθεν ὁ βυθὸς ὁ πεφραγμένος. τείνεται δὲ πρὸς τοὺς ῥήτορας, ἐπεὶ εἰώθασι τοῖς ἕρμαιον κεκληρωμένοις ἐπιφορτίζεσθαι ὡς κοινωφελῆ μοῖραν τοῦ εὑρημένου. κέρμασι δὲ τοῖς κέρδεσι.* [*ἐπιβύσας*: Ἀντὶ *τοῦ ἐπιπλήσας. ὡς* Ὅμηρος "*νήματος ἀσκητοῖο βεβυσμένον.*" R. *κλείσας.* Gl. Θ. Dorv. Paris. *κέρμασι*: Νομίσμασι. Gl. Dorv. *δωρήμασι, νομίσμασι, ἵν' ὅταν καταστῇς εἰς κρίσιν, συνηγοροῦντας αὐτοὺς ἔχῃς διὰ τὴν δωροδοκίαν.* Gl. Θ. Dorv. Paris.]

[380. *εἰρωνικὸν τοῦτο.* Gl. Θ. Dorv. Paris. *φίλος*: Προσφιλῶς. Gl. Θ. C. Paris. *ἐπιθυμητικῶς. ἐν εἰρωνείᾳ.* V.]

[381. *μνᾶς*: Λίτρας. *ἀναλώσας*: Ἐξοδιάσας. *λογίσασθαι*: Λογαριάσαι *ἡμῖν.* Gl. Θ. Dorv. Paris.]

1. *ἃ* Dorv. *καὶ* Junt.

7. *Ναὶ οὐ θέλω* et *σύναπτε—κατηγορεῖς* habet Θ.

8. *τό μου* addidi ex Θ.

9, 10. *ὡς—ποσότητος* om. R.Θ.

12. *λείπει ἀναλώματος* R.

15. *φράξας—πεφραγμένος* et *δὲ* post *τείνεται* addidi ex V.

ib. *βυθὸς* G. *βυσὸς* V.

16. *ἐπεὶ* V.Θ. *ἐπειδὴ* Ald. Totum scholion om. R.

17. *κοινωφελῆ μοῖραν* V. *κοινωφέλιμοι* Ald.

ib. *τοῦ εὑρημένου—κέρδεσι* addidi ex V. Post *κέρδεσι* pergit V, *τινὲς ὡς ὅμηρος ἐπιπλήσας νήματος—βεβυσμένον.*

18. Ὅμηρος] Od. Δ, 134.

21. *καταστῇς*] *καταστὰς* Paris.

ib. *ἔχῃς*] *ἔχω* Dorv.

24. *ἐπιθυμητικῶς* G. *ἐπιθυμητικὸς* V.

25. Ἐξοδιάσας] Illud *ἐξοδιάζειν* recentioribus quidem Græcis perquam usitatum, sicut ex Ducangio in v. *ἔξοδος* compertum habemus; nam Meursium facile videas Gloss. Gr. B. in *ἐξοδιαστὴς* rationem voca-

[382. *ἀντὶ τοῦ ὄψομαι εἶπε τὸ ὁρῶ.* R.V. *καθεδούμενον*: *Καθίζοντα.* Gl. Paris.]

383. *ἱκετηρίαν ἔχοντα*: *Ἱκετηρία ἐστὶ κλάδος ἐλαίας ἐρίῳ πεπλεγμένος. οἱ γὰρ ἱκετεύοντες αὐτὸν κατεῖχον τὸν κλάδον.* [*ἱκετηρίαν*: *Κλάδον ἱκετικὴν κρατοῦντα.* Gl. Paris.]

[384. *διοίσοντ'*: *Διαφορὰν ἕξοντα.* Gl. Θ. Paris.]

385. [*τῶν Παμφίλου*: *Ὁ Πάμφιλος οὗτος γραφεὺς ἦν· ἔγραψε δὲ τοὺς Ἡρακλείδας ἱκετεύοντας* [*εὐθέως* Paris.] *μετὰ κλάδων ἐλαΐνων, ὅτε αὐτοὺς ἐκ Πελοποννήσου ἀπήλασαν. ἱκετηρία δέ ἐστι κλάδος ἐλαίας ἐρίῳ λευκῷ περιειλημμένος, ὡς Πλούταρχος ἐν Παραλ-*

buli minime percepisse: sed longe tamen vetustius, quam viri docti sibi persuaserunt, et magno intervallo ætatem eorum, quos citant testes, scriptorum superans, atque adeo veteri Græciæ non prorsus ignotum: ut enim taceam interpretem Græcum Reg. 4, 12, 12. *πάντα ὅσα ἐξοδιάσθη ἐπὶ τὸν οἶκον*, et v. 11. in ed. Compl. *καὶ ἐξωδίασαν αὐτὸ τοῖς τέκτοσι* pro *ἐξέδοσαν*, marmorea testamenti tabula monumentum egregium in Gruter. Inscr. Ant. p. CCXVI. sæpe suppeditat *ἐξοδιάξει* et *ἐξοδιαζέτω*· itidemque columna Sicula, quam mihi D'Orvillius a se descriptam ostendit: *Εἰς δὲ τὰν κατασκευὰν τᾶς στάλας ἐξοδιάξαι τὸ τριάκοντα μέρος*· unde jure colligas Doribus in primis hoc verbum fuisse familiare, minusque mireris, quoniam eadem erat Macedonum dialectus, ad Alexandrinos pervenisse. Hinc non solum in Glossis *ἐξοδιασμὸς*, *erogatio*, sed etiam apud Artemidor. I, 59. *ζημίας τινὰς, ἢ δαπάνας ἀκαίρους, ἢ ἐξοδιασμοὺς τινὰς παρὰ γνώμην.* *Ἔξοδον*, a quo vocabulo ista proficiscuntur, nonnunquam ita sumi monstrat Hesychius verbis ad hocce scholion accommodatissimis: *Ἀνάλωμα, ἔξοδος*· et enarrator Theocriti 35, 35.—*πόσσω κατέβα τοι ἀφ' ἱστῶ* declarans, *διὰ πόσης ἐξόδου σοι κέκοπται ἀπὸ τοῦ ἱστοῦ.* Verum insignis est tabulæ marmoreæ, quam ante designavi, locus p. CCXVIII. *γραφέτω δὲ καὶ τὰν ἔσοδον καὶ ἔξοδον τὰν γινομέναν ἐπ' αὐτοῦ.* Ab *εἴσοδος*, *εἰσόδιον* similiter oritur *εἰσοδιάζειν*, quod præter auctores a Ducangio prolatos invenies Reg. 4, 12, 4. *Πᾶν τὸ ἀργύριον τῶν ἁγίων τὸ εἰσοδιαζόμενον ἐν τῷ οἴκῳ Κυρίου.* Ex his simul aberrasse Suicerum liquet, qui *ἐξοδιάζειν* putaverit esse proprie, sumtum ad exequias impendere. De *λογαριάζειν* vide Ducangium et Vetus Rationarium: rarius apud Suidam *ἀπολογαριάζω* ad exponendum *ἀπολογίζω* adhibitum, et a Cangio prætermissum. HEMST. Conf. Valckenar. ad Adoniaz. p. 339. C.

3, 4. *ἱκετηρία—κλάδον* om. R.

3. *ἐστὶ*] *δέ ἐστι* V.

ib. *κλάδος ἐλαίας*] Has solas voces ad explicandam *ἱκετηρίαν* habet Dorv. Pro *ἐρίῳ πεπλεγμένος* Harpocrat. et Suidas posuerunt *στέμματι ἐστεμμένος*· plura dabit Ios. Wasse ad Sallust. p. 360. HEMST.

4. *αὐτὸν κατεῖχον τὸν κ.* V.Θ. *ἐλαίας κατεῖχον κ.* Ald.

7. *γραφεὺς ἦν*] *ζωγράφος ἦν* Paris.

ib. *ἔγραψε δὲ*] *ἔγραφε δὲ* Dorv. *ἔγραψεν οὖν* Paris.

9. *αὐτοὺς* om. Dorv.

10. *περιειλημμένος*] *περιειλυμμένος* Dorv. *κατεστεμμένος* dixit Plutarchus.

ib. *Πλούταρχος*] In vita Thesei c. 18.

λήλοις φησί· καταχρηστικῶς δὲ καὶ πᾶσα ἱκεσία. ἐχρῶντο δὲ ἐλαΐνῳ κλάδῳ ἵνα διὰ τούτου πρὸς ἔλεον τοὺς δικαστὰς ἕλκωσι. Dorv. Paris.]

τῶν Παμφίλου: Πάμφιλος ζωγράφος ἦν, ὅστις τοὺς Ἡρακλείδας ἔγραψεν ἱκετεύοντας τὸν τῶν Ἀθηναίων δῆμον· μετὰ γὰρ θάνατον Ἡρακλέους Εὐρυσθεὺς διώκει τοὺς Ἡρακλείδας, διὰ τὸ πρὸς τὸν Ἡρακλέα τὸν ἐκείνων πατέρα ἐμφύλιον μῖσος. ταύτην τὴν ἱστορίαν ἔγραψε Πάμφιλος ζωγράφος· κατὰ δέ τινας τραγικὸς ἦν, ὃς τὴν τῶν Ἡρακλειδῶν τύχην χαρακτῆρι ὑφηγήσατο. Ἄλλως. Πάμφιλον μὲν Καλλίστρατος καὶ Εὐφρόνιος τραγῳδιῶν ποιητήν φασι καὶ διδάξαι Ἡρακλείδας. τὰ δὲ λίαν ἐπιτετηδευμένα ὑπομνήματα διστάζει, πότερον τραγικὸς ποιητὴς ἢ ζωγράφος, ὃν καθηγήσασθαί φασιν Ἀπελλοῦ. ἐν μέντοι ταῖς Διδασκαλίαις πρὸ τούτων τῶν χρόνων Πάμφιλος οὐδεὶς φέρεται τραγικός. γραφὴ μέντοι ἐστὶν οἱ Ἡρακλεῖδαι καὶ Ἀλκμήνη καὶ Ἡρακλέους θυγάτηρ Ἀθηναίους ἱκετεύοντες, Εὐρυσθέα δεδιότες, ἥτις Παμφίλου οὐκ ἔστιν, ὥς φασιν, ἀλλ' Ἀπολλοδώρου. ὁ δὲ Πάμφιλος, ὡς ἔοικε, καὶ νεώτερος ἦν Ἀριστοφάνους. Ἄλλως. οὗτος τραγῳδοποιός· ἔγραψε δὲ τοὺς Ἡρακλείδας ἱκετηρίαν ἔχοντας· ὁ γὰρ Εὐρυσθεὺς μετὰ θάνατον Ἡρακλέους τοὺς Ἡρακλείδας ἐδίωξε, καὶ οὗτοι μετὰ τῆς Ἀλκμήνης παρεκάλεσαν τοὺς Ἀθηναίους βοηθῆσαι αὐτοῖς, ὅπερ καὶ ἐγένετο. τὰ οὖν συμβάντα αὐτοῖς ζωγράφος τις Πάμφιλος Ἀθηναῖος εἰς τὴν στοὰν τῶν Ἀθηναίων ἔγραψε, καὶ αὐτοὺς ἱκετεύοντας. τοῦτο οὖν λέγει, ὅτι οἱ καταδικαζόμενοι μετὰ τῶν

4–17. Πάμφιλος — Ἄλλως om. R.

4, 5. Πάμφιλος—δῆμον om. V.

5. γὰρ om. V.

7. Ἡρακλέα τὸν ἐκείνων om. V.Θ.

ib. ἐμφύλιον] ἔμφυτον Hemst.

8. ζωγράφος· κατὰ δέ τινας τραγικὸς V. τραγικός· κατὰ δέ τινας ζωγράφος Ald.

9. Ἄλλως. Πάμφιλον μὲν addidi ex V.

10. καλλίστρατος V. Καλλίστρατος δὲ Ald.

12. Ἀπελλοῦ] ἀμπέλου Θ. Addit Ald. περικλυτὸς δὲ ζωγράφος ὁ Ἀπελλῆς, quæ om. V.Θ.

14. φέρεται] φαίνεται V.

15. Ἡρακλέους] ἡρακλέος Θ. hic et infra.

ib. Ἡρακλέους θυγάτηρ, est sine dubio Macaria, quæ pro salute fratrum Atheniensiumque mortem voluntariam subire non detrectavit. Pausan. 1. p. 80. Zenobius autem 2, 61. et schol. Aristoph. ad Equ. v. 1148. ipsis fere verbis conveniunt cum Apollodoro 2. p. 151. Cui non lecti sunt Euripidis Heraclidæ? HEMST.

17. ὡς ἔοικε, καὶ om. V.

18. ἔγραψε δὲ τοὺς Ἡ.] ἔγραψεν ἡ. V.

19. ὁ γὰρ R.V. ὅταν Ald.

21. αὐτοῖς] αὐτῷ Θ.

παιδίων καὶ τῶν γυναικῶν παρακαλοῦσιν ἐλευθερωθῆναι τοῦ ἐγκλήματος.

1. παιδίων R. παίδων Ald.

ib. παρακαλοῦσιν ἐλευθερωθῆναι τοῦ ἐγκλήματος R.V. παρακολουθουσῶν λόγον ὑπεῖχον τῷ ἐγκλήματι Ald. παρακολουθήσαις τῷ ἐγκλήματι Θ.

ib. ἐγκλήματος] Sequitur in ed. Junt. scholion futilissimum hoc, ὁ Πάμφιλος οὗτος εἷς ἦν τῶν Ἡρακλειδῶν, υἱὸς μὲν Αἰγιμιοῦ, ἀδελφὸς δὲ Δυμάου καὶ Δώρου, ἀφ' ὧν φυλαὶ ἐν Λακεδαίμονι, Παμφιλεῖς, καὶ Δυμενεῖς, καὶ Δωρεῖς, ἀφ' ἧς οἱ Δωριεῖς, οἵτινες οἰκοῦντες πρότερον τὴν Πίνδον μίαν οὖσαν τῆς τετραπόλεως τῆς ἐπ' Εὐβοίᾳ, ἀφικνοῦνται εἰς τὴν μεταξὺ Οἴτης (ἥτις Junt. quod correctum in ed. Basil.) καὶ Παρνασσοῦ Δωρίδα ἑξάπολιν οὖσαν. ἔστι δὲ Ἐρινεὸν, Κύτινον, Βοιὸν, Λίλαιον, Κάρφαια, Δρυόπη. ἐκ δὲ τούτων σὺν τοῖς Ἡρακλείδαις ἀναχωροῦσιν ὁμοῦ ἐκ τῆς Ἀττικῆς εἰς Λακεδαίμονα, ὡς Πίνδαρός φησι "θέλοντι δὲ Παμφίλου." de quo hæc annotavit Hemst. "Ineptus "aliquis, sive is fuerit ipse Fraci-"nus [Francinus], sive alius, qui "eximiam vetusti enarratoris ob-"servationem ad Pindari Pyth. 1, "121. Θέλοντι δὲ Παμφύλου Καὶ μὰν "Ἡρακλειδᾶν ἔκγονοι etc. comici "verbis, quibuscum plane nihil "habent commune, illustrandis "conducere stulte sibi persuasit: "Πάμφιλον, ut exactius Aristopha-"nis vel pictori vel poëtæ tragico "responderet, scripsit, quem om-"nes Πάμφυλον appellant cum fra-"tre Dyma, Dymane, vel Dy-"mante Ægimii filium: Pausan. "2. p. 176. Apollodor. 2. p. 155. "neque aliter Pindarus ejusque "scholiastes, et Stephanus in Δυ-"μᾶν. Ergo minus accuratum, "quod de suo largitus est, εἷς τῶν "Ἡρακλειδῶν· quanquam utrique "cum Heraclidis ad occupandam "Peloponnesum profecti tradan-"tur. Nunc utrumque scholiasten "paucis conferre lubet, ut, quid "noster ille acutulus in altero cor-"rumpendo sibi indulserit, pates-"cat. Tale est ad Pindarum ad-"notationis initium: Πάμφυλος καὶ "Δύμας καὶ Δῶρος υἱοὶ Αἰγιμιοῦ· ἀφ' "ὧν Παμφυλὶς καὶ Δυμανὶς φυλαὶ ἐν "Λακεδαίμονι· isti Doro, ne tribu "a se orta miser careret, prospexit "noster, posterosque tribuit Δω-"ρεῖς. Ego Dorum Hellenis fi-"lium, itemque alium Neptuni "cognitos habeo; Ægimii nul-"lum, quippe qui, teste Stephano, "ἔσχε δύο παῖδας Πάμφυλον καὶ Δυ-"μᾶνα, καὶ τὸν τοῦ Ἡρακλέους Ὕλλον "ἐποιήσατο τρίτον, χάριν ἀποδιδοὺς ἀνθ' "ὧν Ἡρακλῆς ἐκπεπτωκότα κατήγα-"γεν. Quocirca res ipsa diligenter "considerata refingi jubet, Πάμ-"φυλος καὶ Δύμας Δωριεῖς, υἱοὶ Αἰγι-"μιοῦ. Sequitur paulo post, sed "alterius scholiastæ: Οἱ Δωριεῖς οἰ-"κοῦντες πρ. τὴν Π. μ. οὖ. τῆς τ. τῆς ἐν "Περεβοίᾳ, ἀφ. εἰς τὴν μ. Οἴτης καὶ "Παρνασοῦ Δ. ἑξ. οὖσαν· ἔστι δὲ Ἐ. Κ. "Β. Λ. Κάρφαια (Σκάρφεια restituit "Berkel. ad Stephan. in Λίλαια· ego "ferme malim Σπερχείαν) Δ. ἐκ δὲ τού-"των σὺν τοῖς Ἡρακλείδαις εἰς Λακεδαί-"μονα κατέρχονται· ubi primum fa-"cinus improbum admisit comici "scholiastes, qui ista præcedenti-"bus adglutinaverit inserto ἀφ' ἧς, "scilicet φυλῆς, atque ea ratione "vere monstrum nobis chronolo-"gicum ediderit. Deinde pravum "illud ἐπ' Εὐβοίᾳ, cujus erroris ori-"ginem detexisse sibi videbatur "Palmerius in corruptis Diodori "codicibus 4. p. 187. D. in qui-"bus sine controversia vitiose le-"gitur Εὐβοίᾳ pro καὶ Βοίῳ, longe "aliud remedium postulat: quum "enim in Pindari scholiasta scri-"batur ἐν Περεβοίᾳ, inde levi ne-"gotio conficere licet ἐν Περραιβίᾳ·

" atque ita non multo inferius, " Πίνδος δὲ Περραιβίας ὄρος pro Περρεβοίας, vel Περραιβοίας, quod una " tantum litera vitiatum extat in " Theocriti enarratore ad Eid. 1, " 67. sed optime lectioni restitutæ patrocinatur ipse Pindari " schol. ad Pyth. 9, 27. Πίνδος " γὰρ ὄρος Περρεβίας· (Περραιβίας) ἡ " δὲ Περρεβία τετράπολις τῆς Θεσσαλίας· ubi Perrhæbia nobis occurrit Thessaliæ tetrapolis, haud " sane diversa ab ea, quam hic " commemorat, tetrapoli τῇ ἐν " Περραιβίᾳ· nihil itaque minus est " intelligendum, quam, quod Palmerius existimabat graviter scholiasten incusans, tetrapolis Attica; de qua si forte cogitasse " credatur Aristophanis enarrator " ob mendosam scripturam ἐπ' Εὐβοίᾳ et Atticæ mox factam mentionem, tanti erroris certe prorsus inmunis est Pindari scholiastes. Meminit etiam Doricæ " tetrapoleos loco valde notabili " Strabo 9. p. 654. Inter utrosque Locros μέσοι Δωριεῖς· οὗτοι μὲν " οὖν εἰσὶν οἱ τὴν τετράπολιν οἰκήσαντες, ἥν φασιν εἶναι μητρόπολιν τῶν " ἁπάντων Δωριέων· πόλεις δὲ εἶχον " Ἐρινεὸν, Βοῖον, Πίνδον, Κυτίνιον· " ὑπέρκειται δ' ὁ Πίνδος τοῦ Ἐρινεοῦ· " παραρρεῖ δ' αὐτὴν ὁμώνυμος ποταμὸς " ἐμβάλλων εἰς τὸν Κηφισσὸν οὐ πολὺ " τῆς Λιλαίας ἄπωθεν· τινὲς δ' Ἀκύφαντα λέγουσι τὸν Πίνδον. Pindi " nullum in hac regione vestigium " apud reliquos omnes inveniri miror: nam Melæ verba 2, 3. n. " 58. *in Doride Pindus, et juxta situm Erineum*, in quibus emendandis solitam ingenii modestiam non approbavit magnus " Pintianus, quum in omnibus, " quæ viderit, exemplaribus abesse " testetur Is. Vossius, pro spuriis " et ex Strabone suppositis habenda verosimillimum videtur. " Quare dubito, an decipi se passus fuerit vir accuratissimus, et, " quæ scriptor aliquis vetustus de " tetrapoli Perrhæbica tradiderat, " ad hanc posteriorem Doricæ " gentis sedem transtulerit: cui " nostræ suspicioni mirifice favet " Pindari schol. Præterea Ἀκύφας " a Stephano describitur πόλις μία " τῆς Δωρικῆς τετραπόλεως· qua quidem loquendi ratione neque in " Ἐρινεὸς, nec in Κυτίνιον fuit usus: " inter Ἀκύφαντα vero et Homeri " Κύφον Il. B, 748. nullum aliud " discrimen statuo, nisi diversam " vocum formam: parvus schol. " πόλιν περὶ τὴν Περαιβίαν exponit, " et Straboni Κύφος Περραιβικὸν ὄρος " ὁμώνυμον κατοικίαν ἔχον 9. p. 675. A. " nam quod Stephanus duplicem " facit, Perrhæbicam alteram, alteram Thessalicam, errore non " vacat: huic autem idem atque " Pindo contigit, ut montis, fluvii, " oppidique juxta siti nomina non " discrepent. Jam Dorienses variis acti casibus alias ex aliis sedes habuerunt; antiquissimas " circa Ossam et Olympum in " Doride, quæ postmodum Histiæotis dicta: inde pulsi Perrhæbiam Pindumque incoluerunt, " Macednorum quoque nomen gerentes: idcirco ex veteribus ad " Lycophronem scholiis Tzetzes " v. 1388. Λάκμων, ὄρος Περραιβίας, " ἔνθα ᾤκουν Δωριεῖς· neque alibi " quam his in locis est collocanda " ἡ τετράπολις ἡ ἐν Περραιβίᾳ, ex qua " tandem devenerunt ἐς τὴν Δρυοπίδα, quæ Pindari scholiastæ dicitur ἡ μεταξὺ Οἴτης καὶ Παρνασοῦ " Δωρὶς ἑξάπολις οὖσα in sex urbibus " numeranti Δρυόπην. Migrationes " Doriensium, quas proposui, fide " nituntur Herodoti, testis inprimis idonei, 1. c. 56. cum quo " fere conspirat Andron citatus a " Strab. 10. p. 729. A. et Stephano " in Δώριον. Ex his demum postremis sedibus profecti cum Heraclidis partem Peloponnesi occuparunt: idcirco Thucydidi Δω-

386. *οὐκ, ὦ κακόδαιμον*: Εἰ γὰρ, ὡς σὺ φῂς, ἐκεκλόφειν, φαῦλος ἂν ἦν τὸν τρόπον· φαῦλος δὲ ὢν, οὐκ ἂν παρέσχον ἄλλῳ τινί. νῦν δὲ τοῖς χρηστοῖς προῃρημένος δοῦναι, δῆλον ὅτι ἀγαθός εἰμι· εἰ δὲ ἀγαθὸς, οὐ κέκλοφα. [*οὐκ*: Ὄψει ἐμὲ οὕτως ἔχοντα, δυστυχέστατε. Gl. Θ. Dorv. Paris. *χρηστοὺς*: Ἀγαθούς. Gl. Paris.]

[387. *σώφρονας*: Εὐτάκτους. Gl. Paris. καὶ τοὺς δικαίους. Θ. σώφρων λέγεται κυρίως ὁ εὐλαβὴς ἄνθρωπος. λέγεται σώφρων καὶ ὁ σώαν ἔχων τὴν φρόνησιν, ἐξ οὗ καὶ σωφροσύνη ἡ τῶν φρενῶν ἀκεραιότης. Paris.]

388. *ἀπαρτί*: Ὀξυτόνως, ἀντὶ τοῦ ἀπηρτισμένως· Ἐπίρρημα δέ ἐστιν ὡς ἀμογητὶ, παρὰ τὸ ἀπηρτισμένον καὶ πλῆρες. κέχρηται δὲ αὐτῷ Ἡρόδοτος λέγων, "ἀπὸ τούτου εἰσὶ στάδιοι ὁ ἀπαρτί." καὶ Φερεκράτης ἐν Κραπατάλοις "φράσον μοι. ἀπαρτὶ δή που προσλαβεῖν."

"ριεῖς ἡ μητρόπολις τῶν Λακεδαιμονίων "1, 107. 3. 92. qui quando tres "tantum eorum urbes cum Dio-"doro recenset, Bœum, Erineon, "et Cytinium, id scilicet indicio "est, reliquas jam tum avulsas in "alienam ditionem concessisse. "Mitto errores Meursii Miscell. "Lacon. 3, 9. 4, 6. aliorumque: "hæc a nobis in transcursu dun-"taxat breviter delibata: res enim "est majoris operæ, quam quæ "arctis notularum limitibus in-"cludi possit. Denique stupor "enarratoris nostri ad finem im-"portune inseruit, ἀναχωροῦσιν ὁμοῦ "ἐκ τῆς Ἀττικῆς, quibus apud Pin-"darum ejusve scholiasten nihil "extat simile. Neque tamen prop-"terea negavero, quosdam Attico-"rum Heraclidis fuisse comites "susceptæ in Peloponnesum ex-"peditionis: nam ita Tzetzes scri-"bit ad Lycophr. v. 1388. μετέσχον "γὰρ καὶ Ἀθηναῖοι τῆς ἀποικίας τῶν "Ἡρακλειδῶν."

1. γὰρ om. V.

ib. σὺ add. R.V.

2. ἂν ἦν R.V. ἦν ἂν Ald.

ib. ἂν παρέσχον R.V. ἂν παρέσχον ἂν Ald.

3. νῦν δὲ τοῖς χρηστοῖς προῃρημένος] οὐδὲ ἔσπευδον τοὺς χρηστοὺς πλουτίσαι· ἐπειδὴ δὲ τοὺς δικαίους (τοῖς δικαίοις G.) προήρημαι V.

10—p. 151. l. 4. In V. inversus ordo scholiorum συνωνυμεῖ—λέξεως. ἄλλως. ὀξυτόνως—προσλαβεῖν.

10. Ὀξυτόνως ἀντὶ τοῦ addidi ex V.

ib. ἀπηρτισμένως] ἀπηρτισμένος V. (non G.) om. R.

ib. δέ om. R.

11. ἐστιν om. Θ.

ib. παρὰ τὸ] ὡς V.

ib. δὲ addidi ex V.

12. αὐτῷ] αὐτὸ R.

ib. Ἡρόδοτος] 2, 158, ubi libri, ἀπὸ τούτου εἰσὶ στάδιοι χίλιοι εἰς τὸν Ἀράβιον κόλπον, omisso ἀπαρτὶ, quod post χίλιοι inseruit Wesselingius.

ib. στάδιοι R, grammaticus in Bekkeri Anecd. vol. 1. p. 418, 16. στάδια Ald.

ib. ὁ R.V. et Suidas. ἑβδομήκοντα Θ. χίλιοι recte gramm. Bekkeri. Scribendum igitur ͵α.

13. Κραπατάλοις] κραπαττάλοις R. κραταλοῦς V. Pherecratis locum integriorem affert gramm. Bekkeri, A. τί δαί; τί σαυτὸν ἀποτίνειν τῷδ' ἀξιοῖς; φράσον μοι. B. ἀπαρτὶ δήπου προσλαβεῖν παρὰ τοῦδ' ἔγωγε μᾶλλον.

ib. δή που] δὴ τοῦ R.

ib. προσλαβεῖν restitui ex gramm

συνωνυμεῖ ἡ λέξις· ἔσθ' ὅτε γὰρ καὶ χρονικὸν ἐπίρρημα δηλοῖ ὡς καὶ Καλλίμαχος. [*καὶ* Πλάτων *ἐπὶ τοῦ νῦν* " *ἤδη ποτέ σου ἤκουσα λέ-* " *γοντος καὶ ἄρτι ἀναμιμνήσκομαι.*" *ταῦτα ἐκ τῶν* Διδύμου *περὶ διεφθορυίας λέξεως.* V.] [*ἀπηρτισμένως, τελείως.* Gl. Θ. Dorv. Paris. *ἀπὸ τοῦ νῦν.* Gl. D. Cant. 2. *νεωστί.* Gl. C.]

[389. *ὡς κοινωνεῖν πάντας ποιῆσαι.* Gl. Dorv. Paris.]

[390. *ἀπολεῖς* : *φθερεῖς. οἰήσονται γάρ τινες, ὡς ἀληθῆ λέγεις. ἀπολεῖς, οὐκ ἐθέλων τἀληθὲς εἰπεῖν. σεαυτὸν* : Μᾶλλον *ἀπολεῖς.* Gl. Paris.]

[391. *μόχθηρε* : Κακέ. Gl. Paris.]

[392. *ἔχω* : Κέκτημαι. *ὁποῖον* : Ἀττικόν. Gl. Paris. *ἐρωτηματικὸν ἀντὶ τοῦ ποῖον.* Gl. C.]

[394. *οὐκ ἐς κόρακας* : Τόπος *ἦν ἐν* Ἀθήναις *κρημνώδης* Κόρακες *καλούμενος, διὰ τὸ κοράκων εἶναι καταγώγιον· εἰς ὃν τοὺς κακούργους ἔρριπτον ὑπὸ κοράκων ἀναλωθησομένους· ἐλήφθη δὲ εἰς παροιμίαν τό,* [*ἔρρ'* Par.] *ἐς κόρακας.* [*ἀντὶ τοῦ ἀπελθὼν φάνηθι.* Paris.] Dorv. Paris. *οὐκ ἐς κόρακας* : Ἀπέλθῃς *καὶ ἀπελεύσῃ. νὴ τοὺς θεοὺς* : Ναί. Gl. Paris.]

[395. *πρὸς τῆς* Ἑστίας : Ἡ Ἑστία *θυγάτηρ ἦν* Κρόνου, *καταρχὰς τὴν οἰκίαν εὑροῦσα, ἣν ἐντὸς τῶν οἴκων ἔγραφον, ἵνα τούτους συνέχῃ, καὶ τῶν οἰκούντων εἴη φύλαξ. οὕτω καὶ ἐφέστιον* Δία *καλοῦσιν, ὃν εἰς φυλακὴν τῶν οἴκων γράφουσιν.* Junt. *ἕνεκεν αὐτῆς τῆς* Ἑστίας *τῆς θεᾶς.* Gl. Paris. Ἑστίας : Περιττὸν *ἦν ἐνταῦθα τὸ λέγω, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ. ὀφείλει δὲ ἄνω κεῖσθαι, ἀπὸ κοινοῦ γὰρ λέγεται ἀπὸ τοῦ λέγεις.* Paris.]

Bekkeri. *προλαβεῖν* R. Ald. *προλαβών* V. Sequentia om. R.

1. *συνωνυμεῖ* V. *συνωνυμεῖ δὲ* Ald. *συνωνυμοῖ δὲ* Θ.

ib. Pro *ὡς καὶ* Καλλίμαχος in V, scriptum *ἄρτιθεν ἃ βράλλει.* Neque hoc neque *ὡς καὶ* Καλλίμαχος habet G.

2. Πλάτων] Lys. p. 215 C.

4. *διεφθορυίας*] Correxi scripturam codicis *διαφορᾶς. περὶ παρεφθορυίας λέξεως* hic liber vocatur ab Athenæo 9. p. 368. vel ipsius vel librarii errore. In *διεφθορυίας* consentit scholiasta Avium 769.

19–21. *ἑστία θεὰ ἦν θυγάτηρ κρόνου—φύλαξ* habet Dorv.

22. *ὃν εἰς* Paris. *εἰς ὃν* Junt.

24. *λέγω*] F. *λέγεις.* In libro quem scriba transscribebat, voci Ἑστίας verbum *λέγεις*, ut a poeta scriptum, male adhærebat. Id librarius dicit se delevisse: recte enim habuit pro additamento glossatoris, quod debebat *ἄνω κεῖσθαι*, i. e. superscriptum esse voci Ἑστίας. SCHÆFER.

[396. θαλάττιον: Παίζει αὐτὸν ἐνταῦθα. Gl. Θ. Dorv. Paris. παίζει δὲ ταῦτα λέγων. V. (non G.)]

[397. διὰ τὸ μὴ ἀνέχεσθαι τὸν Βλεψίδημον ἀκοῦσαι λόγον ὁλόκληρον παρὰ Χρεμύλου, ἀλλὰ ἀφ' ἕκαστον ἔπος περιτρίπτειν αὐτὸν, ἐμφαίνει ὁ ποιητὴς τὴν γνώμην τῶν ἐπιθυμούντων τίθεσθαί τι παρά του. Paris.]

398. διαπέμπεις καὶ πρὸς ἡμᾶς τοὺς φίλους: Ὅτι οὐ μετεστείλατο τὸν Βλεψίδημον· ἀκηκοὼς δὲ ἦλθε. ἡ δὲ διὰ ἀντὶ τῆς μετά. [τοὺς φίλους: Τὸν Πλοῦτον δηλ. Gl. Paris.]

[399. τούτῳ: Ἐν τῷ πέμψαι. R. τῷ διαπέμπειν. Gl. Θ. Dorv. Paris.]

[400. οὐ τῷ μεταδοῦναι: Κατέστη τὰ πράγματα δηλ. δεῖ: Ἐνδέχεται. τί: Ἐνδέχεται. Gl. Paris.]

401. βλέψαι ποιῆσαι νώ: Ὅτι τὸ νὼ ἀντὶ τοῦ αὐτός· ἢ ἀντὶ τοῦ δεῖ ἡμᾶς ποιῆσαι αὐτὸν βλέψαι. [$\overset{\bar{\chi}}{\text{νώ}}$: Τὸ χ̄ κεῖται, ὅτι τὸ νὼ ἀντὶ τοῦ αὐτόν ἢ ἀντὶ τοῦ ἡμᾶς ποιῆσαι αὐτὸν βλέψαι εἴρηται. Θ. Paris.]

[402. ὥσπερ τὸ πρότερον: Ἔπρεπε δηλ. Gl. Paris. ἐνί γε τῷ τρόπῳ: Τινὶ, ἤγουν μιᾷ τινι μηχανῇ. Gl. Dorv. ἀντὶ τοῦ συντόμως. V.]

[403. νὴ τὸν οὐρανὸν: Διὰ τὸ λαμπῶδες τοῦ οὐρανοῦ τοῦτον ὄμνυσι πρὸς τὸ τυφλός. Gl. Θ. Dorv.]

404. οὐκ ἐτὸς: Οὐκ ἀλόγως, ἀλλὰ δικαίως. ἢ ἀντὶ τοῦ οὐκ ἀλη-

1. αὐτὸν om. Θ.
4. περιτρίπτειν] περιτρέπειν Schæferus.
5. παρά] περί Schæferus.
7. Addidi διαπέμπεις.
7, 8. οὐ—ἦλθε om. Θ.
7. Ὅτι οὐ] οὐ γὰρ V.
ib. μετεστείλατο V. μετέστειλαν Ald.
8. ἡ—μετά addidi ex V. διὰ ἀντὶ τῆς μετά habet R. Tum pergit, τὰ πράγματα ἐν τούτῳ. ὅτι οὐ μετεστείλαντο—ἦλθε.
10. οὐκ ἐστὶ τὰ πράγματα οὕτως ἐν διαπέμπειν ἡμᾶς V. πράγματα ἐν τούτῳ ἐν τῷ διαπέμπειν ἡμᾶς G.
14. αὐτός R.V. et Suidæ (s. νώ) libri mss. αὐτόν Ald. et vulgo apud Suidam.
15. δεῖ R.V. et Suidas. δι' Ald.
16. ἢ] καὶ Θ.
ib. εἴρηται om. Θ.
18. Ἔπρεπε] ἔβλεπε Schæferus.
19. Τινὶ, ἤγουν om. Dorv.
21. λαμπῶδες] λαμπρὸν Θ.
23—p.153.l.2. Οὐκ ἀλόγως—συνηρημένου] In R. hæc tantum legi possunt . . . . . . οὐκ ἀλόγως . . . . τα συναιρε . . (fort. κατὰ συναίρεσιν) . . . . . . υτός.
23. Οὐκ ἀλόγως] ἀντὶ τοῦ οὐκ ἀλόγως V.
ib. ἢ om. V.

θῶς. ἐπιρρηματικὸν γάρ ἐστιν ἀντὶ τοῦ ἐτῶς ἀπὸ τοῦ ἐτεῶς συνῃρημένου. [ἐτὸς: Μάτην (Θ.), οὐκ ἀλόγως. Gl. Paris. ὡς ἔμ᾽: Εἰς ἐμέ. Gl. Θ. Dorv.]

[406. οὐκοῦν: Τὸ λοιπόν. εἰσαγαγεῖν: Εἰσκαλέσασθαι χρή. Gl. Paris. ἐχρῆν: Πολλάκις οἱ Ἀττικοὶ λαμβάνουσιν τὸν παρατατικὸν ἀντὶ ἐνεστῶτος, ὡς τὸ ἦν ἀντὶ τοῦ ἐστὶν, καὶ τὸ ἐχρῆν ἀντὶ τοῦ χρή. Paris.]

407. [ὅτι συνεσταλμένον τὸ ἰατρός. R. χλευάζει τοὺς Ἀθηναίους ἰατροὺς καὶ τοὺς θεραπευομένους, τοὺς μὲν ὡς ἀγνώμονας, τοὺς δὲ ὡς ἀδόξους. Ἄλλως. συνεσταλμένως μὲν τὸ ἰατρός. Ἄλλως. κοινοποιεῖται τὸν διασυρμὸν καὶ κατὰ τῶν ἰατρῶν καὶ κατὰ τῶν θεραπευομένων, τῶν μὲν ὡς ἀτέχνων, τῶν δὲ ὡς φειδωλῶν. V.] τίς δῆτ᾽ ἰατρός ἐστι: Διασύρει καὶ διαβάλλει τοὺς ἰατροὺς ὡς ἀμαθεῖς καὶ τοὺς δεομένους ὡς μικρολόγους. [τίς δῆτ᾽: Οὐδείς. ἐν τῇ πόλει: Ἐντελὴς δηλ. Gl. Paris.]

[408. μισθὸς: Οὐ κατ᾽ ἀξίαν δίδοται. Gl. Paris.]

[409. οὐκ ἔστιν: Ἰατρὸς δηλ. Gl. Paris.]

410. μὰ Δί᾽ ἀλλ᾽ ὅπερ πάλαι: Τὸ ἑξῆς, ἀλλ᾽ οὐκ ἔστι μὰ Δία, ἀλλ᾽ ἐκεῖνο κράτιστόν ἐστιν, ὅπερ πάλαι παρεσκευαζόμην, κατακλῖναι αὐτόν. [μὰ Δί᾽: Οὐκ ἔστιν δηλ. παρεσκευαζόμην: Ηὐτρεπιζόμην. Gl. Paris. ᾠκονομούμην. Gl. Dorv.]

[411. κατακλίνειν: Καταθήσειν. Gl. Θ. Dorv. Paris. εἰς Ἀσκληπιοῦ: Τὸν ναόν. Gl. Θ. Dorv. τὸν οἶκον δηλ. Gl. Paris.]

[412. πολὺ μὲν οὖν: Κράτιστόν ἐστι. Gl. Θ. Paris.]

[413. μὴ διάτριβε: Μὴ βράδυνε. Gl. Θ. Dorv. νῦν διάτριβ᾽: Δὴ βράδυνε, χρόνιζε. ἄνυε: Σπεῦδε. ἕν γέ τι: Πρᾶγμα. Gl. Paris. ἀντὶ τοῦ πρᾶγμά τι. R.]

414. σπεῦδέ νυν: Τοῦτο τὸ ν̅υ̅ν̅ καθ᾽ ὁμαλισμὸν ἀναγνωστέον, ἵν᾽

1, 2. ἐπιρρηματικὸν — συνῃρημένου] ἐπίρρημα ἀπὸ τοῦ ἐτεὸς συνῃρημένον V.
1. ἐτῶς ἀπὸ τοῦ ἐτεῶς] ἐτεῶς ἀπὸ τοῦ ἐτεὸς Θ.
13. Διασύρει καὶ om. R.V. Habet Θ.
14. δεομένους R.V. διδόντας Ald.
18. Scholion v. 410. om. R.V.
22. Καταθήσειν] καταθύσειν Θ. Paris.
24. Κρ. ἐ.] ἐ. κρ. Θ.
28. Scholion v. 414. om. R.V. Θ.
ib. καθ᾽ ὁμαλισμὸν] ὁμαλισμὸς a grammaticis dicitur, cum vox aliqua non cum tono vel accentu, sed absque eo, velut appendix alterius, pronuntiatur, quod encliticis sic dictis contingit. Vel etiam cum vox quædam eodem cum cæteris

εἴη ἀντὶ τοῦ δή. ἐγκλίνεται γὰρ ἀεὶ, καὶ βραχύ ἐστι, φωνήεντος ἐπιφερομένου· ὡς τὸ

σίγα νυν ἑστὼς, καὶ μέν' ὡς κυρεῖς ἔχων.

παρὰ Σοφοκλεῖ. τὸ δέ γε νῦν τὸ περισπώμενον ἐπίρρημά ἐστι χρονικὸν, καὶ μακρὸν ἀεὶ εὑρίσκεται· διὸ καὶ περισπᾶται. [τοῦτ' αὐτὸ: Τὸ σπεύδειν. Gl. Paris.]

415. ὦ θερμὸν ἔργον: Κορωνὶς ἑτέρα ὁμοία· οἱ δὲ στίχοι, ὡς οἱ προφθάντες, ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ογ', ὧν τελευταῖος,

ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι.

ἐπὶ τῷ τέλει κορωνίς.

θερμὸν ἔργον: Παράδοξον, ἢ τολμηρὸν, ἢ εὐκίνητον. Πενία παραβάλλουσα μάχεται πρὸς Χρεμύλον καὶ Βλεψίδημον. [θερμὸν ἔργον: Σπουδαῖον καὶ τολμηρόν. Gl. Θ. Dorv. τολμηρὸν πρᾶγμα. Gl. Paris. ἀνόσιον: Ἄδικον. Gl. Paris.]

[416. ἀνθρωπαρίω κακοδ.: Ὦ ἄνθρωποι δυστυχεῖς. Gl. Paris.]

[417. ποῖ, ποῖ: Ποῦ ποῦ πορεύσεσθε. τί φεύγετον: Διὰ τί; μενεῖτον: Προσκαρτερήσετε ἐμέ. Gl. Paris. προσκαρτερεῖτε. Gl. Dorv.]

[418. αὕτη ἡ κατασκευὴ τὸ "ἐγὼ γάρ," πρὸς τὸ "οὐ μενεῖτον" ἔχει τὴν δύναμιν. Paris. ἐξολῶ: Ἐξολοθρεύσω. Gl. Θ. Dorv. ἀφανίσω, φθερῶ, ὄντας κακούς. Gl. Paris.]

[419. ἀνασχετὸν: Ὑπομονητόν. Gl. Θ. Dorv.]

[420. ἀλλὰ τοιοῦτον, οἷον ἄλλος οὐδεὶς ἐτόλμησε οὐδεπώποτε. Gl. Paris.]

tenore absque figura interrogationis vel exclamationis pronuntiatur. Nam figuræ ejusmodi faciunt ut vox aliqua tono et pronuntiatione præ reliquis emineat: quod contrarium est τῷ ὁμαλισμῷ, utpote quod proprie *complanationem* vel *æquationem* notat. Confer etiam scholiasten infra ad Ran. v. 490. ubi τὸ κατ' ἐρώτησιν et καθ' ὁμαλισμὸν inter se opponuntur. KUST.

4. Σοφοκλεῖ] Ajac. 87. νῦν τε περισπ. — χρονικόν· ὃ μακρὸν ἀεὶ Paris.

7–11. om. R.V.Θ.

12. Παράδοξον] Ultra hanc vocem Suidas in θερμὸν non procedit. Cur εὐκίνητον exponat schol. rationem dabit Etymol. p. 447, 30. et p. 453, 44. ταύτῃ γοῦν τοὺς μὲν ταχεῖς θερμοὺς λέγουσι, τοὺς δὲ βραδεῖς ψυχρούς. vide ad v. 561. HEMST.

12, 13. Παράδοξον — Βλεψίδημον] πενία—βλεψίδημον. θερμὸν δὲ ἀντὶ τοῦ παράδοξον ἢ εὐκίνητον V.

12. πενία R.V. ἡ πενία δὲ Θ. Ald.

ib. παραβάλλουσα V.Θ. παραβαλοῦσα R. ἐντεῦθεν παρελθοῦσα Ald.

[421. *ἀπολώλατον*: Ἐφθάρητε. Gl. Dorv.]

[422. *ὠχρὰ*: Ὠχροὶ γάρ εἰσιν οἱ πένητες διὰ τὸ μὴ ἔχειν αὐτοὺς ἴσως φαγεῖν. V. *κίτρινος*. Gl. Paris. *τοιοῦτοι γὰρ οἱ πένητες*. R.Θ. Dorv.]

423. *ἴσως Ἐριννύς ἐστι*: Ἐπισκώπτει αὐτὴν διὰ τὴν τῶν Ἐριννύων Εὐριπίδου ἢ Αἰσχύλου ὑπόθεσιν· παρεισάγονται γὰρ μετὰ λαμπάδων δεινοπαθοῦσαι, ὡς καὶ Εὐριπίδης "Γοργῶπες, ἐνέρων ἱερίαι, "δειναὶ θεαί." Ἄλλως. εἰώθασιν οἱ τραγῳδοὶ Ἐριννύας εἰσφέρειν μετὰ λαμπάδων· τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμάτων τραγῳδοῖς μᾶλλον ἁρμόττει. [*ἐκ τραγῳδίας*: Ὡς οἱ ποιηταὶ ποιοῦσιν οἱ τραγικοί. Gl. Paris.]

424. *βλέπει γέ τοι*: Τὸ γέ τοι ἢ ἀντὶ τοῦ δέ, ἢ ἀντὶ τοῦ γάρ· ὃ καὶ κρεῖττον. εὕρηται δὲ καὶ ἐν πολλοῖς τῶν λογοποιῶν, ὡς ἐξετάζων εὑρήσεις.

τραγῳδικὸν: Θρηνῶδες, καὶ οἷον ἐν ταῖς τραγῳδίαις οἱ ποιηταὶ εἰσάγουσι. [*βλέπει*: Ὀρθῶς ἔφης δηλ. Gl. Paris. *γέ τοι*: Γάρ. Gl. Dorv. *μανικὸν*: Ἄγριον. Gl. Dorv. *ἀσυμπαθές*. Gl. Paris. *τραγῳδικὸν*: Δαιμονικόν. Gl. Dorv. *θρηνῶδες*. Gl. Paris.]

425. *ἀλλ' οὐκ ἔχει γὰρ δᾷδας*: Ἐπειδὴ παρὰ τὸ σχῆμα ἦλθε· καὶ γὰρ ἐν ταῖς τραγῳδίαις μετὰ λαμπάδων εἰσήρχοντο αἱ Ἐριννύες. τὸ δὲ γάρ ἀργὸν, ὡς ὑποτασσόμενον τοῦ ἀλλά. [*ἔχει*: Κρατεῖ. Gl. Paris. *μετὰ δᾴδων εἰσήγαγον τὰς Ἐριννύας, δεικνύντες τὸ θερμὸν καὶ διάπυρον τῶν καταρῶν*. Paris.]

οὐκοῦν κλαύσεται: Ἀντὶ τοῦ οἰμώξεται, ὡς μὴ οὖσα κατὰ φύσιν φοβερὰ, ἀλλὰ μάτην ἀπατῶσα ἡμᾶς.

5–9. Ἐπισκώπτει—εἰσφέρειν μετὰ λαμπάδων om. R.
5. αὐτὴν διὰ τὴν V. τὴν διὰ Ald.
6. Εὐριπίδου ἢ add. V.
ib. παρεισάγονται] παρεισάγεται G.
ib. γὰρ V.Θ. δὲ Ald.
7. δεινοπαθοῦσαι] δεινοπαθοῦσα G.
ib. ὡς καὶ V.Θ. ὡς Ald.
ib. Εὐριπίδης] Orest. 261. ἐν εὐριπίδῃ V.
ib. ἐνέρων V. νερτέρων Ald.
ib. ἱερίαι] ἱέρειαι libri.
8. Ἄλλως V. ἢ ἄλλως Ald. ἢ καὶ ἄλλως Θ.
ib. εἰώθασιν] εἰώθασι γὰρ V.
9. τὰ γὰρ V. καὶ γὰρ τὰ Ald. ἐκ τραγῳδίας· τὰ γὰρ R.
12–14. om. R.V.Θ.
13. δὲ] γὰρ Paris.
15, 16. Θρηνῶδες—εἰσάγουσι om. R.V.
15. οἷον] οἵαν Hemst.
19. τὸ om. R.
20. εἰσήρχοντο R.V.Θ. et Suidas s. τραγῳδία. εἰσήγοντο Ald.
21. τὸ δὲ—ἀλλά om. R.V.Θ.
ib. τοῦ Hemst. τῷ Ald.
24, 25. οὐκοῦν—ἡμᾶς] διὰ τοῦτο δὲ

426. πανδοκεύτριαν: Ἀντὶ τοῦ κάπηλιν, παρὰ τὸ δέχεσθαι πάντας. εἴρηται κάπηλις παρὰ τὸ κακύνειν τὸν πηλόν· πηλὸς δὲ ὁ οἶνος· ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἔμπηλος οὖσα, ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν. [οἴεσθε: Νομίζετε. Gl. Paris. πανδοχεύτριαν: Ξενοδόχον. Gl. Θ. Dorv. πανδοκεύτριαν: Καπήλισσαν. Gl. Paris.]

427. ἢ λεκιθόπωλιν: Ἀπὸ τοῦ χρυσίζοντος τοῦ ὠοῦ, ὠόπωλιν· λέκιθος δὲ κυρίως τὸ ξανθὸν τοῦ ὠοῦ, διὰ τὸ τῷ λέπει κεύθεσθαι. ἔστι δὲ καὶ εἶδος ὀσπρίου, ὃ καλεῖται πίσος διὰ τὸ ἐοικέναι τὴν χροιὰν λεκίθῳ ὠοῦ. ἀπὸ μέρους οὖν τὴν ὀσπριόπωλιν δηλοῖ. καὶ ἐν τῇ Λυσιστράτῃ

νὴ Δί' ἔγωγ' οὖν ἄνδρα κομήτην φυλαρχοῦντ' εἶδον ἐφ' ἵππῳ
εἰς τὸν χαλκοῦν ἐμβαλλόμενον πῖλον λέκιθον παρὰ γραός.

[λεκυθόπωλιν: Ὀσπριοπώλιδα. λέκυθος εἶδος ὀσπρίου. ἢ ὠοπώλιδα. λέκυθος γὰρ καὶ ὁ κροκὸς τοῦ ὠοῦ. Θ. ὀσπριόπωλιν. Gl.

καὶ τὸ μὴ εἶναι αὐτὴν κατὰ φύσιν φοβερὰν, ἀλλὰ μάτην ἀπατῶσαν ἡμᾶς. οἰμώζεται κλαύσει V. οὐκοῦν—οἰμώξεται om. R.

1. Ἀντὶ τοῦ κάπηλιν] Sine ulla fere mutatione descripsit Suidas in Πανδοκεύτρια, et posteriorem partem in Καπηλίς. Originem vocis ἄμπελος non dissimilem tradidit Etymol. p. 86, 37. ubi delenda particula negans, ἡ ἔχουσα ἐν ἑαυτῇ τὸν πηλὸν, quum edatur, ἡ μὴ ἔχουσα. HEMST.

ib. παρὰ τὸ R. ἀπὸ τοῦ Ald. ἐτυμολογεῖται δὲ πανδοκεύτριαν (—τρια G.) παρὰ τὸ V.

2. εἴρηται V. εἴρηται δὲ Ald.

ib. κάπηλις] καπηλὶς V.

3. ἔμπηλος] ἔμπελος V, (non G.)

ib. ἡ ἐν αὐτῇ] ἡ ἐν ἑαυτῇ Θ.

5. Καπήλισσαν] καπήλισαν Paris.

6–8. ἀπὸ τοῦ—ἔστι δὲ καὶ om. R. κυρίως—κεκεῦσθαι. ἢ ἀπὸ τοῦ—ὠόπωλιν ἀντὶ τοῦ ὠὰ πιπράσκουσαν, ἀπὸ μέρους τὸ ὅλον. ἢ ὀσπριόπωλιν. λέκιθος γάρ ἐστι εἶδος—γραός V.

6. τοῦ ὠοῦ V. τοῦ om. Θ. Ald.

7. λέκιθος] De utraque λεκίθου potestate vide Foesii Œcon. Hippocr. Horum minimam partem, ceteris vel neglectis, vel in suo libro non repertis, lexico Suidas inseruit. HEMST. λέκυθος Θ.

ib. τὸ τῷ λέπει] τὸ λίπει V.

ib. κεύθεσθαι] κεκεῦσθαι V. τοῦ ὠοῦ κεύθεσθαι Θ.

8. εἶδος] λέκιθος εἶδος R.

ib. πίσος R. πῖσος V. Θ. πίσον Ald. πισσὸς Suidas s. λέκιθος. Post πίσον addit Ald. ὅτι ἐν Πίσᾳ τῆς Ἤλιδος κατακόρως φύεται, quæ om. R. V. Θ. et Suidas.

8, 9. ἐοικέναι—λεκίθῳ ὠοῦ] εἶναι λεκίθων ὠῷ ὁμοίαν V.

9. ὀσπριόπωλιν] ὀσπρεόπωλιν R. Θ.

ib. δηλοῖ om. V.

ib. καὶ] ὡς καὶ V.

ib. ἐν τῇ R. Θ. et Suidas. τῇ om. V. Ald.

ib. Λυσιστράτῃ] 561. λυσιστράτῳ V. λυσιστράτῳ G. Omissis poetæ verbis, κέχρηται τῇ λέξει ponit R.

11. νὴ Δί'] νὴ τὸν δί' libri.

ib. φυλαρχοῦντ' V. Θ. φυλαρχοῦντα Ald.

12. τὸν om. Θ.

ib. πῖλον λέκιθον] τὸν λέκυθον Θ.

14. ὀσπριόπωλιν in cod. Dorvill. eum in modum est scriptum, ut discernere non liceat utrum ὀσπριο-

Dorv. ὀσπριόπωλιν μετὰ ᾠοῦ πωλοῦσαν. Gl. Paris. λεκυθόπωλις λέγεται ἡ τὰ ὑέλινα ἀγγεῖα κυρίως πωλῶσα. Paris. τοσουτονὶ: Μέγα. Gl. Dorv.]

[428. ἐνέκραγες: Ἐλοιδόρεις, ὥσπερ αἱ κύνες ποιοῦσι. Gl. Dorv. ἀνέκραγες: Ἠπείλεις. ἡμῖν: Παρ' ἡμῶν. Gl. Dorv. ὥσπερ ἐκεῖναι ποιοῦσιν ἀλόγως καὶ δίχα προφάσεως ἀεὶ θόρυβον ἐγείρουσαι. Θ.]

[429. ἄληθες: Ἀληθῶς τοῦτο λέγετε· ἐστὶ δὲ εἰρωνικόν. Gl. Θ. Dorv. τοῦτο λέγετε, ὅτι οὐκ ἠδικήσατε ἐμὲ μεγάλως. Gl. Paris. τὸ μὲν προπαροξύτονον ἄληθες ἀντὶ ἐπιρρήματος λαμβάνεται, ὡς κἀνταῦθα. τὸ δὲ ὀξύτονον τὸ ἀληθὲς, οἷον τἀληθὲς γὰρ οὐκ ἐθέλεις φράσαι, ὄνομά ἐστι. Paris.]

[430. χώρας ἐκβαλεῖν: Τῶν Ἀθηναίων ἀποδιῶξαι. Gl. Paris.]

[ἐκβαλεῖν: Ἀποδιῶξαι. Gl. Dorv.]

431. τὸ βάραθρον: Χάσμα τι φρεατῶδες καὶ σκοτεινὸν ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς κακούργους ἔβαλλον. ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὀγκίνοι, οἱ μὲν ἄνω, οἱ δὲ κάτω. ἐνταῦθα τὸν Φρύγα τὸν τῆς μητρὸς τῶν θεῶν ἐνέβαλον ὡς μεμηνότα, ἐπειδὴ προέλεγεν ὅτι ἔρχεται ἡ μήτηρ εἰς ἐπιζήτησιν τῆς Κόρης. ἡ δὲ θεὸς ὀργισθεῖσα ἀκαρπίας ἔπεμψε τῇ χώρᾳ· καὶ γνόντες τὴν αἰτίαν διὰ χρησμοῦ, τὸ μὲν χάσμα κατέχωσαν, τὴν δὲ θεὸν θυσίαις ἵλαον ἐποίησαν. [ὑπόλοιπον: Περιλελειμμένον. Gl. Paris. τὸ βάραθρον: Ὁ ᾅδης. Gl. Dorv. ὁ κρημνός. Gl. Paris.]

[432. αὐτίκα μάλα: Ἤγουν λίαν συντόμως. Gl. Dorv. τὸ πρᾶγμα λέγειν, οὐ τὸ ὄνομα. R.]

πῶλις sit, an mendose ὀσπριοπώλησαν pro ὀσπριοπωλήσασαν. HEMST.

8. λέγετε] λέγεις Dorv.

ib. ἐστὶ δὲ] τοῦτο addit Dorv.

9. λέγετε, ὅτι Schæferus. λέγεται, ὅπερ Paris.

16. ἐν ᾧ—ἔβαλλον] ὅπου—ἐνέβαλλον V.

ib. τούτῳ om. V.

17. ὀγκίνοι] De ὀγκίνοις et *uncinis* in utroque Glossario Ducangius. HEMST. ἀγκίνοι Θ. ὄγκινοι Suidas s. βάραθρον.

17–21. ἐνταῦθα—ἐποίησαν om. R. Vid. de hac fabula Lobeck. Aglaoph. p. 659.

18. ἐνέβαλον V. et Suidas. ἐνέβαλλον Ald.

ib. προέλεγεν] ἔλεγεν Θ.

19. μήτηρ] Δημήτηρ V.

20. γνόντες] πάντες Θ.

ib. χρησμοῦ V. et Suidas. χρησμῶν Ald.

21. θεὸν] θεῷ Θ. θεὰν V.

ib. θυσίαις ἵλαον V. et Suidas. ἵλεων (ἱλέω Θ.) ταῖς θυσίαις Ald.

24. πρέπει. ἤγουν συντόμως Θ.

[433. ἐκείνη εἰμὶ δηλ. ἣ κ. τ. λ. σφῷ: Ὑμῖν. δίκην: Τιμωρίαν. Gl. Paris.]

[434. ἐνθάδ᾽: Ἀπ᾽ ἐντεῦθεν. Gl. Paris.]

[435. καπηλὶς: Κάπηλις προπαροξυτόνως ἡ τὸν οἶνον πιπράσκουσα γυνὴ, ἀπὸ τοῦ κακύνειν, ὅ ἐστι δολοῦν, τὸν πηλὸν, ἤτοι τὸν οἶνον· [ὡς καὶ ἄμπελος ἡ ἔμπηλος οὖσα. Paris.] καπηλὶς δὲ ὀξυτόνως ὑποκοριστικῶς, ἡ ταύτης ὑπηρετὶς τῆς καπήλεως. Junt. ἡ κάπηλις: Ἡ οἰνοπῶλις. Gl. Θ. Dorv. ἡ 'κ τῶν γειτόνων: Ἤτοι ἡ πλησίον οὖσα. Gl. Paris.]

436. ἢ ταῖς κοτύλαις: Ἀντὶ τοῦ παρακλέπτουσά με ταῖς κοτύλαις· ἥτις, φησὶ, κοντομετροῦσά με βλάπτει· οἷον ταῖς μεταφοραῖς τῶν μέτρων ἀπατῶσά με, ἢ μετὰ ὕδατος μιγνύουσα δίδωσιν· ὡς τοῦ Βλεψιδήμου πεπωκότος καὶ δεδωκότος ἀργύριον. κοτύλη δέ ἐστιν εἶδος μέτρου, ὃ λέγομεν ἡμεῖς ἡμίξεστον. [τοῖς μέτροις ἐν οἷς πιπράσκει τὸν οἶνον ζημιοῖ. Gl. Θ. Dorv. κοτύλαις: Καρτελούραις. (Θ.) διαλυμαίνεται: Ἀφανίζει. Gl. Paris. λυμαίνεταί με, φησὶ, ταῖς κοτύλαις, ἐπεὶ οὐ πλήρεις αὐτάς μοι δίδωσιν, ἢ μετὰ ὕδατος μιγνύουσα δίδωσι. κοτύλη δὲ οὐ μόνον τὸ κοῖλον τῆς χειρὸς, ἀλλὰ καὶ εἶδος μέτρου, ὃ ἡμεῖς ἡμίξεστον λέγομεν. λέγεται καὶ ἐπὶ τῶν ποδῶν τοῦ πολύποδος καὶ τὸ ἰσχίον τοῦ μηροῦ. Paris.]

[437. Πενία μὲν οὖν: Οὐκ εἰμὶ ἣν λέγετε. Gl. Θ. Dorv. μὲν οὖν: Εἰμί. ξυνοικῶ: Συνυπάρχω. Gl. Paris.]

438. ἄναξ Ἄπολλον: Ἰδίως τὸν Ἀπόλλωνα ἢ ὡς ἀλεξίκακον καὶ

5. γυνὴ] In Junt. πιπράσκουσα δηλοῖ ἀπὸ τοῦ etc. Nullius est pretii δηλοῖ, cujus in vicem supposui γυνὴ ex cod. Dorv. Pro τελοῦν editionis Junt. δολοῦν conjecerat Kusterus, quod firmat Dorv. in quo una tantum litera vitiata δηλοῦν. Δολοῦν τὸν οἶνον est apud Lucian. τὰ ἔρια Poll. 7, 169. βαφὴ γνησία, ἀλλ᾽ οὐ δεδολωμένη Ælian. de Anim. 16, 1. HEMST. Codex Paris. plane πιπρ. γυνὴ et δολοῦν. Deinde; ἤτοι τὸν οἶνον, ὡς καὶ ἄμπελος ἡ ἔμπηλος οὖσα. καπηλὶς — ὑπηρέτις. Conf. schol. ad v. 426.

10. Scholion v. 436. om. R.

11. V. incipit ab ἥτις, et post ἡμίξεστον ponit, ἄλλως. ἡ παρακλέπτουσά με ταῖς κοτύλαις.

ib. φησὶ om. V.

ib. κοντομετροῦσα V. μικρομετροῦσα Ald. κοντός recentioris Græcitatis vocabulum est *brevem* s. *parvum* significans.

ib. ταῖς μεταφοραῖς] Nunc sollicitandum, quod aliquando putavi, non videtur: intelligo mensurarum subdolas immutationes: illa caupona Blepsidemum minorem pro majore mensura subjiciendo deceperat. HEMST.

12. ἢ μετὰ—δίδωσιν om. V.Θ.

13. πεπωκότος] πεποιηκότος V.Θ.

20. ἰσχίον Schæferus collato Hom. Il. E, 305. ἰσχύον Paris.

23. ἢ V.Θ. ἤτοι Ald. om. R.

χρησμοὺς παρέχοντα πρὸς ἀποτροπὴν τῶν δεινῶν, ἢ ὡς πατρῷον θεόν. [παρεπιγραφή· ὅτι Βλεψίδημος ἔφευγεν ἀκούσας ὅτι ἡ πενία ἐστίν Gl. Θ. Dorv. ποῖ: Ποῦ. Gl. Paris.]

[439. τί δρᾷς: Παρεπιγραφή. ὁρᾷ γὰρ τοῦτον φεύγοντα. Gl. Paris.]

[θηρίον: Δειλότατον μὲν αὐτὸν λέγει διὰ τὴν παροῦσαν φυγήν· θηρίον δὲ διὰ τὸ θηριωδῶς πρὸς Χρεμύλον πρώην διατεθῆναι καὶ ἐλέγχειν αὐτόν. Paris.]

440. ἥκιστα πάντων: Ὥσπερ φαμὲν μάλιστα πάντων, καὶ ἔστι τὸ μάλιστα ἐπίτασις ὑπερθετική, οὕτω καὶ ἥκιστα πάντων, καί ἐστιν ἀπαγόρευσις ὑπερθετική. [οὐδαμῶς. (R.Θ.) ἀργόν. Gl. Paris.]

[442. πόνηρ': Γεωργέ. Gl. Dorv. ταλαίπωρε. οὐδαμοῦ: Ἔν τινι τρόπῳ. Gl. Paris.]

443. ἐξωλέστερον: Ἀπολέσθαι ὀφεῖλον, ἢ ἐξολοθρευτικώτερον, ἢ μᾶλλον ἐξολέσαι δυνάμενον. [ἐξωλέστερον: Ὀλεθριώτερον. Gl. Θ. Dorv. φθαρτικώτερον, μᾶλλον ἐξολέσαι δυνάμενον. Gl. Paris.]

[444. ἀντιβολῶ: Παρακαλῶ. ἐγὼ μὲν οὔ: Στήσομαι. Gl. Paris.]

445. παρὰ πολὺ: Κατὰ πολὺ, σφόδρα· ὡς παρὰ Θουκυδίδῃ ἐν πρώτῳ "καὶ ἐνίκησαν Κερκυραῖοι παραπολύ." [παρὰ πολὺ: Κατά. Gl. Dorv. παραπολὺ: Ἀντὶ τοῦ πάνυ πολύ. καὶ Θουκυδίδης "ὅτι "ἐνίκησαν Κορκυραῖοι παρὰ πολύ." R.]

[446. τὸν θεόν: Τὸν Πλοῦτόν φησι. V. (non G.)]

447. ἔρημον: Ἔρημος κυρίως ἡ μονωθεῖσα τῶν ἐνοικούντων γῆ, παρὰ τὸ ἔραν μόνην ἔχειν.

2. ὅτι ἡ πενία ἐστὶν, ἀκούσας ὁ Βλεψίδημος ἔφευγε Dorv.

9. Scholion v. 440. om. R.V.Θ.

11. οὐδαμῶς] ἀντὶ τοῦ οὐδαμῶς V. om. G.

12. Ἔν τινι τρόπῳ] Glossator videtur ante oculos habuisse alteram scripturam, οὐδαμῶς. SCHÆFER.

14, 15. Ἀπολέσθαι—δυνάμενον om. Θ. ἐξολέσαι δυνάμενον ἢ ἀπολέσθαι ὀφεῖλον ἢ ἐξολοθρευτικώτερον V. ἀντὶ τοῦ ἐξ. R.

ib. ἢ μ.—δυνάμενον] ἢ χεῖρον Suidas s. ἐξωλέστερον.

19, 20. Κατὰ—πρώτῳ] παντελῶς, πάνυ, σφόδρα, ἢ πάνυ πολύ. καὶ θουκυδίδης ἐν α V. καταπολύ. καὶ θουκυδίδης ἐν α Θ.

20. πρώτῳ] c. 29.

ib. καὶ om. V.

22. Κορκυραῖοι] Sic R, non Κερκυραῖοι.

24. Ἔρημος] Excerpsit Suidas in v. omissis, ὃ σημαίνει τὴν γῆν. Eadem fere in Etymologo, sed ab recentiore manu adjecta, in v. Ἐρημία. HEMST.

25. παρὰ τὸ ἔραν μόνην ἔχειν R.V.

ἀπολιπόντε ποι: Τὸ ποι ἐνταῦθα οὐκ ἔστιν ἐρωτηματικὸν, ἀλλ' ἀόριστον· ἐπὶ μὲν γὰρ κινήσεως μόνον τὸ ποῖ διὰ τῆς ο καὶ ι διφθόγγου γράφεται. διὰ δὲ τοῦ η γραφόμενον καὶ ἐπὶ στάσεως καὶ κινήσεως τίθεται· καὶ δῆλον ἐκ τοῦ, "πᾶ βῶ; πᾶ στῶ;" παρ' Εὐριπίδῃ. εἰ δέ που καὶ διὰ διφθόγγου εὕρηται ἐπὶ στάσεως, κατὰ παράχρησίν ἐστιν. [*που φευξούμεθα*: Ἔν τινι τόπῳ ἀπαδράσομεν. Gl. Paris.]

[448. *τηνδὶ*: Τὴν πενίαν. (V, non G.) *διαμαχούμεθα*: Ἐναντιωθῶμεν. Gl. Dorv. μαχεσόμεθα. Gl. L.B. μὴ θελήσομεν προμαχέσασθαι. V. ἤτοι μὴ θελήσομεν προμαχίσασθαι. Gl. Paris.]

[449. *μαχούμεθ' αὐτῇ*· ἀσθενεῖς γάρ ἐσμεν πρὸς μάχην ὑπὸ τῆς ἐνδείας. Θ. Dorv. ἢ ποίᾳ δυνάμει θαρροῦντες. Gl. Paris.]

[450. *θώρακα*: Ὅπλον. Gl. Dorv. λουρίκην. Gl. Paris. *ἀσπίδα*: Σκουτάριον. Gl. Dorv. σουσάνιον. Gl. ap. Ducang. Gloss. p. 1413.]

451. *οὐκ ἐνέχυρον*: Δῆλον ὡς οὐ μόνον ἐνέχυρά φασιν, ἀλλὰ καὶ ἐνέχυρον. φαίνεται δὲ καὶ τῶν ἀπηγορευμένων εἶναι μὴ θεῖναι τὰ ὅπλα ἐνέχυρα. λέγει οὖν ὅτι αὕτη τῇ ἑαυτῆς βίᾳ ἀναγκάζει καὶ τοὺς νόμους παραβαίνειν τοὺς θεσπίσαντας ὅπλα ἐνέχυρα μὴ τιθέναι. δέον εἰπεῖν ὅτι οὐ τιτρώσκει, ὡς ἐπὶ τῶν ὄντων ἐν πολέμῳ εἶπεν οὐκ ἐνέχυρον τίθησιν. εἰκότως δὲ τίθησι καὶ οὐ τέθεικε, δεικνὺς τὸ ἀεὶ οὕτω

παρὰ τὴν (τὸ τὴν Θ.) ἔραν, ὃ σημαίνει τὴν γῆν Ald. Proximum scholion om. R.V.Θ.

4. παρ' Εὐριπίδῃ] Hecub. v. 1057. Vide schol. ad v. 1075. Hisce non dissimilia tradit Thom. Mag. in Ὅποι. HEMST.

11. μαχούμεθα αὐτῇ post ἐνδείας ponit Θ.

ib. αὐτῇ] αὐτὴν Dorv.

ib. γάρ om. Θ.

12. ἐνδείας] ἀδικίας Dorv.

13. Voci ὅπλον pro *lorica* locus concedi debuerat in Glossario Ducangii. Sic apud Mauricium in Strat. atque alios usurpatur. HEMST.

14. σουσάνιον] Conf. ad schol. Nub. 70.

16. Δῆλον ὡς etc.] Eos ferit hæc observatio, qui ab Atticis ἐνέχυρον singulari numero usurpari negabant: Thom. Mag. in v. Suidas ordinem invertit: οὐ μόνον ἐνέχυρον φασὶν, ἀλλὰ καὶ ἐνέχυρα. cetera nostri scholiastæ fideliter ab eodem exscripta. HEMST.

16–19. Δῆλον—τιθέναι om. R.

17. τῶν ἀπηγορευμένων V. ἀπηγορευμένον Ald.

18. ὅτι om. V.

19. ἐνέχυρα μὴ] μὴ ἐνέχυρα V.

19—p. 161. l. 1. δέον—τιθέασιν om. V.

19. δέον εἰπεῖν] δέον γὰρ εἰπεῖν Ald. ἔδει εἰπεῖν R. ἔδει δὲ εἰπεῖν Θ.

20. ὅτι om. R.

ib. πολέμῳ R. πολέμοις Ald.

ib. οὐκ add. R.

21—p. 161. l. 1. εἰκότως—τιθέασιν om. R.Θ.

21. εἰκότως] Hæc parum diversa

ταῦτα γίνεσθαι ἐν τοῖς πένησιν· ἀεὶ γὰρ ἀποροῦντες ἐνέχυρα τιθέασιν. [ἐνέχυρον: Σημάδιον. Gl. Dorv.]

453. τροπαῖον: Οἱ παλαιοὶ Ἀττικοὶ προπερισπῶσιν, οἱ δὲ νεώτεροι προπαροξύνουσιν, ὡς παρὰ τουτωῒ τῷ ποιητῇ ἐν Θεσμοφοριαζούσαις

γυναῖκες οὐκ ἀρήξετ'; οὐ πολλὴν βοὴν
στήσεσθε καὶ τροπαῖον;

καὶ οἶμαι κατ' ἀναλογίαν τοῦτο μᾶλλον παρὰ σφίσιν ἢ τοῦτο προφέρεσθαι, ὡς ἀπὸ τοῦ τρίτη τὸ τριταῖον, καὶ ἀπὸ τοῦ οὐρὰ τὸ οὐραῖον. ἔστι δὲ τρόπαιον, ὃ ἐν ταῖς νίκαις οἱ παλαιοὶ ἐποίουν, τοῖχον ἢ λίθον μέγαν ἱστάντες, καὶ γράφοντες ἐν τούτῳ, ἃ κατὰ τῶν ἀντιπάλων ἔργα δεδράκασιν· ἐκαλεῖτο δὲ τρόπαιον διὰ τὸ ἐπὶ τῇ τροπῇ τῶν ἐχθρῶν γεγενῆσθαι. [τρόπαιον: Νίκην. Gl. Dorv. ἀναστήσαιτο: Ἐγερεῖ. Gl. Paris. τῶν αὐτῆς τρόπων: Τῶν κακῶν ἐθῶν, ἃ εἰς τοὺς ἔχοντας αὐτὴν ἐργάζεται. Gl. Θ. Dorv.]

454. [τὸ τυχὸν φθέγγεσθαι. καθαρμάτους δὲ αὐτούς φησιν ἀντὶ τοῦ εὐτελεστάτους. ἐπὶ αὐτοφώρῳ δὲ, ἐπὶ φανεροῖς ἐλέγχοις συνειλημμένοι. V.] ὦ καθάρματε: Καθάρματα ἐλέγοντο οἱ ἐπὶ καθάρσει λοιμοῦ τινος ἢ τινος ἑτέρας νόσου θυόμενοι τοῖς θεοῖς. τουτὶ δὲ τὸ ἔθος καὶ παρὰ Ῥωμαίοις ἐπεκράτησε· λέγεται δὲ καὶ καθαρισμός. [γρύζειν: Ποσῶς φθέγγεσθαι. Gl. Θ. Dorv. Paris. καθάρματα: Βδελύγματα. Gl. Dorv. Paris.]

ἀντὶ δὲ μάκτρας: [Ἡ σκάφη ὅπου μάττουσι τὰ ἄλευρα. R.V. σκάφης, ἐν ᾗ ζυμοῦνται τὰ ἄλευρα. Θ.] μάκτρα κατὰ τοὺς παλαιοὺς θυεία ἐπιμήκης, ἐν ᾗ μάττουσι τὰ ἄλευρα, ὅθεν καὶ γίνεται· παρὰ τὸ μάσσω γὰρ ἡ μάκτρα, ὅθεν καὶ μεμαγμένον προείρηται, καὶ ἡ μάζα γίνεται. Πενίας δὲ πάντως δῶρον καὶ ἡ τοιαύτη μάκτρα ἡ ἐκ πιθάκνης, καὶ οὐδὲ αὐτῆς διόλου συνεχοῦς, ἀλλὰ διερρωγυίας τὴν πλευρὰν, ἐν ᾗ τὸ μάγμα γίνεται. ὑποκοριστικῶς δὲ λέγεται ἡ πιθάκνη, κατὰ τὸ πολίχνη. ὅρα δ' ἐν τοῖς προεκτεθειμένοις καὶ σχῆμα κάλλους ἐπαναφορικὸν διὰ τῆς ἀντὶ προθέσεως· τοιοῦτον γὰρ τὸ ἀνθ' ἱματίου, ἀντὶ τάπητος, ἀντὶ προσκεφαλαίου, ἀντὶ ἄρτου, ἀντὶ μάζης, ἀντὶ θράνους, ἀντὶ μάκτρας· ἔχει δέ τι καὶ ἐπιμονῆς τὸ τοιοῦτον σχῆμα. ἀστείως δὲ ὁ Χρεμύλος καὶ πρὸς τὴν κλίνην, ἣν ἡ Πενία

1. Post θρανίτης Ald. addit ὑποκοριστικῶς ὡς πολίχνης, quæ delevit Gelenius. Sunt ex scholio proximo.

1–11. ἐτυμολογεῖται — γράφεται om. R.V.Θ.

2. καθίσαι] καθῆσαι Ald. Correctum ex Eustathio p. 982, 64. 1400, 24.

8. τῷ ποιητῇ] Od. Γ, 392. ubi schol. parvus: Τὸ πῶμα τοῦ πίθου, μεταφορικῶς. Vid. Eustath. p. 1473, 61. Arbitror autem legendum, ὃ δὲ στάμνου κ. non, quod in edd. est, εἰ. HEMST.

10. Στάμνιος] Ran. v. 22. ubi Διόνυσος, υἱὸς Σταμνίου· quod præter expectatum dici scholiastes monet pro υἱὸς Διός. HEMST.

11. γράφεται] γράφει· Kusterus maluit, ἔν τισι δὲ τῶν ἀντ. Credi potest conflatum ex duobus exemplaribus, in quorum uno fuit, Τινὰ δὲ τῶν ἀ. ἀ. στ. κεραμίου, in altero tantum, ἀντὶ στάμνου κεραμίου γράφεται. Κεραμίου vero quum versum intrare nequeat, sine dubio scriptum fuisse oportet κεράμου. HEMST.

13–p. 183. l. 4. μάκτρα—κακῶν om. R.V.Θ.

15. προείρηται] Ad v. 305.

20. κάλλους] κάλλιστον Hemst.

εἶπε, καὶ τοὺς τάπητας, καὶ τὰ μύρα, καὶ τὰ νυμφικὰ ἱμάτια, τὴν ῥηθεῖσαν στιβάδα καὶ τὸν φορμὸν ἀντέθετο, καὶ τοὺς κακῶς ὀδωδότας κόρις, καὶ τὸ ῥάκος, προσθεὶς τὰ λοιπὰ ἐπέκεινα εἰς ἐπαύξησιν τῶν τῆς πενίας κακῶν. [θράνους: Ἤτοι ὑποποδίου ἤγ. θρόνους. Gl. Paris. θρόνου. Gl. D. ὑποποδίου. Gl. Dorv. C. στάμνου: Κεράμου. Gl. Paris. κατεαγότος: Τεθραυσμένου. Gl. Dorv. συντεθλασμένου. Gl. Paris. κλασθέντος. ἄγω τὸ συντρίβω. ὁ μέλλων ἄξω, ὁ μέσος παρακείμενος ἧγα καὶ Ἀττικῶς ἔαγα· ῥήσσω, ὁ μέλλων ῥήξω, ὁ μέσος παρακείμενος ἔρρηγα, καὶ τροπῇ τοῦ η εἰς ω μέγα ἔρρωγα. Victor. μάκτρας: Σκάφης. Gl. Dorv. Paris.]

[546. πιθάκνης: Ὑποκοριστικῶς ὡς πολίχνης. R. κεράμου ἢ πιθήκου κεκλασμένου. ὑποκοριστικῶς δὲ αὐτὸ εἶπεν ὥσπερ πολίχνη. V. ὑποκοριστικῶς· μικροῦ πίθου ἐσχισμένου. Gl. Dorv. πίθου μικροῦ. Gl. Θ. Paris. ἐρρωγυῖαν: Τεθραυσμένην. Θ. συντετριμμένην. ἆρά γε: Συμπέρασμα εἰρωνικόν. Gl. Θ. Paris.]

[547. ἀποφαίνω σ᾿ αἰτίαν: Ἀποδεικνύουσαι. Gl. Dorv. ἀποδεικνύω πρόξενον. Gl. Paris. αἰτίαν: Πρόξενον· συνίζησις. Gl. Dorv.]

548. ὑπεκρούσω: Ἐφθέγξω, ἀνεκρούσω, ἀπὸ μεταφορᾶς τῶν κρουόντων τὴν κιθάραν, ἤ τινος ἄλλου τοιούτου ὀργάνου. διενήνοχε δὲ πτωχεία πενίας, ὅτι ἡ μὲν πενία μεμετρημένη ἐστὶν ἔνδεια, πόνῳ τὰ χρειώδη θηρῶσα· ἡ δὲ πτωχεία παντελὴς τῆς κτήσεως ἔκπτωσις· καὶ ὁ μὲν πένης παρὰ τὸ πένεσθαι, ὅ ἐστιν ἐνεργεῖν, εἴρηται, καὶ ἐκ τούτου πορίζειν τὰ χρειώδη, ὁ δὲ πτωχὸς, παρὰ τὸ πτώσσειν πάντας. [τὸν ἐμὸν βίον: Τὴν ἐμὴν διαγωγήν. ὑπεκρούσω: Ἐδήλωσας. Gl. Paris. αἰνιγματωδῶς ἀπήχησας. Gl. C. ὠνείδισας. Gl. D.]

12. ὑποκοριστικῶς δὲ αὐτὸ G. ὑποκοριστικὸν δὲ αὐτὸς V.
ib. πολίχνη G. πολίχνης V.
19. Ἐφθέγξω] Suidas ubi primum ὑπεκρούσω exposuit ἠνίξω, quod non ita multum ab interpretatione Dorv. distat, tum comici locum, et ipsa scholiastæ verba profert. HEMST.
ib. ἀνεκρούσω om. V.
ib. ἀπὸ] ἐκ V.
20. κρουόντων τὴν addidi ex R.
ib. κιθάραν R. κιθάρων Ald. κιθαρωδῶν V. Sequentia om. R.
ib. τοιούτου ὀργάνου] ὀργάνου τοιούτου Θ. τοιούτου om. V.
21. πτωχεία πενίας] πενία πτωχείας V.
ib. ἡ μὲν Θ. οἱ μὲν Ald.
22, 23. ἡ δὲ πτωχεία—καὶ ὁ μὲν πένης add. V. et Suidas: om. Θ. Ald.
23. παρὰ V.Θ. et Suidas. παρὰ δὲ Ald.
26. ἀπήχησας] ἐδήλωσας Θ.

550. οἵπερ καὶ Θρασυβούλῳ: Τὰ μὴ ὅμοιά φησιν αὐτοὺς ὁμοιοῦν, ὡς εἴ τις λέγοι Διονύσιον τὸν ἐξώλη τύραννον ἐοικέναι Θρασυβούλῳ τῷ Λύκου, ἀνδρὶ φιλοπόλιδι καὶ παντὸς κρείττονι λόγου, διά τε τὰς ἐπιφανεῖς αὐτοῦ κατὰ τῶν πολεμίων νίκας καὶ διότι κατέλυσε τὴν τῶν λʹ τυραννίδα. εὔπορος γὰρ ὢν καὶ ἐξ αὐτῶν ἐκπεσὼν μετὰ ταῦτα Φυλὴν καταλαβὼν καθεῖλεν αὐτούς. Ἄλλως. μήποτε ὁ ἀξιωματικὸς καὶ αὐθάδης, ὡς Στράττις ἐν τῷ Κινησίᾳ. Διονύσιος δὲ ὁ μέν τις φαίνεται μαινόμενος, ὁ δὲ, ὡς ἔοικεν, ἰχθυοπώλης. [Ἄλλως. ὁ μὲν ἀξιωματικὸς καὶ αὐθάδης, ὁ δὲ μαινόμενος καὶ, ὡς ἔοικεν, ἰχθυοπώλης. Πολύζηλος,

ὁ μαινόμενος ἐκεινοσὶ Διονύσιος
χρυσοῦν ἔχων χλίδωνα καὶ τρυφήματα
ἐν τῷ μύρῳ παρ' Ἀθηναίων μακαρίζεται. V.]

μήποτε δὲ καὶ περὶ τὴν ὄψιν ἀποσκώπτει. [ἢ ὅτι ὁ μὲν Διονύσιος

1–p. 186. l. 9. Τὰ μὴ—ἄνους] ὅτι ὁ μὲν διονύσιος—ἄνους. ἄλλως. τὰ ὅμοια—τὴν τυραννίδα. ἄλλως. ὁ μὲν ἀξιωματικὸς—σφόδρα ἀνομοίους. ἢ ὅτι—δημοφιλής V.

1. μὴ om. V.

ib. αὐτοὺς ὁμοιοῦν addidi ex R.V.Θ.

2. εἴ] ἂν V.

ib. λέγοι Kusterus. λέγει Θ. Ald. λέγε R. λέγῃ V.

3. Λύκου] λύκῳ R.V. Post Λύκῳ pergit R, ὅτι ὁ μὲν ἀξιωματικὸς καὶ μέγας, ὁ δὲ μαινόμενος, ceteris omissis.

ib. φιλοπόλιδι] Sequentia καὶ παντὸς—ἐν Σικελίᾳ. Ἄλλως om. Θ.

ib. παντὸς κρείττονι λόγου] πάντα κρείττονι V.

4. ἐπιφανεῖς] ἐπιφανείσας V.

ib. κατὰ om. V.

ib. νίκας V. δίκας Ald.

ib. διότι κατέλυσε] ἐπὶ τὸ καταλύσαι V.

5. τῶν λʹ om. V.

6. ὁ ἀξιωματικὸς] Indicari videtur is Thrasybulus, cujus fit mentio in Ecclesiaz. v. 203. nam ibi quoque describitur a scholiaste αὐθάδης καὶ δωροδόκος (vid. v. 356.) et ὑπερόπτης τοῦ δήμου· idemne fuerit qui Colyttensis, nec ne, non adfirmavero. Στράτις semper in scholiis ad comicum exaratur; alibi sæpe τ geminato Στράττις· quare utrumque invenire se scribit Casaubon. ad Athen. 7, 23. illud in Polluce deteriores libri, hoc vetusti et accuratiores exhibebant, quos ego probandos existimo. De Cinesia Strattidis fabula quæ Kuhnius observat ad Poll. 10, 189. omnia præcepit Th. Reines. ad Daum. Ep. 90. p. 228. HEMST.

7. Στράττις] στράτις Ald.

11. In versibus Polyzeli addidi ὁ ante μαινόμενος.

12. χλίδωνα] χραιδόνα V. Correxi χλίδωνα. τρύφημα et χλίδωνα inter mundum muliebrem memorat Aristophanes fragm. 309. p. 617.

13. μακαρίζεται] αἴδι μακαρίζεται V. αἴδι βαυκαλίζεται (id est βαυκίζεται) G.

14. περὶ—ἀποσκώπτει V. ἐπὶ—περισκώπτει Ald. Tum sequuntur in Ald. ὡς ὁμοιούντων (ὁμοιούσης V.) σφόδρα ἀνομοίως (corr. ἀνομοίους ex V.), quæ delenda esse vidit Dobræus.

τύραννος, Θρασύβουλος δὲ δημοφιλής. V.] μᾶλλον δὲ ἄν τις ὑπονοήσειεν ἕτερον Διονύσιον Θρασυβούλου τοῦ Κολυττέως ἀδελφὸν

2. τοῦ Κολυττέως] Priores edd. Κωλυττέως· ejusmodi scriptura peperit errorem Suidæ: Κωλυπὲς, δῆμος τῆς Αἰγηΐδος· unde natus est, auctore Meursio in Rel. Att. novus et ignorabilis Atticæ regionis demus. Ex parte Kusterus ope MSS. Paris. maculam abstersit: Suidas deceptus dederat, Κωλυπεύς· Κωλυπὸς, δ. etc. pro Κολυττεύς· Κολυττὸς δ. etc. Dicitur autem Thrasybulus hicce Colyttensis, ut ab illo nobilissimo patriæ libertatis vindice distinguatur, qui Στειριεὺς, sive Stiria demo oriundus: quod eo diligentius veteres observant, quia easdem reip. partes secuti ætate propemodum fuerunt æquales. Utriusque meminit Xenophon, hujus Hell. 4. p. 316. v. 24. Θρασύβουλον τὸν Στυρέα, quod facile patet mutandum esse in Στειριέα vel Στειριᾶ· illius lib. 5. p. 321. Θρασύβουλος ὁ Κολυττεύς· ubi quod ex uno codice notat H. Stephanus Κολλητεὺς pro Κολλυτεὺς, plane cum ea scribendi forma congruit, quam, monente Sponio, antiqui lapides ostendunt. Eundem habet Θρασύβουλον τὸν Κολυττέα Demosth. in Timocr. p. 794. A. quem refert δὶς δεθέντα καὶ κριθέντα ἀμφοτέρας τὰς κρίσεις ἐν τῷ δήμῳ· καί τοι, inquit, τῶν ἐκ Πειραιῶς, καὶ ἀπὸ Φυλῆς οὗτος ἦν. HEMST.

ib. Quo jure conglutinari possint, ἀδελφὸν ἔγγιστα συγγενείας εἶναι, mihi non liquet: melius erit huic loco consultum, si interjecta particula separemus ἀδελφὸν ἢ ἔγγιστα συγγενείας εἶναι· sensus enim: *potius autem suspicetur aliquis alium esse Dionysium Thrasybuli Colyttensis, aut fratrem, aut genere proximum:* qui scilicet facie fuerint tam dissimili, ut, si quis res longissime disparatas inter se componere aggrederetur, idem jure contendere dici posset, Thrasybulo similem esse vel fratrem, vel propinquum ejus Dionysium. His quæ continuo subjiciuntur, velim mihi dari, qui vel exponat, vel potius, quoniam id ne sperandum quidem est, apte corrigat: interea quid in mentem mihi venerit, non celabo, ut simul pateat, qua via, si conatus noster forte parum prospere successerit, inveniri posse verum existimem: ἢ ἔγγιστα συγγενείας εἶναι· καὶ ἐν Γηρυτάδῃ σαφέστερον οἶδεν. Ἢ κατὰ Δίδυμον, ὡς εἴ τις λέγοι etc. *et istum quidem Dionysium Aristophanes in fabula Gerytade clarius novit ac descripsit:* exinde sequitur explicatio prorsus alia: *Aut enodandus est hic versus secundum Didymi sententiam; ac si quis dicat* etc. Ista jam initio fuerant prolata; sed nunc auctor Didymus accedit minime contemnendus, quem sane grammaticorum laboriosissimum constat commentarios etiam edidisse ad fabulas Aristophanis. Quam difficile vero fuerit visum definire, quem Thrasybulum Aristophanes, quemque Dionysium cogitaverit, illa varietas opinionum permolesta luculenter prodit; quæ potissimum orta mihi videtur ex duplici fabulæ Pluti editione. Si in solo versus hic extiterit Pluto secundo, fieri non potuit, quin quivis interpres historiæ veteris haud imperitus sponte delaberetur ad Thrasybulum et Dionysium, qui tum utrique in Græcis fama rerum gestarum, sed longe diversa, celeberrimi ferebantur: at eundem versum si primus itidem habuerit Plutus, jam nihil erat absurdius, quam istorum a comico factam esse mentionem putare, qui post Dioclem demum, quo archonte prior Pluti fabula fuit commissa, factis insignibus florue-

ἔγγιστα συγγενείας εἶναι. καὶ ἐν τῇ Ἰλιάδι σαφέστερον οἶδεν ἢ κατὰ Δίδυμον. ὡς εἴ τις λέγοι Διονύσιον τὸν ἐξώλη τύραννον ἐοικέναι Θρασυβούλῳ τῷ Λύκου, ἀνδρὶ φιλοπόλιδι καὶ παντὸς κρείττονι λόγου, διότι κατέλυσε τὴν τῶν λ′ τυραννίδα. Ἄλλως. οἱ Λακεδαιμόνιοι κρατήσαντες τῶν Ἀθηναίων ἔταξαν λ′ τυράννους ἀπὸ τῆς πόλεως ἐν Ἀθήναις διατρίβειν. ὁ οὖν Θρασύβουλος ἐραστὴς ὢν τῆς δημοκρατίας κατέλαβε Φυλὴν τῆς Ἀττικῆς μετά τινων ἄλλων, μεθ' ὧν κατέλυσε τοὺς λ′. Διονύσιος δὲ τύραννος ὠμὸς ἐν Σικελίᾳ. Ἄλλως. ὁ μὲν Διονύσιος ἐμμανής· ὁ δὲ Θρασύβουλος ἄνους. ἢ Διονύσιος τύραννος, ὁ δὲ Θρασύβουλος ἀτελὴς καὶ πένης, πλὴν θρασύς. [Ἄλλως. ἡ Πενία φησὶν ἐν τῷ πρὸς τὸν Χρεμύλον, ὅτι τὰ μὴ ὅμοια ὅμοια λέγεις εἶναι, ὥσπερ ἂν εἰ τὸν Σικελίας τύραννον Διονύσιον ὅμοιον εἶναι τῷ Θρασυβούλῳ ἀνδρὶ χρηστῷ καὶ κοσμίῳ. Junt.]

[Διονύσιον: Ὁ μὲν Διονύσιος ἦν Σικελίας τύραννος· ὁ δὲ Θρασύβουλος ἀνὴρ χρηστὸς Ἀθηναῖος· ὁρῶν οὖν τὴν ἑαυτοῦ πόλιν ὑπὸ τῶν τριάκοντα τυράννων, οὓς ἔστησαν οἱ Λακεδαιμόνιοι, τυραννουμένην,

runt: atque adeo opera fuit danda, ut in Atheniensium civitate iis nominibus homines investigarentur, quibus et tempus actæ fabulæ, et dissimilitudo faciei vel morum ab Aristophane notata convenirent. Hæc igitur ad eos enarratores cura pertinuit, qui versantes in isto versu illustrando primam Pluti fabulam in manibus habere se credebant: rectene an secus, nunc non disputo; quanquam, si Phylen occupatam consideres v. 1147. litem dijudicare in proclivi sit: ibi tamen quod unus scholiastarum observat, non leviter est animadvertendum: Τοῦτο οὖν ἔοικέ τις ἐκ τοῦ δευτέρου Πλούτου μετενεγκὼν ἐνθάδε ὀλιγωρῆσαι τῆς ἀλογίας ταύτης. HEMST. Valde incerta hujus loci emendatio est. Dobræo verba illa ἀδελφὸν ἔγγιστα συγγενείας εἶναι scholion esse videbantur versus præcedentis, τῆς πτωχείας πενίαν φαμὲν εἶναι ἀδελφήν, ut corrigendum sit, εἶναι ἀδελφήν: Ἔγγιστα συγγενείας εἶναι. Sequentia autem καὶ ἐν τῇ Ἰλιάδι σαφέστερον οἶδεν non corrupta magis quam loco alieno illata videntur. Et illa quidem καὶ ἐν τῇ Ἰλιάδι leguntur infra in scholio recenti v. 589.

7. ὢν ed. Basil. ἧς Ald.

13. εἶναι] λέγοις vel simile quid additum recte desiderat Kusterus.

14. Ὁ μὲν Διονύσιος] Scholion hoc suppeditavit margo Dorv. quod ideo visum est in lucem proferre, ut egregio specimine constaret, quam indignis modis ab hominibus rerum antiquarum ignaris, quæ bene fuerant a veteribus grammaticis tradita, corrumpantur. Φυλήν, nam ita legendum est, haud aliter accepit, atque alter ille scholiastes, de cujus inscitia paulo ante monuimus; idque satis declarat addendo μίαν. Λάθρα ἀπέκτεινε non majoris est pretii, quam quod in fine scholii ad v. 1147. narratur. Lege vero τὴν αὐτῶν, scilicet Ἀθηναίων, vel τὴν αὐτοῦ πόλιν. HEMST.

15. ἑαυτοῦ dedi ex libro Parisino. αὐτὴν Dorvillianus.

φίλην μίαν καταλαβὼν τοὺς τυράννους λάθρα ἀπέκτεινεν· ἥδετο οὖν παρὰ πάντων, ὡς Ἀθηναίων εὐεργέτης. Dorv. *ὑμεῖς*: *Φατὲ δηλ.* *Θρασυβούλῳ*: *Τῷ ἀγαθῷ δηλ.* *Διονύσιον*: *Τύραννον.* Gl. Paris.]

[551. *μέλλει*: *Πείσεσθαι.* Gl. Paris.]

[552. *πρὸς τὴν διαφορὰν τῶν ὀνομάτων.* V.]

[553. *φειδόμενον*: *Ἀκριβολογούμενον.* Gl. Dorv. Paris. *προσέχοντα*: *Προσκείμενον.* Gl. Paris.]

[554. *περιγίνεσθαι δ' αὐτῷ*: *Περιγίνεσθαι σημαίνει μὲν καὶ τὸ νικᾶν, σημαίνει δὲ καὶ τὸ περιττεύειν, ὡς ἐνταῦθα.* Junt. Victor. *περιγίγνεσθαι*: *Περιλιμπάνεσθαι.* R.V. *περιττεύειν.* Gl. Θ. Dorv. *περιττὸν γίγνεσθαι.* *ἐπιλείπειν*: *στερεῖσθαι.* Gl. Paris.]

555. *ὡς μακαρίτην, ὦ Δάματερ*: *Ὅτι ἁπλῶς καὶ ἀσυνήθως κατεχρήσατο ἀντὶ τοῦ μακάριον· εἰ μὴ ἄρα παίζει, οἷον νεκροῦ βίον. Ἄλλως. ὥσπερ εἰώθασιν οἱ Ἕλληνες, ἐπειδάν τι παράδοξον ἀκούσωσι, σχετλιάζειν καὶ βοᾶν Ἡράκλεις, ἢ Ἄπολλον, ἢ ὦ Ζεῦ, οὕτω καὶ οὗτος ἀκούσας τῆς Πενίας τοιαῦτα λεγούσης ὥσπερ σχετλιάζων βοᾷ, ὦ Δάματερ· εἰκότως δὲ πρὸς τὴν γῆν ποιεῖται τὸν λόγον, ὡς γεωργός.* [*μακαρίτην*: *Μακαριστόν.* Gl. Θ. Dorv. *εὐδαίμονα.* Gl. Paris. *τὸ μάκαρ ἐπὶ τῶν ἁγίων λέγεται μόνον. τὸ μακάριος καὶ μακαριστὸς ἐπὶ ζώντων καὶ ἀποθανόντων. μακαρίτης δὲ ἐπὶ τῶν ἀποθανόντων μόνον.* Paris. *ὦ Δάματερ*: *Τοῦτο διὰ μέσου.* Gl. Θ. Dorv. *κατέλεξας*: *Κατηριθμήσω.* Gl. Paris.]

[556. *μοχθήσας*: *Κοπιάσας.* *ταφῆναι*: *Ὥστε.* Gl. Paris.]

[557. *σκώπτειν*: *Διασύρειν.* Gl. Paris. *εἰρωνεύεσθαι.* Gl. Θ. Dorv. *κωμῳδεῖν*: *Ὑβρίζειν.* Gl. Dorv. *ἐπὶ γέλωτος.* Gl. Paris. *σπουδάζειν*: *Τῶν σπουδαίων.* R. *τοῦ λέγειν τὰ σπουδαῖα ἢ σπουδαιολογεῖσθαι.* V. *σπουδαίως λέγειν.* Gl. Paris. *σπ. λ.*, *ἐπιστημόνως ἀποδεικνύναι ὅτι κρείττων ὁ πλοῦτος τῆς πενίας.* Gl. Victor.]

[558. *γινώσκων*: *Ἐπιστάμενος.* Gl. Paris.]

9. Περιγίνεσθαι] Moschopul. Ἐκλ. Ἀ.Ὀ. et Thom. Mag. in Περιεγένετο. HEMST.

13. Ὅτι om. V. Totum scholion om. Θ.

14. ἄρα om. V.

ib. νεκροῦ βίον R.V. et Suidas s. μακαρίτας. νεκρόβιον Θ. Ald. Sequentia om. R.V.Θ.

15. οἱ addidi ex Paris.

ib. ἐπειδὰν] ὅταν Paris.

ib. ἀκούσωσι] ἴδωσι Paris.

[559. *τῷ μὲν*: Τῷ Πλούτῳ δηλονότι. V. *ποδαγρῶντες*: Ὅτι Ἑλληνικὸν τὸ ποδαγρᾶν. τινὲς δὲ φεύγοντες αὐτὸ ποδαλγῶσι λέγουσι. R.V. *ποδαλγοῦντες*: Τοιοῦτοι γὰρ οἱ πλούσιοι γίνονται ὑπὸ τῆς τρυφῆς, ὅπερ ἀσελγείας καὶ φαυλότητος βίου δηλωτικόν ἐστι. γράφεται δὲ καὶ ποδαλγοῦντες καὶ ποδαγρῶντες· ὅτι καὶ αὐτὸ τὸ πάθος καὶ ποδάγρα λέγεται καὶ ποδαλγία. Junt. *τὴν γνώμην*: Τὴν φρόνησιν. Gl. Θ. Dorv. *τὴν ἰδέαν*: Τὴν μορφήν. Gl. Θ. Dorv. et Br. *κατὰ τὸ εἶδος*. Gl. Paris. *παρ' αὐτῷ*: Τῷ Πλούτῳ. *ποδαγρῶντες*: Ποδαγροί. Gl. Paris.]

[560. *ὑπὸ ἀργίας μεγάλοι γίνονται καὶ παχεῖς τὰ σώματα. ἀσελγῶς δὲ ἀντὶ τοῦ ἀτόπως διὰ τὴν ἀσέλγειαν*. V. *ἀντὶ τοῦ καταφερεῖς*. R.V. *παχ. καὶ πίονες*: Παχεῖς ταῖς σαρξὶν ἀσωφρόνως λιπαροί. *ἀσελγῶς*: Αἰσχρῶς. Gl. Θ. Dorv. *ἀντὶ τοῦ εἰπεῖν λίαν πίονες*. Gl. C. *λιπαροὶ ἀτόπως*. Gl. D.]

561. *σφηκώδεις*: Λεπτοὶ κατὰ τὸ μέσον, ὡς σφῆκες· ἢ πικροὶ, ἐπεὶ καὶ τὸ ζῷον πικρόν ἐστι σφόδρα· ἅμα μὲν ὅτι καὶ δριμύτεροι, ἅμα δὲ ὅτι καὶ ἰσχνότεροι γίνονται οἱ λιμώττοντες ὡς σφῆκες. Ἄλλως. σκληροὶ, ἢ λεπτοὶ, μάλιστα τὰ κάτω τῶν γαστέρων, διὰ τὸ γοργὸν καὶ εὐκίνητον· τοιοῦτοι γὰρ οἱ σφῆκες τὸ μέσον. *τοῖς ἐχθροῖς ἀνιαροί*: Ὁ γὰρ ταῖς σαρξὶ μὴ βαρυνόμενος, ἀλλὰ κούφως ἔχων τοῦ σώματος, ῥᾷστ' ἂν καὶ πρὸς τοὺς ἐχθροὺς ἀντιπαρατάξηται. τοιοῦτοι δὲ οἱ πένητες διὰ τὸ μὴ εὐσαρκεῖν ἀπορίᾳ τροφῶν. [*ἰσχνοὶ καὶ σφ.*: Λεπτοί τὰ σώματα ὥσπερ οἱ σφῆκες. *ἀνιαροί*: Λυπηροί. Gl. Dorv. *λύπην ἐπάγοντες τοῖς ἐχθροῖς*. Gl. Paris.]

[562. *σφηκῶδες*: Τὸ λεπτόν. Gl. Paris.]

563. *περὶ σωφροσύνης ἤδη*: Καταλέξασα τὰ ἀγαθὰ, ἃ δι' αὐτὴν ἀνθρώποις γίνονται, νῦν βούλεται ἀποδεῖξαι ὅτι καὶ σωφροσύνης αἰτία

2, 3. *τινὲς—λέγουσι* om. R.
4. *βίου* additum ex Paris.
10. *ὑπὸ — σώματα*] Hæc habet R.
ib. *ὑπὸ*] *καὶ γαστρώδεις. ὑπὸ γὰρ* R.
11. *ἀντὶ τοῦ καταφερεῖς* om. G.
12. *ἀσωφρόνως*] Proprie pertinet ad explicandum *ἀσελγῶς*. HEMST.
15. Scholia ad v. 561. om. R.
ib. *Λεπτοὶ*] *οἱ γὰρ πένητες τοῖς ἐχθροῖς εἰσιν ὀργίλοι. λεπτοὶ δὲ* V.Θ.
ib. *ὡς σφῆκες*] *οἱ σφῆκες* Θ, qui sequentia om.
16. *καὶ* (prius) om. V.
18, 19. *Ἄλλως—μέσον*] *ἢ ἀντὶ τοῦ λεπτοί· λελέπρυνται* (corr. *λελέπτυνται* ex G.) *γὰρ ἐν μέσῳ οἱ σφῆκες* V.
23. *τὰ σώματα* addidi ex Θ.
27. Scholion v. 563. om. R.V.Θ.
28. *νῦν βούλεται*] In ora Dorv. hæc

ἐστὶν, ὥσπερ ὁ Πλοῦτος αὖ τοὐναντίον. εἰκότως δὲ εἶπε τὸ ἀναδιδάξω· καὶ γὰρ ὅτε γαστρώδεις ἔλεγε τοὺς ἀνθρώπους ἐκ τοῦ πλούτου γίνεσθαι, καὶ ἀσελγεῖς ἔλεγεν· οἱ γὰρ πλεῖστα ἐσθίοντες καὶ πρὸς τοῦτο κατάφοροί εἰσιν. [*συμπεραίνω τὸ συλλογίζομαι, ἀφ' οὗ καὶ συμπέρασμα παρὰ φιλοσόφοις, τὸ ἐκ τῶν προτάσεων συναγόμενον· τὸ γὰρ κύριον μέρος τοῦ συλλογισμοῦ οὐδέν ἐστιν ἕτερον ἄλλο ἢ τὸ συμπέρασμα. σύγκειται γὰρ ὁ συλλογισμὸς ἐκ δύο προτάσεων καὶ συμπεράσματος· καὶ ἔστι τὸ συμπέρασμα ἀπόδειξις τοῦ ζητουμένου ἀναντίρρητος.* Junt. *ἤδη τοίνυν περανῶ*: Ἀπὸ τοῦ νῦν ἀποδείξω. Gl. Dorv. *συλλογίζομαι ὑμῖν.* Gl. Paris.]

[564. *κοσμιότης*: Εὐταξία, *καὶ σεμνότης.* Gl. Θ. Dorv. *ὑβρίζειν*: Αἰσχρὰ *πράττειν.* Gl. Dorv. *τὸ ἀσελγαίνειν.* Gl. Paris.]

565. *πάνυ γοῦν*: Ἐν *εἰρωνείᾳ, ἐπεὶ οἱ πένητες κλέπτουσι διὰ τὴν ἀπορίαν.* [*εἰρωνικῶς.* Gl. Dorv. *κόσμιον*: Ὠφέλιμον. Gl. Dorv. *εὔτακτον.* Gl. Paris.]

566. *πῶς οὐχὶ κόσμιον*: Τὸ *πειρᾶσθαι λαθεῖν. τοῦτο δὲ ὁ ἕτερος πρεσβύτης πειράζων λέγει καὶ χλευάζων· ἢ ὅτι τὸ παλαιὸν οὐ διεβέβλητο ἡ κλοπὴ, εἰ μὴ φωραθεὶς κλέπτων ὑπῆρχεν.* Ἄλλως. *εἴγε ὁ κλέπτης λανθάνει· ψυχρὸν δὲ τὸ ἐνθύμημα.* [*εἴγε δεῖ λαθεῖν*: Ἀπόκειται *μὴ γνωσθῆναι.* Gl. Paris. *ἀπόκειται.* Θ.]

quoque notata usque ad τοὐναντίον· Νῦν οὖν βούλεται ἡ Πενία ἀποδεῖξαι etc. HEMST.

6. ἄλλο] Fortasse ἀλλ' scripsit.

9. ἀναντίρρητος] Quod corrupte legebatur in Junt. ζητουμένου· ἀντίρρητος ἡ πενία γοῦν καταλέξασα etc. Gelenius emendavit. Post ἀναντίρρητος autem, quæ jam ante ab initio scholii fuerant proposita, iisdem pæne verbis, nisi quod paulo magis vitiata sunt, iterum ingerebantur. Onere minime necessario scholiasten liberavi. HEMST. Addebatur ex Junt. ἡ πενία γοῦν καταλέξασα —γίνεται, νῦν—ὁ πλοῦτος τοὐναντίον— ἔλεγε τοὺς ἀνθρώπους ἤγουν ἀσελγεῖς ὑπὸ τοῦ πλούτου ἔλεγε γίνεσθαι. οἱ γὰρ—καὶ εἰς τοῦτο κατάφοροι.

11. καὶ om. Dorv.

13. Ἐν εἰρωνείᾳ, ἐπεὶ οἱ] εἰρωνικόν· οἱ γὰρ Θ.

ib. διὰ τὴν R.V.Θ. τὴν om. Ald.

16. Τὸ πειρᾶσθαι λαθεῖν om. R. Totum scholion om. Θ.

ib. δὲ om. R.

17. πειράζων λέγει R.V. λέγει πειράζων Ald.

ib. ὅτι om. Θ.

18. εἰ μὴ φωραθεὶς κλ.] Respexit procul dubio scholiastes ad mores et instituta Lacedæmoniorum, quippe apud quos furta olim licita erant et impunita, modo ita fierent, ne quis in ipso furto deprehenderetur. Vide Cragium de Republ. Lacedæmon. 3, 12. KUST.

ib. κλέπτων R.V. κλέπτης Ald. ὅτι κλέπτης Θ.

ib. ὑπῆρχεν] ὑπήρχθη R. Sequentia om. R.V.

19. λανθάνει] λανθάνων Θ.

ib. δὲ om. Θ.

[567. *σκέψαι*: Λογίζου. Gl. Dorv. *ἐξέτασον*. Gl. Paris. *τοὺς ῥήτορας*: Τοὺς κριτάς. *ὡς*: Ὅτι. Gl. Dorv.]

[568. *περὶ τὸν*: Εἰς τόν. Gl. Dorv.]

[569. *ἀπὸ τῶν κοινῶν*: Ἀπὸ τῶν δημοσίων χρημάτων. Gl. Dorv. πραγμάτων. Gl. Θ. Paris.]

570. *ἐπιβουλεύουσί τε*: Διαβάλλει τοὺς ῥήτορας, ὡς δῶρα λαμβάνοντες παρὰ τῶν πολεμίων ἀσύμφορα τῇ πόλει συμβουλεύουσιν, οὐκ ἐῶντες αὐτὴν τούτους ἀμύνασθαι. [*ἐπιβουλεύουσι*: Ἤγουν κακῶς βουλεύουσιν. Gl. Dorv. ἐπίβουλοι γίνονται. *πολεμοῦσιν*: Μάχονται. Gl. Paris.]

571. *καίπερ σφόδρα*: Συναινεῖ διϊσχυριζόμενος κατὰ τὸ τῶν ῥητόρων σχῆμα, διασύρων αὐτήν. τὸ δὲ βάσκανος ἁπλῶς ἐπὶ λοιδορίᾳ τιθέασιν. [*ψεύδει*: Ψευδὲς λέγεις. Gl. Paris. *τούτων*: Ὧν περὶ τῶν ῥητόρων λέγεις. Gl. Θ. Dorv. ὧν εἶπας. Gl. Paris. *βάσκανος*: Ἐχθρή. Gl. Paris.]

572. *ἀτὰρ οὐχ ἧττον*: Ὅμως, φησὶν, εἰ καὶ ἀληθεύεις, μὴ μέγα φρονήσῃς· οὐδὲν γὰρ ἧττον τὰ αὐτὰ πείσῃ. κομήσῃς δὲ ἀντὶ τοῦ ὑπερηφανήσῃς, παρὰ τὸ τοὺς κομῶντας καυχητιᾶν. ἢ ἀπὸ μεταφορᾶς τῶν δένδρων, ἃ τὴν κόμην ὑψοῦ ἔχουσι. τοιοῦτοι δὲ καὶ οἱ ὑπέρφρονες, ὑψοῦ τὴν γνώμην αἴροντες. [τοῦτο δὲ διὰ μέσου εἴρηται, καὶ ἔστι τὸ,

6. Scholion v. 570. om. R.V.Θ.

ib. Διαβάλλει] εἰς τοῦτο δὲ συναγορεύει ταύτῃ, ἵνα διαβάλῃ Θ.

6–8. ὡς δῶρα—ἀμύνασθαι om. Θ.

6. λαμβάνοντες Ald. reliquæ λαμβάνοντας. Kusterus insuper, ut orationis male cohærenti structuræ subveniret, interpunctionem induxit: παρὰ τῶν πολεμίων. Ἀσύμφορα etc. atque ita fere margo Dorv. Διαβάλλει τοὺς ῥήτορας ὡς δῶρα λαμβάνοντας παρὰ τῶν ἐναντίων. ἀσύμφορα τῇ πόλει συμβουλεύουσι. ceteris omissis. HEMST.

11. Συναινεῖ διισχυριζόμενος] συνᾴδει ἰσχυριζόμενος V.

ib. κατὰ τὸ] Legebatur τὸ κατά.

12. σχῆμα V. πρᾶγμα R.Θ. Ald.

ib. διασύρων R.V.Θ. διασύρειν Ald.

ib. αὐτήν] αὐτόν R. αὐτούς V. om. Θ. Ald. Spectat hæc annotatio ad prima versus verba ἀλλ' οὐ ψεύδει τούτων γ' οὐδέν.

ib. ἁπλῶς om. V. Habet Suidas s. βασκανία.

16, 17. Ὅμως—πείσῃ om. R, post καυχητιᾶν ponit V.

17. φρονήσῃς] φρονήσεις Θ.

ib. τὰ αὐτὰ V.Θ. et Suidas s. κομήσῃς. ταὐτὰ Ald.

ib. κομήσῃς δὲ om. V. κομήσῃς δὲ ἀντὶ τοῦ om. R.

18. ὑπερηφανήσῃς] ὑπερηφανίσῃς V. ὑπερηφανεύσῃ G.

ib. τὸ τοὺς R. et Suidas. τὸ om. V.Θ. Ald. τὸ G, omisso τούς.

ib. καυχητιᾶν addidi ex R.V. et Suida. Sequentia om. R.V.Θ. et Suidas.

ὅτι ζητεῖς, πρὸς τὸ κλαύσει. Junt. διὰ τῶν λόγων ὧν εἶπας ἀλλὰ ἐπίσης τιμωρηθήσῃ δηλ. Gl. Paris. ταύτηγε κομίσῃς: Ἀπὸ τούτου ἐπαρθῇς. Gl. Dorv. ἐπαρθῇς. Gl. Paris.]

[573. ὁτιὴ ζητεῖς: Ἐπεὶ ἐξετάζεις. Gl. Paris.]

[574. ἐλέγξαι μ': Ἐμὲ ψευδόμενον. Gl. Paris. Περὶ τοῦ μὴ διαφέρειν με τοῦ Πλούτου. R.V.]

575. καὶ πτερυγίζεις: Κοῦφα καὶ μάταια διαλέγῃ. ἀπὸ τῶν νεοσσῶν, ἃ πειράζουσι μὲν τὰς πτέρυγας, ἵπτασθαι δὲ οὐ δύνανται· οὕτω καὶ σὺ θέλεις μὲν ἀντειπεῖν καὶ πειράζεις, οὐδὲν δὲ ἀνύεις. Ἄλλως. ἀλλὰ φλυαρεῖς διὰ λόγων· τὸ γὰρ πτερὸν ἠχῶδες καὶ θορυβητικόν· ἢ κοῦφα λαλεῖς· ἢ ματαιοπονεῖς, ἀπὸ μεταφορᾶς τῶν ὀρνέων τῶν μὴ δυναμένων πέτεσθαι διὰ τὸ βραχὺ τῆς ἡλικίας. Ἄλλως. ἀντὶ τοῦ, πειράζεις πολλὰς ἀνηνύτους ὁρμὰς, καθάπερ καὶ οἱ νεοττοὶ πειράζοντες τὴν πτέρυγα, καὶ γυμνάζοντες ἄπρακτον ἔχουσι τὴν τῆς πτήσεως φοράν. [φλυαρεῖς: Πολυλογίζεις. Gl. Paris. πτερυγίζεις: Ματαιάζεις. Gl. Θ. Dorv. ἀδύνατα λέγεις. Gl. Paris. ἅπαντες: Ὅλοι. Gl. Paris.]

[576. βελτίους: Καλούς. σκέψασθαι: Μαθεῖν. Gl. Dorv.]

577. ἀπὸ τῶν παίδων: Δυσχερές ἐστι μαθεῖν τὸ δίκαιον, ὅπου γε

1. πρὸς τὸ Hemst. τὸ πρὸς τὸ Junt.

5. Περὶ τοῦ μὴ om. R.

7–15. Κοῦφα—φοράν] πειράζεις πολλὰς ἀνηνύτους—φοράν. ἄλλως. φλυαρεῖς διὰ—ἡλικίας. ἄλλως. πάντως οὐδὲν ἀνύεις. ἡ μεταφορὰ ἀπὸ τῶν ὀρνέων. οἷον, θέλεις τι ἀντειπεῖν, ἀνύεις δὲ οὐδέν. ἄλλως. κούφως λέγεις. ἀπὸ μεταφορᾶς τῶν νεοσσῶν, οἳ μάτην τὰς πτέρυγας κινοῦσιν· οὐ γὰρ ἵπτανται V.

7–10. Κοῦφα—διὰ λόγων om. R.

8. δύνανται] δύναται Θ.

9. ἀντειπεῖν V. εἰπεῖν Ald.

ib. ἀντειπεῖν] Pro εἰπεῖν ex Suida in Πτερυγίζειν reposui. Idem habet ἀπὸ τῶν νεοττῶν, οἳ πειράζουσι, quamvis ἀπὸ μεταφορᾶς τῶν νεοσσῶν pro eo, quod hic legitur τῶν ὀρνέων· illa variata scribendi forma diversos esse scholii auctores monet. Sine dubio mutilata, Ἀλλὰ φλυαρεῖς διὰ λόγων· hunc in modum explenda labes: Ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις] ἀντὶ τοῦ θορυβῇ διὰ λόγων· sic plane Suidas, nisi quod omittit διὰ λόγων, quod tamen ad hunc locum bene quadrat. HEMST.

10. καὶ] ἢ καὶ V.

11. ἀπὸ] παροιμία ἀπὸ V.

12. τῶν μὴ] τῶν om. V.

16. ματεάζεις Dorv. pro ματαιάζεις. ματάζειν, ματαιάζειν, et ματαΐζειν sunt usitata: duo priora verba sæpe descriptores permutant, ut in Sexto Emp. Ἀντιρρ. 9. §. 282. pro, ἔνθεν καὶ ματάζουσιν οἱ μαθηματικοὶ, MS. Ciz. ostendit, ὅθεν καὶ ματαιάζουσιν etc. quod apud eundem invenies 3. §. 107. Præcedente versu ad, Καὶ σύγ' ἐλέγξαι etc. notatur in Dorv. quasi sententiæ supplendæ gratia, ναὶ ζητῶ τοῦτο εἰκότως· dixerat enim Chremylus, Ὅτι γε ζητεῖς etc. HEMST.

19. ὅπου γε R.V. εἴγε Ald.

καὶ οἱ παῖδες διὰ τοῦτο μισοῦσι τοὺς πατέρας. [φρονοῦντας ἄριστα: Ποιοῦντας καλῶς. Gl. Dorv. ἄριστα: Ὠφέλιμα. Gl. Paris.]

[578. διαγινώσκειν: Διακρίνειν. Gl. Paris. σύναπτε τὸ δίκαιον ἐνταῦθα. Gl. Dorv. χαλεπὸν: Δυσχερές. Gl. Paris. δίκαιον: Τὸ νὰ εὕρῃ τις τὸ δίκαιον δύσκολόν ἐστι πρᾶγμα. Paris.]

579. τὸν Δία φήσεις: Τὸ μὲν φήσεις λέγεται πρὸς τὴν Πενίαν. τὸ δὲ, ταύτην δ' ἡμῖν ἀποπέμπει, πρὸς τὸν Βλεψίδημον. ἢ καὶ τὸ φήσεις πρὸς τὸν Βλεψίδημον, ἤγουν, εἴποις κατὰ τὸν αὐτῆς λόγον. [ὀρθῶς: Ἀπταίστως. κράτιστον: Λυσιτελές. Gl. Paris. Τινὲς μετὰ τοῦ ν τὸν κράτιστον. R.]

[580. κἀκεῖνος: Ὁ Ζεύς. Gl. Paris.]

581. ἀλλ' ὦ Κρονικαῖς γνώμαις: Ἤγουν, ἀρχαίαις μωρίαις ἐσκοτισμένοι τὸ φρονεῖν. παροιμία δέ ἐστιν ἐπὶ τῶν ἀμβλυωπούντων, ἥτις εἴρηται καὶ ἐν Νεφέλαις. ἀντὶ δὲ τοῦ γνώμαις γράφεται λήμαις. λήμη δέ ἐστι τὸ πεπηγὸς δάκρυον, ὅπερ ἐπικαθεζόμενον βλάπτει τοὺς ὀφθαλμούς. τοῦτο δὲ διὰ τὸ εἶναι αὐτοὺς γέροντάς φησι. τὸ γὰρ τῶν γερόντων δάκρυον παχὺ ὂν λήμας μεγάλας ποιεῖ. σημαίνει οὖν τὸ τετυφλωμένοι τὰς φρένας, ὥσπερ οἱ τὰς λήμας ἔχοντες τῶν ὀφθαλμῶν ἐμποδίζονται τὰς ὄψεις. [Κρονικαῖς: Παλαιαῖς καὶ μωραῖς. Gl. Θ. Dorv. παλαιαῖς καὶ μεγάλαις. Gl.

4. ἐνταῦθα] Jungenda monet διαγινώσκειν δίκαιον. Præfigitur autem γνῶ, quomodo sententiam vel dictum morale solent indicare. HEMST. ἐνταῦθα τὸ δίκαιον σύναπτε Θ.

6. Scholion v. 579. om. R.V.Θ.

12–19. Ἤγουν—ὄψεις] ἀρχαίαις καὶ μωραῖς ἐσκοτισμένοι διανοίαις καὶ ὥσπερ οἱ τὰς λήμας ἔχοντες τῶν ὀφθαλμιώντων. ἢ ἀντὶ τοῦ βεβλαμμέναις (βεβλαμμένους G.) λήμη γάρ ἐστι τὸ πεπηγὸς δάκρυον —ὀφθαλμούς. σημαίνει—ὄψεις. τοῦτο δὲ διὰ τὸ εἶναι αὐτοὺς γέροντάς φησι. τὸ τῶν γερόντων γὰρ δάκρυον παχὺ, ὅπερ καὶ λήμας μεγάλας ποιεῖ. παροιμία δέ ἐστιν—ἥτις καὶ ἐν νεφέλαις εἴρηται V, qui addit γρ. γνώμαις, quod om. G.

12–15. Ἤγουν — γράφεται λήμαις om. R.

12. Ἤγουν om. Θ. Habet Suidas s. κρονικαῖς et λήμη.

12, 13. Ἤγουν—τὸ φρονεῖν] Hæc qui scripsit non Κρονικαῖς λήμαις, sed Κρονικαῖς γνώμαις, quod ipsum in lemmate posuit Aldus, legisse, sequentia autem παροιμία δὲ—ad alteram spectare scripturam Κρονικαῖς λήμαις, animadvertit Hemst. et clarius apparet ex scholio codicis Veneti ἀρχαίαις καὶ μωραῖς διανοίαις.

14. ἐν Νεφέλαις] 326. ubi simile est proverbium εἰ μὴ λημᾶς κολοκύνταις.

15. δέ ἐστι] λέγεται R. Illud habet Suidas utroque loco.

16, 17. τοῦτο—φησι addidi ex V. Ad hæc enim refertur proximum γάρ.

17. τὸ γὰρ τῶν—ποιεῖ om. R. et Suidas.

19. ὀφθαλμῶν] ὀφθαλμιώντων V. et Suidas s. λήμη. ὀφθαλμῶν ἰόντων Θ.

ib. ἐμποδίζονται om. V. ἐμποδιζόντων R.

Paris. *λήμαις*: Τζίμβλαις. Gl. D. *λημῶντες*: Τυφλώττοντες. Gl. Dorv. *τυφλώττοντες ἢ τετυφλωμένοι ὄντες*. Θ. *τυφλώττοντες, βεβλαμμένοι*. Gl. Victor. *λημῶντε*: Οἱ τζυμβλώττοντες. Gl. Paris. *ἄμφω*: Ὁμοῦ οἱ δύο. Gl. Paris.]

[582. *πένεται*: Πένης ἐστί. *φανερῶς*: Καθαρῶς νουθετήσω. Gl. Paris.]

[584. *δι᾽ ἔτους πέμπτου*: Κατὰ γὰρ ε΄ χρόνους ἐγίνετο. Θ. *κατὰ πεντέχρονον ἐγένετο εἰς τὰ Ὀλύμπια συνάθροισις*. Dorv.]

[585. *ἀνεκήρυττεν*: Ἀνηγόρευεν. Gl. Θ. Dorv.]

586. *κοτίνου στεφάνῳ*: Κοτίνου στεφάνῳ στεφανώσας ἀνεκήρυττε τοὺς νικῶντας. Ἄλλως. *οὐ κοτίνῳ ἐστέφοντο, ἀλλὰ τῷ τῆς καλλιστεφάνου ἐλαίας κλάδῳ. οὐκ ἀκριβῶς οὖν· καλλιστέφανος γὰρ ἡ ἐλαία λέγεται. τούτῳ δὲ ἥρμοττεν ἐκφαυλίζοντι λέγειν κοτίνῳ. καὶ Ἀριστοτέλης δὲ οὕτω φησὶ κατὰ λέξιν περὶ αὐτῆς "ἐν τῷ Πανθείῳ "ἐστὶν ἐλαία, καλεῖται δὲ καλλιστέφανος· ταύτης δὲ ἔμπαλιν τὰ "φύλλα ταῖς λοιπαῖς ἐλαίαις πέφυκεν· ἔξω γάρ, ἀλλ᾽ οὐκ ἐντὸς*

10–12. *κοτίνου στεφάνω — κλάδῳ* om. R. Ab *στεφανώσας* incipit V. Ab *οὐ κοτίνῳ* incipit Paris. et Suidas s. *κοτίνου στεφάνῳ*.

11. *Ἄλλως* addidi ex V.

ib. *οὐ κοτίνῳ* V. Paris. et Suidas. *οὐ κοτίνῳ δὲ* Ald.

ib. *ἐστέφοντο*] *ἐτρέφοντο* V.

11, 12. *ἀλλὰ—κλάδῳ*] *ἀλλὰ τῇ* (*τῇ* om. Suidas) *καλλιστεφάνῳ* V. et Suidas.

12. *κλάδῳ*] *ἐστεφανοῦντο* add. Ald. quod om. V. Paris. et Suidas.

12, 13. *οὐκ ἀκριβῶς—λέγεται*] *οὐκ ἀκριβῶς δὲ ἡ ἐλαία πολυστέφανος λέγεται* V.

12. *οὖν* om. R.

13. Post *λέγεται* addebatur *ταύτης δὲ τὰ φύλλα ἔμπαλιν* (excidit *πέφυκε*) *ταῖς λοιπαῖς ἐλαίαις· ἔξω γάρ, ἀλλ᾽ οὐκ ἐντὸς ἔχει τὰ λευκά*, quæ e loco Aristotelis huc illata delevi. Paris. non his tantum verbis, sed etiam præcedentibus *οὐκ—ἀκριβῶς λέγεται* caret.

13. *τούτῳ*] *τοῦτο* R.

13, 14. *τούτῳ—ἐν τῷ*] *ἐκφαυλίζων δὲ κοτίνῳ λέγει. καὶ ἀριστοτέλης περὶ τῆς καλλιστεφάνου ἐλαίας ταῦτα φησὶν, ἐν δὲ τῷ* Paris.

13–16. *λέγειν — ἐλαίαις πέφυκεν* om. R.

13. *κοτίνῳ* V.Θ. Paris. *κοτίνου* Ald. Vera scriptura *κοτινῷ* est.

14. *Ἀριστοτέλης*] *Περὶ θαυμασ. ἀκουσμ.* c. 51.

ib. *Πανθείῳ*] *πανσταθίῳ* Paris. *πανστηθίῳ* Junt. De Pantheo, quod fuit Olympiæ, schol. Pindari Ol. 3, 60. *τὸ Πάνθειον* (*πάνθιον* codex), *ἐν ᾧ πεφύτευται ἡ ἐλαία, ἣν δρέπει ἀμφιθαλὴς παῖς χρυσῷ δρεπάνῳ, κλάδους ιζ΄ τέμνων, ὅσα καὶ τὰ ἀγωνίσματα*. et ad 8, 12. *πρὸς αὐτὸ τὸ τῆς Πίσης ἄλσος διαλέγεται, ἢ πρὸς τὸ Πάνθειον* (*πάνθιον* codex), *ὅπου αἱ ἐλαῖαι φύονται*.

15. *ταύτης*] *ταύτῃ* Paris. Apud Aristotelem, *ταύτης πάντα τὰ φύλλα ταῖς λοιπαῖς ἐλαίαις ἐναντία πέφυκεν*.

16–p. 194. l. 1. *ἔξω—λευκά* addidi ex V. et Suida.

“ἔχει τὰ λευκά. ἀφίησί τε τοὺς πτόρθους, ὥσπερ ἡ μύρτος, εἰς τοὺς στεφάνους συμμέτρους. ἀπὸ ταύτης λαβὼν καρπὸν Ἡρακλῆς ἐφύτευσεν Ὀλυμπίασιν, ἀφ' ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται. ἔστι δὲ αὕτη παρὰ τὸν Ἰλισσὸν ποταμὸν, σταδίους ξ' τοῦ ἱεροῦ ἀπέχουσα· περιῳκοδόμηται δὲ, καὶ ζημία μεγάλη τῷ θιγόντι αὐτῆς ἐστιν. ἀπὸ ταύτης ἔφερον λαβόντες Ἠλεῖοι τῶν ἀθλητῶν ἐν Ὀλυμπίᾳ τοὺς στεφάνους.” τῷ δὲ κωμικῷ, φασὶν, ἥρμοττεν ἐκφαυλίζοντι τὸ πρᾶγμα λέγειν, ὡς ἐκ κοτίνου ἐστεφανοῦντο, ὃ δηλοῖ τὴν ἀγριέλαιον, καὶ ἅμα διότι καὶ χρήσιμος αὐτῷ ἡ λέξις ἐν τοῖς ἑξῆς· καταρρητορεύσει γὰρ ὁ Χρεμύλος καὶ ἡττηθεὶς ἐρεῖ

ἀλλά σ' ὁ Ζεὺς ἐξολέσειε κοτίνου στεφάνῳ στεφανώσας·

1. λευκά] χλωρά apud Aristotelem.

1, 2. εἰς—συμμέτρους om. R.

2. συμμέτρους om. Paris. Apud Aristotelem συμμέτρως, libris quibusdam συμμέτρους præbentibus.

ib. καρπὸν addidi ex R.V.Θ. et Suida. φυτὸν λαβὼν ὁ Ἡρακλῆς Aristoteles.

3. δίδονται] πλέκονται Paris. qui addit ἔξω δὲ, οὐκ ἐντὸς τῶν φύλλων ἔχει τὸ λευκόν, ceteris omissis. ἐδίδοντο Suidas.

4. ἔστι] ἔστιν R.

ib. παρὰ R.V. περὶ G. Θ. Ald.

ib. Ἰλισσὸν] In scriptura vitiosa consentiunt libri Aristotelis et Suidas. Scribendum cum Hemst. Ἐλίσσονα vel potius Ἑλίσσονα, quem fluvium in Alpheum influere constat ex Pausania 2, 12, 2. ubi Ἑλισσῶν scribitur ὀξυτόνως. Ἑλίσσων ἢ Ἕλισσα vocatur ab Strabone 8. p. 338.

4, 5. σταδίους—ἀπέχουσα om. Suidas.

4. σταδίους] σταδίου R.V, non Θ.

ib. ξ'] ἑξήκοντα apud Aristotelem. In stadiorum numero finiendo multum abit schol. Theocriti 4, 7. Ἀγνοοῦσι δὲ, ὅτι οὗτος (ὁ Ὀλυμπιακὸς στέφανος) ἐκ τῆς καλλιστοῦς ἢ καλλιστεφάνου ἐλαίας γενόμενος δίδοται, ἥτις ἀπέχει σταδίων ὀκτὼ, ὥς φησιν Ἀριστοτέλης. Quin autem hic scholiastes ex Aristotele sit emendandus, ideo non dubitat Kusterus, quod ἑξήκοντα etiam legatur apud scholiastam Aristophanis. Mihi sententia longe alia sedet: ut enim Theocriti scholiastæ suum ὀκτὼ libenter relinquo, sic stadiorum numerum in nostro atque Aristotele magis etiam imminutum velim. Equidem valde mihi persuadeo, a philosopho venisse σταδίους ἕξ, cujus voculæ prima litera quum forte evanuisset, ξ pro numeri signo fuit acceptum, et peperit ἑξήκοντα. Jam si ex propinquo notoque loco determinanda sit oleastri Olympici sedes, utram stadiorum designationem commodius instituto respondere dicas, sex an sexaginta? eam rationem quivis facile, vel me tacente, collegerit. HEMST.

5. ἱεροῦ R.V.Θ. ποταμοῦ Ald. ut apud Aristotelem.

ib. θιγόντι] Scribebatur θίγοντι.

7–p. 196. l. 2. τῷ δὲ — φασκία] Scholion recentissimum, quo carent R.V.Θ.

10. καταρρητορεύσει] Gelenius correxit καταρρητορευθείς· haud scio an satis bene. Nihil est quidem in

τουτέστι, κότον σοὶ θέμενος περὶ τὴν κεφαλήν· παρήχηται γὰρ ὁ κότινος τῷ κότῳ, δι' οὗ δηλοῦται μεγάλη ὀργή. ἀπὸ δὲ τοῦ τοιούτου κοτίνου, τοῦ φυτοῦ δηλαδὴ, καὶ νῆσος Κοτινοῦσα τὰ Γάδειρα, διὰ τὸ τοιούτοις ἐνευθηνεῖσθαι φυτοῖς, ὡς καὶ ὁ Περιηγητὴς δηλοῖ. ὡς δὲ καὶ ἕτεροι τόποι ἀπὸ φυτῶν τὴν κλῆσιν ἔσχον τεθρύλληται καὶ αὐτό· Μυρρινοῦς γοῦν δῆμος ἐν Ἀττικῇ μυρρίνας ἔχων· ὅθεν αὐτὸς Μυρρινόεις, καὶ κατὰ συναίρεσιν Μυρρινοῦς· ὥσπερ ἕτερος Ῥαμνοῦς, ἀπὸ τῶν ἐκεῖ φυομένων ῥάμνων, ὧν οἱ δημόται Μυρρινούσιος καὶ Ῥαμνούσιος. καὶ ἡ Ἐρεικοῦσα λέγεται διὰ τὰς ἐν αὐτῇ ἐρείκας· καὶ ἡ Ποντικὴ δὲ Κερασοῦς ἀπὸ τῶν φυτῶν τῶν κεράσων κέκληται· καὶ Πιτυοῦσα ἡ Μίλητός ποτε διὰ τὸ πολλὰς ἔχειν πίτυας ἐκλήθη. οὕτω καί τις Πιτυούσιος ἀπὸ τόπου ἑτέρου πολλὰς ἔχοντος πίτυας, ἐξ ὧν ἐκεῖνος καὶ παρωνόμασται· τὸ δ' αὐτὸ καὶ ἄλλοι τόποι πεπόνθασι. ἰστέον δὲ ὡς, εἰ καὶ κρατεῖ παρὰ τοῖς ἀπειροτέροις κότινον στέφανον εἶναι, ἀλλ' αὐτὸς μὲν φυτοῦ, ὡς ἐρρέθη, κλῆσίς ἐστιν. ὁ δὲ κωμικὸς ἐδήλωσεν ἐντελὲς καὶ σαφὲς εἶναι τὸ μὴ κότινον τὸν τοιοῦτον λέγεσθαι στέφανον, ἀλλ' ἐκ κοτίνου στέφανον. οὕτω δὲ καὶ ταινία οὐχ ἁπλῶς οὕτως στέφανος, ἀλλ' ἡ ἐκ ταινίας περιείλησις ἐν

sensu, quod merito reprehendas, *Chremylus enim argumentis Peniæ callidis atque oratoriis prostratus et victus dicet:* nam illa potestas residet in verbo καταρρητορεύεσθαι, quod paulo diversa ratione posuit Lucian. de Gymn. p. 401. B. uti monitum a Budæo C. L. G. p. 1079. Sed nec alterum illud καταρρητορεύσει tam est alienum, ut commodam explicationem non admittat: quid enim in tali sententia desideres? *nam figuram istam Chremylus oratoriam adversus Paupertatem intorquebit, et superatus dicet:* sic autem intellige, τῆς Πενίας· sin quartum casum addideris, καταρρητορεύσει τὴν Πενίαν, capiendum erit hoc pacto: artibus et more oratorum Peniam depellet ac rejiciet. HEMST.

4. ὁ Περιηγητὴς] Dionys. v. 456.

12. οὕτω καί τις Π.] Eustath. ad Dionys. Perieg. v. 463. ubi ducta locorum a plantis arboribusve nomina recenset, dum fere nostrum enarratorem exscribit, hæc tamen, in quibus aliquid hærere vitii manifestum est, omisit. Auguror intercidisse vocem οἶνος· οὕτω καί τις οἶνος Πιτυούσιος· Πιτυοῦντα vero intelligo τῆς Παριανῆς, cujus apud Strabonem mentio 13. p. 880. C. in quo tractu, qui vitium satis ferax, urbs quoque Πιτύεια. Quin et Lampsacus in propinquo sita olim appellationem habuit Πιτυοῦσσαν· neque ignotum est vinum Lampsacenum; illudque oppidum Themistocli tributum εἰς οἶνον. Multo plures autem et regiones et urbes ex copia pinuum idem induisse nomen constat. HEMST. Non Eustathius scholiastam, sed scholiasta Eustathium exscribit.

τῇ κεφαλῇ· ταινία δὲ, στενόν τι καὶ ἐπίμηκες ὕφασμα, κοινότερον δὲ εἰπεῖν, φασκία.

[κοτίνῳ: Ἐλαΐνῳ. Gl. Θ. Dorv. E. κοτίνου στεφάνῳ: Ἐν τῷ μὴ χρυσῷ, ἀλλ' ἐξ ἐλαίας στεφανοῦν. Θ. ἐξ ἀγρίας ἐλαίας ἤγ. ἀπὸ κοτίνου πεποιημένου.—διὰ χρυσοῦ στεφανοῦν δηλ. Gl. Paris. ἐχρῆν: Ἔπρεπεν. Gl. Dorv.]

[587. οὐκοῦν: Τὸ λοιπόν. τούτῳ: Τῷ τρόπῳ. Gl. Dorv. οὐκοῦν τούτῳ: Διὰ τὸ κοτίνῳ στεφάνῳ στεφανοῦν τοὺς ἀθλητάς. ἐκεῖνος: Ὁ Ζεύς. Gl. Paris.]

[588. φειδόμενος: Ἀκριβολογούμενος. μηδὲν: Μέρος ἀναλῶσθαι. Gl. Paris. δαπανᾶσθαι: Ἀναλίσκεσθαι. Gl. Dorv.]

589. λήροις ἀναδῶν: Εὐτελίζει τὸν Ὀλυμπιακὸν στέφανον, ὡς μὴ σπουδαῖον, λῆρον δέ πως ὄντα, καὶ οἷον ἐκφλαυρίζεσθαι. καθά τις ἔφη τῶν παλαιῶν, τουτέστι περιφρονεῖσθαι. εἰσὶ δὲ οἱ καὶ παίζειν φασὶ τὸν κωμικὸν πρὸς ὁμοιότητα ἦχου τοῦ κατά τε τὸν λῆρον, τὸν διὰ τοῦ η γραφόμενον, καὶ τοῦ παρὰ τὸ λείριον, ὃ γράφεται μὲν διὰ διφθόγγου κατὰ τὴν ἄρχουσαν, σημαίνει δέ τι ἄνθος, ἀφ' οὗ καὶ "φωνὴ λειριόεσσα," ἡ ἀνθηρά· καὶ κύριον Ποδαλείριος, οἱονεὶ ἀνθηρόπους, ἢ διατρίβων ἰατρικῶς περὶ τὰ λείρια· περὶ οὗ καὶ ἐν τῇ Ἰλιάδι· ἵνα ἐν τῷ λέγειν, λήροις ἀναδῶν τοὺς νικῶντας, δοκῇ διχῶς νοεῖν, ἢ ὅτι ἀνθηρῷ στεφάνῳ στεφανοῖ, ὡς οἷον λειριόεντι· ἢ ὅτι λήρῳ τῷ κατὰ φλυαρίαν. τοιοῦτόν τι παίζει καὶ περὶ κειρύλου ἐν Ὄρνισι, ἔνθα καὶ διὰ τοῦ η νοεῖται ἡ λέξις, ὡς ἐπὶ ὄρνιθος οὕτω λεγομένου· καὶ διὰ διφθόγγου δὲ διά τινα κουρέα, ὡς ἀπὸ τοῦ κείρω. τὸ δὲ ἀναδεῖν ταὐτόν ἐστιν ἐνταῦθα τῷ στεφανοῦν, ἐξ οὗ καὶ ἀνάδετος γυναικεῖος κόσμος, ὃς καὶ ἀναδέσμη λέγεται· ἔχει δὲ ἀπεναντίον πρὸς τὸ ἀναδεῖν τὸ ὑποδεῖν, ἐξ οὗ καὶ τὸ ὑπόδημα· τὸ μέν τοι

2. φασκία] Ducangium non fugit scholiastæ locus. Tæniam vero itidem ut hic vetus enarrator exponit ad Βατρ. v. 396. ῥάμμα τοῦ στεφάνου. HEMST.

10. Ἀκριβολογούμενος] Sic glossatores φείδεσθαι passim interpretantur. V. ad v. 246. et 553. SCHÆFER.

12–p. 197. l. 1. Εὐτελίζει—σώματος] Hoc quoque scholion, quo carent R.V.Θ, recentissimi est grammatici, fortasse ipsius Musuri, ut alia hujusmodi. Sumptum autem maximam partem est ex Eustathio ad Homer. p. 125.

13. ἐκφλαυρίζεσθαι Kusterus. ἐκφλυαρίζεσθαι Ald.

18. φωνὴ λειριόεσσα] Hom. Il. Γ, 152.

23. Ὄρνισι] 300.

διάδημα ἐπὶ κόσμου βασιλικοῦ τοῦ περιδουμένου δι' ὅλου σώματος. [λήροις: Ἀναδέων εὐτελέσι στεφάνοις. R.V. φαύλοις πράγμασι στεφανῶν· ἀφ' οὗ ἀνάδημα ὁ στέφανος. Θ. παιγνίοις. Gl. D. λείροις: Ἄνθεσιν. Gl. C. λήροις ἀναδῶν: Φλυαρίαις στεφανῶν. ἐᾷ: Ἀφίησι. παρ' αὐτῷ: Κεῖσθαι. Gl. Paris.]

590. [τὸ γὰρ ἀπατᾶν τοῦ πένεσθαι χεῖρον, ἐπειδὴ τρόπου κακία ἐστίν. R.V. τοῦτο δεικτικῶς. V.] ζητεῖς αὐτῷ περιάψαι: Ἴσον ἐστὶ τῷ προσάψαι· λέγεται δὲ τὸ αὐτὸ καὶ ἀνάψαι, ὡς παρ' Ὁμήρῳ ἐν τῷ "ἐθέλεις δέ κε μῶμον ἀνάψαι." ἔστι δέ τι καὶ ἄλλο σημαινόμενον τοῦ περιάπτω, ἐξ οὗ τὰ γοητευτικὰ περίαπτα· δηλοῖ δὲ ἀπαιώρησίν τινα ἡ λέξις, ὅθεν καὶ τὰ ῥηθέντα περίαπτα, ὧν ἀπαιωρουμένων τοῦ σώματος δοκοῦσιν οἱ φαῦλοι εὖ ἔχειν τοῦ ζῆν δι' αὐτὰ, ὡς εἶναι μᾶλλον αὐτοὺς ἀπαιωρουμένους τῶν τοιούτων, οἷς ἐλπίζουσιν ἐπ' αὐτά. ὁ δὲ ἀνελεύθερος κακίᾳ παρωνό-

1. δι' ὅλου σώματος] Illud, opinor, voluit scholiastes, fasciam candidam non capiti tantum circumvolutam, sed quacumque corporis parte adstringatur, dici diadema: quomodo Pompeio tali fascia crus adligatum habenti Favonius, *Non refert*, inquiens, *qua in parte corporis sit diadema*, regias vires exprobravit, teste Valer. Maxim. 6, 2, 7. Ἀναδέσμη apud Suidam: Damasc. in Phot. Biblioth. p. 561, 35. ἀναδεδεμένη τὴν κεφαλὴν ἀναδέσμῃ· γυναικεῖος τῆς κεφαλῆς ἀνάδεσμος apud Etymol. qui sic μίτραν interpretatur. HEMST.

7—p. 200. l. 4. Ἴσον—γέλωτι] Hoc quoque scholio novitio carent R. V.Θ.

9. Ὁμήρῳ] Od. B, 86.

14. οἷς ἐλπίζουσιν ἐπ' αὐτά] Hæc Christiani hominis ingenium ac stylum redolent, quæ alibi quoque, tametsi locus non succurrat, me legisse memini. Posteriora claudicant: vitium sustuleris, si scribas, οἷς ἐπελπίζουσι, vel, ὅτι, sive ὅσον ἐλπίζουσιν ἐπ' αὐτά. Sensus est, περίαπτα *dici, quod iis appensis mali sibi persuadeant, se melius habituros; sic ut ipsi potius dicendi sint ex illis pendere, in quibus spem prosperæ valetudinis aut fortunæ collocent:* sive, *quia spem salutis in iis habeant repositam.* De περιάπτοις autem, quorum virtutis opinio Christianæ quoque plebis animis alte inhæserat, quid censuerint Patres, exponunt Is. Casaub. ad Spartian. Caracall. p. 131. Lindenbr. ad Amm. Marcell. 19. p. 251. et, qui horum opera gnaviter usus fuit, Ia. Gothofred. ad L. 3. C. Th. de Mal. et Mathem. In Constit. Apost. 8, 32. cautum est, qua conditione περιάμματα ποιῶν, ejusque farinæ alii ad baptismum admitti debeant. Περιάμματα vero sunt, ut in Lexico veteri MS. explicantur, τὰ κατὰ τοὺς τραχήλους, καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας βεβαμμένα κλωεμάτια, ἅτινα αἱ γυναῖκες περιάπτουσι. Pro grammatici verbis in medium adductis gratiam referemus Car. Du Fresnio, cui vitium unius literæ non animadversum persuasit, ut Glossario suo Κλωεμάτιον insereret, vocem, ut ait, formatam a κλοιὸς, *torques*, quæque significet *quicquid collo, manibus et*

μασται τῇ ἀνελευθεριότητι. ἔστι δὲ κατ' ἀρετὴν μὲν ἄνθρωπος ὁ ἐλεύθερος, ὃς ἀντιθέτως τῷ φειδωλῷ δαπανᾷ δεόντως· ἀνελεύθερος δὲ ὁ μὴ τοιοῦτος, ἀλλὰ κατὰ τοὺς κίμβικας καὶ σκιφοὺς διακείμενος·

alibi appenditur ornatus gratia. Atqui vocem illam nihil moror, quin eo abeat, unde malum pedem huc intulit: quippe legendum est sine dubio, κλωσμάτια, *fila*, quæ variis coloribus infecta collo corporisve partibus aliis adligari solebant. Eadem apud medicos etiam dicuntur περιαρτήματα, et ἐξαρτήματα Tatiano. HEMST.

1. ὁ ἐλεύθερος] Mallem scholiastes scripsisset, quod si quis ipsum scripsisse velit, facile patiar, ὁ ἐλευθέριος· apud Græcos enim ut significandi proprietate separantur καθαρὸς et καθάριος, ita non minus ἐλεύθερος et ἐλευθέριος. Inde manant ἐλευθεριότης, et contrarium vitium ἀνελευθερία, vel, quod rarius, ἀνελευθεριότης· de quibus accurate tradidit Aristot. Ἠθ. Νικ. 4, 1. Ἠθ. Μεγ. I. c. 24. 25. et in libello περὶ Ἀρ. καὶ Κακ. Apud Poll. 3, 114, ἐλεύθερος extare novi de homine liberali: sed bene Jungermannus ἐλευθέριος· quod eo minorem habet dubitationem, quia §. 118. ipsi codices ἐλεύθερος expellunt. HEMST.

3. σκιφοὺς] σκνιφοὺς ed. Basil. quod emendatius, præsertim si vocis originem adtendas, quam σκιφοὺς legi, nullus abnuo. Verum tamen ideo penitus inprobandam esse non concesserim scripturam veterem, quam genuit forsitan, atque in usum vulgi produxit expeditior pronunciandi cursus. Hesychius certe non tantum Σκνιπὸν, μικρολόγον adnotavit, sed etiam Σκιπὸς, σκνιφὸς ὁ μικρολόγος· quanquam alibi sæpius ipse σκνιφὸς et σκνιφῶς usurpet in Γλίσχρος, Ὀλιγώρως, Φειδωλός. Suidæ quidem testimonium ita disertum, ut dubitandi locus non sit: Σκιφὸς, ὁ παρ' ἡμῖν λεγόμενος σκνιπός. Quare Casaubonus etiam ad Theophr. Char. c. 10. recensens nomina, quibus Græci, præcipue comici, parcos homines ac sordidos insigniunt, eum in numerum adjecit σκιφὸς et κνιπός. Neque aliunde, me judice, sunt explanandi, quos Crantor vocabat, σκίφης μεστοὶ στίχοι apud Diogen. 4, 27. quorum mentem solus percepisse mihi videtur Kühnius. Indidem oritur σκιφία vel σκιφεία, quod in Hesychii loco leviter adfecto restituendum arbitror: Κιμβία, σκυφία, μικρολογία· quamvis enim aliquis suspicari possit, confudisse Lexicographum, ut creberrime solet, τὰ κυμβία, quibus interpretatio σκυφία non inepte conveniat, et τὴν κιμβίαν vel κιμβείαν, malo tamen unius literæ prona mutatione hujus erroris eum absolvi. Experiamur, an Suidam eadem opera juvare liceat: nam quæ feruntur et mire corrupta, et ab inperito homine, ni fallor, interpolata, Κίμβεια, σφηκία, ἢ μελίσσια, ἢ μικρολογία, quanto formam ornatiorem accipient, si tali modo constituas: Κιμβεία, vel Κιμβικεία, σκιφία, ἢ μικρολογία, ἢ διαστροφή· ὅθεν καὶ κίμβιξ ὁ λίαν μικρολόγος περὶ χρήματα. Κιμβεία scripseris an κιμβικεία, nihil admodum refert: illud a κιμβὸς, κιμβεύειν, hoc a κίμβιξ, κίμβικος descendit: in Aristotele quidem περὶ Ἀρ. καὶ Κακ. p. 226. quam bis edd. κιμβείαν ostentant, Stobæus invenit κιμβικίαν p. 134. Unde vero σφηκία processerint, et male sedulæ manus adsumentum ἢ μέλισσια, non erit operosum expedire, dummodo supponas σκιφία primum abiisse in σκηφία, deinde literis, ut labes labem trahit, per-

versis in σφηκία. Aberraturum puto, si quis, ut huic loco remedium quærat, aliam viam ingressus ad κύβεθρα vel κύμβεθρα confugerit. Nullum autem inter σκηφίαν et σκηπίαν est discrimen: insignia Theophanis ad eam rem sunt verba Chronogr. p. 248. B. ἐγένετο δὲ ἐν τῷ χρόνῳ τούτῳ θανατικὸν, καὶ κνιπία παντὸς εἴδους· quorum propterea mentionem eo libentius feci, tum quod codd. ibi scribendi in isto nomine varietatem clare designent; nam velut a κνιπὸς, quod Etymologus habet v. Φειδωλὸς, in editionem defluxit ex Regiis membranis κνιπία, sic a σκνιπὸς vel σκνηπὸς Barberinus liber σκνηπία, Peirescianus a σκηπὸς σκηπία præferunt: tum quia viris eruditis, licet significationem ab Historia Miscella didicissent XVII. p. 529. *inopia omnis speciei*, nativa tamen vocis potestas atque incunabula minime fuerunt perspecta. De Iac. Goaro, cui perpauxillum est, quod debemus, taceo: Ducangius in Glossario accentus vitio deceptus, quum Κνίπια reperisset, formam vocis inusitatam atque abhorrentem κνίπιον effinxit. Illud præterea notatu non indignum, κνιπίαν a Theophane, quemadmodum ab inferioribus Latinis *parsimoniam*, aliter atque usu vulgari solet pro caritate rerum necessariarum ac penuria poni, quando nimirum annonariæ species, ut ICti loquuntur, non nisi parce stricteque præberi compararive possunt. Ut autem κιμβείαν et σκνιφίαν aut σκιφίαν jam ante copulata vidimus, sic κίμβικας et σκνιφοὺς, tanquam proximi plane generis, non solus enarrator noster adjunxit, sed et Aspasius ad Aristot. Eth. Nic. 4. f. 51. a. κίμβικες (λέγονται) καὶ κυμινοπρίσται καὶ γνίφωνες καὶ σκνιποὶ οἱ μικρὰ προϊέμενοι καὶ διδόντες. Forte mirabitur aliquis, ubi γνίφωνας hic memoratos et σκνιποὺς vel σκνιφοὺς ab una origine dixero pendere; quo tamen, si quid est in notationibus verborum exquirendis firmum, nihil esse verius existimo. Priores binæ voces in Plutarcho, nisi alteram menda deformasset, reperiri poterant: nam quod Sympos. 2. p. 632. C. legitur, ἢ τὸν εὐδάπανον, καὶ μεγαλοπρεπῆ, καὶ χαριστικὸν κίμβικα καὶ κύμινον προσαγορεύων, mutandum est in κυμινοπρίστην· cujus adpellationis, ne de usu frequentissimo dicam, ratio sponte patet; quum e contrario nulla detur, quæ talem significandi vim κυμίνῳ per se soli vindicet: aliud est, quod conflatis in unam vocibus prodiit κυμινοκίμβιξ observatus ab Eustathio ad Od. P. p. 1828. Hoc quandoquidem ab Erasmo non fuerat animadversum, fieri vix potuit, quin vir magnus laberetur in *Cumini sector*. Apud Demetrium περὶ ἑρμ. §. 157. in Sophrone pro κύμινον ἔσπειρε corrigendum esse κύμινον ἔπρισε, quantumvis verosimillimum videatur, minore fiducia et segnius adfirmem, probe memor, quem lectioni receptæ colorem conciliarit Hadr. Junius in Adag. *Cuminum serere*. Quis vero credat Simonidem illum, magni spiritus fœcundissimæque venæ poetam, iis fuisse moribus, in quos convicium κίμβικος quadraret? hujus tamen tituli summo vati notam inpressit Xenophanes Colophonius, teste scholiaste Aristoph. Pac. 696. idque opprobrium, ne vanum fuisse putes, repetere non dubitavit, sordidæque vitæ documentis conprobare Chamæleon ἐν τῷ περὶ Σιμωνίδου, ut colligi potest ex Athen. 14. p. 656. D. Ὄντως δὲ ἦν ὡς ἀληθῶς κίμβιξ ὁ Σιμωνίδης καὶ αἰσχροκερδὴς, ὡς Χαμαιλέων φησί. HEMST. Vid. Gaisford. ad schol. Theocriti p. 188.

ὁ δὲ φιλοκερδὴς εἰς ταὐτὸν ἥκει τῷ ἀνελευθέρῳ· εἰκὸς γὰρ τὸν φιλοκερδῆ καὶ σμικρολόγον εἶναι, εἴτ' οὖν ἀνελεύθερον. τὸ δὲ κοτίνου στεφάνῳ στεφανώσας, παιγνιωδῶς διττολογεῖται· κεῖται γὰρ καὶ ἀνωτέρω. ἔθος δὲ τῷ κωμικῷ πολλαχοῦ διττολογεῖν ἐπὶ γέλωτι. [αἴσχιον: Αἰσχρότερον, ἀτιμότερον. Θ. περιάψαι: Περιθεῖναι. Gl. Θ. Dorv. Paris.]

[591. ἀνελεύθερος: Φειδωλος. οὑτωσὶ: Καθὼς αὐτὸς λέγεις. Gl. Θ. Dorv. Paris.]

[592. ἀλλὰ σέ γ' ὁ Ζεὺς: Τοῦτο εἴρηκεν ὁ Χρεμύλος ἐπιστομηθεὶς παρὰ τῆς Πενίας, καὶ μὴ δυνάμενος ἀντιλέγειν εἰς κατάραν τὸν λόγον ἔτρεψε. Junt. τοῦτο παίζων ὁ Χρεμύλος λέγει. Gl. Dorv. ἀλλά σε ὁ Ζεὺς: Εἴθε. ἐξολέσειεν: Παντελῆ φθορᾷ δοίη. Gl. Paris.]

593. τὸ γὰρ ἀντιλέγειν: Ὅτι σχῆμα κεῖται καινὸν ἐλλειπτικὸν ἐνταῦθα τόδε· τὸ γὰρ λέγειν τολμᾶν ὑμᾶς, ὡς οὐ πάντ' ἐστὶ τἀγάθ' ὑμῖν διὰ τὴν πενίαν· λείπει γὰρ φανερῶς ἐνταῦθα ἔννοιά τις ἀκεραία τοιαύτη, τίς ἂν ἀκούων ἀνάσχοιτο, ἢ, πῶς οὐκ ἂν εἴη φορτικὸν, ἢ, πῶς οὐκ ἀντιλέγοιτο, ἢ τοιοῦτόν τι· ἵνα λέγῃ ἡ Πενία ὅτι, τὸ γὰρ τολμᾶν ὑμᾶς λέγειν, ὡς οὐ δι' ἐμὲ ὑμῖν τὰ ἀγαθὰ, πῶς ἂν εἴη φορητὸν ἀκούεσθαι; καὶ σημείωσαι τὸ τοιοῦτον εἶδος τῆς ἐλλείψεως ἐνδεικτικὸν ὂν θυμικοῦ ἤθους, καὶ ἐγκοπτομένης τῆς τελείας φράσεως διὰ τὸ πολὺ τῆς ὀργῆς. [Ἄλλως. αὕτη ἡ κατασκευὴ πρὸς τὸν τοῦ Χρεμύλου λόγον ἐστὶν, ὥσπερ τῆς Πενίας αὐτῷ λεγούσης ὅτι οὐ δεῖ δυσχεραίνειν πρὸς τοὺς ἐμοὺς λόγους· δεινὸν γὰρ τὸ τολμᾶν

9. ἐπιστομηθεὶς] Kusterus ad oram sui libri: *Rectius* ἐπιστομισθείς· itaque restituit contra priores edd. nec dissentio; quamquam memini formam utramque multis in verbis promiscue sæpius usurpari, λοιδορεῖν, λοιδορίζειν· ἀπολογεῖσθαι, ἀπολογίζεσθαι· sed ἐπιστομίζειν perpetuæ consuetudinis auctoritatem habet: vid. Aristoph. Equ. v. 841. et Suicer. Thes. HEMST. Hæc tantum habet Θ, τοῦτο παίζων φησὶ Χρεμύλος, ἐπιστομηθεὶς παρ' αὐτῆς.

14–22. Ὅτι—ὀργῆς] Scholion recens, quod om. R.V.Θ.

21. καὶ] Aptius conveniat ὡς, quæ particulæ non raro in veteribus membranis permutantur. HEMST.

22. αὕτη ἡ κ. etc.] Hæc ed. Junt. non magni pretii mantissa marginem etiam occupat Dorv. sed aliquanto depravatior, et in ista verba desinens: ἡ γὰρ ἀντιλογία ἡμῶν εἰς τούτους· καὶ τοὺς ἀσεβεῖς ὤθησε λόγους. HEMST.

ὑμᾶς ἀντιλέγειν ἐμοὶ, ὡς οὐ πάντ' ἐστὶ τἀγαθὰ ὑμῖν διὰ τὴν πενίαν· ἡ γὰρ ἀντιλογία ὑμῶν εἰς τούτους ὑμᾶς τοὺς ἀσεβεῖς λόγους καὶ ἄκοντας ὤθησεν· ἀσεβὲς γάρ ἐστι τὸ λέγειν τὸν Δία φειδωλὸν, καὶ τὰ τούτῳ ἑπόμενα. Junt. Dorv. ἀντιλέγειν: Ἐμοί. ὡς: Ὅτι. ὑμῖν: Ἐν. Gl. Paris. οὐ μωρόν; Gl. Θ.]

594. παρὰ τῆς Ἑκάτης ἔξεστι: Τὴν Ἑκάτην ἐν ταῖς τριόδοις ἐτίμων τὸ παλαιὸν, διὰ τὸ τὴν αὐτὴν Σελήνην καὶ Ἄρτεμιν καὶ Ἑκάτην καλεῖσθαι. κατὰ δὲ νουμηνίαν οἱ πλούσιοι ἔπεμπον δεῖπνον ἑσπέρας, ὥσπερ θυσίαν τῇ Ἑκάτῃ ἐν ταῖς τριόδοις· οἱ δὲ πένητες ἤρχοντο πεινῶντες, καὶ ἤσθιον αὐτὰ καὶ ἔλεγον ὅτι ἡ Ἑκάτη ἔφαγεν αὐτά. λέγει οὖν, παρὰ τῆς Ἑκάτης μάθωμεν τῆς ἐπισταμένης τί καλὸν, πενία ἢ πλοῦτος· αὕτη γὰρ ἐπίσταται τίνες παρέχουσιν αὐτῇ δεῖπνα καὶ τίνες ἐσθίουσιν αὐτά. Ἄλλως. ἔθος ἦν ἄρτους καὶ ἄλλα τινα κατὰ μῆνα τιθέναι τῇ Ἑκάτῃ τοὺς πλουσίους, λαμβάνειν δ' ἐξ αὐτῶν τοὺς πένητας· ἀπὸ τῶν ἱερῶν γὰρ οἱ πτωχοὶ ζῶσιν. [διὰ τὴν πενίαν: Οὐ μωρόν ἐστι; Gl. Dorv. οὐ κακόν ἐστι δηλ. Gl. Paris. Ἑκάτης: Τῇ Ἑκάτῃ θύουσι τῇ τριακάδι. R. σελίνης. Gl. Dorv. ἔξεστιν: Δυνατὸν ὑπάρχει μαθεῖν. Gl. Paris. πυθέσθαι: Μαθεῖν. Gl. Dorv.]

[595. βέλτιον: Λυσιτελές. Gl. Paris. ἢ εἰς τούτους σε τοὺς ἀσεβεῖς ὤθησε λόγους λέγειν τὸν Δία φειδωλὸν καὶ τὰ ἑπόμενα τῇ φειδωλίᾳ. Θ.]

[596. δεῖπνον: Ἐξ ὠῶν καὶ τυροῦ τετηγανισμένου. Gl. Θ. Dorv. κατὰ μῆνα προπέμπειν: Εἰς τὴν γέννησιν, προπ. εἰς τὰς τριόδους. Gl. Paris. ἤγουν φανείσης τῆς σελήνης. Θ.]

6–15. Τὴν Ἑκάτην — ζῶσιν] ἔθος ἦν τῇ ἑκάτῃ τὴν τριακάδα ἐν ταῖς τριόδοις τιμᾶν, διὰ τὸ αὐτὴν καὶ σελήνην καὶ ἄρτεμιν καλεῖσθαι. ἐτίμων δὲ αὐτὴν οἱ πλούσιοι ἄρτους καὶ ἄλλα τινὰ τιθέντες ὥσπερ θυσίαν. ἐλέγετο καὶ ὅτι οἱ πένητες ἀπ' αὐτῶν λαμβάνοντες ἤσθιον καὶ ἔλεγον ὅτι ἡ ἑκάτη αὐτὰ ἔφαγε, λέγει οὖν,—ἐσθίουσιν αὐτά V.

6–13 Τὴν—Ἄλλως om. R.

7. ἄρτεμιν V. ἀρτέμιδα Ald.

8, 9 ἔπεμπον — τριόδοις] δεῖπνον ἑσπέρας ὡς θυσίαν τῇ ἑκάτῃ προσάγοντες ἐπὶ ταῖς τριόδοις ἐτίθουν Junt.

9. ὥσπερ V.Θ. ὡς Ald.

11. μάθωμεν] ἐμάθομεν V.

ib. τῆς ἐπισταμένης om. V.

12. καλὸν] Fort. κάλλιον.

ib. αὕτη] αὐτὴ V.

13. καὶ τίνες ἐσθίουσιν αὐτὰ addidi ex V.

13–15. ἔθος — πένητας] Suidas s. Ἑκάτην.

20. ἢ εἰς—] Hoc scholion ad αὕτη spectat.

23. τετηγανισμένου] τηγανισμένου Dorv.

[597. τοὺς δὲ πένητας: Ἐκ τῶν ἱερῶν οἱ πτωχοὶ ἔζων. Gl. Θ. Dorv. ἁρπάζειν: Ἑτοίμως λαμβάνειν. Gl. Paris. πρὶν: Προτοῦ. Gl. Dorv. καταθεῖναι: Κάτω θεῖναι. Gl. Paris.]

communis Græcorum dialectus celebrat, Attica respuit: locum utrique dedit in Glossario Ducangius ex gl. mss. ad Plutum hæc promens: Ἐμὲ γάρ τις οὐ προσεῖπε] οὐ χαίροις εἶπε, ἐχαιρέτισε· sic enim, quæ ad v. 786. pertinent, fuerant repræsentanda: Dorv. ibi nihil habet præter verbum ultimum τῷ προσεῖπεν adjectum. Diogen. 3, 98. ex Platonis sententia φιλανθρωπίας enumerat εἴδη τρία· ἓν μὲν διὰ τῆς προσηγορίας γινόμενον, οἷον ἐν οἷς τινὲς τὸν ἐντυχόντα πάντα προσαγορεύουσι, καὶ τὴν δεξιὰν ἐμβάλλοντες χαιρετίζουσι· quæ eandem, quam scholiastes adhibuit, loquendi formulam continent. Ad Æschyli Pers. 153. enarrator vetus: προσηγόροις λόγοις αὐτὴν προσφωνεῖν, ἤτοι χαιρετίσαι αὐτήν· et, ὁ χορὸς χαιρετίζων αὐτήν φησιν, ὦ χαῖρε βασίλισσα etc. Hinc χαιρετισμοὶ *salutandi officia, salutationes*, apud Polyb. in Exc. p. 161. [32, 15, 8. ed. Schweigh.] οἱ λοιποὶ τῶν νέων περὶ τὰς κρίσεις καὶ τοὺς χαιρετισμοὺς ἐσπούδαζον. HEMST.

1. Ἀντὶ τοῦ R. ἤγουν Ald. Scholion hoc om. V, locum tamen Homeri addens scholio v. 743.

2. Ὅμηρος] Il. K, 542.

4. ἐνέβαλλον] ἐνέβαλον Θ.

Paris. ἀτάκτοις. Gl. Dorv. τὸ δὲ προβήμασιν ἀντὶ τοῦ πηδήμασιν. R.V. προβήμασιν: Προπομπαῖς. Gl. Θ. Dorv. πηδήμασιν. Gl. Paris.]

[762. οὐδεὶς: Τῶν ἐν τῇ οἰκίᾳ ὄντων. Gl. Paris. εἰσιοῦσιν: Εἰσελθοῦσιν. ἀγγελεῖ: Λέξει. Gl. Dorv.]

[763. ἄλφιτ': Ἤγουν ἄρτοι. Gl. Dorv. ἄλευρα. Gl. Paris. ἐν τῷ θυλάκῳ: Νῦν τῇ ἀρτοθήκῃ. R. τῇ ἀρτοθήκῃ σκυτίνῃ. Θ. ἐν τῇ ἀρτοθήκῃ. Gl. Dorv. Paris.]

[764. νὴ τὴν Ἑκάτην: Καθὰ γυνὴ τὴν Ἑκάτην ὀμνύει. Gl. Θ. Paris. ἀναδῆσαι β.: Στεφανῶσαι θέλω. Gl. Dorv.]

765. ἐν κριβανωτῶν ὁρμαθῷ: Ἐπειδὴ ἐκεῖνος εἶπεν ὅτι οὐκέτι ἔσται ἐν σπάνει ἄρτων, ἀλλ' ἐν εὐπορίᾳ, διὰ τοῦτο αὐτὸν ἄρτοις ἀναδῆσαι βούλεται καὶ στεφανῶσαι. κριβανωτῶν δὲ ὁρμαθῷ, ἀντὶ τοῦ ἄρτων δέσμῃ ἐν κριβάνῳ ὠπτημένων, δέον εἰπεῖν στεφάνῳ. κρίβανος δὲ παρὰ τὸ κρῖ, καὶ τὸ βαῦνος, ὁ κριθῶν δεκτικός. παίζει δὲ διὰ τὸ ἀδηφάγον αὐτοῦ. γράφεται δὲ καὶ, ἐκ κριβανωτῶν ὁρμαθῷ. [εὐαγγέλια: Συχαρίκια. Gl. Dorv. χάριν. Gl. Paris. κριβανωτῶν: Ἤγουν ἐκ κριθίνων μαζῶν· διαβάλλει δὲ αὐτὸν ὡς λαίμαργον. Gl. Θ. Dorv. ἐν κριβ.: Πλήθει ἄρτων ἐν κριβάνῳ ὠπτημένων. Gl.

1. τὸ δὲ προβήμασιν om. R.

7. θύλακον νῦν τὴν ἀρτοθήκην V. Sic etiam Suidas interpretatur. "Schol. Ecclesiaz. 378. Θύλακον δὲ "ἀρτοθήκην σημαίνειν καὶ ἐν Πλούτῳ "ζητητέον. Θύλακον *saccum* esse "*scorteum*, in quem farina vel pa-"nes condantur, docet Casaubon. "ad. Theophr. Char. c. 16. ἐὰν "μῦς θύλακον ἀλφίτων διαφάγῃ· simili "modo Antisthenes apud Diogen. "6, 9. λαβὼν .... θύλακον κενὸν πρὸς "ἀλφιτόπωλιν ἧκε, καὶ σαξάμενος ἀπῄει. "Ergo perquam proprie dixit Ari-"stoph. ἄλφιτ' ἐν τῷ θυλάκῳ." HEMST.

11. ἐπειδὴ R.V.Θ. ἐπεὶ Ald.

ib. ἐκεῖνος] ὁ καρίων V.

12. ἐν σπάνει R.V.Θ. σπάνις Ald.

ib. ἀλλ' ἐν εὐπορίᾳ R.V.Θ. ἀλλ' εὐπορία Ald.

ib. αὐτὸν ἄρτοις] αὐτὸν ἄρτον V. αὐτὸν ἄρτον ἄρτοις R.

13. καὶ στεφανῶσαι om. V. Quæ post στεφανῶσαι sequuntur om. R.

13, 14. κριβανωτῶν—δέον] ἄλλως. ἄρτων ἐν κριβάνῳ ὠπτημένων, ἄρτων δέσμῃ, δέον V.

14. ἄρτων] ἄρτου Θ.

ib. ἐν κριβάνῳ ὠπτημένων om. Θ.

ib. κρίβανος] De κριβάνῳ plura schol. Acharn. 86. HEMST.

15. ὁ κριθῶν δεκτικός add. V.

16. γράφεται—ὁρμαθῷ om. V.Θ.

ib. ὁρμαθῷ] ὁρμαθῶν Ald.

17. Συχαρίκια] Vox inferioris ævi ἀπὸ τοῦ συγχαίρειν συγχαρίκια plenius scribi solet, ut disci potest ex Ducangii Glossario. HEMST.

18. λαίμαργον] ἄρτων κριθεινῶν addit Dorv.

19. Πλήθει] πλήθη Paris. πλήθει ἄρτων gl. V. (non G.)

Paris. *στεφανῶσαι—ἐκ κριθίνων μαζῶν—διαβάλλει δὲ αὐτὸν ὡς λαίμαργον*. Gl. Br. *ὁρμαθῷ*: *Ὁρμαθὸς σύνδεσμος, στίχος*. Gl. Victor.]

[766. *τὸ ἑξῆς τοιαῦτα ἀπαγγείλαντα εὐαγγέλια*. V. *ἀπαγγείλαντα*: Μηνύοντα. Gl. Paris. *μέλλ'*: Βράδυνε. Gl. Dorv. *βράδυνε*. Gl. Paris.]

[767. *ὡς*: *Ὅτι οἱ*. Gl. Dorv.]

768. *φέρε νῦν ἰοῦσα*: Πρὸς *τὸ ἔθος τὸ παρ' αὐτοῖς· τῶν γὰρ νεωνήτων δούλων τῶν πρώτως εἰσιόντων εἰς τὴν οἰκίαν, ἢ ἁπλῶς τῶν ἐφ' ὧν οἰωνίσασθαί τι ἀγαθὸν ἐβούλοντο καὶ τοῦ νυμφίου, παρὰ τὴν ἑστίαν τραγήματα κατέχεον εἰς σημεῖον εὐετηρίας, ὡς καὶ Θεόπομπός φησιν ἐν Ἡδυχάρει*

> *φέρε σὺ τὰ καταχύσματα*
> *ταχέως κατάχει τοῦ νυμφίου καὶ τῆς κόρης.*
> *εὖ πάνυ λέγεις.*

ἐπεὶ οὖν καὶ ὁ Πλοῦτος ἐν πρώτοις εἰσέρχεται, τοῦτό φησι. σύγκειται δὲ τὰ καταχύσματα ἀπὸ φοινίκων, κολλύβων, τρωγαλίων, ἰσχάδων καὶ καρύων, ἅπερ ἥρπαζον οἱ σύνδουλοι. κυρίως δὲ ἐλέγοντο, ὅταν

8–16. Πρὸς—*τοῦτό φησι* om. V.

9. *πρώτως* R. et Suidæ (s. *καταχύσματα*) codex Paris. *πρῶτον* Ald. et vulgo apud Suidam.

10. *καὶ τοῦ* R.Θ. et Suidas. *ὡς καὶ ἐπὶ τοῦ* Ald.

ib. *παρὰ* R. et Suidas. *περὶ* Ald.

ib. *τὴν* om. R.

11. *τραγήματα* R. et Suidas. *τὰ τραγήματα* Ald.

ib. *εὐετηρίας* R.Θ. et Suidas. *εὐπορίας* Ald.

12–14. *ἐν Ἡδυχάρει—κόρης* om. R.

13. *φέρε*] *φέρε δὴ* Dobræus.

15. *εὖ πάνυ λέγεις* addidi ex Θ. et Suida. Est hoc alterius personæ responsum: nisi ex Aristophanis v. 800. illatum credere malis.

16. *ἐν πρώτοις*, quod in *νῦν πρῶτον* mutabat Hemst., pro *πρῶτον* vel *πρώτως* dictum est. Sic Joannes Malal. p. 321, 17. *ἐν πρώτοις θεωρήσας ἐκεῖ καὶ φορέσας τότε ἐν πρώτοις ἐν τῇ ἰδίᾳ αὐτοῦ κορυφῇ διάδημα*. Et sine præpositione ibid. p. 286, 6. *πρώτοις ἐπετελέσθη τὰ Ὀλύμπια τοῖς Ἀντιοχεῦσι*. p. 287, 8. *ὁ δὲ γραμματεὺς προεχειρίσθη πρώτοις ἀπὸ τῆς βουλῆς καὶ τοῦ δήμου*.

16—p. 246. l. 6. *σύγκειται—εἶπεν*] *καταχύσματα κυρίως ἐλέγοντο ὅταν δοῦλον ἠγόραζον. ἔφερον αὐτὸν εἰς τὴν—εἶπεν. ἄλλως. δέον εἰπεῖν—πλοῦτον.* (hoc ex scholio v. 769.) *ἐπειδὴ τῶν νεωνήτων καταχέουσι τῆς κεφαλῆς τραγήματα*. (hæc verba *ἐπειδὴ—τραγήματα* post scholion v. 773. habet R, omisso *τῆς*.) *σύγκειται γὰρ τὰ καταχύσματα ἀπὸ—ἥρπαζον οἱ δοῦλοι* V.

17. *κολλύβων*] *κολύβων* V.

ib. *ἰσχάδων*] *καὶ ἰσχάδων* Θ. et duo codd. Suidæ.

18. *σύνδουλοι*] *δοῦλοι* V. Sequentia om. R. et Suidas.

δοῦλον ἠγόραζον· ἔφερον γὰρ αὐτὸν παρὰ τὴν ἑστίαν καὶ καθίζοντες κατὰ τῆς κεφαλῆς κατέχεον κόλλυβα καὶ ἰσχάδας, καὶ φοίνικας, καὶ τρωγάλια καὶ ἄλλα τραγήματα, καὶ οἱ σύνδουλοι ταῦτα ἥρπαζον. ἐλέγοντο οὖν ταῦτα καταχύσματα. διὰ τὸ τοῦ Πλούτου τοὺς ὀφθαλμοὺς νεωστὶ ἀναβλέψαι ὑπὸ Χρεμύλου. ὡς ἐπὶ δούλου οὖν νεωνήτου εἰληφὼς, τὰ καταχύσματα εἶπεν. [ἰοῦσ' εἴσω: Ἐλθοῦσα ἐντὸς, ἵνα —. Gl. Paris.]

769. ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς: Δέον εἰπεῖν δούλοις, ὀφθαλμοῖς εἶπεν, διὰ τὸ ἀναβλέψαι τὸν Πλοῦτον. [νεωνήτοισιν: Νεωστὶ ἠγορασμένοις δούλοις. Gl. Dorv. δούλοις. ὤφειλεν εἰπεῖν ὀφθαλμοῖς. Gl. Θ. Paris.]

[770. ἀπαντῆσαι: Συναντῆσαι. Gl. Paris. ἀπαντῆσαι κυρίως τὸ λόγοις ἀντιπεσεῖν καὶ ἐναντιωθῆναι· καὶ ἔργοις· καὶ τὸ εἴς τινα τόπον καταντῆσαι. ὑπαντῆσαι δὲ τὸ συναντῆσαι. νῦν δὲ καταχρηστικῶς εἶπεν. Schol. Cant. 2.]

771. καὶ προσκυνῶ γε: Κορωνὶς ἑτέρα εἰσιόντων ὑποκριτῶν· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λά, ὧν τελευταῖος,

ἀνίσταθ' ὡς ἁρπασόμενος τὰς ἰσχάδας.

ἐφ' ἑκάστου συστήματος παράγραφος, ἐπὶ δὲ τῷ τέλει τῶν στίχων κορωνὶς, καὶ ἑξῆς τὸ χοροῦ αὖθις· κἀνταῦθα γὰρ χορὸν ὤφειλε θεῖναι καὶ διατρῖψαι μικρὸν, ἄχρις ἂν ἐξέλθοι τις ἀπαγγέλλων, ὅπως εἰσιόντος τοῦ Πλούτου πάντα τὰ τούτων πρὸς τὸ βέλτιον μεταβέβληται. [ἥλιον: Τοῦτον γὰρ ἀναβλέψας πρῶτον ἑώρακα. Gl. Θ. Paris.]

[772. τῆς Ἀθηνᾶς. Θ. ἐνδοξου Ἀθηνᾶς ἔνδοξον ἔδαφος. Gl. Dorv. Paris. κλεινὴν πόλιν, τὴν ἀκρόπολιν δηλονότι. V. (non G.) τὴν ἀκρόπολιν. R. Harl. 5664. Barocc. 127.]

1. δοῦλον V.Θ. δούλους Ald.
ib. γὰρ om. V.
ib. παρὰ Θ. εἰς V. ἐπὶ Ald.
2. κατὰ] ἐπὶ V.
3. καὶ ἄλλα V.Θ. ἄλλα καὶ Ald.
4, 5. διὰ — ἀναβλέψαι] τοὺς οὖν ὀφθαλμοὺς τοῦ Πλούτου διὰ τὸ νεωστὶ βλέψαι Ald. Correxi ex V.
5. δούλου οὖν V. οὖν om. Ald.
ib. νεωνήτου ante δούλου collocat Θ.
6. τὰ om. V.
8. δούλοις] ἄλλοις Θ.
ib. ὀφθαλμοῖς] ἀλλ' ὀφθαλμοῖς V.
10. ὤφειλεν] ὀφείλων Θ.
12. Post v. 770. adscriptum κομμάτιον χοροῦ in V.Θ. (non G).
16–22. Κορωνὶς—μεταβέβληται om. R.V.Θ.
25. κλεινὴν πόλιν] Hanc lectionem secutus est Steph. Byz. s. Ἀθῆναι, ipse quoque ἀκρόπολιν intelligens. Præ-

773. *χώραν τε πᾶσαν Κέκροπος*: Παίζει πρὸς Ἀθηναίους φιλεγκωμίους ὄντας. Κέκροψ Αἰγύπτιος ὢν τὸ γένος ᾤκισε τὰς Ἀθήνας. ὅθεν οἱ Ἀθηναῖοι Κεκροπίδαι λέγονται, τινὲς δέ φασι τοῦτον καὶ διφυῆ γεγενῆσθαι, οἱ μὲν, ὅτι τὰ μὲν ἄνω ἀνδρὸς εἶχε, τὰ δὲ κάτω θηρίου· ἕτεροι δὲ, ὅτι νόμους πολλοὺς ἐφεῦρε τοῖς ἀνθρώποις καὶ ἀπὸ ἀγριότητος εἰς ἡμερότητα ἤγαγεν· ἄλλοι δὲ, ὅτι τῶν ἀνδρῶν ὡς ἔτυχε μισγομένων ταῖς γυναιξὶ, καὶ ἐκ τούτου μὴ γινωσκομένου ἢ τοῦ παιδὸς παρὰ τοῦ πατρὸς ἢ τοῦ πατρὸς παρὰ τοῦ παιδὸς, αὐτὸς νόμους θέμενος, ὥστε φανερῶς συγγίνεσθαι αὐταῖς καὶ μιᾷ στοιχεῖν, καὶ σχεδὸν εὑρὼν τὰς δύο φύσεις τοῦ τε πατρὸς καὶ τῆς μητρὸς, τούτου χάριν διφυὴς ἐκλήθη. [*χώραν*: Τὴν Ἀττικήν. Gl. Paris.]

774. *αἰσχύνομαι δὲ τὰς ἐμαυτοῦ ξυμφορὰς*: Τὰ συμβάντα μοι, φησὶν, αἰσχύνομαι· εἰς γνῶσιν δὲ ἐλθὼν καὶ αἴσθησιν ὧν ἔπραττεν, αἰδεῖται, γνοὺς ὡς μετὰ ἀδίκων ἦν. [*τὰς ἐμ. ξυμφορὰς*: Διά. *ξυμφορὰς*: Ὅτι ἔφευγον τοὺς δικαίους. Gl. Paris.]

[775. *οἵοις*: Ὁποίοις, κακοῖς. Gl. Dorv. κακοῖς. Θ. θαυμαστικὸν ἀντὶ τοῦ κακοῖς, ἀδίκοις. *ξυνὼν*: Ὁμιλῶν. Gl. Paris. *ἐλάνθανον*: Ἐμαυτόν. Gl. Dorv. Paris.]

[776. *τοὺς ἀγαθούς*. V. (non G.)]

ferenda hæc scriptura videtur lectioni vulgatæ κλεινὸν πέδον, sed πόλιν de tota Athenarum urbe potius intelligendum quam de acropoli.

1, 2. Παίζει—ὄντας om. R. Post scholion v. 774. habet V.

2. Κέκροψ δὲ Ald. δὲ om. R.V.

ib. ᾤκισε codex Suidæ (s. Κέκροψ) Leidensis.

3. Addidi λέγονται ex scholio Nubium infra memorando.

ib. διφυῆ] διαφυγῆ Θ.

4. γεγενῆσθαι R.V.Θ. et Suidas. γενέσθαι Ald.

ib. ὅτι τὰ μὲν om. Θ.

ib. τὰ μὲν ἄνω R.V. et Suidas. μὲν om. Ald.

ib. κάτω θηρίου] κάτω γυναικὸς, οἱ δὲ θηρίου Suidas.

5. πολλοὺς om. Suidas.

ib. ἐφεῦρε] ἐξεῦρε Suidas.

6. ἤγαγεν] ἦγεν R.

ib. ἄλλοι δὲ] δὲ om. R.V.

8. παρὰ τοῦ παιδὸς] τοῦ om. R.

9. φανερῶς συγγίνεσθαι] Connubiis certis et notis conjungi. DOBRÆUS.

ib. συγγίνεσθαι] συγγινώσκεσθαι G.

ib. μιᾷ στοιχεῖν Θ. et, ut suspicor, R, cum Suida. μὴ ἀστοχεῖν V. μιᾶς τυχεῖν Ald. Vid. Kœn. ad Gregor. Cor. p. 372. Ceterum scholion de Cecrope V. iterum apponit Nubium v. 301. sic scriptum κέκροψ αἰγύπτιος ὢν ᾤκησε—κεκροπίδαι λέγονται. τινὲς δέ φασιν τοῦτον—γενέσθαι, οἱ μὲν ὅτι τὰ ἄνω ἀνδρῶα εἶχε—ἀπ' ἀγριότητος—ἄλλοι ὅτι—μισγομένων γυναιξὶ καὶ — γινωσκομένων — καὶ μὴ ἀτυχεῖν—ἐκλήθη.

12, 13. Τὰ συμβάντα—αἰσχύνομαι infra post ἀδίκων ἦν ponit R.

13. γνῶσιν δὲ] δὲ om. R.

ib. αἴσθησιν] εἰς αἴσθησιν R.

14. γνοὺς add. R.V.Θ.

ib. ἦν] συνῆν V.

[777. ὁ τλήμων ἐγὼ: Ὁ ἄθλιος. Gl. Dorv.]

778. οὐδ' ἐκεῖν' ἄρ' οὐδὲ ταῦτα: Οὔτε ἔφευγον τοὺς ἀγαθοὺς οὔτε μετεδίωκον τοὺς φαύλους. οὔτε τοὺς κακοὺς πλουτίζων οὔτε τοὺς ἀγαθοὺς ἀφαιρούμενος τοῦ πλούτου. [ὡς: Ὅτι. Θ. ὄντως. Gl. Dorv. ἐκεῖν': Τὸ συνεῖναι τοῖς κακοῖς. Gl. Θ. Dorv. τὸ φεύγειν τοὺς δικαίους. Gl. Paris. ταῦτ': Τὸ μὴ συνεῖναι τοῖς ἀγαθοῖς. Gl. Θ. Dorv. τὸ συνεῖναι τοῖς ἀδίκοις. Gl. Paris.]

779. ἀναστρέψας: Ἱκανὴ γὰρ ἀπόδειξις ἀκουσίου ἁμαρτήματος ἡ διόρθωσις. [ἀναστρέψας: Διεγείρας. Gl. Dorv. εἰς τὸ ἐναντίον μεταβαλών. Gl. Paris.]

[780. τὸ λοιπὸν: Εἰς τὸ ἑξῆς. Gl. Dorv.]

782. βάλλ' ἐς κόρακας: Ὁ Χρεμύλος ἀγανακτεῖ πολλῶν αὐτὸν ἀσπαζομένων καὶ περιεχόντων, οἵτινες πρὸ τοῦ οὐδὲ ἑώρων αὐτὸν πένητα ὄντα, νυνὶ δὲ πλουτήσαντα κολακεύουσιν. ἔστι δὲ τὸ "βάλλ' ἐς κόρακας" παρ' ὑπόνοιαν παραποιηθὲν ἐκ τοῦ, "βάλλ' ἐς "μακαρίαν," περὶ οὗ ἀλλαχοῦ δεδήλωται· δηλοῖ δὲ τὸ ῥίψον ἑαυτὸν εἰς φθοράν· τοιοῦτον γάρ τι ἐς κόρακας. τὸ δὲ παραχρῆμα νῦν ἀντὶ τοῦ κατ' αὐτὸ τὸ πρᾶγμα, καὶ ὡς εἰπεῖν παραυτίκα, οὐ μὴν πρὸ τοῦ πράγματος· διὸ ἑρμηνεύων ἐπήγαγεν, ὅταν πράττῃ τις εὖ, ἤγουν, ἐν αὐτῇ τῇ εὐπραγίᾳ, οὐ πρὸ αὐτῆς. [βάλλ' ἐς κόρακας: Σεαυτόν. Θ. ἄπελθε σαυτόν. Gl. Dorv. βάλ': Ἄπιθι. χαλεπὸν: Πρᾶγμα. Gl. Paris. τοῦτο εἰώθασιν οἱ δυσχεραίνοντες λέγειν, ὃ νῦν καὶ Χρεμύλος λέγει, πρὸς τοὺς ἐπιπεσόντας αὐτοῖς κόλακας καὶ φιλοφρονουμένους. Paris.]

[783. παραχρῆμα: Παρὰ προσδοκίαν. πράττῃ τις εὖ: Εὐτυχῇ. Gl. Dorv.]

2. Οὔτε ἔφευγον] ὅτι ἔφευγον τοὺς δικαίους καὶ ὅτι συνήμην τοῖς ἀγαθοῖς. ἄλλως. οὔτε φεύγων V.

2, 3. ἔφευγον—μετεδίωκον R. φεύγων—μεταδιώκων Ald.

3. φαύλους] Sequentia om. R.

4. ἀφαιρούμενος] ἀφαιρόμενος R.

ib. τοῦ πλούτου R.Θ. τὸν πλοῦτον Ald.

8. γὰρ ἀπόδειξις ἀκουσίου] γὰρ ἀπόδειξις· ἀκουσίου γὰρ R.

11. Εἰς τὸ ἑξῆς] Heliodor. 5. p. 261. σὺ δὲ εἰς τὸ ἑξῆς γοῦν εὔθυμος εἶναι. HEMST.

12. αὐτὸν] αὐτῷ R.

13. πρὸ τοῦ V.Θ. προτοῦ Ald.

14. νυνὶ δὲ R.Θ. δὲ om. Ald. νυνὶ καὶ V.

14–20. ἔστι δὲ—αὐτῆς om. R.V.Θ.

21. ἄπελθε σαυτόν] Ita perperam est scriptum in Dorv. voluit indicare locutionem esse supplendam, βάλλε σαυτὸν, id est, ἄπελθε. HEMST.

[784. *θλίβουσι, ξύουσι, συντρίβουσι.* R.V. *τιτρώσκουσι, κόπτουσι, συντρίβουσι τῇ προσκυνήσει καὶ τῷ προκαλινδεῖσθαι.* Θ. *νύττουσι*: Τιτρώσκουσι. Gl. Dorv. Paris. *φλῶσι*: Συντρίβουσι. Gl. Dorv. *συντρίβουσι, θλίβουσι, ξύουσι.* Gl. Paris. *τἀντικνήμια*: Ταῖς ἄντζαις. Gl. Dorv. *ἀντικνήμια ἐστὶ τὰ ἰδιωτικῶς λεγόμενα καλάμια τῶν ποδῶν. κνήμη δὲ ἡ λεγομένη ἄντζα, ὄπισθεν τοῦ καλαμίου. λέγεται δὲ οὕτως, ὡς κενὴ καὶ πλήρης οὖσα αἵματος.* Paris.]

[785. *εὔνοιαν*: Ἤγουν ἀγάπην. Gl. Dorv. Paris.]

[786. *προσεῖπε*: Οὐ χαίροις εἶπε, ἐχαιρέτισε. Gl. MS. Ducangii. *προηγόρευσε καὶ ἐχαιρέτισε. ποῖος οὐκ ὄχλος*: Πάντες. Gl. Paris.]

[787. *περιεστεφάνωσεν*: Ἐτίμησεν. Gl. Dorv. Paris. *πρεσβυτικὸς*: Γεροντικός. Gl. Θ. Dorv.]

[788. *ὦ Πλοῦτε καὶ ὦ ἄνερ καὶ ὦ Βλεψίδημε χαίρετε.* R.V.Θ. *φίλτατ'*: Ποθεινότατε. Gl. Paris. *καὶ σὺ, καὶ σὺ*: Πλοῦτε καὶ σὺ Χρεμύλε. Gl. Dorv. Paris.]

[789. *νόμος*: Σύνηθές ἐστι. Gl. Dorv. *συνήθεια.* Gl. Paris.]

[790. *μηδαμῶς*: Τοῦτο ποιήσῃς. Gl. Paris.]

791. *ἐμοῦ γὰρ*: Πιθανῶς, ἵνα μὴ ἐν τῷ φανερῷ καταχέῃ τὰ τραγήματα· διὸ καὶ ἐπιφέρει, "ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν," τουτέστι φορτικόν τι δρᾶν. *ἔπειτα καὶ τὸν φόρτον*: Τὸν φορτικὸν γέλωτα, ἵνα μὴ γελασθῶμεν. [*εἰσιόντος*: Πρωθύστερον, εἰσελθόντος. Gl. Dorv. *εἰσερχομένου.* Gl. Paris.]

[792. *βλέψαντος*: Ἀναβλέψαντος. *ἐκφέρειν*: Ἐξάγειν. Gl. Paris.]

1. *θλίβουσι*] *τὸ θλίβουσι* R.
2. *προκαλινδεῖσθαι*] *προκαλινδεῖ....* Θ.
7. *κενὴ*] Sic scripserit librarius an *καινὴ* parum liquet. BAST.
15. *ὦ Πλοῦτε καὶ ὦ ἄνερ*] *ὦ ἄνερ καὶ ὦ πλοῦτε* V.
ib. *ὦ Βλ.*] *ὦ* om. V.
ib. *χαίρετε* om. R.V.
20. *ἐμοῦ γὰρ*] *εἰσιόντος εἰς τὴν οἰκίαν* add. Θ.
ib. *ἵνα*] *ὅτι ἵνα* V.
ib. *τῷ* add. R.V.
21–23. *διὸ—γελασθῶμεν* om. R.
21. *καὶ τὸν*] *καὶ* om. Θ.
ib. *ἂν*] *αὐτοῦ* Θ.
22. *φορτικόν τι δρᾶν* addidi ex V. Θ.
22, 23. *ἔπειτα—γελασθῶμεν* om. V, qui post *δρᾶν* pergit *ἄλλως. πρὸς τὸ ἔθος* etc. (schol. ad v. 795.)
22. *ἔπειτα καὶ τὸν φόρτον* addidi ex V.

[793. πρεπῶδες: Πρέπον ἐστί. Gl. Dorv. προσῆκον. Gl. Paris. εἰσφέρειν: Εἰσάγειν εἴσω. Gl. Dorv. Paris.]

[794. δέξει δῆτα τὰ καταχύσματα: Λήψῃ τὰ ἐπάνω σου μέλλοντα καταχεῖσθαι. Gl. Paris. ἤγουν τὰ πλακούντια. Gl. Dorv.]

795. παρὰ τὴν ἑστίαν: Πρὸς τὸ ἔθος, ὅτι παρὰ τῇ Ἑστίᾳ ἐποίουν τὰ καταχύσματα. [τὴν ἑστίαν: Τὴν οἰκίαν. Gl. Dorv. δέξομαι δηλ. Gl. Paris. νόμος: Συνήθεια. Gl. Dorv. ἀντὶ τοῦ ἔθος. παρὰ τῇ ἑστίᾳ κατέχεον. Gl. Paris.]

[796. τὸν φόρτον: Τὴν χλεύην. R.V. (non G). τὴν μέμψιν, καὶ τὴν κατηγορίαν. Gl. Dorv. τὴν μέμψιν, τὴν κατάκρισιν. Gl. Paris. ψόγον, χλεύην, μέμψιν. Gl. Br.]

797. οὐ γὰρ πρεπῶδες: Ἔμφασις τοῦ Ἀριστοφανείου προσώπου· ὁ δὲ λόγος πρὸς τοὺς ἀντιτέχνους πρὸς διασυρμὸν, οἳ διὰ τὸν αὐτῶν βόλον ἐπειρῶντο τὸν δῆμον πρὸς ἑαυτοὺς ἐπάγειν. καὶ ἐν τοῖς Σφηξὶν ἐσεμνύνετο, ὅτι οὐκ ἔστι παρ' αὐτῷ οὔτε κάρυα ἐκ φορμίδος δοῦλοι διαρίπτοντες τοῖς θεωμένοις. φαίνεται μέντοι τὸ τοιοῦτον οὐ διὰ τῶν

5. παρὰ] πρὸς R.

ib. τῇ ἑστίᾳ R.V.Θ. τὴν ἑστίαν Ald.

ib. ἐποίουν τὰ καταχύσματα] κατέχεον R.

13. οἳ διὰ] οἱ δὲ R.

ib. τὸν] τῶν R.V.Θ.

14. βόλον Hemst. ὀβολὸν Ald. ὀβολῶν R.V.Θ.

ib. τὸν δῆμον] τοῦ δήμου R.

ib. ἐπάγειν] Addit V. ἄλλως. πρέπει τῷ διδασκάλῳ τρωγάλια τοῖς θεοῖς (θεωμένοις G.) παραβάλλειν μόνον καὶ ἐπὶ τούτων ἀναγκαῖα (corr. ἀναγκάζειν) γελᾶν. ἄλλως.

14–p. 251. l. 2. καὶ ἐν—ἐπισημαίνεται post scholion v. 800. habet R.

14. καὶ] ὡς R.

ib. ἐν τοῖς Σφηξὶ] V. 58. ubi versum illum scholiastes per se solum spectavit, cujus tamen structura cum proximo copulanda: Ἡμῖν γὰρ οὐκ ἔστ' οὐδὲ κάρυ' ἐκ φορμίδος δούλω διαρριπτοῦντε τοῖς θεωμένοις. Notat enarrator vetus: ὡς τῶν ἄλλων ποιητῶν διὰ ψυχρότητα ποιήσεως δι' ὀβολοῦ καρύων ὑποστελλομένων τὴν κακίαν τοῦ δράματος. Refingendum arbitror, διὰ βόλου καρύων, *sparsis*, vel, *jactis nucibus*; hic autem διὰ τὸν αὐτῶν βόλον, ut referatur ad τὰ καταχύσματα, postremam præcedentis scholii vocem: nisi planius videatur, διὰ τὸν καρύων βόλον. Βόλος est *jactus*, velut, δικτύου, κύβων βόλος· fortassis utrobique, me non invito, desideret aliquis vocabulum usitatius βολήν. Propterea vero largitiones istas sparsarum nucum οὐ διὰ τῶν χορηγῶν γίνεσθαι monuit, quod alioquin eorum esset munus omnes sumtus poëtis, fabularumque choris præbere: insignis ea de re locus Antiphontis περὶ Χορ. p. 142, 30. HEMST.

ib. Σφηξὶ δὲ Ald. δὲ om. R.V.

15. ἔστι V. εἰσὶ R. Ald.

ib. οὔτε add. V.

ib. ἐκ φορμίδος om. R.

15, 16. δοῦλοι—θεωμένοις addidi ex V.

16. μέντοι] μὲν Θ.

χορηγῶν, ἀλλὰ δι' αὐτῶν τῶν διδασκάλων γινόμενον, ὡς Ἐρατοσθένης ἐπισημαίνεται. [πρεπῶδές ἐστι: Ἤγουν δίκαιον ὑπάρχει ἐμοὶ δηλαδή. Gl. Dorv. ἐστι: Τοῦ πλουσίου. τῷ διδασκάλῳ: Ἐμοὶ τῷ Ἀριστοφάνει. Gl. Paris. τοῦτο τῷ μὲν δοκεῖν ἀπὸ τοῦ πλούτου ἐστὶ, τῇ δ' ἀληθείᾳ παρὰ τοῦ ποιητοῦ. Gl. Dorv. οὐ γὰρ πρεπῶδες: Ἔμφασις ἐνταῦθα τοῦ προσώπου τοῦ κωμικοῦ. ὁ δὲ λόγος αὐτῷ πρὸς τοὺς ἀντιτέχνους οἳ διὰ τῶν ὀβελῶν ἐπειρῶντο τὸν δῆμον πρὸς ἑαυτοὺς ὑπάγειν. φησὶ γὰρ οὐκ ἔστι πρέπον προτιθέναι ἐν τοῖς ἡμῶν ὀβελισμοὺς τινὰς καὶ διαγραφὰς καὶ ἀφανισμοὺς αὐτῶν ἢ ἑτέρων ποιημάτων ὥστε ἐκ τούτων ζητεῖν εὐδοκιμεῖν. Schol. Cant. 3.]

[τῷ διδασκάλῳ—προβαλόντ': Ἀττικὸν τὸ σχῆμα. "αἰεί σοι "φίλον ἐστὶν, ἐμεῦ ἀπονόσφιν ἐόντα." R.]

[798. πάντα τὰ τραγήματα ἰσχάδας ἐκάλουν. R.Θ. πάντα τὰ τραγήματα οὕτως ἔλεγον. V. ἰσχάδια: Σῦκα. Gl. Dorv. τρωγάλια: Τραγήματα. οὕτω γὰρ τὰ τραγήματα ἐκάλουν οἱ παλαιοί. Gl. Victor. τοῖς θεωμένοις: Τοῖς θεαταῖς. Gl. Dorv. τοῖς ἀκροαταῖς, τοῖς θεαταῖς. Gl. Paris.]

[799. προβάλλοντ': Προτείνοντα. Gl. Dorv. προθέντα. Gl. Θ. Paris. ἐπὶ τούτοις: Τοῖς θεαταῖς. Gl. Dorv. ἐπαναγκάζειν: Ἤτοι ἄκοντα παρακινεῖν. Gl. Paris. γελᾶν: Ὥστε γελᾶν. Gl. Dorv.]

800. ὡς Δεξίνικος: Οὗτος πένης ἦν, καὶ κωμῳδεῖται, ὡς τὰ ὄψα ἁρπάζων, καὶ λίχνος. τινὲς δὲ καὶ στρατηγόν φασιν αὐτόν. [διαβάλλει τοῦτον ὡς ἅρπαγα ἢ ὡς πένητα. Gl. Dorv. δ. τ. ὡς ἅρπαγον. Gl. C. ὡς: Ὅτι. Gl. C.]

1. χορηγῶν γίνεσθαι Ald. γίνεσθαι om. V.

ib. γινόμενον addidi ex V. Non probanda videtur Dobræi conjectura φαίνεται μέντοι τὸ τοιοῦτον διὰ τῶν χορηγῶν γενέσθαι, ἀλλ' οὐ δι' —.

ib. ὡς V. ὡς καὶ Ald. ὡς καὶ Ἐρατοσθένης om. R.

2. ὑπάρχει ἐμοὶ δηλαδή] Hæc ita scribuntur ordine continuo, nullaque distinctione separata in Dorv. obscurum tamen non est, ἐμοὶ δηλαδὴ referri oportere ad τῷ διδασκάλῳ. HEMST.

11. Addidi lemma τῷ διδασκάλῳ—προβαλόντ'. In R, est γελᾶν ex v. 799.

ib. αἰεὶ] Hom. Il. A, 542.

22. Δεξίνικος] Correxi lemma Aldinum δὲ ξένικος.

22, 23. Οὗτος—αὐτόν] πένης οὗτος ἐκωμῳδεῖτο καὶ λίχνος. τινὲς δὲ ...... γενέσθαι φασίν V. Tria tantum verba habet R. πένης ἦν ἅρπασαι (fort. καὶ ἅρπαξ).

24. ἅρπαγα] ἅρπαγον Dorv.

ib. ἢ ὡς πένητα om. Dorv.

25. Post v. 801. R.Θ. adscriptum habent in scholiis χοροῦ.

802. ὡς ἡδὺ πράττειν, ὦ 'νδρες: Εἴσθεσις συστηματικῆς περιόδου, ἐκ στίχων ὁμοίων κβ', ὧν τελευταῖος,

ἔνδον μένειν ἦν· ἔδακνε γὰρ τὰ βλέφαρά μου.

ἐπὶ τῷ τέλει παράγραφος. ἐχρῆν κἀνταῦθα μετὰ τὴν περίοδον τοῦ παρόντος συστήματος κομμάτιόν τι θεῖναι χοροῦ, ἄχρις ἂν θύσας ὁ Χρεμύλος ἐξέλθοι· ὁ δὲ ἱκανὸν εἶναι τὸν καιρὸν λογισάμενος, ὥστε θῦσαι αὐτὸν, ἐν ὅσῳ τοὺς λόγους τούτους ὁ Καρίων διέξεισιν, ἐξάγει εὐθὺς αὐτὸν συντυχεῖν, ὡς μέν τινες, τῷ δικαίῳ· ἄτοπον γὰρ εἶναί φασιν καὶ ἀπρεπὲς ἀγαθὸν ἄνδρα καὶ δίκαιον ὁμιλεῖν μετὰ δούλου· ὡς δ' ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται, τῇ γραΐ.

ὡς ἡδὺ: [Ὡς ἡδὺ πρᾶγμά ἐστι τὸ ἐν εὐπορίᾳ βιάζεσθαι ἢ ἐξετάζεσθαι. Ἄλλως. V.] Ἡδὺ τὸ εὐτυχεῖν, καὶ μάλιστα δίχα ἀναλωμάτων γινόμενον. [ὡς ἡδὺ πράττειν: Λίαν γλυκὺ εὐτυχεῖν. Gl. Dorv.]

[803. μηδὲν: Πρᾶγμα. ἐξενεγκόντ' οἴκοθεν: Δαπανήσαντα, ἐκβαλόντα ἐκ τῆς οἰκίας. Gl. Dorv. ἐξαγαγόντα. Gl. Paris.]

[804. σωρὸς: Πλῆθος. Gl. V. (non G.) Θ. Paris.]

805. ἠδικηκόσιν: [Παρ' ὑπόνοιαν. R.] Παίζων τοῦτό φησιν, ὡς τῶν πολλῶν, καὶ μάλιστα τῶν Ἀθηναίων, ἐξ ἀδικίας μόνης πλουτούντων. τὸ δὲ ἐπεισπέπαικεν, εἰσεπήδησεν, εἰσῆλθε· κυρίως δὲ ἐπὶ στρατείας πολεμίων· διὸ παίζων ἐπήνεγκεν, οὐδὲν ἠδικηκόσιν. [ἐπεισ-

1–10. Εἴσθεσις—γραΐ om. R.V.Θ.

7–10. ἐξάγει εὐθὺς—τῇ γραΐ] Suspicor sensum esse, in antiquis exexplaribus non comparere Chremyli personam ante v. 966. Sed juniores aliquos, indecorum ratos si Justus cum servo familiariter colloqueretur, herum introduxisse statim v. 825. Schol. ad 885. τοῦτο δὲ ὁ ἕτερος πρεσβύτης λέγει. Adesse igitur putabat Chremylum. DOBRÆUS. Est recentissimi annotatio grammatici cujusmodi in scholiis non raro infimæ ætatis codices παλαιὰ ἀντίγραφα vocari videmus.

11. βιάζεσθαι ἢ delendum videtur.

15. Πρᾶγμα, quod ad explicandum μηδὲν parum confert, per errorem huc delatum arbitror ex superioris versus interpretatione, λίαν γλυκὺ πρᾶγμα εὐτυχεῖν. Comicus idem suadet v. 806. et scholiastes, ἡδύ τι ἐστὶ πρᾶγμα etc. HEMST.

18–21. Παίζων—ἠδικηκόσιν] ἐξεπήδησεν. ὡς τῶν ἀθηναίων—πλουτούντων. κυρίως δὲ—πολεμίων τὸ ἐπεισπέπαικεν. διὸ ἐπήνεγκεν παίζων οὐδὲν ἠδικηκόσιν. ἄλλως. δικαίως βεβιωκόσι (δ. β. om. G.) παίζων δὲ εἶπεν ὅτι ἐξ ἀδικίας πάντες ἐπλούτουν V. εἰσεπήδησεν—πολεμίων. παίζων τοῦτο—πλουτούντων Θ.

18. ὡς] ὥστε R.

19. καὶ et μόνης addidi ex R.

20. τὸ δὲ ἐπεισπέπαικεν om. R.

21. στρατείας] στρατιᾶς Suidas s. εἰσπέπαικεν.

ib. διὸ—ἠδικηκόσιν om. R.

πέπαικεν: Ἐπεισῆλθεν. Gl. Θ. Dorv. σφοδρῶς ἐπεισῆλθε καὶ εἰσεπήδησεν. Gl. Paris.]

806. οὕτω τὸ πλουτεῖν ἐστιν ἡδύ: Ἀδιανόητος ὁ ἴαμβος· ἢ πρὸς τὰ ἄνω

καὶ ταῦτα μηδὲν ἐξενεγκόντ' οἴκοθεν·

οὕτω γὰρ ἡδύ τί ἐστι πρᾶγμα τὸ πλουτεῖν. [γνώμη. τὸ πλουτεῖν: Ἤγουν ὁ πλοῦτος. ἡδὺ: Εὐφραντόν. Gl. Dorv.]

807. ἡ μὲν σιπύη: Σιπύη ἡ ἀρτοθήκη. ταῦτα δὲ παρὰ τὰ ἐν Ἰνάχῳ Σοφοκλέους, ὅτε τοῦ Διὸς εἰσελθόντος πάντα μεστὰ ἀγαθῶν ἐγένετο. προύχει δὲ τὰ λευκὰ τῶν ἀλφίτων. ἤρξατο δὲ ἐκ τῆς τῶν ἀναγκαίων εὐπορίας. [σιπύη: Ἡ ἀρτοθήκη. Gl. Θ. Dorv. ἡ κοινῶς ἄρκλα. Gl. Paris. λευκῶν: Καθαρῶν. Gl. Paris. ἀλφίτων: Σεμιδαλίων. Gl. Dorv.]

808. μέλανος ἀνθοσμίου: Μέλανος, ἐρυθροῦ. Ὅμηρος "μέλανος "οἴνοιο." ἀνθοσμίου δὲ, ἡδέος, εὐόσμου, ὥσπερ τὰ ἄνθη· ἢ ὡς ἀπὸ τόπου ἀνθοσμίας· ἢ ὡς ἀπὸ εἴδους ἀμπέλου· ἢ τοῦ ἡδέος καὶ περιόσμου καὶ ἀνθηροῦ· τὸν δὲ χυδαῖον οἶνον καρηβαρίτην ἔλεγον. [ἀμ-

3. *Iambus*, inquit, *a proximis dissidens commodum intellectum non habet: aut referendus est ad illa superiora*, Καὶ ταῦτα *etc. indeque arcessenda ejus explicatio; nam sic demum, si nullos sumtus fieri, nihil efferri domo sit necesse, suave est in opulenta bonarum rerum copia versari:* nisi tamen hæc non ab uno, sed a duobus grammaticis, quod potius credo, fuerint profecta, quorum prior versum damnavit, alter enodare fuit conatus. HEMST. Totum scholion om. R.

5. ἐξενεγκόντ'] ἐξενεγκόντες V.

6. ἡδύ τί ἐστι πρᾶγμα] ἡδὺ πρᾶγμά ἐστι V.

8–11. Σιπύη—εὐπορίας] ἡ ἀρτοθήκη. πάντα δὲ ταῦτα πρὸς τῷ ἐν ἰνάχῳ σοφοκλέους, ὅτι πάντα μεστὰ γίνεται (πάντα μεταγίνεται G.) τοῦ διὸς εἰσελθόντος. ἐκ δὲ τῆς τῶν ἀναγκαίων εὐπορίας ἀπάρχεται τῆς κατὰ τύχην ἀφηγήσεως. προύχει δὲ τὰ λευκὰ τῶν ἀλφίτων V.

8. Ante σιπύη legebatur ἐκ τῆς τῶν ἀναγκαίων εὐπορίας ἤρξατο, quæ post ἀλφίτων posui ut scripta sunt in R.

ib. σιπύη ἡ R. σιπύη δὲ ἡ Ald.

ib. δὲ παρὰ τὰ ἐν ἰνάχῳ R.Θ. δὲ ἐξ ἰνάχου Ald.

9. πάντα μεστὰ] μεστὰ πάντα Θ.

10. ἐγένετο] ἐγίνοντο R.

ib. προύχει R.V.Θ. προέχει Ald.

14–17. μέλανος, ἐρυθροῦ—ἔλεγον] ἡδέως, εὐόσμου, ἢ ὡς ἀπὸ—ἔλεγον R. καλὴν ὀσμὴν ἔχοντος ὥσπερ τὰ ἄνθη. ἢ ἀπὸ τόπου ἀνθοσμίας. ἢ ὡς ἀπὸ εἴδους ἀμπέλου. ἢ τοῦ ἡδέως—ἔλεγον V.

14. Ὅμηρος] Od. E, 265. I, 196. Quæ scholiastes hic adnotavit, et ad Ran. v. 1181. in unum a Suida sunt conjuncta in v. Ἀνθοσμίας· legitur autem apud eum, ἀπὸ τόπου Ἀνθοσμίου, quem locum si modo usquam extra grammaticorum commentarios extiterit, adhuc quæro. HEMST.

17. οἶνον om. R.

ib. ἔλεγον R.V.Θ. et Suidas. εἶπεν Ald.

φορῆς: Τὰ κοινῶς μεγαρικά. Ἀττικὸν ὡς οἱ βασιλῆς. Θ. *ἀμφορεῖς*: Τὰ μαγαρικά. Gl. Dorv. Paris. *ἀνθοσμίου*: Εὐώδους. Gl. Dorv. εὐώδους (Θ.), μοσχάτου. Gl. Paris.]

[809. *χρυσίον*: Τοσοῦτον. Gl. Paris.]

[810. *τὰ σκευάρια*: Τὰ σενδούκια. *πλήρη*: Γεγεμισμένα. Gl. Dorv.]

811. *τὸ φρέαρ δ' ἐλαίου μεστόν*: Παραπαίζει πρὸς τὴν ἐναντίαν τῆς τύχης μεταβολήν. λήκυθοι δὲ τὰ ἐλαιοδόχα ἀγγεῖα. [*τὸ φρέαρ*: Τὸ πηγάδιον. *αἱ λήκυθοι*: Τὰ ἐλαιοδόχα ἀγγεῖα. Gl. V. (non G.) Θ. Dorv. τὰ ῥώγια, τὰ ἐλ. ἀ. Gl. Paris.]

[812. *τὸ ὑπερῷον*: Τὸ τέγος. Gl. Θ. Dorv. Paris. *ἰσχάδων*: Συκῶν. Gl. Θ. Dorv. σύκων. Gl. Paris.]

813. *ὀξὶς δὲ πᾶσα*: Ὀξὶς ἀγγεῖον ὄξους δεκτικόν. ἡ λοπάδος εἶδος, παρὰ τὸ εἰς ὀξὺ λήγειν. λοπάδιον δὲ καὶ αὐτὸ εἶδος κεραμίου.

2. μαγαρικά] Melius, si rationem, non usum loquendi spectes, μεγαρικὰ scribuntur in Gloss. MSS. ad Plut. Arist. et ad Nub. ἀμφορεῖς νενησμένοι, μεγαρικὰ σωρεύματα ap. Ducang. Oritur enim istud vocabulum a Megarensibus, quorum opera fictilia fuerunt in pretio: hinc τὰ Μεγαρέων κεράμια memorantur a Synes. p. 77. C. et Μεγαρικὰ πιθάκνια ab Eubulo ap. Athen. 1. p. 28. D. Recte Suidas: Ἀμφορεύς, ἀγγεῖον, μέτρον, κεράμιον Μεγαρικόν. Mercatores vero, ut hominum illud genus esse solet plerumque literarum ac dictionis expers, prave primam in hoc voc. syllabam efferebant per α. En testem locupletem Stephanum Byz. in Μέγαρα· οὕτω δὲ καὶ τοὺς Μεγαρικοὺς κεράμους διὰ τοῦ ε χρὴ λέγειν, οὐ διὰ τοῦ α, ὡς οἱ ἔμποροι τὴν ἄρχουσαν παραφθείροντες. Idem accidisse novimus in μέγαρον et μάγαρον, quod tamen grammaticorum notam effugit: quin Ælius Dionysius μάγαρον tantummodo scribi præcepit, non μέγαρον, si designandum veniat penetrale illud, in quo mystica sacra reconduntur, Eustath. ad Od. A. p. 1387, 18. Ap. Hesych. invenio Μαγαρίσκος, πινακίσκος· quod dubito an ab eadem origine pendeat: id quidem non dubito paulo corruptius alio loco legi Μαργαρίσκον, πινακίσκον. Nisi forma voc. utrobique constaret, reponi maluissem: Μαγαρικός. πίνακες autem et πινακίσκοι non lignei tantum sed et fictiles. HEMST.

5. σενδούκια] Vid. ad v. 711.

7. Παραπαίζει] ἐκ τῆς τῶν ἀναπαίστων (corr. ἀναγκαίων ex scholio v. 807.) εὐπορίας ἤρξατο. παραπαίζει δὲ V. ad v. 809. Totum scholion om. R.

8. τῆς om. Θ.

ib. λήκυθοι—ἀγγεῖα om. V.

9. Τὸ πηγάδιον] Adi Ducangii Gloss. in πηγάδη. HEMST.

11. Τὸ τέγος] Hesych. Τέγεα, vel, Τέγη οἱ ὑπερῷοι οἶκοι· et τέγος . . . . ὑπερῷον. HEMST.

13. Ὀξὶς om. R.V.

ib. ἡ λοπάδος εἶδος, παρὰ τὸ εἰς ὀξὺ λήγειν R. ἡ λοπάδος εἶδος εἰς ὀξὺ λῆγον Suidas s. ὀξίς. λοπὰς δὲ εἶδος ἀγγείου πᾶν εἰς ὀξὺ λῆγον Ald. ἡ εἶδος κεραμίου παρὰ τὸ ὀξὺ ἔχειν τὸ κάτω V.

14. λοπάδιον—κεραμίου addidi ex V.

ἰχθυηροὺς δὲ πινακίσκους, τοὺς ἐπιτηδείους ἰχθῦν χωρῆσαι. ἢ ἐν ᾧ οἱ ἰχθύες πλύνονται. [ὀξὶς: Τὸ τοῦ ὄξους ἀγγεῖον. Gl. Θ. Dorv. ἄγγος ὄξους δεκτικόν. Gl. Paris. λοπάδιον: Ὁ λεγόμενος κουρελός. Gl. Θ. Dorv. Paris. χύτρα: Τζυκάλιον. Gl. Θ. Dorv.]

[814. πινακίσκους: Τὰ σκουτέλια. Gl. Dorv.]

[815. τοὺς ἰχθυηροὺς: Τοὺς ἰχθύας δεχομένους. Gl. Θ. Dorv. τοὺς ἐπιτηδείους εἰς ὑποδοχὴν ἰχθύων. Gl. Paris.]

816. ὁ δ' ἰπνὸς: Τὸ μαγειρεῖον· ἢ ἡ καπνοδόχη· ἢ ὁ λεγόμενος φανὸς, ἢ ὁ χυτρόπους, ἢ ὁ δίφρος. καὶ ἐν Εἰρήνῃ "ἰπνοὺς ἔχοντες, "ἐν δὲ τοῖς ἰπνοῖσι πῦρ." [ἰπνὸς: Τὰ φανάρια. Gl. Dorv. τὸ φανάριον. Gl. Θ. τὸ φουρνεύτιον, ἢ τὸ μαγειρεῖον. Gl. Paris. ἐξαπίνης: Ἐξαίφνης. Gl. Θ. Dorv.]

817. στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν: Εἶδος νομίσματος. οἱ οἰκέται οὖν, φησὶ, νομίσμασιν ἀρτιάζομεν, ἀντὶ τοῦ παίζομεν ἄρτια ἢ περισσὰ, τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον ζυγὰ ἢ ἄζυγα. παιδιά τις ἦν,

1. ἰχθυηροὺς—χωρῆσαι om. Θ.

ib. ἰχθυηροὺς δὲ πινακίσκους om. R.V.

ib. ἰχθῦν] ἰχθὺν R. ἰχθῦς V.

1, 2. ἢ ἐν—πλύνονται addidi ex V.

3. ὁ κουρελός] Nulla alia quam hujus loci auctoritate vocabulum hocce munivit Ducangius. HEMST.

4. Τζυκάλιον] De hoc dictum est ad v. 683. HEMST.

5. Τὰ σκουτέλια] Variis indutum formis exhibet Ducangius, cujus et alterum Glossarium est consulendum. A *scuto scutulam* et *scutellam*, item *scutulum* et *scutellum* derivari, tam mihi planum videtur, ut mirari satis nequeam, qui Salmasius primæ syllabæ quantitate, eaque, saltem apud recentiores, minime constante, fuerit inductus, ut ad *scutram*, σχύθραν, confugeret; a qua si maxime *scutellum* et *scutella* possint oriri, *scutula* certe vel *scutulum* vix, aut omnino non poterunt: hæc tamen ad Vopisc. Carin. p. 861. tradenti multi fuerunt qui statim sine ulla dubitatione subscriberent, interque eos De Casa Nova Orig. Ling. Franc. in v. *Ecuelle*, quæ non minus atque alia nostro Belgarum ore tritissima vox a *scutellis* fluxit. HEMST.

8. ἡ om. R.V.

ib. λεγόμενος add. V.

9. ἢ ὁ χυτρόπους, ἢ ὁ δίφρος addidi ex V.

ib. καὶ ἐν Εἰρήνῃ] Sic correxi quod est in V. καὶ ἐν χρήσει. Legebatur ὡς τὸ, quod om. R.Θ.

ib. ἰπνοὺς ἔχοντες addidi ex R.V.

10. ἐν δὲ (ut est in versu Pacis 841.) R. ἔν τε V.Θ. Ald.

13–15. Εἶδος—ἢ περισσά om. V.

13. νομίσματος] ὁ στατὴρ add. Ald. quod om. R.Θ.

14. νομίσμασιν ἀρτιάζομεν] νομίσμασι παίζομεν, ἀρτιάζομεν R.Θ.

ib. ἀντὶ τοῦ R. ἤγουν Ald. quod om. Θ.

ib. ἄρτια ἢ περίσσά om. Θ.

15. τὸ ἐν τῇ (τῇ om. Θ.) συνηθείᾳ λεγόμενον ζυγὰ ἢ ἄζυγα addidi ex R.Θ. Sequentia om. R, Θ. autem sic pergit, ἄλλως. παίζομεν ἄρτια ἢ περισσά. παιδιὰ δέ τις ἦν etc.

ib. παιδιά] παιδεία V.

ib. τις V. δέ τις Ald.

ib. ἦν om. V.

καθ' ἣν ἐγίνετο πεῦσίς τε τοῦ κατασχόντος καὶ ἀπόκρισις τοῦ προσπαίζοντος, ἤτοι ἀρτίας κατοχῆς ἢ περιττῆς, ἃ νῦν ζυγὰ καὶ ἄζυγα καλεῖται. τινὲς δὲ ἀρτιάζειν λέγουσι τὸ ἁρπαγῇ παίζειν ἀπὸ τοῦ ἑταίρου, ἴσως δὲ τὸ σφαιρίζειν. [στατῆρσι: Νομίσμασι. Gl. Dorv. Paris. νομίσμασιν, ἃ καὶ δίδραχμα λέγεται. ἔχει δὲ ὁ στατὴρ κεράτια τριακοντάεξ. Θ. ἀρτιάζομεν: Τὰ ἄρτια καὶ τὰ περιττὰ

1. κατασχόντος] κατέχοντος V.

ib. τοῦ ante προσπαίζοντος om. Θ.

2, 3. ἤτοι—καλεῖται addidi ex V. Post καλεῖται addit V. ἄλλως. παίζομεν ἄρτια ἢ περιττά, τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον ζυγὰ ἢ ἄζυγα.

3. τινὲς δὲ ἀρτιάζειν V. ἀρτιάζειν δὲ Ald.

3, 4. ἀρτιάζειν . . . σφαιρίζειν] Hæc aliena prorsus unde prodierint, quidve conducant ad explicandum ἀρτιάζειν, exputare vix possum. Pilæ ludo quid commune est cum ἀρτιασμῷ; aut ἀρτιάζειν quomodo fieri potest ut significet ἁρπαγῇ παίζειν; Non dubito quin hæc ex codice corrupto parvique pretii huc fuerint derivata. Quid tamen obest, quo minus tentemus, an probabili aliqua conjectura expediri nodus queat? In Poll. 9, 101. scriptum fuit olim ἁρπάζειν, quod scribendum erat ἀρτιάζειν· detur simili vitio, quanquam versu reclamante, in quodam Aristophanis exemplari exaratum fuisse ἁρπάζομεν· jam percipere licet qui contigerit ut ad marginem ab aliquo lectore minus perito sit adnotatum, ἁρπάζειν λέγουσι etc. quod in ἀρτιάζειν mutatum ab iis, qui contaminatæ lectionis ignari non perspiciebant, quorsum pertineret absurdum illud ἁρπάζειν. Intelligendum vero de lusu pilæ, quam vocabant ἁρπαστὸν, de quo Jungermann. ad Poll. 9, 105. n. 84. erat sane proprium in hoc lusus genere verbum ἁρπάζειν non secus ac *rapere* Latinis: apud Pollucem etiam, ἁρπάσαι τὴν σφαῖραν, πρὶν εἰς γῆν αὐτὴν πεσεῖν. Voluit igitur architectus ridiculæ adnotationis scripturæ comici depravatæ talem sensum adfingere, servos pilæ loco stateribus invicem missis lusisse. Attamen restat difficultas in ἀπὸ τοῦ ἑταίρου· satis commodam explanationem admittit ἁρπαγῇ παίζειν, *pilam rapiendo ludere,* quanquam melius ἁρπαστῷ legeretur: sed ἀπὸ τοῦ ἑταίρου, nisi, quod equidem pernegare nolim, plura deficiant, quibus adhæserit, sententiæ convenire minime videtur: nam si vel explicari posset, *a socio rapta pila ludere,* ipsa lusus ejus ratio, qua solebant ostentatam huic pilam ad alium conjicere, prioremque frustrari, explicationi repugnabit. Ex quibus hoc constet, loca veterum scriptorum suppeditabit Io. Meurs. de Lud. Græc. in Ἐφετίνδα. Venerat in mentem ἀπὸ τοῦ σφαιρίου eodem loquendi modo, quo dicitur ἀπὸ θαλλοῦ περιάγειν, ἀπὸ τροχιλίας ἀνιμᾶν· ἀπὸ ῥαβδίου οἰακίζεσθαι, ἀπὸ ἐξωμίδος περιϊέναι· Pollux certe 9, 105. de lusu φαινίνδα sic scribit: εἰκάζοιτο δ' ἂν εἶναι ἡ διὰ τοῦ μικροῦ σφαιρίου, ὃ ἐκ τοῦ ἁρπάζειν ὠνόμασται. Hac de re quoquo modo statuatur, illud quidem adfirmare non vereor, spuriam esse, quam proposui, scholii partem: interpretationis antiquæ finis est in προσπαίζοντος· adjectum postea, ἢ ὅπερ . . . . λέγομεν· intermedia nihil est potius, quam ut hinc abigantur. HEMST.

3. παίζειν] περιπαίζειν V.

4. τὸ om. V.

ib. σφαιρίζειν] περισφαιρίζειν V. Sequitur in Ald. ἢ ὅπερ ἐν τῇ συνηθείᾳ ζυγὰ ἢ ἄζυγα λέγομεν, quæ om. V.Θ.

παίζομεν, ἃ φασιν ἰδιωτικῶς ζυγὰ μονά. Gl. Θ. Dorv. *τὰ ἄ. κ. τ. π. παίζομεν, τὰ κοινῶς λεγόμενα παρὰ τοῖς ἰδιώταις μονὰ, ζυγά.* Schol. Br. *τὸ ἐν συνηθείᾳ λεγόμενον μονὰ ἢ ζυγά.* Gl. Br. *τὰ ἄρτια παίζομεν.* Gl. Paris.]

[818. *ἀποψώμεσθα*: *'Απομασσόμεθα, καθαίρομεν τὴν πυγήν.* V. *τοὺς πρωκτοὺς σπογγιζόμεθα· οἱ γὰρ τρυφῶντες συνεχῶς χέζουσι.* Gl. Θ. Dorv. *ἀποσπογγίζομεν τὸν πρωκτόν.* Gl. Paris.]

819. *σκοροδίοις ὑπὸ τρυφῆς*: *Τοῖς τῶν σκορόδων φύλλοις. γελοίως ἀντὶ τοῦ σαβάνοις. ἐπειδὴ δὲ ἤσθιον ἑκάστοτε σκόροδα, τοῦτό φησιν, ὅτι ὡς πλουτήσαντες κατεφρόνησαν τῆς παλαιᾶς διαίτης. εἴρηται δὲ σκόροδον ἴσως, σκαιόν τι ῥόδον ὄν, παρὰ τὸ σκαιὸν ὄζειν. τινὲς δὲ σκοροδίοις, τοῖς τῶν σκορόδων καυλοῖς. λιμῷ γὰρ περιπε-*

1. *ἰδιωτικῶς μονζύγα*] Ita Dorv. nisi me literæ fallunt in postrema voce, quæ tamen ex scholiasta sine dubio refingenda est: Ducangius quod nos juvet nihil adnotavit. Vid. Suid. in *Περιττά*. HEMST. Correxi *ζυγὰ μονά* ex Θ.

5. *'Απομασσόμεθα*] . . . . *σόμεθα* G. *ἀποκαταμασσώμεθα* V.

ib. *τὴν πυγήν* om. G.

6. *σπογγιζόμεθα*] *σπογγίζομεν* Dorv.

ib. *οἱ γὰρ—χέζουσι* om. Dorv.

7. *ἀποσπογγίζομεν*] Ranarum v. 490. glossator Brunckianus *ἀπεψησάμην* pariter interpretatur *ἀπεσπογγισάμην*. Conf. not. ad Gregor. Cor. p. 1049. SCHÆFER.

8. *Τοῖς—φύλλοις* addidi ex R.V.

8–p. 258. l. 7. *γελοίως—εἰρηκώς* om. R.

8. *γελοίως*] Descripsit hoc scholion Suidas in *σκοροδίοις*, sed ordine paulum diverso, quem potiorem puto: *Γελοίως . . . . τοῦτό φησιν . . . διαίτης . . . εἴρηται δὲ σκ. . . . ἐχρήσαντο· οὐχ ἁπλῶς δὲ τοῦτο . . . . ἀποματτόμεθα· μήποτε δέ φησι τοῦ σκ. τὸν κ. . . . ὡς κἀκεῖνος . . . . παρὰ τὴν ὑπόνοιαν εἰρηκώς.* HEMST.

9. *σαβάνοις*] Hierocl. in Hippiatr. p. 235. *λοῦσον τὸν ἵππον, καὶ ἀπόμαξον σαβάνοις.* Theomnest. p. 237. *λοῦσον καὶ ἀπόμαξον σαβάνοις τραχέσιν ὅτι μάλιστα·* pannos et lintea vertit Vegetius. Vid. Coteler. ad Herm. Past. lib. 3. Simil. 8. §. 4. et Jac. Toll. ad Form. Recept. Manich. p. 176. Hinc oriri puto nomen illud obvium in Gruter. Inscr. p. CCCXIII. n. 8. L. Aurelius Panniculus, qui et Sabanas: *Σαβανᾶς*. Vox autem late diffusa quo pluribus in linguis frequentatur, eo difficilius unde primum manaverit indagare licet: interpres Arabs pro *ὀθόνη* posuit in A. A. 10, 11. pro *ὀθονίοις* MS. Biblioth. Groning. in Johann. Evang. 9, 41. Gothicus ita reddidit *σινδόνα* Matth. 27, 59. Ex Græcis Clemente Alexandrino Pædag. 2, 3. p. 161. D. vix antiquiorem dederis, ubi *σάβανον* inveniatur. HEMST. *σαβανίοις* V.

ib. *σκόροδα*] *τὰ σκόροδα* Θ.

ib. *τοῦτό φησιν* Suidas. *τοῦτό φασιν* V. *τοῦτο λέγει* Ald.

10. *ὅτι* om. V.

ib. Post *διαίτης* sequuntur in Θ. et Ald. *μήποτε—εἰρημένον*, quæ infra posui cum V. et Suida.

11. *σκόροδον*] *τὸ σκόροδον* V.

ib. *σκαιόν τι—παρὰ τὸ* om. V.

ib. *ὄζειν*] *ὄζον* V.

12. *γὰρ* V. *δὲ* Ald. et Suidas.

σόντες οἱ Ἀθηναῖοι τούτοις ἐχρήσαντο. [*χάριν δὲ γέλωτος εἶπεν ἀντὶ τοῦ καυλοῖς.* V.] *Ἄλλως. οὐχ ἁπλῶς τοῦτο, ἀλλ' ἵνα δείξῃ ὅτι τοσαύτῃ μεταβολῇ κεχρήμεθα, ὥστε ἃ πρότερον ἠσθίομεν ἀγαπητῶς, τούτοις νῦν ἀφοδεύοντες ἀποματτόμεθα. Ἄλλως. μήποτε τοῦ σκορόδου λέγει τὸν καυλόν. ἔστι γὰρ ἀσφοδέλῳ ὅμοιος κἀκεῖνος ἐπιτήδειος εἰς τοῦτο. εἰ δ' ἄρα δηκτικόν τι ἔχει, τάχα ἂν εἴη παρὰ τὴν ὑπόνοιαν εἰρηκώς.* [*σκοροδίοις*: Τοῖς τῶν *σκορόδων φύλλοις.* R. *ἑκάστοτε*: Καθ' *ἡμέραν.* Gl. Dorv.]

820. *βουθυτεῖ*: Καταχρηστικῶς *εἴρηται ἡ βουθυσία, δηλοῦσα τόν τε ὄγκον τοῦ μεγέθους καὶ τὸ ἐντελὲς τῆς θυσίας, ἣν ἑκατόμβην καλοῦσιν. ἐντελὴς δὲ θυσία, ἡ ἐξ ὑός, τράγου, κριοῦ, ἣν καλοῦσι τριττύν.* [*Ἄλλως. μεγάλην θυσίαν ποιεῖ· οὐ γάρ, ὥς τινες, βοῦν θύει, οἷς τὸ ἐπιφερόμενον ἐναντιοῦται.* V. *ὁ δεσπότης*: Ὁ *ἡμέτερος.* Gl. Dorv. *βουθυτεῖ*: (Βοῦν *θύει.* Paris.) Μεγάλην *θυσίαν ποιεῖ, ἢ ἁπλῶς θύει.* Gl. Θ. Dorv. Paris. *βουθυτεῖν κυρίως τὸ βοῦν θύειν. ἐκάλουν δὲ τὴν ἐντελῆ θυσίαν ἑκατόμβην, διὰ τὸ ἐκ βοῶν ἑκατὸν γίνεσθαι. ἦν δὲ καὶ ἄλλη ἐντελὴς θυσία τριττὺς λεγομένη, ἡ ἐκ χοίρου καὶ κριοῦ καὶ τράγου, ἣν καὶ ἐνταῦθα λέγει.* Paris.]

[821. *ὗν*: Χοῖρον. Gl. V. Dorv.]

1. *τούτοις*] *σκορόδοις* V.
2. *Ἄλλως* om. Suidas.
ib. *οὐχ ἁπλῶς*] *δὲ* add. Suidas.
4. *ἀφοδεύοντες*] *ἀφοδεύσαντες* V.
ib. *Ἄλλως* addidi ex V.
ib. *μήποτε* V. *μήποτε δὲ* Ald. et Suidas.
5. *λέγει*] *λέγῃ* Θ.
ib. *γὰρ* V. et Suidas. *δὲ* Ald.
5, 6. *κἀκεῖνος—εἰς τοῦτο* om. V.
5. *κἀκεῖνος*] *ὡς κἀκεῖνος* vulgo apud Suidam. Sed *ὡς* om. cod. Paris. A.
6. *τι* om. Θ.
ib. *παρὰ τὴν*] *παρ'* V.
7. *εἰρηκώς* V. et Suidas *εἰρημένον* Ald.
ib. *Τοῖς τῶν σκορόδων φύλλοις*] *φύλλοις σκορόδων* Paris. *φύλλα ων* (sic) Dorv.
9. *εἴρηται ἡ βουθυσία, δηλοῦσα*] *εἴρηκε τὴν βουθυσίαν, ἵνα δηλώσῃ* V. Cum Ald. consentit Suidas s. *βουθυτεῖ*.
10. *τοῦ μεγέθους καὶ τὸ ἐντελὲς τῆς θυσίας*] *τῆς θυσίας καὶ τὸ ἐντελὲς τοῦ μεγέθους* R.
ib. *ἣν ἑκ. καλοῦσιν*] *ἥν, φασὶν, ἑκ. καλοῦσιν* V, non G.
11. *δὲ* om. Θ.
ib. *ἐξ ὑὸς*] *ἐκ συὸς* R.Θ. et Suidas s. *τριττύς*.
ib. *τράγου, κριοῦ* V.Θ. *ταυροῦ, κριοῦ* R. *ταύρου, τράγου καὶ κριοῦ* Ald. *κριοῦ καὶ τράγου* Suidas. "Paulo aliter "*τριττὺν* ab aliis explicari docebit "Etymol. in V. Vide Des. Herald. Digr. 1. c. 16. p. 224." HEMST.
12. *τριττύν*] *τριττὺς δὲ παρ' Ἀθηναίοις ἡ ἐξ ὑὸς* (*ἐκ συὸς* Θ.) *καὶ κριοῦ καὶ τράγου θυσία* addit Ald. quæ om. R.V.
15. *ἢ ἁπλῶς θύει* om. Dorv.

[822. ἐξέπεμψεν : Ἐξέβαλεν. Gl. Dorv. ἔξω ἔπεμψεν. Gl. Paris. οἷός τε : Δυνατός. Gl. Dorv.]

823. ἔδακνε γὰρ τὰ βλέφαρά μου : Μεταβολὴ πάντων, εἰ ὁ μὲν δεσπότης ὑποφέρει τὸν καπνὸν, ὁ δὲ δοῦλος οὔ. [μένειν : Καρτερεῖν. Gl. Dorv. ἔδακνε : Ἔθλιβε. ὁ καπνός. Gl. Paris. τὰ βλέφαρα : Τοὺς ὀφθαλμούς. Gl. Dorv.]

824. ἕπου μετ' ἐμοῦ, παιδάριον : Κορωνὶς ἑτέρα εἰσιόντων ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κζ', ὧν τελευταῖος

χαρίεντά γ' ἥκεις δῶρα τῷ θεῷ φέρων.

ἐπὶ τῷ τέλει κορωνίς.

[ἕπου μετ' ἐμοῦ : Πλάτων Μενεξένῳ " ἀλλ' εἰ μὴ πιστεύεις, " ἀκολούθει μετ' ἐμοῦ." Junt. ἕπου : Ἀκολούθει. Gl. Dorv. Paris. παιδάριον : Ὦ. ἵνα : Ὅνα. τὸν θεὸν : Τὸν Πλοῦτον. Gl. Dorv.]

[825. ἴωμεν : Πορευθῶμεν. Gl. Dorv. ἔα : Ἐπίρρημα ἐκπληκτικόν. Gl. Dorv. Paris. Victor. ὁ προσιὼν : Ὁ ἐρχόμενος. Gl. Dorv.]

826. ἀνὴρ πρότερον μὲν ἄθλιος : Δίκαιος ἀνὴρ οὗτος πρότερον πενόμενος, ᾧ διαλέγεται ἢ ὁ Χρεμύλος, ἢ ὁ οἰκέτης. τὸ δὲ, κομιδῆ μὲν οὖν, ἀντὶ τοῦ, παντάπασι μὲν οὖν. [εἰμί. Gl. Paris. ἄθλιος : Δυστυχής. εὐτυχής : Πλούσιος. Gl. Dorv.]

[827. δῆλον : Φανερόν. Χρηστῶν : Ἀγαθῶν. ἔοικας : Φαίνεσαι. Gl. Dorv.]

[828. μάλιστ' : Ἀττικὸν ἀντὶ τοῦ ναί. τοῦ δέει : Τίνος χρείαν ἔχεις. Gl. Paris. τίνος χρῄζεις. Gl. Dorv. πρὸς : Εἰς. Gl. Paris.]

[829. ἥκω : Ἦλθον. Gl. Paris. γάρ μοὐστὶν : Τὸ τέλειον, μεγάλων γάρ μοι ἐστίν. R.V. αἴτιος : Πρόξενος. Gl. Dorv.]

3. πάντων R. πάντως V. παντὸς Ald.
4. ὑποφέρει] φέρει R. ἐπιφέρει Θ, adscripto ὑπο.
ib. δὲ δοῦλος R.V. δοῦλος δ' Ald.
7–11. Κορωνὶς — κορωνίς om. R.V.Θ.
12. Μενεξένῳ] In fine.
18, 19. Δίκαιος—οἰκέτης] οὗτος ὁ ἀνὴρ δίκαιος πρότερον πένης ὢν ἔρχεται πρὸς τὸν πλοῦτον, ᾧ διαλέγεται ὁ καρίων V.
18. οὗτος addidi ex R.V.
19. ἢ οἰκέτης ἢ ὁ χρεμύλος R.
19, 20. τὸ δὲ—π. μὲν οὖν] δηλονότι ἀντὶ τοῦ παντάπασι τὸ κομιδῆ ἐχρῶντο R. τὸ δὲ κομιδῆ ἀντὶ τοῦ παντάπασιν ἐχρῶντο. V(post scholion v. 834.). om. Θ.
28. μοι ἐστίν] μου ἐστί R.

[830. ἱκανὴν οὐσίαν : Ἀρκετὸν βίον. Gl. Paris. οὐσίαν : Περιουσίαν. Gl. Dorv.]

[831. ἐπήρκουν : Ἐχορήγουν. R.V. (non G.) ἐβοήθουν. Gl. Θ. Dorv. Paris. δεομένοις : Χρήζουσι καὶ πενομένοις. Gl. Θ. Paris.]

[832. εἶναι : Τοῦτο. Gl. Θ. νομίζων : Ὑπολαμβάνων. χρήσιμον : Ὠφέλιμον. Gl. Dorv.]

[833. ἦπου : Ὄντως. Gl. Θ. Dorv. Paris. ταχέως : Συντόμως. Gl. Paris. ἀπέλιπεν : Ἀφῆκε. Gl. Θ. Dorv. ἐπέλιπε : Ἀφῆκε. Gl. Paris.]

[834. κομιδῆ : Λίαν. Gl. Θ. λίαν ταχέως. μετὰ ταῦτ᾽ : Μετὰ τὸ ἀναλῶσαι ταῦτα. Gl. Paris. ἄθλιος : Ὡς μὴ ἔχων περιουσίαν, ἀλλ᾽ ἐν ἐνδείᾳ ζῶν. Gl. Θ. ἐπειδὴ ἀνήλωσας εἰς τοὺς δεομένους. R.V.]

[835. κομιδῆ : Λίαν. ᾤμην : Ὑπελάμβανον. τέως : Πρώην. Gl. Dorv. πρώην ἢ πρὸ ὀλίγου. Gl. Paris. πρώην, πρότερον. Gl. Br.]

[836. ἕξειν : Κτήσασθαι. Gl. Dorv. λήψεσθαι. Gl. Paris.]

[837. ὄντως : Ἀληθῶς. Gl. Dorv. βεβαίους : Ἀληθεῖς. Gl. Paris. δεηθείην : Εἰς χρείαν ἔλθοιμι. Gl. Dorv. χρείαν σχοίην τινός. Gl. Paris.]

[838. ἐξετρέποντο : Ἀπέφευγον. R. ἔφευγον. V. (non G.) μετεβάλλοντο, ὡς πρὸς ἑτέραν ὁδὸν ἐτρέποντο, πορρωθεν θεασάμενοί με. Θ. (ἐξένευον Dorv.) μετεβάλλοντο. Gl. Dorv. Paris. ἐδόκουν : Ἐνόμιζον. Gl. Dorv. Paris.]

[839. οὐ μόνον ταῦτ᾽ ἐποίουν, ἀλλὰ καὶ—. Gl. Θ. Dorv. Paris. κομιδῆ : Λίαν κατεγέλων. Gl. Paris.]

840. αὐχμὸς γὰρ ὤν : Τὸ ἑξῆς, ἀπώλεσέ με ὁ ὢν αὐχμὸς τῶν

4. καὶ om. Paris.

12. ἀνήλωσας R.G. ἀνήλωσεν V.

25. καὶ om. Θ. Dorv. In Dorv. librarii stupor valde implicuit interpretationem, quæ huic versiculo est adposita : οὐ μόνον ταῦτα ἐποίουν ἀλλὰ γινώσκω λίαν· hæc sine ulla distinctione ordine continuo junguntur. Λίαν ad κομιδῆ pertinet, ut ex superioribus manifestum est; ad οἶδα verbum γινώσκω· reliqua sententiæ explendæ inserviunt : οὐ μόνον ταῦτα (τὸ ἐκτρέπεσθαί σε, καὶ οὐ δοκεῖν ὁρᾶν) ἐποίουν, ἀλλὰ καὶ κατεγέλων etc. HEMST.

27–p. 261. l. 7. Τὸ ἑξῆς—κριθῶν] τὸ ὢν ἀντὶ τοῦ δή. ἀντὶ τοῦ ἀπώλεια—κριθῶν. τὸ ἑξῆς—ἐποίησε R. Suidas s. αὐχμεῖς hæc tantum excerpsit, ἀντὶ τοῦ ἀπώλεσέ με ὁ ὢν αὐχμὸς τῶν σκευαρίων· μετωνυμικῶς.

σκευαρίων. ἢ τὸ ῶν ἀντὶ τοῦ δή. Ἀττικῶς δὲ εἶπεν ἀντὶ τοῦ ξηρὸς γενόμενος ὑπὸ πενίας ἀπώλεσε τὰ σκευάρια, ἀπώλεσε τῶν σκευαρίων. Ἄλλως. μετωνυμικῶς, ἀπολέσαι με τὰ σκευάρια ἐποίησεν, [ἢ πάλιν ξηρὸς γενόμενος ὑπὸ πενίας καὶ τῶν σκευαρίων ἡψάμην. V.] Ἄλλως. ἀντὶ τοῦ ἀπώλεια. μεταφέρεται δὲ ἀπὸ τοῦ σίτου. ὅταν γὰρ αὐχμὸς ἐπιγένηται ἤδη τῶν ἀσταχύων ἁδρυνομένων, ἀφανίζεται ὁ πυρὸς καὶ κατακαίεται. εἴρηται δὲ παρ' ὑπόνοιαν, οἷον πυρῶν καὶ κριθῶν. [αὐχμός: Στέρησις. Gl. Θ. Dorv. στέρησις, ξηρασία. τῶν: Ἐμῶν. Gl. Paris. τῶν σκευαρίων: Τῶν χρειῶν. Gl. Dorv. τῶν εἰς χρείαν πραγμάτων ἠφάνισεν. Gl. Paris. τῶν εἰς χρείαν ὄντων. Gl. Θ. τὸ ὢν ἢ ἀντὶ τοῦ οὖν νοητέον, τρεπομένης Δωρικῶς τῆς ου διφθόγγου εἰς ωμέγα· ἢ ἀντὶ τοῦ ὑπάρχων, οὕτω. ἀπώλεσε γὰρ ἐμὲ αὐχμὸς τῶν σκευαρίων ὢν καὶ ὑπάρχων ἐμοί. πέπρακα γὰρ ταῦτα, καὶ διὰ τοῦτο εἰς γέλωτα πᾶσι προὐκείμην. παρὰ τὸ μὴ ἔχειν τὰ σκευάριά τι, ἀπολώλειν. ἐχόντων γάρ τι τῶν σκευαρίων, ἤδη ἠρδευόμην. διακένων δ' ὄντων αὖος καὶ ξηρὸς ἦν ὑπὸ τῆς ψυχρᾶς πενίας, ὃ γοῦν ἔπασχεν ὁ δίκαιος οὗτος, ἀντιστρόφως τοῦτο τὰ σκευάρια, φησὶν, ἀπώλεσεν. Schol. C.]

[841. ἀλλ' οὐχὶ νῦν: Ἔσται τοῦτο. (Gl. Θ.) ἀνθ': Ἕνεκα. Gl. Dorv. Paris.]

[842. προσευξόμενος: Μέλλων προσεύξειν καὶ παρακαλέσειν. Gl. Paris. ἥκω: Ἦλθον. Gl. Dorv.]

843. τὸ τριβώνιον δὲ: Τὸ παλαιὸν ἱμάτιον. τοιοῦτον γὰρ ὁ οἰκέ-

1. τὸ ῶν ἀντὶ τοῦ δή] Particulam Ionicam ὦν dicit scholiasta, de qua non cogitandum in poeta Attico.

1, 2. Ἀττικῶς—τὰ σκευάρια] Omittebat scholiasta μ' cum Suida et σκευαρίων ad ἀπώλεσε referebat per constructionem Atticam. Unde scholiasta ita fere corrigendus, * * ξηρὸς γενόμενος ὑπὸ πενίας. * * Ἀττικῶς δὲ εἶπεν ἀντὶ τοῦ ἀπώλεσε τὰ σκευάρια. DOBRÆUS.

2. ἀπώλεσε τὰ] ἀπώλεσα τὰ V.

ib. ἀπώλεσε τῶν σκευαρίων addidi ex R.

3. Ἄλλως. μετωνυμικῶς om. Θ, spatio vacuo. Ἄλλως om. R.

ib. με τὰ] με χοροῦ τὰ V.

5. ἀντὶ] αὐχμὸς ἀντὶ V.

ib. μεταφέρεται] μεταφορικῶς V.

ib. ἀπὸ] ἐπὶ primum fuit in Θ.

6. ἀσταχύων V. σταχύων Ald.

ib. πυρὸς R.V. σῖτος Ald.

7. οἷον om. V.

8. Ἐμῶν] In Θ. ἐμοὶ ad hunc versum adscriptum.

9. Τῶν χρειῶν] χρείας et χρειασίδια Græci recentiores vocant *utensilia*. HEMST.

15. διακένων δ' ὄντων Dobræus. διακρίνων δ' οὕτω codex.

23. τοιοῦτον R.V. τοῦτο Ald.

της αὐτοῦ ἐβάσταζεν. [τὸ τριβώνιον: Τὸ παλαιὸν ἱμάτιον. Gl. Dorv. τὸ διερρηγμένον. Gl. Paris.]

[844. φέρει: (Ἄγει Paris.) βαστάζει. Gl. Dorv. Paris. τουτί: Τουτὶ πρὸς τὸ παιδάριον. Gl. Dorv. ἢ τουτὶ πρὸς τὸ παιδάριον, ἢ τουτὶ τὸ τριβώνιον. Gl. Θ.]

[845. ἀναθήσων: Ἀφιερώσων. Gl. Θ. Paris. ἀ. ἔρχομαι: Ἀφιερώσω, ἀνάθημα ποιήσω. πρὸς: Εἰς. Gl. Dorv.]

846. μῶν οὖν ἐμυήθης: Παίζει παρὰ τὸν Ἐλευσίνιον νόμον· ἔθος γὰρ ἦν, ἐν οἷς τις ἱματίοις μυηθείη, εἰς θεοῦ τινος ταῦτα ἀνατιθέναι, ὥσπερ δηλοῖ καὶ Μελάνθιος ἐν τῷ περὶ Μυστηρίων "πάτριόν ἐστι "ταῖς θεαῖς ἀνιεροῦν καὶ τὰς στολὰς τοὺς μύστας, ἐν αἷς τύχοιεν "μυηθέντες." μυστήρια δὲ δύο τελεῖται τοῦ ἐνιαυτοῦ Δήμητρι καὶ Κόρῃ, τὰ μικρὰ καὶ τὰ μεγάλα· καὶ ἔστι τὰ μικρὰ ὥσπερ προκάθαρσις καὶ προάγνευσις τῶν μεγάλων. Ἄλλως. σκώπτων εἰς τὰ ἱμάτια τοῦτό φησιν, ὅτι ῥυπαρά ἐστι. λέγει δὲ μυστήρια. ἔθος δὲ εἶχον ἐν οἷς τις μυηθείη ἱματίοις, ταῦτα εἰς θεοῦ τινος ἀνατιθέναι. ἔνιοι δὲ τὰς τοιαύτας στολὰς εἰς τέκνων σπάργανα φυλάττουσι· καθαραὶ δὲ πάνυ ὑπάρχουσι καὶ νέαι. Ἄλλως. μεγάλα καὶ μικρὰ

1. αὐτοῦ add. R.V.Θ.

8–18. Παίζει—νέαι] σκώπτων—νέαι. ἄλλως. παίζει—τῶν μεγάλων V.

9. ἦν om. V.

ib. ἱματίοις om. R.

ib. ταῦτα om. R.

10. Μελάνθιος] Deterius ad Av. v. 1073. Μελάνθης scribitur: vide Io. Meurs. Præf. ad Eleusinia, in quo libello sæpe mentionem hujus scholii fecit capp. 5. 7. 12. 19. Opus autem Melanthii περὶ μυστηρίων singulare fuerit, an pars τῆς Ἀτθίδος, cujus eum auctorem laudat Harpocrat. in Γρυπάνιον, haud temere dixerim: Menandri quidem liber eodem titulo, citatus ab Avium enarratore, quem de sacris Eleusiniis tantummodo tractasse putat Meursius, ambitu latiore non Attica solum videtur, sed ubivis Græciæ celebrata mysteria comprehendisse: nam inde sumtum auguror, quod schol. Apoll. Rh. ad 1, 1126. observat, Apollonium Μενάνδρῳ ἀκολουθεῖν λέγοντι Μιλησίους, ὅταν θύωσι τῇ Ῥέᾳ, προθύειν (ita legendum, non προσθύειν) Τιτίᾳ καὶ Κυλλήνῳ· ex quibus simul, poetam Rhodium esse Menandro sive Ephesio, sive aliunde orto, inferiorem ætate, colligi potest. HEMST.

ib. ἐστι ταῖς θεαῖς] δὲ τοῖς θεοῖς V.

11. τοὺς μύστας R.V. τοῖς μύσταις Ald.

ib. αἷς] οἷς V.

ib. τύχοιεν] τύχοιμεν Θ.

12. δὲ δύο τελεῖται] δὲ ἐπιτελεῖται V.

13. καὶ ἔστι] εἰσὶ δὲ V.

14. προάγνευσις] προαγόρευσις V.

14–p. 263. l. 9. Ἄλλως—ἐποίησαν om. R.

15. ἐστι] εἰσι V.

15, 16. λέγει—ἀνατιθέναι addidi ex V.

18–p. 263. l. 9. Ἄλλως. μεγάλα—ἐποίησαν] Scholion recens, quo carent R.V.Θ.

18. μεγάλα καὶ μικρὰ μυστήρια ἐτελ.]

μυστήρια ἐτελοῦντο ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς. μὴ ὄντων δὲ πρότερον μικρῶν, ἐλθόντος Ἡρακλέους καὶ θέλοντος μυηθῆναι, ἐπειδὴ νόμος ἦν Ἀθηναίοις μηδένα ξένον μυεῖν, αἰδεσθέντες τὴν αὐτοῦ ἀρετὴν, καὶ ὅτι φίλος τε ἦν τῆς πόλεως καὶ υἱὸς τοῦ Διὸς, ἐποίησαν μικρὰ μυστήρια, ἐν οἷς αὐτὸν ἐμύησαν. ἦσαν δὲ τὰ μὲν μεγάλα τῆς Δήμητρος, τὰ δὲ μικρὰ Περσεφόνης τῆς αὐτῆς θυγατρός. ὁ δὲ μυούμενος τὸ ἱμάτιον, ὃ ἐφόρει ἐν τῇ μυήσει, οὐδέποτε ἀπεδύετο, μέχρις ἂν τελέως ἀφανισθῇ διαρρυέν. ὅπερ δὲ πρὸς Ἡρακλέα, τοῦτο καὶ πρὸς Διοσκούρους ἐποίησαν. [μῶν: Ἆρα δή. ἐμνήσθης: Ἐδιδάχθης. Gl. Dorv. ἐμυήθης: Ἐδιδάχθης. αὐτῷ: Τῷ τριβωνίῳ. Gl. Paris. τὰ μεγάλα: Μυστήρια δηλονότι. Gl. R.Θ. Dorv.]

[847. ἐνέρρίγωσ': Ἐν αὐτῷ ἐρίγωσα, ἤγουν ἐξεχείμασα. Gl. Dorv. μετὰ ῥίγους διεβίβασα. ῥιγέω ῥιγῶ ἐπὶ ψυχῆς, ῥιγόω δὲ ῥιγῶ ἐπὶ σώματος. Gl. Paris.]

[848. ἐμβάδια: Τί δύναται. ἤγουν τὰ καλίγια. Gl. Dorv. ὑποδήματα. Gl. Paris. συνεχειμάζετο: Σὺν τῷ ἱματίῳ. Gl. Θ. Dorv. Paris.]

[849. ἀναθήσων: Ἀφιερώσων. Gl. Dorv. ἀνάθημα ποιήσων. Gl. Paris. νὴ: Ναί. Gl. Dorv.]

[850. χαρίεντα: Ἥδυτατα κατ' εἰρωνείαν. φέρων: Κομίζων. Gl. Paris.]

851. οἴμοι κακοδαίμων: Κορωνὶς ἑτέρα ὁμοία· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ρθ', ὧν τελευταῖος

νῷ δ' εἰσίωμεν, ἵνα προσεύξῃ τὸν θεόν.

ἐπὶ τῷ τέλει κορωνὶς, καὶ ἑξῆς χοροῦ αὖθις. ἐχρῆν γὰρ κἀνταῦθα θεῖναι χορὸν, εἰσιόντων τῶν ὑποκριτῶν ἐντὸς, ἄχρις ἄν τις ἐπέλθῃ

Hæc minus accurate scholiastes. Minora enim mysteria Cereris non celebrabantur Eleusine, sed Agræ, vel Agris, quod erat oppidum Atticæ ad Ilissum fluvium, teste Stephano Byzantio v. Ἄγρα: Eustath. ad Il. B. p. 361. et aliis. Vide omnino Petavium ad Themistium Orat. 5. p. 415. edit. Hard. KUST. μεγάλα etc.] Eadem usque ad ἐμύησαν præfert margo Dorv. litera vix una atque altera dissidentia. His autem adnecti oportuerat, quæ leguntur in fine scholii, ὅπερ δὲ πρὸς Ἡρακλέα etc. HEMST.

9. Vel vitii causa notandum est ἐμνήσθης· ita μνηθῆναι pro μνησθῆναι jamdudum in Gregorio Nazianzeno Billius emendavit. HEMST.

11. δηλονότι] δηλαδὴ Dorv.: om. Θ.

15. καλίγια] Ex glossis ad Plutum Aristophanis MSS. hæc a Ducangio proferuntur in καλίγιον. τὰ δὲ ἐμβάδια, τουτέστιν καλίγια. HEMST.

16. Σὺν om. Θ.

ὑποκριτὴς ἕτερος. [κακοδαίμων: Δυστυχής. ὡς: Ὅτι λίαν. Gl. Dorv.]

[853. καὶ ἰοῦ ἰοῦ: Καὶ φεῦ. Gl. Paris.]

854. οὕτω πολυφόρῳ: Πολλά μοι κακὰ ὑφ' ἕνα καιρὸν φέροντι, ἢ ποικίλῳ ἀπὸ τοῦ πολὺ ὕδωρ ἐπιδεχομένου οἴνου· ἤγουν ἀκράτῳ καὶ ἰσχυρῷ πρὸς τὸ κακόν. εἴρηται δὲ, ὅτι πολύφορον μὲν ἔλεγον τὸν πολλὴν κρᾶσιν δεχόμενον, ὀλιγόφορον δὲ τὸν ὀλίγην. πολυφόρῳ οὖν τῷ πολλῶν ἀτυχιῶν κομιστικῷ. ἢ μεταφορικῶς ἐκ τῶν πολυκάρπων χωρίων, ἢ πολυανθῶν δένδρων. Ἄλλως. συγκέκραμαι, μεταφορικῶς· ὡς ἀπὸ οἴνου καὶ ὕδατος τῆς συγκράσεως γινομένης. [πολυφόρῳ: (Πολλαπλασίῳ Dorv.) Πολλὰ κακὰ φέροντι. Gl. Θ. Dorv. E. Paris. συγκέκραμαι: Μεμιγμένος εἰμί. Gl. Dorv. ἥνωμαι. Gl. Paris. πολύφορος γῆ, ἡ πολλὴν φορὰν καὶ καρπὸν παρέχουσα, καὶ πολύφορος οἶνος, ὁ πολὺ ὕδωρ δεχόμενος ἐν τῷ μίγνυσθαι τούτῳ. ἐκ τούτου μεταφορικῶς καὶ ὁ πολύφορος δαίμων, ὅθεν ἐπήγαγε τὸ συγκέκραμαι, ὅπερ ἐπὶ ὑγρῶν λέγεται. Paris.]

[855. ἀποτρόπαιε: Διώκτα τῶν κακῶν. Gl. Paris.]

[856. ποτ': Ἆρα. πέπονθεν: Ἔπαθεν. Gl. Dorv.]

[857. σχέτλια: Χαλεπά. Gl. Dorv. ἐλεεινά. Gl. Paris. πέπονθα: Ἔπαθα. νυνὶ: Ἀρτίως. Gl. Dorv.]

[858. ἀπολωλεκὼς: Φθείρας. τῆς οἰκίας: Τῆς ἐμῆς δηλαδή. Gl. Dorv.]

[859. τὸν ἐσόμενον: Τὸν γενησόμενον Πλοῦτον. Gl. Dorv.]

1. Ὅτι λίαν] Hæc sejungenda; nam utroque modo illud ὡς exponere solet Dorv. HEMST.

4–9. Πολλά — δένδρων] ἀντὶ τοῦ πολὺ ὕδωρ—πολυανθέων καρπῶν. ἄλλως. πολλά μοι—φέροντι V.

4. Πολλά] ἀντὶ τοῦ πολλά Suidas s. πολυφόρῳ.

ib. φέροντι R.V. et Suidas. ἄγοντι Θ. Ald.

5. ποικίλῳ Suidas. ποικίλα R.Θ. Ald. ἢ ποικίλῳ om. V.

ib. ἀπὸ R. et Suidas. ἀντὶ V. εἴρηται δὲ (δὲ om. Θ.) ἀπὸ Θ. Ald.

ib. ἐπιδεχομένου οἴνου] ἐπιδεχομένῳ οἴνῳ V.

ib. ἤγουν om. V.Θ. τουτέστιν Suidas.

6. εἴρηται δὲ, ὅτι πολυφόρον μὲν ἔλεγον] πολυφόρον γὰρ ἔλεγον Suidas.

ib. δὲ] γὰρ V. om. Θ.

ib. τὸν] τὸ V.

7. ὀλίγην] ὀλίγον R.

7, 8. πολυφόρῳ—κομιστικῷ add. V.

8. ἐκ R.V. ἀπὸ Ald. om. Θ.

9. χωρίων om. V.

ib. ἢ πολυανθῶν δένδρων] καὶ πολυανθέων καρπῶν V.

9, 10. Ἄλλως—γινομένης om. R.V.Θ.

13. πολύφορος] Alii scribunt παροξυτόνως, πολυφόρος: quod magis ex regula est. SCHÆFER.

23. τὸν γενησόμενον Πλοῦτον] Confusa credo: Πλοῦτον adscribi debuerat neglectæ voci τὸν θεόν. HEMST.

860. *ἤνπερ μὴ λίπωσιν αἱ δίκαι*: *Ἀντὶ τοῦ, ἐὰν τὸ δίκαιον παραμείνῃ. σκώπτει πάλιν ὡς βίαιον οὖσαν τὴν ἐν δικαστηρίῳ κρίσιν.* [*πάλιν αὖθις*: *Ἐκ παραλλήλου. αἱ δίκαι*: *Αἱ κρίσεις καὶ τὸ δίκαιον.* Gl. Θ. Dorv. Paris.]

[861. *σχεδὸν*: *Ἀντικρύς.* Gl. Dorv. *φανερῶς.* Gl. Paris. *ἄντικρυς, φανερῶς.* Gl. Θ.]

[862. *προσέρχεται*: *Παραγίνεται. κακῶς πράττων*: *Δυστυχῶν.* Gl. Paris. *κακῶς*: *Ἤγουν δυστυχῶς. πράττων*: *Ποιῶν.* Gl. Dorv.]

863. *εἶναι τοῦ πονηροῦ κόμματος*: *Κόμμα, εἶδος φαύλου νομίσματος. ἀντὶ δὲ τοῦ εἰπεῖν φαύλου συστήματος, πονηροῦ κόμματος εἶπεν, ἐπειδὴ περὶ πλούτου ὁ λόγος. εἴρηται ἀπὸ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων, διὰ τὸ ὀλίγον μὲν ἔχειν χρυσὸν, πλείονα δὲ χαλκόν. ἐπεσημήνατο δὲ τὴν λέξιν συνήθως τὸ χ, ἐπειδὴ μὴ ἐπὶ νομισμάτων τὸ κόμμα εἴρηκεν.* [*ἀντὶ τοῦ λείψανον. πεποίηται δὲ ἀπὸ μεταφορᾶς τῶν κεκομμένων νομισμάτων ἐξ ὀλίγου τινὸς χρυσίου ἀποκεκομμένου. φασὶ δὲ πονηρὸν κόμμα τὸν παραχαραττόμενον ἄργυρον. κόμματος οὖν ἀντὶ τοῦ λειψάνου, ἢ λείμματος τῶν ἀδίκων. τὸ χ οὖν πρὸς τὸ κόμμα.* V. *κόμματος*: *Τοῦ χαράγματος.*

1. *Ἀντὶ τοῦ* om. R.V.

1, 2. *ἐὰν—παραμείνῃ* post *κρίσιν* ponit V, præfixo *ἄλλως*.

1. *τὸ δίκαιον*] *Si judicia agi non desinant*: hoc modo intelligendum credo, et *τὸ δίκαιον* ex usu recentiorum poni pro *juris dictione*, *δικαιοδοσίᾳ*. Unde vero judiciorum severitatem ac violentiam verbis iis traduci fuerit expiscatus, compertum non habeo. HEMST.

ib. *παραμείνῃ*] *φησί* add. R.Θ.

2. *σκώπτει* R.V. *σκώπτει δὲ* Θ. Ald.

ib. *ὡς*] *ὥσπερ* V.

ib. *οὖσαν* om. V.

ib. *δικαστηρίῳ* R.V. *δικαστηρίοις* Ald.

3. *καὶ τὸ δίκαιον* om. Dorv. Paris.

10. *Κόμμα* om. R.

ib. *εἶδος*] *ἐκ* R.

11. *ἀντὶ δὲ τοῦ*] *πονηρὸν κόμμα φησὶ τὸ παραχαραττόμενον ἀργύριον. ἀπὸ μεταφορᾶς τῶν νομισμάτων ἐξ ὅλου τινὸς χρυσίου ἀποκεκομμένου κόμματος. Ἄλλως. ἀντὶ τοῦ* R. Suidas v. *κόμμα* ex hoc scholio excerpsit *ἀπὸ μεταφορᾶς—ἐξ ὅλου χρυσίου ἀποκεκομμένου* (sic tres codd.; alius *κεκομμένου*. In edit. Mediol. *ἀποκεκομμένων*). *ἀντὶ τοῦ εἰπεῖν φαύλου συστήματος. πονηρὸν κόμμα, ἢ παρακεκομμένος ἄργυρος.*

12. *ἐπειδὴ* V. *ἐπειδὴ καὶ* Ald.

12–15. *εἴρηται—εἴρηκεν* om. R.

13. *κιβδήλων* om. Θ.

13–15. *διὰ τὸ—εἴρηκεν*] *ἐξ ὀλίγου τινὸς χρυσίου ἀποκεκομμένου κόμματος. ἢ λείμματος τῶν ἀδίκων. τὸ χ δὲ πρὸς τὸ κόμμα. ἄλλως. ἢ τὸ παραχαραττόμενον ἀργύριον τὸ πονηρὸν κόμμα φησίν* Θ.

15. *εἴρηκεν*] Addit Ald. *Ἀττικὸν δὲ τὸ ἐξολωλεκῶς*, quæ om. R.Θ. ego ad v. 868. retuli cum V.

16. *ὀλίγου*] *ὅλου* V, quod correxi ex scholio Θ.

19. *τὸ χ*] *τάχα* V. Correxi ex Θ. Post *κόμμα* addit V, quæ in scholio Aldino leguntur, *ἄλλως. ἀντὶ τοῦ εἰπεῖν—ὁ λόγος.*

ib. *χαράγματος*] *χάραγμα pecu-*

εἴρηται δὲ εἰς μεταφορὰν τῶν κιβδήλων νομισμάτων. Gl. Θ. Paris.]

[864. καταρᾶται τῷ Πλούτῳ. R. νὴ Δία: Κατ' εἰρωνείας. καλῶς ποιῶν: Δικαίως πάσχων. Gl. Paris. ἀπόλλυται: Φθείρεται. Gl. Dorv.]

[866. ὑποσχόμενος: Λέγων. εὐθέως: Παραυτίκα. Gl. Dorv.]

[867. ἐξαρχῆς: Ὡς τὸ πρότερον. Gl. Dorv. ὁ δὲ: Ἰδεῖν. Gl. Paris.]

[868. πολὺ: Κατά. Gl. Dorv. πολὺ μᾶλλον: Μᾶλλον πρὸς τὸ μὴ ποιῆσαι πλουσίους τινάς. ἐστὶν ἐξολωλεκώς: Ἀπώλεσεν. Gl. Paris. ἐνίους: Ἡμῶν. ἐξολωλεκώς: Ἀπολωλεκώς. Gl. Dorv.] Ἀττικὸν δὲ τὸ ἐξολωλεκώς.

[869. δέδρακε: Ἐποίησεν. Gl. Dorv. Τίνα ἀπώλεσεν Gl. Θ.]

[870. ἐν ἤθει R.V. (non G.) ἦ: Ὄντως ἄρα. Gl. Θ. Dorv. Paris. ἦσθα: Ὑπῆρχες. τοιχωρύχων: Κλεπτῶν. Gl. Dorv. διὰ τοῦτο ταῦτα ἔπαθες. Gl. Θ. Paris.]

[871. οὔμενουν ἔσθ' ὑγιὲς: Οὐδαμῶς ὑπάρχει ἀληθές. Gl. Dorv. οὐμενοῦν ἔ. ὑ. ὑμῶν οὐδενὸς: Ἀντὶ τοῦ, οὐδεὶς ὑμῶν ἔχει τι ἀγαθόν. Gl. Br. ὑγιὲς: Ὀρθὸν καὶ ἀληθές. Gl. Paris.]

niam, monetam signatam Græcos inferiores vocare docuit Ducangius. Vocabulum ab antiquis ductum, quibus non solum χαράσσειν *nummos cudere*, et παραχαράσσειν, sed etiam χαρακτὴρ *nota, signum auctoritate publica nummis inpressum*; unde fluxit solemnis illa loquendi formula ἐπιβάλλειν χαρακτῆρα. Philosophus Polit. 1. p. 14. τὸ δὲ τελευταῖον καὶ χαρακτῆρα ἐπιβαλλόντων· pro eo dixit, ἐπικόψας χαρακτῆρα Œcon. 2. p. 253. Polyænus in facto, quale fuerat ab Aristotele narratum, plane simili 6. c. 9. §. 1. ἄλλον χαρακτῆρα ἐπιβαλών· modo pari potestate usurpaverat μετακόπτειν. Dubites itaque, an in Alcidamantis Orat. pro Ulysse contra Palamed. p. 186, 36. quod vulgo legitur, Phœnices πρῶτοι χαρακτῆρα ἔβαλλον, refingendum sit in ἐπέβαλλον· quamvis alioquin, si quis eam in partem potius inclinet, simplex verbum compositi vice tolerari possit. Hinc illustrandus est Arrianus Epict. 3. c. 22. p. 314. Ἴδε χαρακτήρ· ἴδ' ἐπιβολή· quod perperam interpretari Wolfium existimo: nec minus Isocrates Apolloniates, cujus perquam elegans metaphora vereor ut satis adhuc fuerit perspecta, ad Demon. p. 3. D. Οἷς (Herculi ac Theseo) ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλεν· quem locum reperies adductum a schol. Sophocl. ad Trach. v. 119. HEMST.

1. τῶν κιβδήλων νομισμάτων] τοῦ κιβδήλου νομίσματος Paris.

9, 10. μᾶλλον—πλουσίους] Hæc verba R.V. quoque habent.

14. ἄρα om. Θ.

16. διὰ] καὶ διὰ Paris.

ib. ταῦτα] πάντα Paris.

[872. *οὐκ ἔσθ' ὅπως* : Οὐδαμῶς. Gl. Dorv.]

873. *ὡς σοβαρὸς, ὦ Δάματερ* : Σεσοβημένος, *ἐπίτριπτος. καταμωκώμενοι δὲ τῶν Δωριέων τὸ ὦ Δάματερ λέγουσιν. ὁ δὲ νοῦς, πῶς ἐπηρμένος καὶ μέγα φρονῶν καθ' ἡμῶν εἰσῆλθεν.* [*ὡς* : *Λίαν*. Gl. Dorv. *σοβαρὸς* : Ἐπηρμένος. Gl. Paris. *Δάματερ* : Γῆ. *εἰσελήλυθεν* : Ἦλθεν. Gl. Dorv.]

874. *ὁ συκοφάντης* : *Οὕτω καλοῦνται οἱ ἐπηρεάζοντες ἀπὸ τοιαύτης αἰτίας. τὸ παλαιὸν ἀπειρημένον ἦν σῦκα ἐξάγειν ἐκ τῆς Ἀττικῆς, τοῦ φυτοῦ κατ' ἀρχὰς θαυμαζομένου. τοὺς πικρῶς οὖν διερευνῶντας τὸ τοιοῦτον, οὕτως ὀνομασθῆναι λέγουσιν ἀπὸ τῆς ὀπώρας. παρασχεῖν οὖν καὶ τοῖς ὁπωσοῦν μάτην ἐγκαλοῦσι τὴν ὀνομασίαν, ἅμα καὶ τοῦ φαίνειν τὸ ἐγκαλεῖν ἢ εἰς δίκην εἰσάγειν δηλοῦντος. ὅτι δὲ ἀπὸ τούτων γέγονεν, ἐκ τῶνδε δῆλον· συκαστὰς γὰρ τοὺς φιλεγκλήμονας ἔλεγον καὶ συκοβίους καὶ συκωροὺς καὶ συκολόγους καὶ φιλοσύκους καὶ συκώδεις καὶ συκοσπαδίας, ἴσως ἀπὸ τοῦ πάντας ἐγκλήματα ἐφέλκεσθαι.*

2. Σεσοβημένος] *ἀντὶ τοῦ σεσοβημένος* R.

ib. *ἐπίτριπτος* add. R.V.Θ.

2, 3. *καταμωκώμενοι—λέγουσιν*] *καταμωκώμενος—λέγει* V.

3. *τῶν Δωριέων*] Quod comicos, ut Dores irriderent, *ὦ Δάματερ* adhibuisse notat scholiastes, longe recedit ab aliorum grammaticorum sententia, qui Atticorum æque ac Dorum eam formam esse propriam statuunt: vide Eustath. ad Il. Α. p. 12, 6. Od. Α. p. 1385, 53. et ex Heraclide ad Od. Υ. p. 1892, 43. ubi memorat *τὸν τοῦ κωμικοῦ Πλοῦτον*. HEMST.

3, 4. *ὁ δὲ νοῦς—εἰσῆλθεν* ante *καταμωκώμενος* ponit V.

4. *ἐπηρμένος* V. *ἐπηρμένως* (ο) Θ. *ἐπηρμένως* R. *ὑπηρμένος* Ald.

7–16. *Οὕτω—ἐφέλκεσθαι*] Scholion recentius, quod om. R.V. Confictum maximam partem est ex Etym. M. s. *συκοφαντία* et *συκοφάνται*.

9. *πικρῶς* Hemst. *σμικρῶς* Ald.

10. *λέγουσιν*] *λόγος* Θ.

11. *τὴν ὀνομασίαν* Dobræus. *τὸ ὄνομα* Kusterus. *τὸν ὀνομάσαντα* Ald. In Etym. M. *συνέβη δὲ καὶ τοὺς ὁπωσοῦν κατηγοροῦντας τινὸς φιλαπεχθημόνως οὕτω προσαγορεύεσθαι.*

13. *δῆλον* om. Θ.

14. *ἔλεγον* additum ex Etym. M.

15. *συκοσπάδας* vel *συκοσπαδίας* Hemst. collato Hesychio, *συκοσπαδίας, ὁ συκοφάντης. συκόπαιδας* Ald.

ib. *πάντας*] *πάντα* Hemst.

ib. *ἐγκλήματα* om. Θ. Scholio Aldino in Junt. præmissum, *ὁ συκοφάντης οὐ δικαίως τοὔνομα ἐν τοῖσι μοχθηροῖσίν ἐστι κείμενον· ἔδει γὰρ, ὅστις χρηστὸς ἦν ἡδύς τ' ἀνὴρ, τὰ σῦκα προστεθέντα δηλοῦν τὸν τρόπον. νυνὶ δὲ πρὸς μοχθηρὸν ἡδὺ προστεθὲν, ἀπορεῖν πεποίηκε διὰ τί τοῦθ' οὕτως ἔχει.* qui Alexidis versus sunt, transcripti ex Athenæo 3. p. 74 F.

βουλιμιᾷ: Πάνυ λιμώττει, καὶ πεινᾷ λίαν· ἀπὸ τοῦ βου ἐπιρρήματος, ὅπερ ἐπιτάσεώς ἐστι δηλωτικὸν, ἀντὶ τοῦ λίαν· ὥσπερ καὶ ἐν τῷ βούπεινα, ἡ μεγάλη πεῖνα, καὶ βουγάϊος καὶ βούγλωσσος· τινὲς δὲ εἶδος νόσου φασὶν, ἐν ᾗ πολλὰ ἐσθίοντες οὐ πληροῦνται· τῶν γὰρ συκοφαντῶν τοιοῦτος ὁ τρόπος. [μεγάλως λιμώττει. Gl. Θ. Dorv. Paris.]

875. σὺ μὲν εἰς ἀγορὰν: Τοῦτο πρὸς τὸν θεράποντα· τὸ δὲ "οὐκ "ἂν φθάνοις" ἀντὶ τοῦ οὐκ ἂν πέρας σχοίης τῶν κακῶν. [εἰς ἀγορὰν: Εἰς συνάθροισιν δικαστηρίου. Gl. Paris.]

876. ἐπὶ τοῦ τροχοῦ: Τροχός τις ἦν, ἐν ᾧ δεσμούμενοι οἱ οἰκέται ἐκολάζοντο· τοῦτο δὲ λέγει ὁ ἄδικος πρὸς τὸν θεράποντα. [ἐπὶ τοῦ τροχοῦ: Εἰς ὃν τοὺς κακοὺς κολάζουσι. Gl. Θ. Dorv. Paris.]

[877. πεπανούργηκας: Κέκλοφας. Gl. Dorv. πονηρῶς ἐποίησας. Gl. Paris. οἴμωζ': Κλαῖε. Gl. Dorv.]

[878. πολλοῦ: Τιμήματος. Gl. Dorv. εἰ: Ἐπειδή. Gl. Θ.]

[880. τοὺς συκοφάντας: Πεποίηται τὸ ὄνομα ἐκ τῆς τῶν σύκων

1–3. Πάνυ — μεγάλη πεῖνα] τὸ βου ἐπίρρημα (ἐπίρρημα om. G.) ἐπιτάσεως δηλωτικὸν (ἐπίτασιν δηλοῖ G.) ἀντὶ τοῦ λίαν λιμώττει, ὥσπερ καὶ βούπιναν τὸν μεγάλην πίναν (πεῖναν G.) ἔχοντα V.

1. καὶ om. R.

ib. ἀπὸ τοῦ βου] Margo Dorv. hæc tantum præfert: Ἀπὸ τοῦ βοῦς καὶ τοῦ λιμὸς ἡ πεῖνα· τὸ γὰρ βοῦ ἐπιτατικὸν μόριον· quæ fere leguntur in Etymologo. Integra descripsit usque ad πληροῦνται Suidas in Βουλιμιᾷ, paucis tantummodo mutatis, quæ operæ non sit pretium enotasse. HEMST.

2. ἐστι om. Θ.

ib. ὥσπερ] ὡς R.

3. ἡ add. R.

3–5. καὶ βουγάϊος—ὁ τρόπος om. V.

3. βούγλωσσος] βούγλωσσον Θ.

4, 5. τῶν γὰρ—ὁ τρόπος om. R.

5. ὁ τρόπος] Addit Junt. Γαληνὸς δὲ ἐν τοῖς Ἀφορισμοῖς· κατάπτωσις δυνάμεως ὑπὸ τῆς ἔξωθεν ψύξεως ὁ βούλιμος, ἀρξάμενος μὲν ἀπὸ πείνης, οὐκέτι δὲ ἔχων αὐτὴν συνοῦσαν.

7. Τοῦτο etc.] Idem in sequenti scholio notatur: hoc cur moneat enarrator ille, in causa fuit ejus exemplar, quod scilicet proxima, δῆλον ὅτι βουλιμιᾷ, Justi personæ tribuebat: eam ob rem operæ pretium putavit ostendere, quæ Sycophanta dicat, tali gestu corporisque conversione debere pronunciari, ut non ad Justum, sed ad Carionem, qui ante fuerat locutus, dirigantur. Perperam vero interpretatur, οὐκ ἂν φθάνοις· rectius Kusterus in Ind. *Nunquam efficies, quin in jus eas.* H. Stephan. Th. Gr. L. T. 4. p. 135. D. reddidit: omnino in forum te venire necesse est. HEMST.

ib. πρὸς] ὁ συκοφάντης πρὸς V.

10, 11. Τροχός—θεράποντα om. R.

10. Τροχός] τροχὸς γάρ V.

11. τοῦτο—θεράποντα om. V.

ib. θεράποντα] ἢ τροχός τις ἦν ἐν ᾧ ἐδεσμοῦντο οἱ δοῦλοι addit Θ.

16. σύκων] συκῶν R. Totum scholion om. G.

κλοπῆς φωράσεως. R.V. *ἐξολεῖ*: *Ἐξολέσει, φθερεῖ ὄντας κακούς.* Gl. Paris.]

[881. *οἴμοι τάλας*: *Φεῦ ὁ ἄθλιος, ἆρα καὶ σὺ κοινωνὸς ὤν.* Gl. Paris. *μῶν*: *Ἆρα.* *μετέχων*: Κοινωνῶν. Gl. Dorv. *καταγελᾷς*: Ἐμοῦ δηλ. Gl. Paris. *γελῶ αἰτιατικῇ, καταγελῶ δὲ γενικῇ.* Paris.]

[882. *ἐπεὶ πόθεν*: Ἀντὶ τοῦ, *εἰ μὴ μετεῖχες δηλ., ἀπὸ ποίου τρόπου.* *τοδί*: Τοῦτο. Gl. Paris. *εἴληφας*: Ἀντὶ τοῦ *ἐπρίω.* R.V. (non G.)]

[883. *ἔχοντ'*: Φοροῦντα. *τριβώνιον*: Ἱμάτιον *διερρηγμένον.* Gl. Dorv. Paris. *τριβακὸν ἱμάτιον.* R.V. (non G.)]

884. *οὐδὲν προτιμῶ σου*: Οὐ *φροντίζω σου. ἡ φράσις* Ἀττική. *εἴρηται δὲ τὸ προτιμᾶν ἐπὶ τοῦ λόγον ἔχειν καὶ ἐπιστρέφεσθαι. λέγει οὖν, οὐ φοβοῦμαί σε ἔχων φυσικὸν δακτύλιον. δακτύλιον δὲ, τὸν λεγόμενον φαρμακίτην.* Εὔπολις Βάπταις *μέμνηται καὶ* Ἀμειψίας. *ὁ δ'* Εὔδαμος *φαρμακοπώλης ἢ χρυσοπώλης, τετελεσμένους δακτυλίους πωλῶν. φιλόσοφος δὲ ἦν οὗτος ὁ* Εὔδαμος *φυσικοὺς δακτυλίους ποιῶν πρὸς δαίμονα καὶ ὄφεις καὶ τὰ τοιαῦτα. ἐθεράπευον γὰρ τοὺς*

12. Οὐ *φρ.*] *ἀντὶ τοῦ φρ.* V.
ib. *ἡ* (*δὲ* add. V.) *φράσις* Ἀττική addidi ex R.V.
13. *εἴρηται* — *ἐπιστρέφεσθαι* post *φαρμακίτην* ponunt R.V.
ib. *προτιμᾶν* R.V.Θ. *προτιμᾷ* Ald.
ib. *ἐπιστρέφεσθαι*] *ἐπιστρέψασθαι* V. *καὶ ἐπιστρέφεσθαι* om. R.
13, 14. *λέγει—φυσικὸν δακτύλιον* infra post *καὶ τὰ τοιαῦτα* habent R.V.
14. *δακτύλιον δὲ* om. R.V. *δὲ* om. V.
15. Εὔπολις Βάπταις *μέμνηται* om. R. *μέμνηται* om. V.
ib. *καὶ* Ἀμειψίας, quod in R.V.Θ. Ald. post *φαρμακοπώλης* legitur, huc transposuit Kusterus.
16. *δ'* om. R.
ib. Εὔδαμος] Eudamus ille vix dubito, quin idem fuerit, ac Theophrasti Εὔδημος *ὁ φαρμακοπώλης εὐδοκιμῶν σφόδρα κατὰ τὴν τέχνην* Hist. Plant. 9, 18. HEMST. *εὔδημος* V.
ib. *τετελεσμένους δακτυλίους*] *Arte magica consecratos*, ut docuit Salmas. ad Vopisc. p. 360. hisce præstigiis deditos non solum *τελεστὰς, φυσικοὺς, μυστικοὺς*, sed etiam *φιλοσόφους* recentiores vocabant: quamobrem conjungi videas *φιλόσοφον καὶ τελεστήν·* exempla suppeditabit Salmasius: non aliter hoc loco *φιλόσοφος* est intelligendus. HEMST.
17. Εὔδαμος] *εὔδημος* R.V.
ib. *φυσικοὺς δακτυλίους ποιῶν*] De annulis magicis, quos Græci *φυσικοὺς* vel *φαρμακίτας* vocabant, non repetam quæ observarunt Reinesius Var. Lect. 3. pag. 392. et Lindenbrogius ad Ammian. Marcell. 21, 1. p. 601. edit. Lugdun. Bat. KUST.
18. Pro *δαίμονα* aut *δαίμονας* scribi debet, aut *δαιμόνια·* hoc Jos. Scaligero placuisse constat ex Not. ad Manil. 5, 386. ubi et Aristophanis scholiastæque locum et Antiphanis adtulit ex Athen. 3. p. 123. B. HEMST. In V. est *εὐδαιμονίαν.*

ὀφιοδήκτους· μᾶλλον δὲ τὴν ἀρχὴν οὐκ εἴων ὑπ' ὄφεων δάκνεσθαι. [*προτιμῶ σου* : Φροντίζω. Gl. Θ. Dorv. Paris. *πριάμενος* : Ὠνησάμενος. Gl. Paris.]

885. *τὸν δακτύλιον τονδί* : Ἀλεξητήριον τῶν δηλητηρίων δείκνυσιν αὐτῷ καὶ βασκανίας ἀποτρεπτικὸν δακτύλιον, ὃν καλοῦσι φαρμακίτην· πρὸς ὃ ὁ θεράπων, κἂν ἔχῃς φαρμακίτην δακτύλιον, ἀλλ' οὐ πρὸς δῆγμα συκοφάντου, ὡς τούτων χειρόνων ὄντων καὶ θηρίων, πρὸς ἃ ὁ δακτύλιος πεποίηται. ἀλλ' οὐκ ἰσχύει, φησὶν, οὗτος ὁ δακτύλιος πρὸς τὸ δῆγμα τοῦ συκοφάντου. τοῦτο δὲ ὁ ἕτερος πρεσβύτης λέγει ὁ τὸν τρίβωνα κομίσας· οἱ γὰρ δύο τὸν συκοφάντην ἐκφλαυροῦσι.

δαίμονα defenditur loco Theophanis Nonni vol. I. p. 144. *ὅπερ* (affectus epilepticorum dicit) *οἱ ἰδιῶται δαίμονα καλοῦσιν*. ubi scholiastæ locum comparavit Bernardus. In Paris. legitur : *οὗτος ὁ Εὔδαμος δακτυλίους ἐποίει θεραπεύοντας τινὶ μηχαιῇ—ἐῶντας ὑπ' ὄφεων δάκνεσθαι.*

ib. *ἐθεράπευον*] Ponam ut corrupta sunt, quæ præbet ora Dorv. *Οὗτος ὁ Εὔδραμος δακτύλους ἐποίει θεραπεύοντας τινὶ μηχανὶ τοὺς ὀφιοδήκτους· μᾶλλον δὲ οὐδὲ τὴν ἀρχὴν ἰῶντας ὑπὸ ὄφεων δάκνεσθαι.* HEMST.

18. (p. 269.)–1. *ἐθεράπευον—δάκνεσθαι* om. R.V.Θ. Post *τοιαῦτα* addit Θ, *παρ' εὐδάμου. οὗτος φαρμακοπώλης ἦν δακτυλίους πιπράσκων, δύναμιν ἔχοντα* (scr. *ἔχοντας*) *ἀποτρεπτικὴν συκοφαντῶν. λέγει οὖν εὔδαμον τὸν φαρμακοπώλην τετελεσμένον ἔχοντα δακτύλιον.*

4 – p. 271. l. 9. *Ἀλεξητήριον—δήγματα*] *ἄλλως. δείκνυσιν αὐτῷ βασκανίας φυσικὸν δακτύλιον, ὃν καλοῦσι φαρμακίτην. ἄλλως. ἀλεξιτήριον τῶν δηλητηρίων δείκνυσιν αὐτῷ καὶ βασκανίας ἀποτρεπτικὸν δακτύλιον, ὃν καλοῦσι φαρμακίτην. τοῦτο ἐν ἤθει λέγει ὅτι οὐκ ἔστιν ἐν τῷ δακτυλίῳ φάρμακον πρὸς δῆγμα συκοφάντου, ἐπεὶ οἱ πωλοῦντες αὐτὰ εἰώθασι λέγειν ὅτι χρῆσιν ἔχει πρὸς τόδε καὶ τόδε. ἄλλως. προσληπτέον τὸ ἀντιφάρμακον. τοῦτο δὲ ὁ — τρίβωνα ἀγηοχώς—πρὸς δῆγμα. ἄλλως. τοῦτο τὸ δάκος οὐκ ἰσχύει πρὸς τὸ δῆγμα τοῦ συκοφάντου* V. Scholia hoc loco om. R, sed infra post v. 896. habet *ἀντὶ τοῦ κἂν ἔχῃς φαρμακίτην—πεποίηται. ἦν δὲ ἀποτρεπτικὸς συκοφαντῶν.*

4. *ἀλεξητήριον* Θ. et Suidas s. *ἀλλ' οὐκ ἔνεστι. ἀλεξιτήριον* Ald.

ib. *τῶν* om. Θ.

ib. *δηλητηρίων* Θ. et Suidas. *δηκτηρίων* Ald. Pergit Θ, *ἀλληγορικῶς δὲ ὡς πρὸς δηλητήριον ἀποκρίνεται τὸν δακτύλιον τῶν δηκτηρίων δείκνυσιν αὐτῷ—.*

6. *πρὸς ὃ ὁ θεράπων, κἂν*] *φησὶν οὖν, ὡς ἂν* Suidas.

ib. *κἂν* om. Θ.

ib. *ἔχῃς*] *ἔχεις φησὶ* Θ.

7. *συκοφάντου*] *τοῦ συκοφάντου* Suidas.

9. *τοῦ συκοφάντου*] Addit Θ, *ἀλλ' οὐκ ἔνεστι συκοφάντου. ἀλλ' οὗτος φησὶν ὁ δακτύλιος οὐκ ἰσχύει πρὸς τὸ δῆγμα τοῦ συκοφάντου. ἀντὶ τοῦ κἂν ἔχῃς φαρμακίτην—πρὸς ἃ δακτύλιος πεποίηται* quæ ex præcedentibus negligenter repetiit librarius.

10. *ἐκφλαυροῦσι* vel *ἐκφλαυρίζουσι* Hemst., *ἐκφλυαροῦσι* libri. Ejusdem corruptelæ exempla sunt in scholio ad v. 589. *ἐκφλυαρίζεσθαι*, ubi Kust. *ἐκφλαυρίζεσθαι*, apud Eustath. ad Homer. p. 3, 3. *ἐκφλυαρίζων τὸ πρᾶγμα*, cui *ἐκφλαυρίζων* restituit Hemst., restituendumque est eidem in Opusculis ab Tafelio editis p. 121, 19. *τοῖς ἐκφλυαρίζουσι τὰ ἡμέτερα.* Apud Plutarch. Moral. p. 680 C. *οἱ μὲν ἄλλοι παντάπασιν ἐξεφλυάριζον τὸ πρᾶγμα καὶ κατεγέλων*, recte libri quidam *ἐξεφλαύριζον*.

λέγει δὲ ἐν ἤθει ὅτι οὐκ ἔστι τις ἐν τῷ δακτυλίῳ ἐπῳδὴ, ἢ φάρμακον πρὸς δῆγμα τοῦ συκοφάντου. ἐπεὶ εἰώθασι λέγειν οἱ τὰ περίαπτα πωλοῦντες ὅτι χρησιμεύει τόδε πρὸς τοδε. λέγει οὖν, ἀλλὰ τοῦτο τὸ ἄκος καὶ ἡ ἀντιπάθεια οὐδὲν ἰσχύει πρὸς δῆγμα συκοφάντου. τὸ δὲ δῆγμα σκληρὰ λέξις ἀπὸ τῶν ἑρπετῶν εἰλημμένη. Ἄλλως. μὴ λάβῃς εἰς τὸ δήγματος ἔξωθεν τὸ ἀποτρεπτικὸς, ὡς οἴονταί τινες, ἀλλ' ἔστιν ἡ γενικὴ πρὸς τὸ δακτύλιος οὕτως, ἀλλ' οὐκ ἔστιν ὁ δακτύλιος δήγματος συκοφάντου, τουτέστιν, οὐκ ἔχει ἰσχὺν πρὸς τοὺς συκοφάντας, ὥσπερ εἰς τὰ τῶν ὄφεων δήγματα. [δραχμῆς: Ἕνεκα. Gl. Paris. νομίσματος, ὃ ἔχει κεράτια ιή, ἥτις ὁλκὴ καλεῖται. Gl. Θ.]

[886. ἔνεστι: Λείπει φάρμακον. R. τῷ δακτυλίῳ δύναμις ἀποτρεπτική. Gl. Dorv. ἤγουν ἀλλ' οὐκ ἰσχύει πρὸς τὸ δῆγμα τοῦ συκοφάντου. Gl. Paris.]

[887. ὕβρις: Μέμψις. ταῦτ': Τὰ λεγόμενα ἀφ' ὑμῶν. Gl. Paris. σκώπτετον: Σκώπτετε. Gl. Paris. Ὑβρίζετε. Gl. Dorv.]

[888. ποιεῖτον: Ποιεῖτε ἐνταῦθα οὐκ ἐλέξατε. Gl. Dorv. ἐνθάδ': Ἐνταῦθα. εἰρήκατον: Εἴπατε. Gl. Paris.]

[889. ἐστὸν: Ἐστέ. Gl. Paris.]

890. οὐκοῦν τῷ γε σῷ: Ἀγαθῷ δηλονότι. [τῷ γε σῷ: Ἐπὶ τῷ σῷ ἀγαθῷ. ἴσθ': Γίνωσκε. Gl. Dorv. σαφῶς γίνωσκε. Gl. Θ. ἐπὶ—οὐδόλως—φανερῶς γίνωσκε. ἢ οὐδόλως ἐσμὲν ἐπὶ τῷ ἀγαθῷ τῷ σῷ. Gl. Paris.]

[891. τῶν ἐμῶν: Πραγμάτων. Gl. Dorv.]

892. ὥς γ' ἐπ' ἀληθείᾳ: Λείπει δειπνεῖς.

1. λέγει δὲ ἐν ἤθει] Incipit aliud scholion Suidas, ἀλλ' οὐκ ἔνεστι συκοφάντου δήγματος. ἐπὶ τῶν ἀνηνύτων. λείπει δὲ τὸ φάρμακον. λέγει δὲ ἐν ἤθει ὁ θεράπων ὅτι—.

3–9. λέγει—δήγματα om. Suidas.

5. εἰλημμένη Θ. εἰρημένη Ald. Sequentia om. Θ. ον

10. ὁλκὴ] Γ/ον vel simile quid, obscuris literarum ductibus, præbet codex.

21. Ἀγαθῷ δηλονότι] ἀντὶ τοῦ (τοῦ om. V.) τῷ σῷ ἀγαθῷ R.V. Scholion om. G.

ib. δηλονότι om. Θ.

26. Λείπει δειπνεῖς om. R.V.

ib. Legendum δειπνήσεις vel δειπνήσαις et forsan ὡς σύ γ' cum Hemst., qui distinxisse putat grammaticum post ἀληθείᾳ. Certe σὺ et διαρραγείης disjungebat. DOBRÆUS.

μετὰ τοῦ μάρτυρος: Κλήτορα γὰρ ἤγετο, ἵνα αὐτοὺς εἰς δίκην καλέσῃ. Ἄλλως. τῷ συκοφάντῃ ἕπεταί τις ὥστε μαρτυρεῖν. ὡς ἀγηοχότος οὖν τοῦ συκοφάντου καὶ μάρτυρα, ἵνα εἰς δίκην καλέσηται, τοῦτό φησι. [*ἐπ' ἀληθείας*: Ἀντὶ τοῦ σωζομένης τῆς ἀληθείας. Gl. Paris. *μάρτυρος*: Ὅτι τινὰ τῶν δημοσίων ὑπηρετῶν ἧκεν ἄγων, ἵνα, ἐάν τι παρ' αὐτῶν ἀκούσῃ, συμμαρτυρήσῃ αὐτῷ πρὸς τοὺς δικαστάς. Paris. *ὃν μετὰ σοῦ κομίζεις*. Gl. Θ.]

[893. *διαρραγείης*: Σχισθείης, ἀφανισθείης. Gl. Dorv. *διασχισθείης*. Gl. Paris. *μηδενὸς*: Ἀγαθοῦ. Gl. Dorv. *πράγματος*. Gl. Paris.]

[894. *ἔνδον*: Τῆς οὐσίας ἐστίν. Gl. Paris.]

[895. *τεμαχῶν*: Κομματίων ἰχθύων· τέμαχος γὰρ κυρίως ἐπὶ τῶν ἰχθύων λέγεται. Gl. Dorv. *χρῆμα τεμαχῶν*: Πρᾶγμα τμημάτων ἰχθύων. *ὠπτημένων*: Ἐν τῷ πυρὶ καιομένων. Gl. Paris.]

896. *ὒ ὒ*: Διὰ τῶν ψιλῶν τούτων υ δείκνυσι, ὅτι χοιρείων κρεῶν ὀσμῆς ᾔσθετο. Ἄλλως. ὒ ὒ ἐπίρρημα θαυμαστικὸν, ὅπερ ἐν τῇ συνηθείᾳ λέγομεν. ὡς ὀσφραινόμενος τοῦτό φησι. [τινὲς δὲ ὁ δίκαιος. R.]

897. *τοῦ ψύχους γ' ἴσως*: Ἐπεὶ τὰ ζῶα, ἐσομένου ψύχους αἰσθανόμενα, πολλάκις ὀσφραίνεται. [*κακόδαιμον*: Ἄθλιε. ὀσφραίνει

1–4. Κλήτορα—φησι] ὡς ἀγηοχότος—καλέσηται. ἄλλως. κλήτορα—μαρτυρεῖν V. R nihil habet præter illa τῷ συκοφαντῇ—μαρτυρεῖν.

1. Κλήτορα] κλήτορες et κλητῆρες qui testes in jus vocantibus aderant; quorum etiam nomina libellis adscribi moris erat. Poll. 8, 49. ἔδει δὲ καὶ κλητῆρας προσεπιγράφεσθαι τὸν φαίνοντα, οἵ εἰσι μάρτυρες· quæ lectio Pal. codicis omnino est amplectenda. De his pluribus egit, hujus etiam loci non oblitus, Desid. Herald. Anim. in Salmas. Obs. ad I. A. et R. 6. c. 12. §. 19. 20. HEMST.

8. Σχισθείης] Ita legendum censeo vocem, quæ obscuriore literarum ductu est scripta. HEMST. Fort. διασχισθείης.

12. Κομματίων] τμημάτων Θ.

ib. γὰρ om. Dorv.

13. τῶν om. Θ.

ib. λέγεται om. Dorv.

15, 16. Διὰ—ᾔσθετο. Ἄλλως. om. R.V. Totum scholion om. G.Θ.

16. ὒ ὒ om. R.V.

16, 17. ἐπίρρημα—φησι] ὡς—φησι. ἐπίρρημα—λέγομεν R.

ib. ὅπερ—λέγομεν addidi ex R.V. et Suida s. ὒ ὒ.

17. συνηθείᾳ] συνηθείᾳ αι V.

ib. ὡς—φησι om. V.

ib. ὡς R. ἢ Ald.

19, 20. Ἐπεὶ—ὀσφραίνεται om. R.V.

20. ὀσφραίνεται Θ. ὀσφραίνονται Ald.

τι: Ἐπὶ τὴν ὄσφρησιν ἥκεις. ψύχους: Αἰσθάνεται δηλ. Gl. Paris. τί: Κατά τι. τοῦ ψύχους: Τοῦ κρίους. Gl. Dorv.]

[898. τοιοῦτον: Οἷον φορεῖ. ἀμπέχεται: Ἐνδύεται ἱμάτιον. Gl. Paris. περιβέβληται. R.V. (non G.) τοῦτο: Φαῦλον. ἀμπ.: Ἐνδύεται. Gl. Dorv.]

[899. ἀνάσχετ': Ὑπομονητά. Gl. Θ. Dorv. Paris.]

[900. ὑβρίζειν: Ἄτιμα ποιεῖν. ὡς ἄχθομαι: Φεῦ, λίαν. Gl. Paris. οἴμ': Φεῦ. ὡς: Λίαν. ἄχθομαι: Λυποῦμαι. Gl. Dorv.]

901. φιλόπολις: Τὸ μὲν φιλόπολις κοινὸν, Ἀττικὸν δὲ τὸ φιλόπατρις. [χρηστὸς: Ἀγαθός. Gl. Dorv. Paris. φιλόπολις: Φιλόπατρις. Gl. Dorv. φιλῶν τὴν πόλιν. Gl. Paris. πάσχω κακῶς: Ἤγουν δυστυχῶ. Gl. Dorv. Paris.]

[902. ὡς οὐδεὶς ἀνήρ: Χρηστὸς εἰμί. Gl. Dorv. οὕτως εἰμί. Gl. Paris.]

[903. καὶ μὴν: Τὸ λοιπόν. Gl. Dorv. ἐπερωτηθεὶς: Ἤτοι ἐκ δευτέρου ἐρωτηθείς. Gl. Paris. ἀπόκρινέ: Ἀπολογίζου. Gl. Dorv. τὸ τί: Μέλλω ἐρωτηθῆναι. Gl. Paris.]

904. μελαγχολᾶν μ' οὕτως οἴει: Ὥσπερ οἱ μαινόμενοι τὴν ἐν τοῖς πλήθεσι διατριβὴν ἀπαναινόμενοι ἐν ἐρημίαις φέρονται, διὰ τοῦτο καὶ τὴν τῶν γεωργῶν διατριβὴν μελαγχολίαν ὠνόμασεν, ὡς ἐν ἀγροῖς γενομένην. [γεωργὸς εἶ: Γεωργεῖν ἐπιστάμενος. Gl. Paris. μελαγχολᾶν: Ὑπολαμβάνεις ἐμὲ μαινόμενον. Gl. Dorv. μαίνεσθαι, ὥστε ἀποτρέχειν εἰς τὰς ἐρήμους, ὡς οἱ γεωργοί. Gl. Θ. Paris.]

905. σκήπτομαί γ', ὅταν τύχω: Τινὲς τῶν πολιτῶν, ἡνίκα χρημάτων ἦν εἰσφορὰ πρὸς τὴν πόλιν, τὴν ἐμπορίαν ἐπροφασίζοντο, τὴν εἰσφορὰν βουλόμενοι φυγεῖν. ἀζήμιοι γὰρ οὗτοι διεφυλάττοντο, ὥς φησιν Εὐφρόνιος, ὡς τὴν πόλιν ὠφελοῦντες πλεῖστα διὰ τῆς αὐτῶν

7. λίαν habet Θ.

10. φιλόπολις κοινὸν, φιλόπατρις ἀττικόν V.Θ. Repetiit Suidas s. φιλόπατρις.

19–22. Ὥσπερ—γενομένην] ἐπειδὴ οἱ μελαγχολοῦντες (scr. —ῶντες) ἐν ἠρεμίᾳ (scr. ἐρημίᾳ) φεύγουσι. καὶ οἱ γεωργοὶ δὲ ὁμοίως ἐν ἐρήμοις διάγουσιν Θ. Scholia ad v. 904. om. R.V.

23. μαίνεσθαι om. Θ.

24. ἀποτρέχειν] ἀποτρύχειν Paris.

25–p. 274. l. 2. Τινὲς—ἀποκαλῶ] εὐφρόνιος φησὶν ὡς τῶν ἐμπόρων μὴ ἐξιόντων ἐπὶ τὰς στρατείας (εἰς τὰς στρατιὰς R.) διὰ τὸ εὔχρηστον τὰ (τὸ V.) πρὸς τροφὰς (πρὸς τὴν τροφὴν Θ. πρὸς τροφὴν Suidas s. ἔμπορος) φέροντας. τοῦτο οὖν λέγει—ἀποκαλῶ R.V.Θ.

ἐμπορίας. διὸ καὶ ὁ συκοφάντης λέγει ὅτι, ὅταν γένηται τις καιρὸς πολέμου καὶ εἰσφορᾶς, ἔμπορον ἐμαυτὸν ἀποκαλῶ. Ἄλλως. ὅταν, φησὶν, ἀνάγκη γένηται πράγματος, σκήπτομαι τότε ἔμπορος εἶναι. προφασίζομαι, φησὶν, ὅτε πέμπομαι εἰς τὸν πόλεμον. [ἔμπορος: Πραγματευτής. Gl. Dorv. κατὰ θάλατταν ἐμπορίαν ποιούμενος. Gl. Paris. σκήπτομαι: Ἀντὶ τοῦ προφασίζομαι. Gl. Θ. Dorv. προφασίζομαι τοῦτο ἤγουν τὴν ἐμπορίαν. Gl. Victor.]

[906. τί δαί: Ἀποφαντικόν. τέχνην: Ἐπιστήμην. Gl. Paris.]

[907. πῶς οὖν διέζης;: Μερικῶς τίνα εἶχες ζωήν. Gl. Θ. Dorv. ἢ πόθεν: Ἀπὸ ποίου τρόπου. Gl. Paris.]

908. τῶν τῆς πόλεώς εἰμ': Τῶν δημοσίων πραγμάτων φροντιστὴς, οἷον χορηγίας, τριηραρχίας, καὶ τῶν τοιούτων· ἰδίων δὲ, τῶν καθ' ἕκαστον, οἷον εἰ ἀδικοῖτό τις καὶ δικάζοιτο πρός τινα, αὐτὸς ἐφρόντιζεν. ἰδίων τῶν ἰδιωτικῶν. καὶ Εὐριπίδης ἐν Βάκχαις

εἰ μὴ γὰρ ἴδιον ἔλαβον εἰς χεῖρας μύσος.

[τῶν τῆς πόλεώς εἰμ' ἐπιμελητής: Διοικητὴς εἰμί. Gl. Dorv. τῶν δημοσίων καὶ πολιτικῶν φροντιστής. Gl. Θ. Paris.]

[909. τῶν ἰδίων: Τῶν χωρικῶν, ἰδιωτικῶν. Gl. Dorv. τῶν ἰδιωτικῶν ἤτοι τῶν καθ' ἕκαστον. Gl. Θ. Paris. βούλομαι: Βουλευτὴς καὶ σύμβουλός εἰμι τῶν ἐθελόντων. Gl. Θ. βουλευτὴς εἰμί. Gl. Dorv. μαθεῖν. Gl. Paris.]

910. πῶς οὖν ἄν: Ὁ νοῦς· πῶς ἂν οὖν χρηστὸς σὺ, ὁ λυπούμενος καὶ ἀγανακτῶν εἰς μηδέν σοι διαφέρον.

911. εἴ σοι προσῆκον μηδὲν: Εἰ διὰ τῶν πραγμάτων τῶν σοὶ

1. τις om. R.
2. καὶ εἰσφορᾶς om. R.V.Θ.
2–4. Ἄλλως—πόλεμον om. V.Θ.
2. Ἄλλως om. R.
2–4. ὅταν—πόλεμον] προφασίζομαι ὅτε πέμπομαι εἰς πόλεμον. ὅταν, φησὶν, ἀνάγκη—εἶναι R.
4. φησὶν Portus. φασιν Ald.
6. Ἀντὶ τοῦ om. Dorv.
9. Μερικῶς] μερικὴν Θ.
ib. εἶχες ζωήν] ζωὴν ἦχε Θ.
11. φροντιστὴς] φροντισταὶ V.
12. ἰδίων] ἰδίως R.
14. τῶν R.V. ὅτι δὲ (ἰδίων addit Θ.) λέγει τῶν Ald.
14, 15. τῶν—μύσος om. G.
14. Βάκχαις] Non legitur hic versus in Bacchis: sed locum ubi exciderit probabiliter monstravit Tyrwhittus apud Musgrav. ad v. 1328.
15. μὴ] μὲν R.
ib. μύσος R.V.Θ. μῖσος Ald.
17. τῶν δημοσίων καὶ πολιτικῶν] τῶν πολιτῶν τῶν δημοσίων Paris.
18. τῶν ἰδιωτικῶν] τῶν om. Paris.
19. ἤτοι τῶν] καὶ Paris.
22, 23. Ὁ νοῦς—διαφέρον om. R. V.Θ.
24—p. 275. l. 2. Εἰ διὰ—μισεῖται] ὅτι εἰ μηδέν σοι ἁρμόττει ποίησον

μηδὲν διαφερόντων ἀπεχθάνει τοῖς ἀνθρώποις, διὰ τὸ ἐπιχειρεῖν ἀλλοτρίοις πράγμασιν. ὁ γὰρ ἀλλοτρίων προϊστάμενος μισεῖται. [σοὶ προσῆκον μηδὲν: Ἤγουν, οὐδενὸς διαφέροντος καὶ προσήκοντός σοι. Gl. Dorv. εἰ πρέποντος, ἁρμόζοντός σοι μηδενὸς, μισητὸς γίνῃ τοῖς πολλοῖς διὰ τὸ ἐπιχειρεῖν ἀλλοτρίοις. Gl. Paris. τὸ εἶτα τρισσῶς λαμβάνεται, εἶτα ἀντὶ τοῦ μετὰ ταῦτα, καὶ εἶτα ἀντὶ τοῦ ἄρα, καὶ εἶτα ἀργὸν, ὡς ἐνταῦθα. Paris.]

[912. προσήκει: Διαφέρει ἢ πρέπει μοι. Gl. Paris. καὶ ἀνήκει καὶ ἁρμόζει. Gl. Θ.]

913. ὦ κέπφε: [Ὄρνεον ὅπερ φιλεῖ ἀφρὸν θαλάττιον ἐσθίειν· καὶ οἱ παῖδες τῶν ἁλιέων λαμβάνοντες τὸν ἀφρὸν ῥίπτουσι τὸ πρῶτον πόρρωθεν, εἶτα ἐγγύτατα, εἶτα εἰς τὴν χεῖρα τὸν ἀφρὸν, καὶ οὕτως εὐχερῶς ἀγρεύουσι. καὶ ἐπὶ τῶν ἀλογίστων ἀνδρῶν τοῦτο εἰς παροιμίαν. R.V. Ἄλλως. ἀνόητε, κοῦφε, ὦ τὸν νοῦν μετέωρε. ὄρνις γὰρ θαλάττιος τὸ κέπφος, κουφότατον σφόδρα τῷ ἀφρῷ διατρεφόμενον διὰ τῆς θαλάττης καὶ πάνυ ὀλίγον ἔχον σαρκῶδες. Ἄλλως. ὦ εὐτελέστατε καὶ λάλε. φασὶ γὰρ τὸν κέπφον εὐτελῆ καὶ λάλον. V.] ὦ εὐτελέσατε καὶ λάλε· φασὶ γὰρ τὸν κέπφον εὐτελέστατον καὶ λάλον· ὄρνεον γὰρ ἄφρον, ὅπερ φιλεῖ ἀφρὸν θαλάττιον ἐσθίειν· τοῦτο

τι. τί θέλεις μισηθῆναι; ἄλλως. μισῇ διὰ τὸ ἐπιχειρεῖν ἀλλοτρίοις πράγμασι καὶ ἄλλους πολυπραγμονεῖν βίους καὶ διαβάλλειν οὐδέν σοι ἁρμόζει V. οὐδενὸς διαφέροντος καὶ ἁρμόττοντός σοι μισῇ παρὰ τῶν ἀνθρώπων διὰ τὸ—ἀλλοτρίων ἐπιμελεῖσθαι βουλόμενος μισεῖται Θ.

24. (p. 274.) διὰ om. R.

1. ἀπεχθάνει R. ἀπεχθάνῃ Ald.

1, 2. διὰ τὸ—μισεῖται om. R.

10. Scholia ad v. 913. sic excerpsit Suidas, Κέπφος: εἶδος ὀρνέου ὀξυτάτου. ὅτι δὲ κοῦφόν ἐστι καὶ ἐπιπλέον τοῖς κύμασιν. Ὦ κέπφε, ἀντὶ τοῦ, ὦ εὐτελέστατε καὶ λάλε· φασὶ γὰρ τὸν κέπφον τοιοῦτον εἶναι· τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀλογίστων ἀνδρῶν· ὁ γὰρ κέπφος ἀφρὸν ἐσθίει θαλάττιον. οἱ δὲ παῖδες τῶν ἁλιέων ῥίπτουσι τὸ πρῶτον πόρρωθεν· εἶτα ἐγγυτάτω· εἶτα εἰς τὴν χεῖρα τὸν ἀφρὸν, καὶ εὐχερῶς ἀγρεύουσι.

ib. Ὄρνεον—ἐσθίειν R. κέπφος ὄρνεον θαλάττιον, ἀφρὸν θαλάττιον ἐσθίον V.

11. λαμβάνοντες τὸν ἀφρὸν om. R. Θ.

13. παροιμίαν] Addit R. ὦ εὐτελέστατε καὶ λάλε· φησὶ (scr. φασὶ) γὰρ τὸν κέπφον εὐτελῆ καὶ λάλον. Post παροιμίαν excidisse videtur λαμβάνεται.

14. Ἄλλως. ἀνόητε] ἀλλ' ἀνόητε codex.

ib. ὄρνις γὰρ θαλάττιος τὸ κέπφος] Corrigendum videtur ὄρνεον γὰρ θαλάττιον ὁ κέπφος.

18—p. 276. l. 5. ὦ εὐτελέστατε—λάρος] Scholion Aldinum, ab recentiore grammatico interpolatum, om. R.V.

19. ὄρνεον γὰρ] ὄρνεον δέ ἐστιν Θ.

19—p. 276. l. 5. τοῦτο—λάρος] Pro his Θ. præbet quæ supra ex R.V. posui καὶ οἱ παῖδες—παροιμίαν.

βουλόμενοι οἱ τῶν ἁλιέων παῖδες χειρώσασθαι, ῥίπτουσι τὸ πρῶτον πόρρωθεν ἀφρὸν, εἶτα ἐγγύτατα, εἶτα φέρουσι τοῦτο ἐν ταῖς χερσὶν, καὶ οὕτω κατὰ μικρὸν ἀπατῶντες εὐχερῶς ἀγρεύουσι τοῦτο ἐμπεσὸν εἰς τὰς χεῖρας αὐτῶν. εἴληπται οὖν εἰς παροιμίαν ἐπὶ τῶν ἀλογίστων ἀνδρῶν καὶ ἀνοήτων. καλεῖται δὲ κοινῶς λάρος. [ὁ κέπφος ὄρνεόν ἐστι θαλάττιον, ἀτελὲς καὶ λάρον καὶ ἀφελὲς, ὃ καλοῦσι κοινῶς λάρον· ὅπερ φιλεῖ ἀφρὸν θαλάττιον ἐσθίειν. τοῦτο—φέρουσι τοῦτον ἐν ταῖς χερσὶ—ἀνοήτων. Paris. εὐεργετεῖν: Εὐεργεσίαν παρέχειν. Gl. Dorv. κέπφε: Λάρε. Gl. Θ. Dorv. Paris. σθένω: Δύναμαι. Gl. Θ. Paris.]

[914. πολυπραγμονεῖν: Τὸ πράγμασι καὶ κακουργίαις ἑαυτὸν ἐνδιδόναι καὶ δικορραφεῖν. Gl. Θ. ταῖς πανουργίαις ἑαυτὸν ἐκδεδωκέναι. Gl. Dorv. τὸ πέρα τοῦ δέοντος ἐξετάζειν. Gl. Paris.]

[915. τὸ μὲν οὖν βοηθεῖν: Τοῦτό ἐστι τὸ εὐεργετεῖν. Gl. Θ. Dorv. μᾶλλον μὲν οὖν ὑπάρχει εὐεργετεῖν. κειμένοις: Τεταγμένοις. Gl. Paris. ἐνεργουμένοις καὶ πολυτευομένοις. Gl. Θ.]

[916. ἐπιτρέπειν: Παραχωρεῖν καὶ ἐνδιδόναι. Gl. Θ. παραχωρεῖν καὶ ἁμαρτάνειν· διδόναι ἄδειαν παρὰ τὸ πρέπον. Gl. Dorv. συγχωρεῖν. Gl. Paris. ἐξαμαρτάνῃ: Ἤτοι ἁμαρτάνων ἔξω τοῦ καλοῦ πίπτῃ. Gl. Θ. Paris.]

917. ἐξεπίτηδες: Ἐξ ἀνάγκης· ἢ μάτην· οὕτως Ἀττικοί. ἀργῶς καὶ μάτην. κοινότερον δὲ, καὶ τὰς τοιαύτας ψιλὰς ἐπιστασίας καὶ λειτουργίας ἀρχὰς ἔλεγον· καὶ τὸ βουλεῦσαι ἄρξαι. γράφεται δὲ καὶ ἐν σχήματι ἀποφατικῷ, οὔκουν. τὸ δὲ ὁ βουλόμενος ἀντὶ τοῦ, ὁ ἐπιμελητὴς, ὁ κατήγορος, ὁ προϊστάμενος. [δικαστὰς: Κριτάς.

13. πέρα Schæferus. παρὰ codex.

17. παραχωρεῖν καὶ ἁμαρτάνειν] Hæc non abhorrent, dummodo paulisper adjuves scribendo seu, παραχωρεῖν, καὶ τοῦ ἁμαρτάνειν διδόναι ἄδειαν· sive potius, παραχωρεῖν ἁμαρτάνειν, καὶ διδόναι ἄδειαν παρὰ τὸ πρέπον. HEMST.

19. Ἤτοι ἁμαρτάνων om. Θ.

20. πίπτῃ] πίπτει Θ.

21–23. Ἐξ ἀνάγκης—ἄρξαι] ἐξ ἀνάγκης, ἀργῶς καὶ μάτην. καινότερον δὲ καὶ τὰς τοιαύτας ἐπιστασίας ἀρχὰς—ἄρξαι. ἄλλως. τὸ ἐξεπίτηδες μάτην οὕτως ἀττικοί V. Nihil præter illa, ἀντὶ τοῦ μάτην· οὕτως ἀττικοί, habet R. Apud Suidam, Ἐξεπίτηδες, καὶ ἐπίτηδες· ἑκατέρως λέγουσιν Ἀττικοὶ, ἀντὶ τοῦ μάτην, ἐξ ἀνάγκης, ἀργῶς. Οὐκ ἐπίτηδες ἡ πόλις ἄρχειν καθίστησι δικαστάς.

22, 23. κοινότερον—ἄρξαι] Excerpsit Suidas s. ἄρχειν. Male V. καινότερον.

23–25. γράφεται — προϊστάμενος] Scholion recens, quod om. R.V.

23, 24. γράφεται—ὁ βουλόμενος om. Θ.

24. ὁ βουλόμενος] Ad hoc vocabulum explicandum quid faciant adjecta, non facile quis dixerit. Ex

Gl. Paris. ἐξεπίτηδες: Ἐπ' αὐτῷ τούτῳ. Gl. Θ. ἐπ' αὐτὸ τοῦτο. Gl. Paris. ἐσκεμμένως ἤτοι ἐπ' αὐτῷ τούτῳ. Gl. Paris.]

[918. ἄρχειν καθίστησιν: Ἵνα παρ' αὐτῶν βοηθοῖντο οἱ νόμοι δηλαδή. Gl. Θ. ἄρχοντας εἶναι ποιεῖν. ἵνα παρ' αὐτῷ βοηθοῦνται. Gl. Dorv. καθίστησιν: Τάττει. κατηγορεῖ: Συνηγορεῖ. Gl. Θ. Paris. κατηγορῶ κατά τινος λέγεται, ὃ καὶ ἀπὸ γενικῆς πρὸς αἰτιατικὴν ἔχει τὴν σύνταξιν, ὡς τὸ κατηγορῶ σου ἀμαθίαν. κατηγορῶ τὸ καταφάσκω παρὰ φιλοσόφοις γενικῇ συντασσόμενον. κατηγορῶ τὸ ἐφυβρίζω καὶ αὐτὸ γενικῇ. κατηγορῶ δὲ τὸ παριστῶ αἰτιατικῇ ὡς τὸ "κατηγόρησε ἡ θλίψις μακρόψιλον." Θ.]

[919. ὁ βουλόμενος: Ὁ θέλων. Gl. Dorv. Paris. ἐκεῖνος: Ὁ κατηγορῶν. Gl. Paris.]

[920. ἥκει: Ἀνήκει, ἀνατρέχει. Gl. Paris.]

[921. νή: Μά. πονηρὸν: Κακότροπον. προστάτην: Φροντιστήν. Gl. Dorv. ἐπιμελητὴν τῶν πραγμάτων αὐτῆς. Gl. Θ. ἐπιμελητήν. Gl. Paris. ἔχει: Ἡ πόλις δηλαδή. Gl. Dorv.]

[922. ἡσυχίαν ἄγων: Ἡσυχάζων. Gl. Paris.]

923. προβατίου βίον: Μωροῦ καὶ ἀνοήτου· διὰ τὸ ἀδρανὲς τῆς διανομῆς τῶν πραγμάτων· τὰ γὰρ πρόβατα μηδὲν ἐργαζόμενα ζῇ. [ζῆν ἀργός: Ἄπρακτος, ματήν. προβατίου βίον: Ἀντὶ τοῦ μω-

Dorv. scriptas ad hunc versum interpretationes enotabo: ὁ βουλόμενος] ὁ θέλων. οὐκοῦν] λοιπόν. ἐκεῖνός εἰμι] ὁ κατηγόρος ὑπάρχω. Ergo descriptoris, qui ampliores veterum adnotationes excerpebat, culpa contigit, ut voci βουλόμενος adjungerentur, quæ ad ἐκεῖνος pertinebant: confer schol. ad v. 930. HEMST.

4. ἵνα παρ' αὐτῷ βοηθοῦνται] Dorv. maculas absterseris, si scribas, ποιεῖ, ἵνα παρ' αὐτῶν βοηθῶνται. HEMST.

5. Τάττει] τάττεται Θ.

13. ἀνατρέχει solum habet Θ.

18. καὶ om. V.

18, 19. διὰ τὸ—πραγμάτων om. V.

18. τῆς διανομῆς τῶν πρ.] Sub proverbii forma Suidas proponit: Προβατίου βίον ζῆν· ἐπὶ τῶν μωρῶν καὶ ἀνοήτων· τὰ γὰρ πρόβατα οὐδὲν ἐργάζεται καὶ ζῇ· ἢ διὰ τὸ ἀδρανές. Ordinem inversum non inprobo; quippe ratio melius adparet, cur πρόβατον sive προβάτιον stulti insipientisque significationem habeat: alioqui solertes etiam homines et callidi non raro sunt ingenio ad agendum tardo, atque ἀδρανεῖς. Omissum a Suida τῆς διανομῆς τῶν πραγμάτων, quod tamen minime rejiciendum videtur: *rerum gestionem* atque *administrationem* intelligo: Plutarch. in Cleom. p. 820. E. πρὸς ἀσφάλειαν καὶ διανομὴν τῶν πραγμάτων· quanquam interpres, qui reddidit, *ad regni securitatem et perpetuitatem*, legisse videatur, vel certe legendum credidisse διαμόνην. Erasmi Chiliadas adi in *Ovium mores*. HEMST.

19. πραγμάτων] προβάτων R.

ib. τὰ γὰρ R.V. ἢ ὅτι τὰ Ald.

20. Ἄπρακτος habet Θ.

ῥοῦ καὶ ἀνοήτου. Gl. Paris. προβάτου ζωὴν, ἀγροίκου. Gl. Paris.]

924. διατριβή τις τῷ βίῳ: Ἐπιτήδευμα, ἀσχόλημα, δίαιτα, διαγωγὴ, πρόφασις, ἀφ' ἧς μέλλομεν περὶ τὰ πράγματα διατρίβειν. [διατριβή: Πολυπραγμοσύνη. Gl. Θ. ἐπιτηδειότης. Gl. Dorv.]

925. οὐδ' ἂν μεταμάθοις: Ἀντὶ τοῦ παύσαιο. κυρίως δὲ μεταμαθεῖν ἔλεγον τὸ μετὰ ταῦτα ἕτερόν τι μαθεῖν ἀφέμενον τοῦ πρώτου. [ἤγουν ἀντὶ τῆς πολυπραγμοσύνης ἄλλην ἑτέραν τέχνην μάθοις. Gl. Θ. οὐδ' ἂν: Οὐδαμῶς. Gl. Dorv. μεταμάθοις: Καταλείψας τοῦτο ἕτερον μάθοις. Gl. Paris. δοίης: Δώσῃς. Gl. Dorv. οὐ μεταμάθοις δηλονότι, εἰ παράσχοις. Gl. Paris. παράσχοις. Gl. Θ.]

926. καὶ τὸ Βάττου σίλφιον: Βάττος Κυρήνην ἔκτισεν, ἐλθὼν ἀπὸ Θήρας, τῆς κατὰ Κρήτην νήσου· ὃν τιμήσαντες Λίβυες ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων τὸ σίλφιον, καὶ ἐν νομίσματι αὐτὸν ἐχάραξαν, τῇ μὲν βασιλείαν, τῇ δὲ σίλφιον παρὰ τῆς πόλεως δεχόμενον, ὡς Ἀριστοτέλης ἐν τῇ Κυρηναίων πολιτείᾳ· ἔνθεν καὶ ἡ παροιμία ἐπὶ τῶν διαφόρους καὶ ἐξόχους τιμὰς δεχομένων. Ἄλλως.

3. Ἐπιτήδευμα] Suid. in διατριβή· σημαίνει δὲ καὶ τὸ ἐπιτήδευμα, καὶ τὸ ἀσχόλημα, δίαιταν etc. adjecto hoc Aristophanis versu. HEMST.

4. μέλλομεν] μίμημα Θ.

ib. πράγματα] πρόβατα R.

5. ἐπιτηδειότης] Schol. Dorv. διατριβὴν intellexit, ut videtur, idoneam agendi facultatem, usu rerum civilium et exercitio quotidiano firmatam: neque enim memini ἐπιτηδειότητα, ne ex more quidem Græciæ serioris, vocari, quæ veteribus erat ἐπιτήδευσις vel ἐπιτήδευμα. HEMST.

6. παύσαιο R.V. παύσαιτο Θ. ἀναπαύσοιο Ald. παύσαιο legit Suidas, qui μεταμαθεῖν exponit μεταγνῶναι, παύσασθαι.

7. ἀφέμενον R. et Suidas. ἀφιεμένου Ald.

13—p. 279. l. 9. Βάττος—Ἀλεξανδρίδης] σίλφιον βοτάνη—ἀλεξανδρίδης. ἄλλως. βάτος κυρήνην—δεχομένων. ἄλλως. παροιμία ἐπὶ τῶν σπανίων. βάτος ἦν τις τῶν λιβύων βασιλεύς. γέγονε δὲ σφόδρα δίκαιος. διὰ τοῦτο ὑπὸ τῶν ὑπηκόων (excidit μεγάλως ἐτιμᾶτο vel simile quid). παρ' αὐτοῖς δὲ τὸ σίλφιον τοῦτο λαχανῶδες φυτόν. ἐδόκουν δὲ σπανίῳ αὐτῷ ὄντι τέως αὐτῷ κεχρῆσθαι, ἀλλ' εἴπου καὶ εὑρίσκετο αὐτῷ προσέφερον αὐτόν (recte αὐτό G.) V.

13. Βάττος] βάτος hic et infra V.

13, 14. ἐλθὼν—νήσου om. V.

15. τὸ κάλλιστον] τὸ om. V.

ib. ἐν νομίσματι] Nummi Cyrenæorum, Batti effigie signati, adhuc hodie in nummophylaciis reperiuntur. KUST.

16. αὐτὸν] αὐτὸ V.

ib. βασιλείαν] βασιλεία V. βασιλέα R.

ib. σίλφιον] ἔστι δὲ βοτάνη πολυτίμητος addit R. ibique desinit.

17. τῇ om. V.

ib. καὶ om. V.

18. καὶ ἐξόχους om. V.

σίλφιον βοτάνη πολυτίμητος· ἡ δὲ αἰτία τοιαύτη ἐστί. Βάττος, ὁ καὶ Ἀριστοτέλης, πόλιν ἐν Λιβύῃ Κυρήνην λεγομένην ἔκτισε κατὰ τὸν δοθέντα αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος χρησμόν· καὶ οἱ πολῖται οἱ Κυρηναῖοι ἀνταπόδοσιν τῆς εὐεργεσίας βουλόμενοι χαρίσασθαι τῷ βασιλεῖ, ἐποίησαν δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον. καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ καυλὸς καὶ ὁ ὀπὸς καὶ ἁπλῶς τὸ πᾶν αὐτοῦ πολλῆς τιμῆς ἄξιόν ἐστιν. καὶ οἱ Ἀμπελιῶται δὲ ἔθνος Λιβύης, εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου, ὥς φησιν Ἀλεξανδρίδης. [σίλφιον: Τὸ λεγόμενον

1. ὁ καὶ V, Suidas s. σίλφιον, scholiasta Pindari Pyth. 4, 15. Apostolius s. Βάττου σίλφιον. ὡς καὶ G. ὡς Ald.

2. πόλιν addidi ex V.

ib. λεγομένην om. V.

3. παρὰ] κατὰ τὸν per errorem ex antecedentibus repetita ponit V.

ib. τοῦ ἀπόλλωνος V. τῷ Ἀπόλλωνι Ald.

4. εὐεργεσίας] βασιλείας, supra scripto εὐεργεσίας, V, non G.

5. δακτύλιον V.Θ. et Suidas. εἰκόνα, ὡς δέ τινες δακτύλιον Ald.

6. καυλὸς Pearsonus apud Kuster. ad Suidam. Legebatur κλάδος. Conf. schol. Equit. 890.

7. πολλῆς] προσφερόμενον Θ.

8. Ἀμπελιῶται] Ab Ἀμπέλῳ, Cyrenaïcæ promontorio et urbe, Stephanus Ἀμπελίτην finxit. L. Holstenius apud Suid. v. σίλφιον Ἀμπελιῶται legi monens addidit: *quod fortasse hinc reformandum scribendumque* Ἀμπελῖται. Eandem fuisse Salmasii opinionem patet ex Plin. Exerc. p. 265. B. Verum Berkelio lubens accedo, qui in Ἀμπελίτης ut formam Ægyptiacam agnoscit, sic Ἀμπελιώτης minime repudiandum esse censet: hoc nimirum ab Ἀμπέλιος, illud ab Ἄμπελος existit. Berkelius autem scholiastæ nostri verba proponens Suidam tamen solum nominat, apud quem in σίλφιον legitur, καὶ οἱ Ἀμπελιῶται, ἔθνη Λιβύης· in Βάττου σίλφιον, οἱ δὲ ἐπὶ Λιβύης Ἀμπελιῶται. Corruptum in Ἄμπελος Hesychii locum varie viri docti tentarunt: mihi videtur hunc in modum expoliendus: Ἄμπελος, ἡ μηχανή· καὶ ἄκρα Μυκάλης, ἤγουν ὄρος. Κυρηναίας δὲ αἰγιαλός· καὶ πόλις Θράκης· καὶ ἡ ἄμπελος. Quanquam enim sedes Ampeliotarum, quos perraro veteres adtingunt, certis limitibus definire non sustineam, videtur tamen eorum regio illa in parte Cyrenaïcæ fuisse sita, quam Diodorus ait πολλὴν ἄμπελον, ἔτι δ' ἐλαίαν ἔχειν, et oræ maritimæ tractum aliquem occupasse. HEMST.

8, 9. εἰς Δελφοὺς—Ἀλεξανδρίδης om. Θ.

9. Ἀλεξανδρίδης] Historicum Alexandridem, Delphis oriundum, rerum patriarum scriptorem, et Anaxandridem comicum olim ad Poll. 9, 59. distinxi, et suum utrique nomen vindicare sum conatus. Hic sententiæ nostræ Kusterus primum adsentitur: statim causam deserens non multum se pugnaturum esse profitetur, si quis præferendam potius censuerit opinionem Meursii: is scilicet in Bibl. Græc. Alexandride proturbato, solum Anaxandridæ nomen, tanquam utrisque commune, pro genuino habuit. Ego nihil adhuc argumenti novi prolatum reperio, quod pristinam opinionem meam vel minimum labefactet: imo contra non pauca sunt ad manum, quibus ea firmis-

sime, quantum in antiquis rebus consequi licet, stabiliri possit. Ille ipse perpetuus fere librariorum error in nominibus hisce permutandis binos nobis diversosque scriptores indicat. De Anaxandride comico res facillime potest ad liquidum deduci: nam in Polluce quidem, ubi Alexandridem vulgati libri nobis inculcabant, exactissimi, quibus usi sumus, vetustæ notæ codd. Anaxandridem tuentur: e contrario 4, 43. C. A. non magni pretii Ἀλεξανδρίδης ostentat, quem castigatius exemplar secuti bene Ἀναξανδρίδην ediderunt. Apud Aristotelem Ἠθ. Εὐδ. 6. p. 178. v. 25. ὥσπερ Ἀναξανδρίδης ἔσκωψεν· Rhetor. 3. p. 138. v. 8. τὸ Ἀναξανδρίδου τὸ ἐπαινούμενον· p. 140. v. 21. ἔν τε τῇ Ἀναξανδρίδου Γεροντομανίᾳ, nulla scribendi varietas adparet: adversus quem consensum frustra quis obduxerit ex ejusdem libri p. 135. v. 1. τὸ Ἀλεξάνδρου ἰαμβεῖον, quod nonnullis edd. inhæsit pro Ἀναξανδρίδου. Jam in Athenæo quam sæpe verum comici nomen occurrit præ corrupto? imo p. 261. F. falsum Alexandridem expellunt Eclogæ manu scriptæ, ut Casaubonus adnotavit Animadv. 6, 18. qui vir magnus si Pollucis codicum exploratam habuisset lectionem, nihil omnino dubitasset, quin tollendus foret e numero comicorum Alexandrides. In primis autem dignus est, qui adtendatur, Athenæi locus 9. p. 373. F. 374. A. ubi postquam Anaxandridæ versus binos ex Tereo citaverat, quæ Chamæleon Heracleota de eo prodiderit, in medium adfert: Ἀναξανδρίδην et ipse scribit, et a Chamæleonte scriptum promit: quis in animum inducat, errorem hic committi potuisse? Sic et Diogen. L. 3, 26. Ἀναξανδρίδης ἐν Θησεῖ, qui fabulæ titulus est suspectus, refingendusque mihi videtur in Θησαυρῷ, vel Τηρεῖ, usque dum Theseus alicunde fuerit investigatus. Sed maxime opportunum est, omnemque dubitationem eximit Suidæ testimonium, qui nulla re melius de nobis fuit meritus, quam conservandis, quas apud veteres grammaticos memoriæ mandatas invenerat, scriptorum antiquorum vitis. Ille juxta literarum seriem Ἀναξανδρίδην posuit, comicique patriam fabularumque numerum designavit; nec secum dissidet in Καμειραία ἰσχάς· quod si consideres, manifesto patet cum priscorum lexicographorum in eam scribendi formam consensus, tum adspersa Suidæ labes in Ἀβέλτερος et Ἀρεοπαγίτης, ubi Anaxandridæ locum sine dubio per injuriam Alexandrides occupavit. Fateor equidem in Alexandride historico paullo impeditiorem esse probationem ob scripturam veterum ambiguam: ut enim nomen hoc ita dederit scholiastes noster et Plutarch. in Lysandr. p. 343. B. tamen in Quæst. Gr. ejusdem Plutarchi p. 292. F. et schol. Euripid. ad Alcest. v. 1. prostat Ἀναξανδρίδης ὁ Δελφός· numerum auget Proverb. App. Vat. C. 1, 5. ἡ ἱστορία παρ' Ἀναξανδρίδῃ ἐν πρώτῃ περὶ τῶν συληθέντων ἐν Δελφοῖς ἀναθημάτων· quod opus non aliud existimo, quam ipsam Delphorum historiam, cujus forte primo volumine de donariis furto subductis potissimum egerat: Schottum certe cum Anaximandro suo Milesio, quem reponi volebat, nihil moramur. Sublata foret omnis difficultas, si ut Anaxandridæ comici Suidas, sic item Alexandridæ, servato literarum ordine, meminisset: verumtamen eo ipso in loco dum de Anaxandride historico penitus tacet, non leve nobis pro Alexandride documentum suppeditat. Pone veteri, quem descripsit, grammatico non comici tantum, sed et historici, qui eodem nomine diceretur, fuisse notitiam: de altero scilicet ne verbulo quidem monuisset; sal-

βαλσαμέλαιον. Gl. Dorv. Βάττου σίλφιον: Ὄνομα κύριον τὸ κοινῶς βάλσαμον. Gl. Paris. ὁ Βάττος οὗτος ἔκτισε τὴν Κυρήνην, ἔνθα τὸ σίλφιον γίνεται, οὗ ὁ ὀπὸς πολλοῦ ἄξιός ἐστι. τιμῶντες οὖν αὐτὸν οἱ Κυρηναῖοι ὡς ἀρχηγέτην, χρυσῆν αὐτοῦ τὴν εἰκόνα πεποιήκασιν, τὸ σίλφιον ἐν τῇ δεξιᾷ φέρουσαν, λίθοις καὶ μαργάροις κεκοσμημένον. λαμβάνεται οὖν εἰς παροιμίαν τὸ τοῦ Βάττου σίλφιον ἐπὶ τῶν πολυτελῶν. Paris.]

tem ut lectori consuleret, eumque duos homines diversos discernere doceret, qua in parte, erroris, qui ex homonymia facile oritur, amovendi causa, cura grammaticorum alias excellit, ut ex ipso Suida compertum habemus: haud sane probabile videtur. Præterea nostram opinionem eximie suffulcit Stephan. in Παρνασσὸς, non deesse referens, quibus monti nomen inditum placeat ex Parnasso quodam, qui primus Pythone fuerit vaticinatus, ὡς Ἀλέξανδρός φησιν ἐν πρώτῳ περὶ τοῦ ἐν Δελφοῖς χρηστηρίου. Eundem esse, qui ab aliis Alexandrides vocatur, nemo dubitet, qui libri titulum adtenderit; sive illa librarii sit culpa Alexandrum scribentis, ubi debuerat Ἀλεξανδρίδης, quomodo supra pro Anaxandride vidimus Alexandrum exhiberi; quamque eandem maculam insedisse Zenobio 6, 11. fere persuasum mihi est; sive communis consuetudo primitivorum patronymicorumque nominum commiscendi, de quo genere nonnulla notavimus ad Lucian. Tim. p. 157. Sic Lacedæmoniorum Ephorus Κλέανδρος et Κλεανδρίδης apud schol. Aristoph. ad Nub. v. 857. Archontes Athenis Φρασικλῆς et Φρασικλείδης, uti legendum in Diodoro Sic. 9. p. 281. D. Εὔβουλος apud Lys. p. 154. v. 27. et Εὐβουλίδης· quare nihil erat cur Io. Meursius Lysimachum mutaret in Lysimachidem A. L. 4, 31. Bias Τευτάμου Diogeni L. Τευταμίδου Stobæo: Protagoræ pater Μαίανδρος, Μαιάνδριος, et Μαιανδρίδης· Theocriti Σίμιχος et Σιμιχίδης, de quo schol. ad Eid. 7, 21. Quem Thespium vocat Thespiæ conditorem Pausan. 9. p. 761. is Θεσπιάδης dicitur a Stephano, et apud Suidam in ἐξαναστάς. Corrigendus talem in modum Hesychius; Φιλομηλιάδης· (vel potius Φιλομηλείδης· pertinet enim hæc observatio ad Homer. Od. Δ, 343. Ρ, 134.) οἱ μὲν κύριον ὄνομα· πολλάκις γὰρ πατρωνυμικῷ τύπῳ κύριον δηλοῦται, ὡς Εὐριπίδης, Ἡρακλείδης· ut utrumque exempli vice ponatur: nisi malis, ὡς Εὐριπίδῃ Ἡρακλείδης, sicut ab Euripide Hercules appellatur Ἡρακλείδης. Pari ergo jure in tanta ejusmodi nominum variatione Alexander dici potuerit, atque Alexandrides. His rebus expensis, vix mihi dubium est, quin eruditus lector de Alexandride historico secundum me sit pronunciaturus. HEMST.

1. βαλσαμέλαιον] Eandem vocabuli σίλφιον in Gloss. MSS. explicationem reperi, certe parum adcommodatam: præterquam enim quod in comico ipse laserpitii Cyrenaïci frutex sit intelligendus, multum distant laser, sive silphii succus, et ὀποβάλσαμον, aut, quod a recentioribus potissimum usurpatur, βαλσαμέλαιον. HEMST. τὸ λεγόμενον βάλσαμον Θ.

2. ὁ Βάττος] Corrupte Dorv. ὁ βάτος οὗτος ἔκτησεν τὴν κηρύνην, ἔνθα τὸ σίλφιον γίνεται· οὗ ὁ ὑπὸ πολλοῦ ἄξιος ἔστι· τιμῶντες οὖν αὐτὸν ὡς ἀρχή.

[927. *κατάθου*: Ἀπόριπτε. Gl. Dorv. *ἀντὶ τοῦ καταβαλοῦ, ῥίψον*. Gl. Paris. *θοιμάτιον*: Ὃ φορεῖς. Gl. Dorv.]

[928. *ὑπόλυσαι*: Τὰ ὑποδήματα. Gl. Θ. Dorv. *τὰ ὑποδήματα ἄφελε*. Gl. Paris.]

[929. *προσελθέτω*: Ἔμπροσθεν. Gl. Dorv.]

930. *οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ*: Ἐκεῖνός εἰμι ἐγώ, φησίν, ὁ μέλλων σοι προσελθεῖν. τοῦτο ὁ θεράπων ἀποσκώπτων λέγει. ἅμα δὲ καὶ μιμεῖται τὰ παρ' αὐτοῦ ἄνω εἰρημένα, ἐν ὅσῳ δὲ λέγουσιν, ἀπέδυσεν. [*ἐκεῖνος*: Ὁ βουλόμενος δηλονότι προσελθεῖν. Gl. Paris.]

931. *μεθ' ἡμέραν*: Ἀντὶ τοῦ ἐν ἡμέρᾳ. Ἀττικὸν δὲ τὸ σχῆμα· μεθ' ἡμέραν γάρ φασιν, οὐκ ἐν ἡμέρᾳ. [*ἀποδύομαι*: Ἀντὶ τοῦ τὰ ἱμάτια ἀφαιροῦμαι. Gl. Paris. *ἀποδύομαι λέγεται τὸ βιαίως καὶ λῃστρικῶς τὰ ἱμάτια ἀφαιροῦμαι*. Paris. *μεθ' ἡμέραν*: Κατὰ τὴν ἡμέραν. Gl. Dorv. Ἀττικῶς ἀντὶ τοῦ ἐν ἡμέρᾳ. ἐν νυκτὶ γὰρ πάσχουσι τοῦτο ἔνιοι ὑπό τινων λοχώντων αὐτούς. Θ. τὸ γὰρ κατὰ νύκτα ἀποδύεσθαί τινα ὑπὸ τῶν λόχων τῶν λωποδυτῶν ἴσως φορητόν, ὅτι λάθρα τοῦτο ποιοῦσι τοὺς νόμους φοβούμενοι καὶ τὰ δικαστήρια, ἐγὼ δὲ κατὰ τὴν ἡμέραν τοῦτο πάσχω περιφανῶς. Victor.]

[932. *ἀξιοῖς*: Ἀντὶ τοῦ δικαιοῖς. V. (non G.) *ἄξιον κρίνεις*. Gl. Θ. Dorv. Paris. *ἀλλότρια πράττων*: Ξένα ἀπαιτῶν. Gl. Paris. *ἐνεργῶν ἢ ἀπαιτῶν*. Gl. Θ.]

[933. *μαρτύρομαι*: Εἰς μαρτυρίαν τίθημι. Gl. Θ. Dorv. *μάρτυρα καλῶ, ἢ διὰ μάρτυρος παραστήσω*. Gl. Paris.]

[934. *οἴχεται φεύγων*: Εἶδε γὰρ αὐτὸν ἀποδυόμενον καὶ ἐφοβήθη, μὴ καὶ αὐτὸς τὰ ὅμοια πάθῃ. Gl. Θ. Dorv. Victor. *οἴχεται*: Ἀπῆλθε. *ὃν*: Ὅντινα. Gl. Paris.]

[935. *ὡς φυγόντος τοῦ μετ' αὐτοῦ μάρτυρος*. R.V. *περιεί-*

5. Quod in Dorv. supra *προσελθέτω* scriptum est, *ἔμπροσθεν*, quid efficiat non video, nisi *πρὸς ἐμὲ* voluerit exponere *ἔμπροσθεν ἐμοῦ*. HEMST.

6. *φησὶν* om. V.

7. *τοῦτο—λέγει* om. R.V.Θ.

11, 12. *Ἀντὶ—ἡμέρᾳ* om. Θ. Excerpsit Suidas s. *μεθ' ἡμέραν*.

11. *Ἀττικὸν δὲ* R. Aberat *δέ*.

12. *μεθ'—ἡμέρᾳ* om. R.

ib. *φασιν*] *φησιν* V.

20. *δικαιοῖς*] *δίκαιος* codex.

22. *ἢ ἀπαιτῶν*] *ἢ ἀπατῶν* codex.

25. *Εἶδε*] *οἶδε* Θ.

26. *μὴ—πάθῃ* om. Dorv.

ib. *μὴ καὶ* Θ. *μὴ ὁ* Victor.

ib. *πάθῃ* Victor. *πείσεται* Θ.

λημμαι: Κατὰ κύκλον ἐλήφθην. Gl. Paris. κεκράτημαι. Gl. Θ. Dorv.]

[936. οἴμοι μάλ' αὖθις: Τὸ ἡμιστίχιον ἐξ Ἠλέκτρας Σοφοκλέους τὸ οἴμοι μάλ' αὖθις, ὅτε τὴν Κλυταιμνήστραν οἱ περὶ Ὀρέστην φονεύουσιν. R.V. δὸς σύ: Ὦ παιδάριον. Gl. Θ. Dorv.]

[937. ἀμφιέσω: Ἐνδύσω. Gl. Θ. Paris.]

938. ἱερὸν γάρ ἐστιν: Ἱερὸν λέγουσι πᾶν τὸ ἀνατιθέμενον τοῖς θεοῖς. [μὴ δῆθ': Μηδαμῶς. Gl. Dorv. μὴ ἀμφιέσῃς. Gl. Paris.]

[939. κάλλιον: Κρειττόνως. Gl. Θ. κρεῖττον. Gl. Dorv. ἀνατεθήσεται: Ὡς ἀνάθημα κρεμασθήσεται. Gl. Θ. Paris.]

[940. ἢ: Παρό. Gl. Paris. τοιχωρύχον: Κλέπτην. Gl. Dorv.]

[941. κοσμεῖν: Καλλωπίζειν. Gl. Dorv. καλλύνειν. Gl. Paris. σεμνοῖς: Λαμπροῖς. Gl. Dorv. εὐτάκτοις προσήκει κοσμίοις. Gl. Paris.]

[942. ἐμβαδίοις: Ὑποδήμασι. Gl. Dorv.]

[943. ταῦτα: Τὰ ἐμβάδια. αὐτίκα: Συντόμως. Gl. Paris.]

944. ὥσπερ κοτίνῳ προσπατταλεύσω: Ὅτι ἐπὶ τῶν κοτίνων καὶ ἄλλων δένδρων πανταχοῦ πρὸς τοῖς ἱεροῖς προσπατταλεύουσι τὰ ἀναθήματα. Ἄλλως. εἰώθασι τοῖς δένδροις κῶλα καὶ κρανία προσπατ-

3. Ἠλέκτρας] 1416. ubi ᾤμοι scribitur.

4, 5. τὸ οἴμοι—φονεύουσιν om. R.

7. πᾶν τὸ R. et Suidas s. ἱερόν. τὸ om. Ald. Totum scholion om. Θ.

11. κρεμασθήσεται] τεθήσεται Θ.

12. Παρό] Passim grammatici conjunctionem ἢ explicant per παρό. V. Gregor. Corinth. p. 103. ed. Lips. SCHÆFER.

19. ἐπὶ τῶν κοτίνων] *Fuisse circa templa arbores sacras, quibus anathemata suspenderentur,* prolatis scholiastæ verbis ostendit Des. Herald. in Apolog. Tertull. p. 58. Ὥσπερ κοτίνῳ προσπατταλεύσω unde ductum sit, triplex adfertur explicatio: scholia duo priora, quamvis diversam rationem contineant, adeoque bene separentur, in unum conflavit Suid. in Προσπατταλεύσω· εἰώθασι γὰρ κοτίνῳ καὶ ἄλλοις δένδροις προσπατταλεύειν ἀναθήματα καὶ κωλᾶς καὶ κρανία πρὸς ἀποτροπὴν βασκανίας οἱ γεωργοί, καὶ πρὸς τὸ μὴ ξηρανθῆναι τὰ αὐτῶν γεωργήματα. Tertium de more venatorum, qui capturæ primitiis deos venerabantur, Latine versum invenies apud Spanhem. ad Callimach. p. 205. HEMST.

20. πρὸς R.Θ. γὰρ πρὸς V. ἐν Ald.

ib. προσπατταλεύουσι] πατταλεύουσι V.

21—p. 284. l. 4. Ἄλλως. εἰώθασι —τὴν ὕλην om. R.

21—p. 284. l. 2. Ἄλλως. εἰώθασι —ξηρανθῆναι αὐτά post Ἀρτέμιδος ponit V.

21. τοῖς] γὰρ πρὸς τοῖς V.

ib. κῶλα] κωλᾶς Θ. et Suidas. κῶλας V: sed κῶλα G.

ταλεύειν πρὸς ἀποτροπὴν βασκανίας οἱ γεωργοὶ, πρὸς τὸ μὴ ξηρανθῆναι αὐτά. Ἄλλως. ἔθος ἦν τοὺς θηρῶντάς τινα ἄγραν μέρος τι τοῦ θηρωμένου, ἢ τὴν κεφαλὴν ἢ πόδα, προσηλοῦν πασσάλῳ ἐπί τινος δένδρου εἰς αὐτὴν τὴν ὕλην, πρὸς τιμὴν τῆς Ἀρτέμιδος. [κοτίνῳ: Ἀγριελαίᾳ. Gl. Θ. Dorv. στεφάνῳ. Gl. Paris. προσπατταλεύσω: Προσηλώσω, κρεμάσω. Gl. Θ. Dorv. προσηλώσω, προσκαρφώσω. Gl. Paris.]

[945. ἄπειμι: Ἀπέρχομαι. Gl. Θ. ἤγουν ἀπέρχομαι. γινώσκω: Ἤγουν ἐπίσταμαι χείρων ὑπάρχων κατὰ πολύ. Gl. Dorv. Paris.]

[946. σύζυγον: Βοηθὸν, ἤγουν σύνδρομον. Gl. Dorv. Paris. βοηθὸν, σύμμαχον. Gl. Θ.]

947. καὶ σύκινον: Ἴσον τῷ ἀσθενέστατον· τὸ γὰρ ξύλον τῆς συκῆς ἀσθενὲς καὶ χαῦνον· ὅθεν καὶ συκίνη ἐπικουρία, ἀντὶ τοῦ ἀσθενὴς καὶ ἀνωφελής. ἢ σύκινον τὸν συκοφάντην κεκαλυμμένως λέγει, ἀπὸ τῆς συκῆς σχηματίσας τὸ ὄνομα. [ἐν εἰρωνείᾳ τοῦτο. R. σύκινον: Ἀσθενῆ. Gl. Dorv. ἀσθενῆ, ἀδύνατον. Gl. Paris. ἡ μεταφορὰ ἀπὸ τῆς συκῆς, διότι ἔνι ἡ συκῆ ἀνίσχυρος, καὶ θραύεται εὐκόλως. Dorv. ἰσχυρὸν θεὸν: Τὸν δυνατόν. Gl. Dorv. τὸν Πλοῦτον. Gl. Paris.]

[948. τήμερον: Ἀττικόν. Gl. Θ. σήμερον. δοῦναι δίκην: Τιμωρίαν. Gl. Dorv. τιμωρίαν, ἤγουν τιμωρηθῆναι. Gl. Paris. τιμωρηθῆναι. Gl. Θ.]

2. ἦν] γὰρ ἦν V.
ib. τινα] τι V.
3. ἢ τὴν addidi ex V.
6. προσκαρφώσω] Inferioris Græcitatis vocabulum, de quo vid. Bast. ad Gregor. Cor. p. 575.
13. τῷ] τὸν V.
14, 15. καὶ χαῦ ον—ἀνωφελής ab recentiore scholiasta inserta om. R.V.Θ.
15. τὸν om. V.
15, 16. συκοφάντην—τὸ ὄνομα] συκοφάντην. ἄλλως. τοῦτον τὸν ἰσχυρὸν θεὸν τὸν πλοῦτον μέγαν ἢ τὸν ἀσθενῆ. δειλὸς γὰρ ὁ πλοῦτος. κεκαλυμμένως δὲ ἐρεῖ ἀπὸ τῆς συκῆς σχηματίσας V.
16. τὸ ὄνομα om. R.V.
17. In Dorv. ad marginem hæc adscripta: Ἡ μεταφορὰ ἀπὸ τῆς συκῆς, διότι ἔνι (nisi quid aliud forte lateat, sufficit ad sensum ἐστὶν) ἡ συκῆ ἀνίσχυρος, καὶ θραύεται εὐκόλως· et sequente pagina, quod huc est referendum: χαῦνον φυτὸν ἡ συκῆ· διὰ τοῦτο ἐστὶ παροιμία, συκίνη ἐπικουρία, ἀντὶ τοῦ ἀσθενὴς καὶ ἀνωφελής· quorum partim in scholiis invenire licet, partim apud Etymolog. in σύκινοι ἄνδρες, in quo totidem verbis eadem, quæ Theocriti vetus enarrator habet ad Eid. 10, 45. leguntur, et Mich. Apostol. C. 17, 79. nam Suidas, qui multo brevioribus, quam nunc publicantur, ad postrema Pluti scholiis est usus, horum nihil excerpsit. HEMST.

[949. ὅτι: Διότι. περιφανῶς: Ἤγουν φανερῶς. Gl. Dorv. καταλύει: Ἀφανίζει. περιφανῶς: Ἀριδήλως καὶ φανερῶς. Gl. Θ. Paris.]

semper; sæpe Stoïci. Trebonius Ciceroni Epp. ad Famil. 12, 16. *In quibus versiculis si tibi quibusdam verbis* εὐθυρρημονέστερος *videbor, turpitudo personæ ejus in quam liberius invehimur, nos vindicabit.* Clem. Alex. Strom. 2. p. 439. Crates ἐν ἄλλοις εὐθυρημόνως γράφει, τῆς εἰς τὰ ἀφροδίσια ἀκατασχέτου ὁρμῆς κατάπλασμα εἶναι λιμόν· εἰ δὲ μή, βρόχον. Ea est causa, quamobrem a Polluce jungantur αἰσχρορρημοσύνη καὶ εὐθυρρημοσύνη 2, 129. neque jam obscurum est, quid scholiastæ sit εὐθυρρημονεῖν. Similiter apud Suid. in Εὐθυρρήμων (quod in Hesychio perperam scribi arbitror, Εὐθυρρῆμος, ἐτυμολόγος.) talis vetusti scriptoris locus promitur: ὅτε λέγει Ἀριστοφάνης τὸ δεῖνα, τὸ ῥηθησόμενον ἀηδὲς ἐκφεύγειν εὐθέως λέγει, ἵνα μὴ εὐθυρρημονήσῃ· ubi primum, quod jam ante conjectando pervestigaveram, ἐκφεύγει εὐθέως λέγειν, perspicue scriptum est in C. LB. deinde, si quis comicum adeat in Acharn. v. 1148. non amplius dubitabit, quin ex antiquis ad eum locum scholiis, quæ interciderunt, hæc sint depromta: nunc nihil aliud adnotatum, quam, τὸ δεῖνα, τουτέστι, τὸ αἰδοῖον κατ' εὐφημισμόν. Denique quod explicandæ voci εὐθυρρήμων additur ab initio εὐθυλόγος, prorsus omisit C. LB. Porro vim paulo laxiorem posuit in εὐθυρρημονεῖν Sext. Empir. p. 300. ubi τὰς μεταλήψεις τῶν λέξεων fieri monet ἤτοι ὑπὲρ τοῦ μὴ εὐθυρημονεῖν, προσκοπὴν φέροντος τοῦ εὐθέος ῥήματος, ἢ ὑπὲρ τοῦ τι σαφηνίζειν. notandum est, quod rarius obvium, εὐθὺ ῥῆμα, proprium vocabulum et sincerum, nullaque figura indutum, quod, si quid offensionis pariat, translato verecunde mutatur. HEMST.

6. σπέκλωμα] In Θ. post scholion v. 1094. adscriptum ἔνιοι δὲ ποιὰν λέξιν λέγουσι τοῦτο γινομένην ἐκ τῆς τύπου. quæ ad h. v. referenda videntur, correctis postremis verbis ἐκ τοῦ κτύπου.

13, 14. λείπει—σκώπτων R.Θ. δέον εἰπεῖν ἀνδρῶν, ἐτῶν εἶπε, σκώπτων Ald. Totum scholion om. V.

14. αὐτὴν om. R.

15. χρόνων ἢ πολιτῶν] χρόνοι pro more serioris Græciæ sunt anni,

1086. *καὶ τὴν τρύγα σε*: Πολλάκις καὶ τὸν νέον οἶνον τρύγα ἐκάλουν· νῦν δὲ οὐχ οὕτως, ἀλλ', ὡς ἡμεῖς, τὴν ὑποστάθμην. [*συνεκποτέ' ἐστὶ*: Ἀντὶ τοῦ συνεκποτέον. Gl. Dorv. *συνεκποτέον ἔστι*: Ἄξιον ἐστὶ ἐκπιεῖν. Gl. LB. *τὴν τρύγα*: Τὴν ὕλην. Gl. Dorv. τὴν τοῦ οἴνου ὕλην. Gl. Θ. LB.]

[1087. *κομιδῇ*: Λίαν. (Gl. Θ.) *σαπρά*: Σεσαπρωμένη. Gl. LB.]

1088. *οὐκοῦν τρύγοιπος*: Ὁ ὑλιστὴρ ὁ σάκκινος. πρὸς ἃ οὖν εἶπεν ὁ νεανίσκος, ἀπήντησεν ὁ γέρων. [*οὐκοῦν*: Τὸ λοιπόν. *τρύγοιπος*: Τὸ σακελιστήριον. ἤγουν τὰ αὐτῆς χρήματα. Gl. Θ. Dorv. *τρύγιπος*: Σακελιστήριον. Gl. LB. *τρύγιπος*: Τρὺξ τρυγὸς ἡ τοῦ οἴνου ὕλη· τρύγοιπος δὲ λέγοιτ' ἂν κυρίως, δι' οὗ τὴν ὕλην τοῦ οἴνου σακελίζομεν. Schol. LB.]

[1089. *εἴσιθ' εἴσω*: Εἴσελθε ἐντός. *τῷ θεῷ*: Τῷ Πλούτῳ. Gl. LB.]

[1090. *ἀναθεῖναι*: Ἀναθῆσαι. *τούσδ' οὓς ἔχω*: Τούτους οὕστινας κρατῶ. Gl. LB.]

[1091. *αὐτῷ*: Τῷ θεῷ. Gl. LB.]

[1092. ὁ Χρεμύλος ἢ ὁ θεράπων. R. *οὐκ εἴσειμι*: Οὐκ εἰσελεύσομαι. Gl. LB. Paris. εἰσέρχομαι. Gl. Dorv. *θάρρει*: Ἔχε θάρρος. Gl. LB. ἢν αὐτῇ εἰσέλθῃ. Gl. Θ.]

quemadmodum in Hesychio, Ἔτη, χρόνοι· et Moschop. περὶ Σχεδ. p. 152. Ἔνος, ὁ χρόνος. Ἐνιαύσιον, τὸ χρονιαῖον. eamque vocem Thom. Magister in Πρυτανεῖον posuit, ubi Ammonius et Etymologus dederant ἐνιαυτός· vide Ducangium. Πολιτῶν autem pertinet ad ἐτῶν, si deducatur ab ἔτης, ἔται, quos veteres apud Homerum inter alia quoque πολίτας exponunt: Hesych. in v. et Ξυνέται, συμπολῖται. Ὦ ἔτα, πολῖτα. quæ paulo deterius in eo scripta offendes. HEMST.

1. Πολλάκις] Hoc scholion excerpsit Suidas s. συνεκποτέ' ἐστί.

ib. τὸν νέον οἶνον] Quæ vetus enarrator de duplici usu τῆς τρυγὸς notat et mustum et fæces significantis, a ceteris itidem grammaticis observantur: Hesych. in Τρύγα et Τρύξ. schol. Theocr. 7, 70. Suid. in Τρυγὸς γλυκείας, quod ab Aristophane sumtum in Pac. v. 575. τρύγα γὰρ καὶ τὸν νέον οἶνον ἐκάλουν καὶ τὴν ὑποστάθμην. Fæces autem Attico more τρύγα dici, vel ὑποστάθμην, quam esse, qui minus recte ἰλὺν adpellent, monet Phrynich. p. 12. qui tamen vereor, ut admittat a Thoma Magistro, quum præceptum ejus describeret, additam ὑπόστασιν· pari jure damnetur rarius, et adnotatum ab Hesychio vocabulum, Ὑποβορβόριον, ἡ τρύξ. Moschopul. περὶ Σχεδ. p. 92. Τρὺξ, τὸ ὑλῶδες τοῦ οἴνου, ἥτις καὶ ὑποστάθμη λέγεται, καὶ τρυγίας. HEMST.

8, 9. Ὁ ὑλιστὴρ—γέρων om. G. Nihil præter ὁ ὑλιστήρ habet V.

10. ἤγουν—χρήματα om. Dorv.

1093. *οὐ γὰρ βιάσεται*: Ὃ ποιοῦσιν οἱ ἄνδρες, τοῦτο ἐπὶ τῆς γραός φησιν, οὐ γὰρ βιάσεταί σε ἡ γραῦς. [τὸ βιάσεται ἐπὶ ἀνδρός. Gl. Dorv.] *οὐ γὰρ βιάσεται*: Σε ὁ νέος, ὥστε μὴ εἰσελθεῖν. Gl. LB. *οὐ καθελκύσαι παρὰ γνώμην*. Gl. Paris.]

1094. *ὑπεπίττουν χρόνον*: [Πίσσειν τὸ λέπος περιαιρεῖν τῶν κριθῶν. ἢ ἀντὶ —V.] ἀντὶ τοῦ ἠσέλγουν, ἢ κατεφίλουν. πιττοῦν δέ ἐστι κυρίως τὸ τὰς πλατείας ναῦς πίσσῃ χρίειν· ἔνθεν οὖν μετήνεγκε τὴν λέξιν. ἢ ἀντὶ τοῦ ἐβίνουν, συνῆλθον. [*ἱκανὸν*: Ἀρκετόν. Gl. Paris. *ὑπεπίττουν*: Ἐγάμουν. Gl. LB. Dorv. Br. πρότερον ἐπίττουν· ἤγουν ἠσέλγαινον, κατεφίλουν, ἐσυνουσίαζον· πιττοῦν δὲ κυρίως τὸ πίττῃ χρίειν τὰς ναῦς. Schol. LB. ἐπέραινον, συνουσιαζόμην. Gl. Paris. ἀντὶ τοῦ ἐγάμουν κατ' εὐφημισμόν. Gl. Θ. *ἐπίττων*: Τουτέστιν ἐφίλουν, ἐμιγνύμην, πιττῶ δὲ κυρίως ἐστὶ τὸ τὰς νῆας πίσσῃ χρίω, καὶ τὸ τὰ διερρωγότα τῶν ξύλων ἑνοῦν. Schol. C.]

[1095. *βάδιζ'*: Ἀπέρχου. Gl. LB. *κατόπιν*: Ὄπισθεν. Gl. LB. Dorv.]

[1096. *ὡς*: Λίαν. Gl. LB. *εὐτόνως*: Ἰσχυρῶς. Gl. Θ. LB. Paris. *τὸ γραΐδιον*: Ἡ γραῦς αὕτη. Gl. LB. συνίζησις. Gl. Dorv.]

1. ἐπὶ] ὑπὸ Θ. Totum scholion om. V.

2. οὐ γὰρ βιάσεται] ὅτι οὐκ ἰάσεται R.

3. Σε ὁ νέος ὥστε μὴ εἰσελθεῖν] Perversa cod. LB. interpretatio ex eo manavit, quod in hoc libro per errorem v. 1091. juveni sit tributus, pars sequentis vetulæ: emaculata postmodum hac labe scholium tamen intactum remansit. HEMST.

6. ἀντὶ τοῦ R.V. οἷον Ald. om. Θ.

ib. ἠσέλγουν] ἠσέλγαινον V. "Partem Suidas dedit in Πιττοῦν· scholium integrum in Ἐπίττουν. Editus habet, ἠσέλγαινον, κατεφίλουν· scriptus LB. pariter ac scholiastes, ἠσέλγουν. Idem repræsentat ἔπιττον tam in articuli fronte, quam in Aristophanis versu: idque licet vitiosum magis convenire videtur sequentibus: Ἔπιτον δὲ δι' ἑνὸς τ etc." HEMST. In verbis poetæ ὑπέπιττον scribunt R.V, annotato γρ. καὶ ὑπεπείρων, quod om. G.

ib. ἢ R. ἀντὶ τοῦ Ald. om. V.

ib. πιττοῦν] ἐπίττουν V.

7. τὰς om. V.

ib. πλατείας om. schol. LB. qua voce non invitus caream: neque enim intelligo, quid utilitatis ad rem explicandam adferat, quandoquidem omne navium genus erat πισσόχριστον· nisi tamen ad eas sit referendum, quæ proprio nomine πλάται gravissimis oneribus vehendis inserviebant, ideoque forte pice densius obducebantur. HEMST.

8. ἢ ἀντὶ—συνῆλθον om. R.

ib. ἐβίνουν Kusterus. Legebatur ἐκίνουν.

1097. *ὥσπερ λεπὰς*: Ὥσπερ ὄστρεον ἐν πέτρᾳ προσκολλώμενον δυσαπόσπαστόν ἐστι, οὕτως αὕτη τῷ νεανίᾳ προσέφυσε. λεπὰς δέ ἐστιν εἶδος ὀστρέου τὸ καλούμενον πατέλιν, ὃ ταῖς πέτραις προσπήγνυται, δυσαποσπάστως ἔχον, ἐπειδάν τις αὐτοῦ βουληθείη λαβεῖν. εὐεπίφορος δέ ἐστιν εἰς τὸ λεπὰς ὁ Ἀριστοφάνης. ἔστι δὲ τὸ λεπὰς εἶδος ἰχθύος. παρ' ὑπόνοιαν δὲ εἶπεν ὥσπερ λεπὰς τῷ μειρακίῳ. [*ὥσπερ*: Καθά. Gl. LB. *λεπὰς*: Εἶδος ὀστρέου. Gl. LB. Dorv. παταλίδας. Gl. Paris. ἡ λεπὰς εἶδος ὀστρέου ἐστίν· ἥτις ἐμπεφυκυῖα τοῖς θαλασσίοις βράχεσιν ἔχεται αὐτῶν ἄγαν ἰσχυρῶς. Schol. LB. λεπάς ἐστιν εἶδος ὀστρέου, ὅπερ λαβόμενον πέτρας ἐπισχυρίζεται καὶ δυσαποσπάστως ἔχει. καὶ

οὐκ ἄν τις αὐτὸ ῥᾳδίως ἀποσπάσαι,
πρὶν ἄν τι τῆς πέτρας ἀπορρήξῃ μέρος.

τοῦτο καὶ ἐπὶ τοῦ πολύποδος λέγεται. Schol. C.D. λεπάς ἐστιν εἶδος ὀστρίου· ὃ ταῖς πέτραις πεσὸν, ἐκείνων ἰσχυρῶς ἐξέχεται καὶ δυσαποσπάστως ἔχει. ἣν οἱ κοινοὶ παταλίδαν καλοῦσιν. Paris. *τῷ μειρακίῳ*: Τῷ νέῳ. Gl. LB. *τῇ πέτρᾳ*. Gl. Dorv. *προσίσχεται*: Προσκολλᾶται. Gl. LB. Dorv. Paris.]

1098. *τίς ἔσθ' ὁ κόπτων*: Κορωνὶς ἑτέρα ὁμοία· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οδ', ὧν τελευταῖος

1–3. ὥσπερ—πατέλιν addidi ex V.

1. προσκολλώμενον] προκολλώμενον V.

2. οὕτως] οὕτως δὲ V.

3. πατέλιν] παταλίδαν infra in scholio cod. Paris. Scribendum potius πατελὶς et πατελίδα: de quo v. Ducangium.

ib. ὃ ταῖς πέτραις V. λεπὰς κογχυσμοῦ εἶδος ὃ ταῖς πέτραις R. λεπὰς (λεπὰς om. Θ.) κογχύλιον ἐφιζάνον ταῖς πέτραις, ὅτ' αὐταῖς (ὃ ταύταις Θ.) Ald. λεπὰς κογχυλίου εἶδος, ὃ ταῖς πέτραις Suidas s. λεπάς.

4. δ. ἔχον] καὶ δ. ἔχει V.

5. εὐεπίφορος—Ἀριστοφάνης om. R.

ib. ἐστιν εἰς τὸ λεπὰς] ἐστὶ τῷ (ἐπὶ τὸ Hemst.) λεπὰς Suidas. ἐστιν ἐν ταύτῃ τῇ λέξει V.

ib. Quæ post Ἀριστοφάνης leguntur om. V, Suidas autem sit pergit, παρ' ὑπόνοιαν ὥσπερ λεπὰς πέτρᾳ, οὕτως ἡ γραῦς τῷ μειρακίῳ (addendum προσέφυσε vel potius προσέφυ ex scholio Veneto). λεπὰς δὲ εἶδος ἰχθύος.

5, 6. ἔστι δὲ—μειρακίῳ] Sic R, nisi quod ὥσπερ λεπὰς τῷ μειρακίῳ omittit. παρ' ὑπόνοιαν δὲ ὥσπερ λεπὰς τῷ μειρακίῳ. λεπὰς δέ ἐστιν εἶδος ὀστρέου Ald. παρ' ὑπόνοιαν δὲ ὥσπερ λεπὰς πέτρα καὶ εἶπεν ὥσπερ λεπὰς τῷ μειρακίῳ· λεπὰς δέ ἐστιν εἶδος ὀστρέου Θ.

9. βράχεσιν Hemst. βράγχεσιν codex.

12. ἀποσπάσαι] ἀποσπάσοι codex.

16. παταλίδαν] πατελίδα corrigendum esse supra dixi.

ib. καλοῦσιν] καλέουσιν Paris.

19. Scholion metricum om. R.V.Θ. χοροῦ ante hunc versum adscriptum in Θ.

ἵν' εὐθέως διακονικὸς εἶναί μοι δοκῇς.

ἐπὶ τῷ τέλει κορωνίς.

τουτὶ τί ἦν: Ὁ Ἑρμῆς ἔκοψε, καὶ ἐξελθὼν ὁ Καρίων οὐδένα εὗρε. παρ' ὀλίγον γὰρ ὑπεχώρει. τὸ θύριον καὶ οὐ θυρίον. τὰ γὰρ εἰς ον οὐδέτερα ἀπὸ βραχέος ἀρχόμενα προπαροξύνονται, οἷον, ἔριον, θύριον, ὅριον, καὶ ἕτερα.

[ὁ κόπτων: Ὁ κρούων. Gl. Dorv. κρούων, Ἀττικῶς. Gl. Θ. κόπτει τις τὴν θύραν, ὅταν ἔξωθεν κρούῃ. ψοφεῖ, ὅταν ἔσωθεν. Dorv. ὁ κόψας: Ὁ κρούσας. Gl. LB. κόπτειν, ψοφεῖν, καὶ κλαυσιᾷν τὴν θύραν διαφέρει· κόπτειν μὲν γὰρ λέγεται, ὅταν εἰσιέναι τις μέλλῃ, καὶ τὴν θύραν ἔξωθεν πλήττῃ· ὡς τὸ, "τίς ἔσθ' ὁ κόψας τὴν θύραν;" ψοφεῖν δὲ, ὅταν ἐξερχόμενός τις αὐτὴν ὑπανοίγοι καὶ ἦχον τινὰ ἀποτελῇ· ὁ τοιοῦτος γὰρ ἦχος ψόφος καλεῖται· ὅταν δὲ ὑπ' ἀνέμου κινῆται μόνη, καὶ ἦχον τινὰ ἐκ τούτου ἀποτελῇ, ὁ τοιοῦτος ἦχος ἢ τρισμὸς κλαυσιᾷν λέγεται. Schol. LB. τουτὶ τί ἦν: Ὃ ἤκουσα. Gl. LB.]

[1099. οὐδεὶς ἔοικεν: Κόψας αὐτὴν φαίνεται. δῆτα: Ἀληθῶς. τὸ θύριον: Ἡ θύρα αὕτη. Gl. LB. φαίνεται. Gl. Θ. ἡ θύρα Ἀττικῶς. Gl. Θ. Dorv.]

[1100. φθεγγόμενον: Βοώμενον. ἄλλως κλαυσιᾷ: Μάτην τὰ τῶν κλαιόντων μιμεῖται. Gl. Paris. ματαίως ἠχεῖ. Gl. Dorv. LB. ἄλλως: Μή τινος κινοῦντος. μάτην. κλαυσιᾷ: Ἠχεῖ. Gl. Θ. Br. ἀντὶ τοῦ ματαίως ἐψόφησεν. R.V. σέ τοι λέγω: Τὸ λέγω ὅτε μὲν πρὸς μόνον πρόσωπον λέγεται, αἰτιατικῇ συντάσσεται ὡς ἐνταῦθα, σέ τοι σέ τοι λέγω Καρίων, ἀνάμεινον. παρὰ τῷ Αἰσχύλῳ "σὲ λέγω τὸν σοφιστήν." ὅτε δὲ καὶ πρᾶγμα ἐπιφέρεται, τότε τὸ μὲν πρόσωπον δοτικῇ, τὸ δὲ πρᾶγμα αἰτιατικῇ, ὡς τὸ λέγω σοι λόγον Θ.]

3. ἐξελθὼν ὁ Καρίων] ὁ καρίων ἀνοίξας V. Scholia ad v. 1098. om. Θ.

ib. οὐδένα] οὐδὲν V.

4. παρ'—ὑπεχώρει (ὑπεχώρησαν G.) addidi ex V.

4–6. τὸ θύριον—ἕτερα om. R.V.

4. τὸ θύριον] Eustath. ad Il. B. p. 268, 8. observari jubet τὸ κώμιον ὑποκοριστικῶς λεχθὲν καὶ προπαροξυτόνως, ὡς καὶ λύρα, λύριον· θύρα, θύριον. Paulo clarius rem totam enucleat Etymologicum Bibliothecæ LB. MS. in Λῆδος· ubi docet, si ὑποκοριστικαὶ παραγωγαὶ sint δακτυλικαὶ, πρὸ μιᾶς ἔχειν τὸν τόνον, ut, ψωμίον, ὠτίον, κλειδίον, παιδίον, κηρίον, δᾳδίον· εἰ δὲ ἐν τρισὶ βράχεσιν ὦσι, προπαροξύνονται· θρόνος, θρόνιον· πτυχὸς, πτύχιον· φλέβιον, τόπιον, ὅριον, μόριον, κόριον, λόγιον. HEMST.

6. ὅριον] ὄριον Ald.

23. ἀντὶ τοῦ om. R.

25. Αἰσχύλῳ] Prometh. 944.

[1101. *ἀνάμεινον*: Καρτέρησον. Gl. Dorv. *πρόσμεινον*. Gl. LB.]

[1103. *μὰ Δί'*: Οὐ. *ἔμελλον*: Κρούειν. Gl. Dorv. *κόψειν σφόδρα*. Gl. Θ. *κόψειν περισσότερον*. Gl. LB. *φθάσας*: Προφθάσας. Gl. Dorv. *προλαβών*. Gl. Θ. LB. *φθάνω τὸ καταλαμβάνω τὶ ἤγουν ἄνθρωπόν τινα, ἢ τόπον· ἐκ τούτου φθάνω καὶ τὸ προλαμβάνω, οἷον, ἔφθη εἰπών· ἐπὶ τούτου τοῦ σημαινομένου λέγεται κἀνταῦθα· καὶ ἡ σύνταξις, εἶτα ἀνέῳξας τὴν θύραν δηλαδὴ φθάσας, ἢ προλαβὼν ἐμὲ μέλλοντα κόπτειν αὐτήν*. Schol. LB.]

[1104. *ἐνταῦθα συναπτέον τὸ ταχύ*. Gl. Θ. *ἐκκάλει*: Ἔξω κάλει. Gl. LB.]

[1106. *τοὺς θεράποντας*: Τοὺς δούλους. Gl. Dorv. *αὐτοῦ, τοὺς συνδούλους σου*. *τὴν κύνα*: Τὴν σκύλαν. Gl. LB.]

[1108. *ὦ πόνηρε*: Ὦ γεωργέ. Gl. LB. *κακότροπε*. Gl. Paris.]

[1109. *εἰς ταυτὸν*: Εἰς ὅμοιον, εἰς ἕν. *συγκυκήσας*: Συναθροίσας. Gl. LB. *συνταράξας*. Gl. V. *συμμίξας, συνταράξας*. Gl. Θ. *συμμίξας*. Gl. Dorv. *συνταράξας, συντρίψας*. Gl. Paris. *τριβλίον*: Ἀγγεῖον, ὀξύβαφον. Gl. V. (non G.) *ἀγγεῖον*. Gl. Dorv. *ἰγδίον ἢ ἀγγεῖον ὀξύβαφον*. Gl. Paris.]

[1110. *ἁπαξάπαντας*: Ὁμοῦ ὅλους. Gl. LB. *εἰς τὸ βάραθρον*: Τόπος ὅπου κολάζονται οἱ ἀσεβεῖς. R. *ὅπου οἱ ἀσεβεῖς ἐρρίπτοντο*. V. (non G.) *εἰς τὸν ᾅδην*. Gl. Dorv. *ἐμβαλεῖν*: Ῥίψαι, ἐνθεῖναι. Gl. LB.]

1111. *ἡ γλῶττα τῷ κήρυκι*: Διχῶς νοεῖται· *ἡ γλῶττα τῶν*

1. Καρτέρησον] *καρτερεῖν* pro *expectare, expectandi causa remanere* communis est et recentioris Græcorum linguæ. HEMST. Vid. Valckenar. schol. in N. T. vol. 1. p. 319.

19. *τριβλίον*] Ita Dorv. ut sæpe apud medicos, præsertim in libris vetustis: LB. emendatius *τρυβλίον*. HEMST.

23. *εἰς τὸν ᾅδην*] Hoc quidem in Aristophane declarando nimis Christiane: orcum inferorumque sedes infaustas *βάραθρον* adpellant ecclesiastici scriptores, neque rarum *εἰς βάραθρον τοῦ ᾅδου*, vel *τῆς γεέννης ἐμβληθῆναι*· alias non secus ac Græci pro *certissima pernicie*, vel *exitio* ponunt, ut monuit Suicerus in Thes. Eccles. quem ego miror persuadere sibi potuisse, *βάραθρον* usquam in bonam partem accipi: nam eo in loco, unde rem inauditam collegit, quid clarius est, quam legi debere *βάθρον*; HEMST.

25. *Διχῶς νοεῖται* om. R.V. Sequentia usque ad finem scholii sic scripta in V, *καλλίστρατος—δημοτε-*

θυομένων τῷ Ἑρμῇ δίδοται, ἐπειδὴ τῶν λόγων δεσπότης ἐστίν· ἢ τῶν καταρωμένων ἀπ' αὐτοῦ ἡ ἀρχή. Καλλίστρατος τῶν θυομένων φησὶ τὰς γλώσσας τοῖς κήρυξιν ἀπονέμεσθαι· διὸ καὶ τὸν ποιητὴν τῷ Ἑρμῇ ποιεῖν τεμνομένας αὐτάς. καὶ τοῦτο δὲ πρὸς τὸν Ἑρμῆν λέγει ἥκοντα παρὰ Διός. Ἄλλως. κολακεύων αὐτόν φησιν ὅτι τῶν ἱερείων ἡ γλῶττα τῷ Ἑρμῇ δίδοται ἐν ταῖς δημοτελέσι θυσίαις. Ἄλλως. εἰρωνικῶς, ὡσεὶ ἔλεγε, κακὰ συλλέγει, καὶ ἡμεῖς ἀδίκως αὐτῷ θύομεν τὰς γλώσσας. Ὅμηρος "ὅδ' ἐν πυρὶ βάλλε γλώττας." πρὸς δὲ τὸ λεγόμενον ἔπαιξεν, ἡ γλῶττα τῷ κήρυκι. [*τῷ κήρυκι*: *Ἢ τοῦ κήρυκος.* Gl. Dorv. LB. *τῷ Ἑρμεῖ, ἢ χάριν σου τοῦ κήρυκος.* Gl. Paris. *τούτων*: *Τῶν ζώων.* *τέμνεται*: *Κόπτεται, δίδοται.* Gl. LB. *ἡ γλῶττα τῷ κήρυκι τούτων· διττῶς τοῦτο· λέσι θυσίαις. ἄλλως. τῶν θυομένων τῷ ἑρμῇ δίδοται, ἐπειδὴ τῶν λόγων δεσπότης ἐστὶν, ἢ ἐπειδὴ ἔθος ἦν τὰς ἀπαρχὰς τῆς γλώττης τῷ κήρυκι δίδοσθαι. ἐτύγχανεν οὖν ὁ δεσπότης τοῦ Καρίωνος θεοῦ φασιν ὅτι* (illa *ὁ δεσπότης—φασιν ὅτι* vel *ἐτύγχανεν—θεοῦ* loco alieno sunt illata, *φασιν* autem fortasse in *φησὶν* mutandum) *ἡ γλῶττα τούτων τῶν λόγων αἰτία ψεύδους τῷ κήρυκι ἑρμῇ διὰ τὸ μὴ εἰληφέναι αὐτόν* (fort. *αὐτήν*). *ἄλλως. ἔπαιξεν ἀντὶ τοῦ εἰπεῖν τὰ κακὰ ὧν ἀπήγγειλας ἡμῖν σὺ γινέσθωσαν* (*συγγινωσκέτωσαν* G), *εἶπεν ὅτι ἡ γλῶττα, ἐπεὶ ἔθος ἦν τὰς γλώσσας τοῖς κήρυξι δίδοσθαι.* Suidas hæc tantum excerpsit, *Ἡ γλῶττα τῷ κήρυκι τούτων τέμνεται· τουτέστιν, ἡ γλῶττα τῶν θυομένων τῷ Ἑρμῇ δίδοται· Καλλίστρατος δέ φησι, τῶν θυομένων τὰς γλώττας κήρυξιν ἀπονέμεσθαι.*

1. *λόγων* V. *θυομένων* R.Θ. Ald.

ib. *δεσπότης ἐστίν*] Hic desinit R.

2. *καταρωμένων*] Hoc qui scripsit recentior scholiasta, de exsecratione illa videtur cogitasse, de qua scholiasta codicis Leidensis, cujus verba infra apposui.

ib. *ἀπ'*] *ὑπ'* Θ.

ib. *Καλλίστρατος* V. *Καλλίστρατος δὲ* Ald.

3. *καὶ τὸν ποιητήν*] Videtur respexisse ad locum Odyss. Γ, 331. *ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας.* Confer schol. ad Pacem v. 1060. et Eustath. ad locum Homeri. KUST.

4. *τῷ ἑρμῇ ποιεῖν* V. *ποιεῖν τῷ ἑρμῇ* Ald.

ib. *καὶ τοῦτο δὲ* om. V.

5. *λέγει*] *λέγεται* V.

ib. *Ἄλλως* add. V.

ib. *κολακεύων* V. *κολακεύων δὲ* Ald.

ib. *αὐτὸν* om. V.

ib. *φησιν*] *λέγει* V.

7. *συλλέγει*] *σὺ λέγει* V. Scribendum *ἀγγέλλει.*

8. *Ὅμηρος*] Od. Γ, 341. *γλώσσας δ' ἐν πυρὶ βάλλον.*

ib. *βάλλε* Θ. *βάλε* Ald.

9. Post *κήρυκι* add. Junt. *ὅτι τὰς γλώσσας Ἑρμῇ ἔθυον ὡς τοῦ λέγειν ἐφόρῳ· διὸ καὶ ὁ κωμικὸς, δύσφημά τινα τοῦ Ἑρμοῦ εἰπόντος, ἐξονειδίζει λέγων, ἡ γλῶττα τῷ κήρυκι τούτων τέμνεται· ὅπερ ὅμοιόν ἐστι τῷ, εἰς μάτην αἱ γλῶτται θύονται τῷ τὰ τοιαῦτα κηρύσσοντι. οὕτως Εὐστάθιος* [p. 1471, 12.] *Ὀδ. γ'. Ἀθήναιος δὲ εἰπὼν ὅτι αἱ γλῶσσαι τέμνονται τῷ Ἑρμῇ διὰ τὴν ἑρμηνείαν, καὶ ὅτι ἔσπενδον οἱ παλαιοὶ ἀπὸ τῶν δείπνων ἀναλύοντες, προσιστορεῖ καὶ ὅτι τὰς τοιαύτας σπονδὰς ἐποιοῦντο τῷ Ἑρμῇ, καὶ οὐχ, ὡς οἱ ὕστερον, Διὶ τελείῳ· δοκεῖ γὰρ Ἑρμῆς ὕπνου προστάτης εἶναι.*

ἡ γλῶττα τούτων, ἤγουν τῶν ζώων, τέμνεται τῷ κήρυκι, ἤγουν σοι· τουτέστιν· ἕνεκεν σοῦ· ἀποδίδοται γὰρ σοὶ τῷ ὄντι κήρυκι τῶν θεῶν καὶ ὑπηρέτῃ· ἢ ἡ γλῶττα τῷ κήρυκι τούτων τῶν ἀγγελιῶν, τουτέστι σοὶ τέμνεται· ἀντὶ τοῦ, εἴθε ἐκκοπείη. Schol. LB.]

[1115. λιβανωτὸν: Λίβανον. Gl. LB.]

[1116. ψαιστὸν: Πέμμα ἐστὶν ἢ εἶδος πλακοῦντος ἐκ σεμιδάλεως καὶ γάλακτος. R.V. Λαλάγγιον. Gl. Dorv. LB. ἱερεῖον: Θυσίαν. Gl. LB. θῦμα. Gl. Θ. Dorv.]

[1117. ἐπιθύει: Θυσιάζει. Gl. LB.]

[1118. ἐπεμελεῖσθ': Προενοεῖσθε. Gl. LB. ἐφροντίζετε. Gl. Dorv.]

[1119. ἧττον μέλει: Ἀντὶ τοῦ οὐδαμῶς. R.V. (non G.) ἐλάττονος φροντίς ἐστι. Gl. LB. οὐδαμῶς διὰ φροντίδος ἐστί μοι. Gl. Dorv.]

1120. σωφρονεῖς: Ἀντὶ τοῦ, μόλις ἐπεστράφης· ἢ καλῶς λέγεις. [ἀπόλωλα: Ἐφθάρην. ἐπιτέτριμμαι: Ἠφάνισμαι. Gl. Θ. LB. Dorv. ἀπόλωλα: Ἐφθάρην, εἰς παντελῆ κατέστην ἀφανισμόν. Gl. Paris. σωφρονεῖς: Ἤγουν καλῶς ποιεῖς μηδὲ τί λέγων περὶ τῶν ἄλλων θεῶν. Schol. LB.]

[1121. πρότερον: Πρὸ τοῦ τὸν Πλοῦτον βλέψαι. Gl. Paris. ταῖς καπηλίσιν: Τῶν καπηλίδων. Gl. LB. κάπηλις καὶ καπηλὶς διαφέρει· κάπηλις μὲν γάρ ἐστιν ἡ τὸν οἶνον πωλοῦσα· καπηλὶς δὲ ἡ θυγάτηρ αὐτῆς. Schol. LB.]

1122. οἰνοῦτταν: Οὕτως τὴν ἐν οἴνῳ πεφυραμένην μάζαν. τινὲς δὲ οἰνοῦτταν, εἶδος πλακοῦντος μετ' οἴνου καὶ μέλιτος γινόμενον. [ἕωθεν: Ἐκ πρωΐας. Gl. LB. οἰνοῦτταν: Μουστόπιτταν. Gl. Θ.

4. σοὶ Hemst. σοῦ codex.
6. ἐστὶν] ἔστι R.V.
ib. ἢ] δὲ G.
ib. πλακοῦντος] τὸ ψαιστόν add. R.
ib. ἐκ σ. καὶ γάλακτος om. R.
15. ἐπεστράφης] ἐστράφης Suidas s. σωφρονεῖς.
ib. καλῶς R.V. et Suidas. καλῶς καὶ ἀληθῆ Ald.
24, 25. τινὲς δὲ—γινόμενον] ἢ εἶδος πλακοῦντος ἐξ οἴνου γινόμενον ἢ ἄρτος ἐξ οἴνου βεβρεγμένον (βεβρεγμένου G.) V. Excerpsit Suidas s. οἰνοῦττα.
26. οἰνοῦτταν] μουστόπιτταν· C. LB. cum quo consentit Dorv. prætERquam quod in utraque voce posteriore simplex τ dederit: in margine vero adscriptum: μελιττοῦτα δέ, ὃ κοινῶς εἰώθασιν λέγειν ἀπόθερμα. Jam Ducangium audiamus: μουστόπιττα, μουστόπιτα. *Placenta vino subacta. Glossæ MSS. ad Plutum Aristophan.* πάντ' ἀγάθ' ἕωθεν εὐθὺς

LB. *οἰνοῦττα μέν ἐστιν ἡ κοινῶς λεγομένη μουστόπιττα. μελιττοῦτα δὲ, ὃ κοινῶς εἰώθασι λέγειν ἀπόθερμον.* Schol. Br.]

[1123. *ἰσχάδας*: Σῦκα. Gl. Θ. *ἐσθίειν*: Τρώγειν. Gl. LB. Dorv.]

1124. *ἀναβάδην*: Ἀντὶ τοῦ κάθημαι πεινῶν. *ἄνω, φησὶν, ἔχω τοὺς πόδας ἐν τῇ στήλῃ κοιμώμενος· οἱ γὰρ διάκονοι τοὺς πόδας ἄνω εἶχον πρὸς τὸ μὴ βαρεῖσθαι ὑπὸ τοῦ δρόμου.* [*ἀναβάδην ἀναπαύομαι*: Ἤγουν, *ἐπάνω ἔχω τὸν πόδα εἰς τὸν ἄλλον.* Gl. LB. *ἤγουν, ἄλλον ἐπ' ἄλλῳ πόδ' ἔχων κεῖμαι.* Gl. Dorv. *ὕπτιος. τιθέμενος τὸν ἕνα πόδα ἐπάνω τοῦ ἑτέρου.* Gl. Br. *ἢ ἄνω ἔχων τοὺς πόδας· ἢ ἄλλως ἐπ' ἄλλῳ ἔχων τὸν πόδα, ἤγουν ἐκτεταμένους.* Paris.]

1125. *οὐκοῦν δικαίως, ὅστις ἐποίεις ζημίαν*: Ἀντὶ τοῦ, *ἐποίεις ζημιοῦσθαι τοὺς ταῦτα τὰ ἀγαθά σοι παρέχοντας. ὁ γὰρ* Ἑρμῆς *τοιαῦτα ποιεῖ· καὶ ὁ* Αἴσωπος *γὰρ ἐν τοῖς μύθοις τὰ αὐτὰ λέγει.* [*οὐκοῦν*: Λοιπόν. Gl. LB. *τὸ λοιπόν.* Gl. Dorv. *δικαίως*: Πάσχεις *τοῦτο.* Gl. LB. *δικαίως, φησὶ, πάσχεις ταῦτα, ὅστις ἐνίοτε ἐποίεις τοὺς σοὶ ταῦτα προσάγοντας ζημίαν ὑφίστασθαι.* Schol. LB. *ἐποίεις*: Ἡμῖν. Gl. LB.]

[1126. *ἐνίοτε*: Ποτέ. Gl. LB. *πάντοτε.* Gl. Dorv. *ἔχων*: Ἀφ' *ἡμῶν.* Gl. LB. *παρ' ἡμῶν.* Gl. Dorv.]

1127. *τοὐν τετράδι πεπεμμένου*: Ἡ *τετρὰς ἐνομίζετο τοῦ* Ἑρ-

οἰνοῦτταν μέλι. μουστοπίτταν. *Ubi Thomas Magister in scholiis MSS.* *οἰνοῦττα μὲν ἐστὶ ἡ κοινῶς λεγομένη μουστόπιτα· μελίττουτα δὲ ἡ κοινῶς λεγομένη ἀπόθερμον.* Eadem Thomæ verba exhibuit in Ἀπόθερμον. Ἐσθίειν] *τρώγειν·* atque ita v. 1129. in utroque codice: Κατήσθιον] *ἔτρωγον· τρώγειν* eam propriam habet vim in vulgari Græcorum lingua. HEMST.

5. Ἀντὶ—*πεινῶν* om. R.

ib. *κάθημαι*] *ἐφ' ὕψους κάθημαι* Hemst. collato Suida, *ἀναβάδην*: *ἐφ' ὕψους· ἄνω τοὺς πόδας ἔχειν καὶ κοιμᾶσθαι.*

ib. *πεινῶν*] *πεινῶν ἢ ἀναστρέφομαι τῇ πείνῃ* V: quæ verba om. G.

ib. *φησὶν* om. V.

ib. *ἔχω*] *ἔχων* G.Θ.

6. *ἐν τῇ στήλῃ* add. V.

6, 7. *οἱ γὰρ—δρόμου* om. R.

7, 8. *ἄλλον ἐπ' ἄλλῳ ἔχων τὸν πόδα* habet Θ.

12. Ἀντὶ τοῦ om. V. Totum scholion om. R.

13. *ζημιοῦσθαι—παρέχοντας*] *ζημίας τοὺς ταῦτα παρέχοντας τὰ ἀγαθά* V, reliquis omissis.

21–p. 332. l. 4. Ἡ *τετρὰς*—Θησεῖ] *ἔξω τῶν ἑορτῶν—θησεῖ.* (sequitur scholion ad v. 1129. tum pergit) *ἡ τετρὰς—τῷ ἑρμῇ* R. *ἔξω*—Θησεῖ hoc loco habet V, sed totum scholion *ἡ τετρὰς*—Θησεῖ repetit ad v. 1129. ante verba Ἄλλως. *ἀγκύλης.*

21. Ἡ *τετρὰς*] *ἡ τετρὰς δὲ* V.

ib. *τοῦ* Ἑρμοῦ] *τῷ ἑρμῇ* R.

μοῦ· καὶ καθ᾽ ἕκαστον μῆνα ταύτῃ τῇ ἡμέρᾳ ἀπετίθεντο τῷ Ἑρμῇ. *ἔξω τῶν ἑορτῶν ἱεραί τινες τοῦ μηνὸς ἡμέραι νομίζονται Ἀθήνῃσι θεοῖς τισὶν, οἷον νουμηνία καὶ ἑβδόμη Ἀπόλλωνι, τετρὰς Ἑρμῇ, καὶ ὀγδόη Θησεῖ.* [*χάρισι τρίτη*. V.] [*οἴμοι* : *Φεῦ*. *πλακοῦντος* : *Ἕνεκεν τοῦ*. Gl. LB. *ἕνεκα*. Gl. Dorv. *πεπεμμένου* : *Ἐζυμωμένου*. Gl. Dorv. *ἐν ἑκάστῃ τετράδι ζυμουμένου καὶ διδομένου μοι*. Gl. LB. *τοὺν τετράδι πεπεμένου· ἤτοι τοῦ καθ᾽ ἑκάστην τετράδα τοῦ μηνὸς πεπεμένου, ἤτοι ζυμουμένου καὶ κατασκευαζομένου· ἑκάστου γὰρ μηνὸς ἡ νουμηνία καὶ ἡ ἑβδόμη ἀφιέρωτο τῷ Ἀπόλλωνι· ἡ δὲ τετάρτη τῷ Ἑρμῇ· ἡ δὲ ἕκτη τῇ Ἀρτέμιδι, καὶ ἄλλη ἄλλῳ.* Schol. LB.]

1128. *ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς* : *Ἡρακλῆς πλέων μετὰ τῆς Ἀργοῦς εἰς Κόλχους σὺν Ἰάσονι ἐν Κίῳ τῇ νήσῳ ἐξελθὼν, καὶ πέμψας τὸν ἐρώμενον αὐτοῦ Ὕλλαν ὕδωρ ἀντλῆσαι, περιέμενεν*

1. *καὶ* om. V.

ib. *ταύτῃ τῇ* om. V.

ib. *ἡμέρᾳ ἀπετίθεντο*] *ἡμέρα ἀπετίθετο* V.

ib. *ἀπετίθεντο*] *ἀπέθεντο* R.

2. *ἔξω* R.V. *ἔξω γὰρ* Ald. Hoc scholion exscripsit Suidas s. *πεπεμμένου* et *πέττουσα*.

ib. *τῶν*] *τῶν μεγάλων* V.

ib. *ἡμέραι*] De diebus, qui quibus diis essent sacri, librum Philochorus, religionis patriæ callentissimus, conscripsit, teste Proclo ad Hesiod. Ἡμ. v. 770. *Φιλόχορος δὲ ἐν τῷ περὶ ἡμερῶν Ἡλίου καὶ Ἀπόλλωνος λέγει αὐτήν· ἡ δ᾽ Ἡρακλέους καὶ Ἑρμοῦ ἐστιν· ἡ δὲ ἑβδόμη ἱερὰ Ἀπόλλωνος· ἐν αὐτῇ γὰρ ἐτέχθη· διὸ καὶ ἑπτάτονος αὐτοῦ ἡ κιθάρα· ἡ τετρὰς Ἡρακλέους· ἐν αὐτῇ γὰρ ἐτέχθη·* quæ sunt ad scholiastæ nostri locum adcommodatissima. Ex eodem opere manarunt, quæ parvus Homeri enarrator prodit ad Od. Υ, 155. Φ, 258. et Suidas in *Τετράδι γέγονας*. Vid. Eustath. ad Il. Ω. p. 1353. et Jo. Meurs. Denar. Pythag. c. 6. Adjiciam nunc scholium oræ C. LB. inscriptum : *τοὺν — ἄλλῳ*. Verum est, quod de sexto mensis die, præcipue Thargelionis, narrat : illum enim et Diana, et philosophandi rationem obstetriciam professus Socrates natalem habuerunt : Diogen. L. 2, 44. Vide Io. Rutgers. ad Apul. p. 7. HEMST.

3. *τετρὰς*] *καὶ τετρὰς* Θ. *τετάρτη* Suidas utrobique.

4. *Θησεῖ*] *τῷ θησεῖ* V.

ib. *Χάρισι γ̄* addit V. altero loco, ubi totum scholion (i. e. *ἔξω—Θησεῖ*) sic scriptum est, *ἄλλως. τετράδι γὰρ τοῦ μηνὸς τὰς κατὰ σελήνην ἐγίνετο τὰ ἑρμοῦ, ἀπόλλωνι ζ̄, θησεῖ η̄, χάρισι γ̄.*

ib. Genitivum pendere monent a celata præpositione, quemadmodum et scholiastes ad Acharn. v. 209. *Οἴμοι τῶν ἐτῶν τῶν ἐμῶν· σφόδρα Ἀττικὴ ἡ φράσις· λείπει γὰρ τὸ ἕνεκα.* HEMST.

12–p. 333. l. 4. *Ἡρακλῆς—προσδοκούντων*] Scholion novitium, quo carent R.V.Θ.

14. *Ὕλλαν*] Hæc omnium edd. est scriptura, litera quidem inerti abundans, sed quam vetusti tamen libri sæpius adhibent. In Suida legas *Τὸν Ὕλλαν κραυγάζειν·* pro quo mire corruptus, sic enim censeo, MS. LB. *Τὸν Ὕλλαν βαστά-*

αὐτον· τοῦ δὲ ὑπὸ Νυμφῶν ἁρπασθέντος, Ἡρακλῆς πολὺν χρόνον ἐζήτει· ὕστερον δὲ ὑπό τινος αἰθερίας φωνῆς ἤκουσε

ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.

ἐλήφθη οὖν τοῦτο εἰς παροιμίαν ἐπὶ τῶν μάτην προσδοκούντων. [ὁ Ἡρακλῆς εἶχεν ἐρώμενον τὸν Ὕλαν· ὅτε γὰρ παρὰ τοῦ θησου ὁ Ἡρακλῆς ἐπέμφθη ἐπὶ τῷ λαβεῖν τὸ χρυσόμαλλον δέρας, εἶχε καὶ τοῦτον μεθ' ἑαυτοῦ. πέμψας οὖν τοῦτον λαβεῖν ὕδωρ, παρὰ τῶν πηγῶν ἡρπάσθη, ὡς ἱστορεῖ Θεόκριτος· καὶ τοῦ Ἡρακλέους τοῦτον ζη-

ζειν· ἐπὶ τῶν μάτην πονούντων· ἐπεὶ τὸν Ὕλλαν etc. idem vero Ὕλαν κραυγάζειν, neque ibi dissentit antiquus codex. Utro modo melius exaretur, syllabæ primæ quantitas apud poetas contracta facile monstraverit. Herculis historiam magno clamore raptum Hylam citantis margo quoque Dorv. præfert: Ὁ Ἡρακλῆς εἶχεν ἐρώμενον τὸν Ὕλαν· (alterum λ superpositum) ὅτε γὰρ παρὰ τοῦ θησου (hoc quid sibi velit, extricare nequeo: non enim congruit, quo figura ducere videtur, Θησέως, quanquam nec desint, qui cum Hercule Theseum Argonautis interfuisse memorent: an voluit Εὐρυσθέως;) ὁ Ἡρακλῆς ἐπέφθη (ἐπέμφθη) ἐπὶ—— καλεῖς. Quæ rudius, et, ut recentiora plerumque solent, parum eleganter sunt scripta: πηγὰς autem videtur adpellasse νύμφας πηγαίας, quæ Hylam rapuerunt: nam ut fontem Pegas, in quem delapsus Hylas evanuit, auctore Apollon. Rh. 1, 1222. cogitaverit, quis credere in animum inducat? Versus autem ille proverbialis de veterum cujusdam tragœdia sine dubio derivatus, ubi Herculem, ut ab Hyla incassum quærendo desisteret, vox cœlo missa monuit, Ποθεῖς τὸν οὐ παρόντα, καὶ μάτην καλεῖς· quæ sententia tanto opere spectatoribus adrisit, ut parœmiæ vulgaris privilegio donaretur. Αἰθερία vero φωνὴ eadem, quæ οὐράνιος et θεία, et κληδών· quarum ex occulto, auctore latente, emissarum repentino adpulsu mentes superstitiosæ valde commovebantur: *cœlestis vox* Livio 5, 52. et apud Diogen. L. 1, 115. ῥαγῆναι φωνὴν ἐξ οὐρανοῦ· earum in tragœdiis quoque, ut θεῶν ἀπὸ μηχανῆς, usus ad nodum fabulæ solvendum. Pejus vice τοῦ Ποθεῖς Apostolius habet Ζητεῖς 9, 57. multoque magis id existimabis, si in memoriam revoces ex Ammonio constitutum a grammaticis haud absurdum discrimen πόθου et ἔρωτος, verborumque ποθεῖν et ἐρᾷν, ex quibus hoc est præcipua vi præsentium, illud ad absentes pertinet: Theocritus etiam: Ἡρακλέης .... Παῖδα ποθῶν δεδόνατο —— Eid. 13, 65. Adjectam vero explicationem aliunde, quam a nostro scholiasta, Michael est mutuatus, quippe quæ et verbis, et nonnihil etiam re dissideat: propinqua Zenobius dabit 6, 21. Versum ipsum, sed nullo comitatu instructum editus Suidas habet, MS. noster prorsus ignorat. Pro ἐλείφθη, quod omnes edd. pervasit, fidenter rescripsi ἐλήφθη· idem ne facerem in προσδοκώντων, obstitit antiquorum exemplarium consuetudo scribendi, quæ sæpius offerre memineram προσδοκεῖν et προσδοκοῦντες ex more publici sermonis, quod castigatius προσδοκᾷν legi debuerat; ut in A. AA. 28, 6. alibique crebro. HEMST.

τοῦντος παρὰ τῶν πηγῶν, τοῦτο ἤκουσε " ποθεῖς τὸν οὐ παροντα καὶ " μάτην καλεῖς." Dorv.]

1129. *οἴμοι δὲ κωλῆς*: Τοῦ κώληκος λεγομένου. κωλαῖ τὰ ἐμπρόσθια μέρη τῶν ἱερείων. ἔστι δὲ ἱερὸς Ἑρμοῦ ὁ βραχίων τῶν ἀλόγων ζώων. Ἄλλως. τὰς ἀγκύλας φησὶν, αἳ ὀστώδεις εἰσί. διαβάλλει οὖν ὡς ὀστέα τοῖς θεοῖς προσφέροντας. [κωλῆς: Τοῦ μηροῦ· (Gl. Θ.) τοῦ ἐντέρου. Gl. LB. κωληναρίου· κῶλα τὰ ἐμπρόσθια μέρη τῶν ἱερείων. τὰς ἀγγύλας, αἳ ὀστώδεις εἰσί. διαβάλλει οὖν ὡς ὀστέα τοῖς θεοῖς προσφέροντα. Paris. κατήσθιον: Ἔτρωγον. Gl. LB. Dorv.]

1130. *ἀσκωλίαζ' ἐνταῦθα*: Ἑορτὴν οἱ Ἀθηναῖοι ἦγον τὰ Ἀσκώλια, ἐν ᾗ ἐνήλλοντο τοῖς ἀσκοῖς εἰς τιμὴν τοῦ Διονύσου. δοκεῖ δὲ ἐχθρὸν εἶναι τῇ ἀμπέλῳ τὸ ζῶον. ἀμέλει οὖν καὶ ἐπίγραμμα φέρεται τῆς ἀμπέλου πρὸς τὴν αἶγα οὕτως ἔχον

3. Τοῦ κώληκος (τοῦ addit Θ.) λεγομένου om. R.V. τοῦ λεγομένου κωλῆνος post μέρη τῶν ἱερείων ponit Suidas s. κωλῆ.

ib. κωλαῖ τὰ H. Stephanus in Thesauro. κῶλα δὲ τὰ Θ. Ald. κῶλα τὰ V. κωλῆ τὰ R. et Suidas.

4. ἱερὸς R.V.Θ. et Suidas. ἱερὸν Ald.

5. Ἄλλως om. R. et Suidas. Ἄλλως—προσφέροντας om. Θ.

ib. τὰς R. et Suidas. τὰ ἐμπρόσθια μέρη τῶν ἱερείων, τὰς Ald. Post ἱερείων pergit V, ἡ τετρὰς—χάρισι γ̄ (hæc ex scholio v. 1127.) ἄλλως. ἀγκύλης. ἐστὶ δὲ ὀστῶδες. τοῦτο δὲ εἶπε διαβάλλων ὡς ὀστέα θύοντας τοῖς θεοῖς. ἄλλως. ζητεῖται—ἄρχει (hæc ex scholio v. 1133.)

ib. φησὶν addidi ex Suida.

ib. αἳ add. R. et Suidas.

ib. εἰσί addidi ex Suida.

ib. διαβάλλει] Quod ait scholiastes, notari homines, ac si ossa tantum Diis adolerent, etsi minus opportune huc adferatur, ipsorum tamen numinum querela fuit illa gravis apud comicos, ut lepidissimi Pherecratis aliorumque versus declarant in Clem. Alex. Str. 7. p. 846. 847. Eodem tendit Hermippi locus in schol. ad Aves v. 1406. HEMST.

6. τοῖς θεοῖς] τοὺς θεοὺς R.

11. οἱ om. V.

ib. ἦγον] εἶχον Θ.

ib. Ἀσκώλια] ἀσκόλια V, et sic infra constanter ἀσκολ—.

12. ἐν ᾗ ἐνήλλοντο Hemst. ἐν (ἐν om. R.) ᾗ ἥλλοντο Ald. et Suidas.

ib. τοῖς R.Θ. (et, ut opinor, V.) cum Suida. ἐπ' Ald.

ib. ἀσκοῖς R.V.Θ. et Suidas. ἀσκοῖς αἰγείοις Ald.

ib. τοῦ om. V.

13. ἐχθρὸν] ἐχθρᾶν Θ.

ib. τῇ add. R.V. et Suidas.

ib. ἀμπέλῳ] ἀμπέλων Θ.

ib. οὖν add. R.V. Apud Suidam libri alii οὖν alii γοῦν.

ib. ἐπίγραμμα] Eueni in Anth. Pal. 9, 75.

ib. φέρεται] φαίνεται R.

14. τῆς] ἐκ τῆς V.

ib. τῆς ἀμπέλου om. R.

ib. οὕτως ἔχον R.V.Θ. et Suidas. οὕτω λέγον Ald.

κῆν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως δέ τι καρποφορήσω,
ὅσσον ἐπιλεῖψαι σοὶ, τράγε, θυομένῳ.

ἀσκωλίαζε δὲ ἀντὶ τοῦ ἅλλου· κυρίως δὲ ἀσκωλιάζειν ἔλεγον τὸ ἐπὶ τῶν ἀσκῶν ἅλλεσθαι ἕνεκα τοῦ γελωτοποιεῖν. ἐν μέσῳ δὲ τοῦ θεάτρου ἐτίθεντο ἀσκοὺς πεφυσημένους καὶ ἀληλιμμένους, εἰς οὓς ἐναλλόμενοι ὠλίσθανον, καθάπερ Εὔβουλος ἐν Δαμαλείᾳ φησὶν οὕτως,

καὶ πρός γε τούτοις ἀσκὸν εἰς μέσον
καταθέντες εἰσάλλεσθε καὶ καχάζετε
ἐπὶ τοῖς καταρρέουσιν ἀπὸ κελεύσματος.

οὕτω καὶ Δίδυμος. Ἄλλως. ἀσκωλιάζειν ἔλεγον τὸ ἐνάλλεσθαι τοῖς ἀσκοῖς ἢ τὸ ἐπὶ ἑνὸς ποδὸς ἅλλεσθαι. Ἄλλως. Ἀσκώλια ἑορτὴ Διονύσου· ἀσκὸν γὰρ οἴνου πληροῦντες ἑνὶ ποδὶ τοῦτον ἐπήδων· καὶ ὁ πηδήσας ἆθλον εἶχε τὸν οἶνον. [ἀσκωλίαζ': Πήδα. Gl. LB. πήδα· Ἀσκόλια ἑορτὴ τοῦ Διονύσου. Gl. Dorv. ἀσκολίαζ' ἐνταῦθα: Ἀσκολία ἦν ἑορτὴ τοῦ Διονύσου, ἐν ᾗ ἀσκοὺς διαφυσῶντες καὶ ὀγκοῦντες, ἐρρίπτουν καὶ ἄνωθεν ἥλλοντο ἐπάνω αὐτῶν ἑνὶ ποδὶ, ἐκίνουν δὲ γέλωτα καταπίπτοντες· ὁ μέντοι μὴ καταπεσὼν ἐλάμ-

1. κῆν] ἣν V.
ib. δέ τι] Recte ἔτι Anthol. et Suidæ ed. Mediol. δέ τι vel δ' ἔτι Suidæ codices.
2. ὅσσον] ὅσον V.Θ.
ib. ἐπιλεῖψαι R.V.Θ. et Suidas. ἐπισπεῖσαι Ald. et Suidæ ed. Mediol. ex Anthologia.
ib. θυομένῳ] ἐποίουν δὲ τοῦτο πρὸς γέλωτα τοῦ θεάτρου· ὀλίσθαινον γὰρ ἐπάνω τῶν ἀσκῶν add. R, reliquis omissis.
4. τῶν om. V.
ib. γελωτοποιεῖν Suidas. γέλωτος ποιεῖν Θ. γέλωτα ποιεῖν Ald.
5. ἐτίθεντο] ἐτίθεσαν V.
ib. ἐναλλόμενοι] ἀλλόμενοι V.
6. ὠλίσθαινον V. et Suidas. ὀλίσθαινον R. ἐνωλίσθαινον Ald. ἐνωλίσθανον Θ. Scribendum igitur fuit ὠλίσθανον.
ib. Εὔβουλος] εὔβολος Θ. εὔβουλος καὶ V.
ib. ἐν Δαμαλείᾳ addidi ex V. ἐν Δαμαλίᾳ Suidas. Recte Hemst. Ἀμαλθείᾳ corrigere videtur.
ib. φησὶν οὕτως V. φησὶν οὕτω Suidas. φησὶ Ald.
7. τούτοις V. et Suidas. τοῦτο Ald.
7–9. ἀσκὸν—ἐπὶ τοῖς om. V.
7. Post μέσον duæ syllabæ exciderunt, fortasse τινα.
8. εἰσάλλεσθε] ἐνάλλεσθε Suidas.
ib. καχάζετε] Legebatur καγχάζετε contra usum Atticorum.
9. καταρρέουσιν] ἀπορρέουσιν V.
ib. ἀπὸ κελεύσματος addidi ex V. (qui ἀποκεκλεύσματα) et Suida. ἀπὸ κελεύσματος non cum καταρρέουσιν, sed cum καχάζετε conjungendum esse monet Hemst.
10–13. οὕτω καὶ—εἶχε τὸν οἶνον om. V. et Suidas.
10. ἐνάλλεσθαι] ἐνάλλασθαι Θ.
11. ἅλλεσθαι] ἅλλασθαι Θ.
11–13. Ἄλλως. Ἀσκώλια—τὸν οἶνον] Pro his gl. interlin. habet Θ, πήδα. ἀσκώλια γὰρ ἑορτὴ τοῦ διονύσου. ἀσκὸν οἴνου—οἶνον.

βανεν αὐτὸν οἴνου πλήρη. Schol. LB. ἐνταῦθα: Αὐτοῦ. πρὸς τὴν αἰθρίαν: Ἐν τῇ εὐδίᾳ. Gl. LB. εἰς τὸν ἀσκεπῆ τόπον. Gl. Paris. αἰθρίαν: Εὐδίαν. Gl. Dorv.]

[1131. σπλάγχνων: Οἴμοι ἀπὸ κοινοῦ. τῶν ἐγκάτων τῶν ζώων. ἡνίκα γὰρ ἐξῆγον ταῦτα τοῦ ἱερείου, παραυτίκα αὐτοῦ ἔθυον. Gl. Θ. καὶ οἴμοι ἕνεκεν. Gl. LB. οἴμοι ἀπὸ κοινοῦ. Gl. Dorv. θερμῶν: Τῶν ζώντων. Gl. LB.]

1132. ὀδύνη σε πρὸς τὰ σπλάγχνα: Ἀντιστρόφως· ἐπὰν γὰρ πνεῦμα δι' ἐντέρων ὑποδύῃ, τὸ τοιοῦτον γίνεται. δέον οὖν εἰπεῖν πνεῦμα, ὀδύνη εἶπεν. πρὸς τὰ σπλάγχνα δὲ ἀντὶ τοῦ, ἐπὶ κωλῇ καὶ τοῖς σπλάγχνοις. [ὀδύνη: Πόνος, διὰ τὸ κενοὺς εἶναι ὑπὸ τοῦ μὴ ἐσθίειν. Gl. Θ. ἤγουν πόνος. Gl. Dorv. πρὸς: Κατά Gl. LB. ἐπιστρέφειν: Ἔχειν. Gl. Dorv. ἔχειν, κινεῖν. Gl. LB. κινεῖν, ἐνοχλεῖν. Gl. Θ.]

1133. ἴσον ἴσῳ κεκραμένης: Οἴνου καὶ ὕδατος· ζωρότερον γὰρ τὸ τοιοῦτο κρᾶμα. παίζει δὲ πρὸς τοὺς καπήλους. ζητεῖται διὰ τί τοῖς μὲν ἄλλοις θεοῖς δίδοται ἄκρατος σπονδὴ, τῷ δὲ Ἑρμῇ κεκραμένη· καὶ φαμὲν ὅτι καὶ τῶν ζώντων καὶ τῶν τετελευτηκότων ἄρχει

4. τῶν ζώων] Ex hoc corruptum videtur τῶν ζώντων, quod ad θερμῶν adscriptum est in cod. LB., a Dobræo in τῶν ζεόντων mutatnm.

5. τοῦ ἱερείου] τῷ ἱερείους Θ.

8. Ἀντιστρόφως addidi ex R.V.

ib. ἐπὰν] ἐὰν V.

9. τὸ τοιοῦτον γίνεται om. V.

ib. δέον οὖν εἰπεῖν πνεῦμα R.V.Θ. δέον πνεῦμα εἰπεῖν Ald.

10. ὀδύνη R.V. ὀδύνην Θ. Ald.

10, 11. πρὸς — σπλάγχνοις om. R.V.

10. πρὸς—ἀντὶ τοῦ] ἐπιστρέφειν δὲ ἀντὶ τοῦ Θ.

ib. πρὸς τὰ σπλάγχνα δὲ] Eliminandum est δέ· auctor enim illius scholii alius a præcedenti diversam secutus est interpretationem, et σπλάγχνα non ipsius Mercurii, sed ante commemorata victimarum, quibus fuerat mactatus, intellexit: huic itaque πρὸς τὰ σπλάγχνα idem est, quod ἐπὶ τοῖς σπλάγχνοις. HEMST.

15, 16. Οἴνου—καπήλους om. R.

15. καὶ] ἢ V. om. Θ.

ib. γὰρ] δὲ V.

16. τοιοῦτο] τοιοῦτον Θ.

ib. τοὺς καπήλους V. τοῖς καπήλοις Ald.

16. ζητεῖται R. ζητεῖται δὲ Ald. ἄλλως. ζητεῖται δὲ V, in quo hoc scholion insertum est scholio ad v. 1129. Excerpsit Suidas s. κεκραμένη, κύλιξ, οἴμοι.

17. ἄκρατος σπονδὴ] σπονδὴ ἄκρατος V.

ib. κεκραμένη] κεκερασμένη V. κεκρασμένη Θ.

18. καὶ φαμὲν om. V.

ib. ὅτι καὶ] καὶ om. Θ.

18—p. 337. l. 1. τῶν ζώντων—δέχεται] τῶν ἀερίων καὶ καταχθονίων τουτέστι ζώντων καὶ ἀποθανόντων ἄρχει V. Utrumque τῶν om. Suidas.

καὶ παρ' ἀμφοτέρων τιμὰς δέχεται. [*ἶσον ἴσῳ*: *Ὕδωρ οἴνῳ.* Gl. Θ. Dorv.]

1134. *ταύτην ἐπιπιὼν, ἀποτρέχων οὐκ ἂν φθάνοις*: *Οὐκ ἂν πέρας σχοίης τῶν κακῶν· οὐκ ἂν ἀναβάλοιο.* [*ταύτην*: *Παίζει· αὐτίκα γὰρ τῷ Ἑρμοῦ λόγῳ ἀπέπαρδε.* Gl. Θ. *ἣν ἔπαρδον.* Gl. LB. *ἐπιπιὼν*: *Δι' ὅλου πιών.* Gl. Paris.]

1135. *τὸν σαυτοῦ φίλον*: *Τοῦτο λέγει, ἢ διότι καὶ αὐτὸς διάκονος, καὶ ὑπηρέτης ἦν τῶν θεῶν, ὥσπερ οὗτος Χρεμύλου· ἢ διὰ τὰς βοηθείας, ἃς προϊὼν ἐρεῖ. εἰώθαμεν γὰρ οἱ ἄνθρωποι, ὅταν εἰς ἀνάγκην ἐμπέσωμεν, εὔνοιαν πρὸς τοῦτον πλάττεσθαι, ἀφ' οὗ ἂν ἡμῖν ἔσται ὠφέλεια.* [*τὸν σαυτοῦ φίλον*: *Πολλαὶ τέχναι ἀνάκεινται τῷ Ἑρμῇ, ὧν ἐστὶ καὶ ἡ τῶν κλεπτῶν· ἐπεὶ δὲ καὶ οἱ θεράποντες κλέπται, τούτου ἕνεκα φίλον ἑαυτὸν Καρίωνι λέγει.* Schol. LB. *τ. σ. φ.*: *Τουτέστιν ἐμέ.* Gl. Paris.]

[1136. *εἴ του*: *Τινός.* (Gl. Θ.) *δέει*: *Χρήζεις.* *ὧν*: *Ἀφ' ὧν.* Gl. Dorv. *δέῃ*: *Τινὸς χρείαν ἔχεις.* Gl. LB.]

[1137. *πορίσας*: *Δούς.* Gl. Θ. *εὖ πεπεμμένον*: *Καλῶς κατεσκευασμένον.* Gl. LB. *πεπεμμένον*: *Ἐζυμωμένον.* Gl. Θ. *ζημωμένον.* Gl. Dorv.]

[1138. *καταφαγεῖν νεανικὸν*: *Νέον.* Gl. Dorv. *νεανίᾳ πρέπον.* Gl. Paris. *ἀντὶ τοῦ δυνάμενον χορτάσαι νεώτερον.* R. *πολὺ, δυνάμενον χορτάζειν νεανίαν.* V. *ἱκανὸν νεανίαν κορέσαι.* Gl. Θ. *νεανικὸν κρέας λέγει ἐνταῦθα τὸ ἀρκοῦν νεανίᾳ εἰς τὸ χορτάσαι αὐτόν.* Paris.]

1139. [*ὠφελήσαις δηλ.* Gl. Θ. Dorv. Paris.] *ἀλλ' οὐκ ἔκ-*

3. Scholia ad v. 1134. 1135. om. R.V.

ib. *πέρας σχοίης*] Duplex interpretatio: prior ad *οὐκ ἂν φθάνοις* per se solum spectat: *licet hinc te quam potes celerrime proripias, non tamen invenias tibi malorum finem, nec imminentes miserias effugias:* pari modo eam loquendi formulam explicuit ad v. 875. altera conjungit, *οὐκ ἂν φθάνοις ἀποτρέχων· hoc insuper educto, tu ne distuleris, ne moram ullam interposueris, quin te quamprimum hinc facessas:* quemadmodum ad v. 485. *οὐκ ἂν ἀναβάλοισθε ἀποθανόντες· ἀντὶ τοῦ, ταχέως ἀπελθόντες τελευτήσατε.* HEMST.

22. *χορτάζειν νεανίαν*] Interpretatio inepta, quam repetit Suidas s. *νεανικὸν*, ubi *χορτάσαι νεανίαν* est. Post *νεανίαν* addit V. *καὶ ἐν ἐνίαις δὲ θυσίαις λεγομένου τούτου ὥστε μὴ ἐξῆν* (*ἐξεῖναι* G.) *ἀπενεγκεῖν.* quæ e proximo scholio sunt illata.

ib. *κορέσαι*] *κορέων* Θ.

25. *ὠφελήσαις*] *ὠφελήσας* Θ. *ὠφελεῖσαι* Dorv. Monet glossator post *ἔνδον* apodosin deesse *ὠφελήσαις*.

φορα: Ὡς ἐν ἐνίαις θυσίαις λεγομένου τούτου. καὶ χρῶνται αὐτῷ οὐ κατ' οὐδέτερον πληθυντικὸν, ἀλλ' ἑνικῶς κατὰ θηλυκόν· ὡς Θεόπομπος,

εἴσω δραμὼν αἴτησον. ἀλλ' οὐκ ἐκφορά.

καὶ εἰ μὲν οὐδέτερον εἴη πληθυντικὸν, προπαροξύνουσιν· εἰ δὲ θηλυκὸν, ὀξύνουσιν. [ὧν: Ἀφ' ὧν. ἔνδον: Ἐντός. Gl. LB. Dorv. οὐκ ἔκφορα: Οὐκ ἔξω φερόμενα. Gl. Θ. εἰσὶ τὰ κρέατα, ὥστε φέρεσθαι ἔξω. Gl. LB. ἀλλὰ οὐκ εἰσὶ τὰ κρέατα ἔκφορα, ἤγουν ἔξω διδόμενα· ἐκέλευσε γὰρ ὁ Πλοῦτος μηδὲν διδόναι ἔξω. Schol. LB. ἤγουν ἄξια ἐκβληθῆναι. Gl. Dorv. ἀλλ' οὐ καλὸν ἐκφέρεσθαι ταῦτα. Gl. Paris.]

[1140. ὁπότε: Ἡνίκα. τὶ σκευάριον: Ἀγγεῖόν τι. Gl. LB.]

[1141. ὑφείλου: Ἔκλεπτες. (Gl.Θ.) λανθάνειν: Τὸν σὸν δεσπότην. Gl. LB. σε λανθάνειν ἐποίουν: Ὑπέβαλον γὰρ πονηρίας τῷ σῷ νῷ. Gl. Θ. Dorv.]

[1142. διὰ τοῦτό σε λανθάνειν ἐποίουν, ἵνα καὶ αὐτὸς μετὰ σοῦ τοῦ κλέμματος ἔχω. V. ἵνα λάβῃς καὶ αὐτὸς τὸ μέρος σου. R. ἐφ' ᾧτε: Ἐπὶ τῷ. Gl. Θ. LB. μετέχειν: Τοῦ κλέμματος. Gl. Dorv. τοιχωρύχε: Ὦ κλέπτη. Gl. LB. κλέπτα. Gl. Dorv. κλέπτα, κατ' ἀστεϊσμόν. Gl. Θ.]

[1143. ἧκεν: Ἦλθεν. Gl. LB. ναστὸς εὖ πεπεμμένος: Πλακοῦς ἢ θερμὸς ἄρτος μετὰ ἐλαίου R.V. ἄρτος καλῶς κατεσκευασμένος. Gl. LB. ἄρτος καλῶς ἐζυμωμένος. Gl. Θ. Dorv. δύο εἰσὶ ναστὸς καὶ κοῖλος. καὶ ναστὸς μὲν λέγεται, ὅντινα καλοῦσιν οἱ κοινοὶ ὁλόβολον· κοῖλος δὲ ὁ ἔχων ἔσω κοιλότητα. Paris. δύο εἰσὶν αἱ τῆς ἐπιπέδου ἐπιφάνειαι κατ' ἐναντιότητα θεωρούμεναι ἄκραν, ἥ τε κοίλη καὶ ἡ κυρτή. τὴν γοῦν κυρτήν φασι καὶ ναστήν. ἐπεὶ οὖν

ib. δηλ. Paris. δηλαδὴ Dorv. om. Θ.
ib. Scholion v. 1139. om. R.
1. ὡς ἐν ἐνίαις V.Θ. Aberat ἐν.
ib. λεγομένου τούτου] λέγομεν τοῦτο V.
2. κατ' οὐδέτερον πληθυντικὸν] κατὰ τὸ δεύτερον πλῆθος V.
ib. ὡς] ὥσπερ V.
ib. Θεόπομπος] Si locum Zenobii componas 4, 44., versus ex Καπηλίσι sumtus videbitur. HEMST.
5. πληθυντικὸν, προπαροξύνουσιν] πλῆθος δηλοῖ καὶ προπαροξύνεται V, reliquis omissis.
ib. προπαροξύνουσιν] προπαροξύτονον Θ.
6. ὀξύνουσιν] ὀξύτονον Θ.
14, 15. Ὑπέβαλον—νῷ] ὑπέλαβον πονηρίας ἐν τῷ ναῷ Dorv.
20. κατ' ἀστεϊσμόν] κατὰ στεισμ... codex.
22. Πλακοῦς ἢ om. V.
23. καλῶς om. Θ.

καὶ ὁ ἄρτος κυρτός ἐστι τὴν ἐπιφάνειαν, διὰ τοῦτο ναστὸν ἐνταῦθα τοῦτον προσηγόρευσεν. Victor.]

[1144. ἥσθιον γὰρ καὶ αὐτὴ ἐξ ὧν προσέφερον τοῖς θεοῖς. Gl. Θ.]

1145. οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγάς: ['Αντὶ τοῦ ἴσον. ἀρχαῖον καὶ 'Αττικὸν τὸ σχῆμα. V.] οὐ μόνον μετέχω τοῦδε, ἀλλὰ καὶ μετέχω τόδε φαμέν· καὶ εὕροις ἂν τοῦτο οὐ μόνον παρὰ ποιηταῖς, ἀλλὰ καὶ λογοποιοῖς. [μετεῖχες: 'Ελάμβανες. Gl. LB. ὅμοιον τῷ, "ἡμῖν μετάσχῃ τοῦδε τοῦ Πλούτου μέρος"· ἀντὶ τοῦ ἁπλῶς ἐλάμβανες, ἢ μετ' ἐμοῦ ἐλάμβανες. Schol. LB. ἴσας: 'Ομοίας. Gl. LB.]

[1146. ληφθείην: Κρατηθείην. πανουργήσας: Κλέψας. Gl. LB. Dorv. ἀντὶ τοῦ κλέψας. R.V.]

1147. ['Αντὶ τοῦ εἰ καὶ ἐπλούτησας, μὴ ἐπαρθῇς, μὴ μέγα φρονήσῃς. R.] εἰ σὺ Φυλὴν κατέλαβες: Ὅτι μετὰ τὸ κατελθεῖν τοὺς μετὰ Θρασυβούλου Φυλὴν καταλαβόντας καὶ νικήσαντας ἐν Πειραιεῖ τοὺς τριάκοντα ψηφίσασθαι ἔδοξε μὴ μνησικακῆσαι καθάπαξ ἀλλήλοις μηδὲν τοὺς πολίτας. ἀλλὰ ταῦτά γε οὔπω ἐπέπρακτο

5–7. οὐ μόνον—λογοποιοῖς] Scholion recens, quod om. R.V.Θ. Conf. schol. v. 226.

8. ὅμοιον τῷ] v. 226.

ib. ἀντὶ τοῦ om. R.

14. Ὅτι] Hoc scholion alteri postponit V. utrumque om. R.

16. ψηφίσασθαι] ψηφίσματ' V. Fort. ψήφισμα.

ib. μὴ om. V.

ib. καθάπαξ ἀλλήλοις (ἀλλήλων G.) V. ἀλλήλοις καθάπαξ Ald.

17. μηδὲν addidi ex V.

ib. ἀλλὰ ταῦτά γε etc.] Idem hæc, qui priora, scripserit grammaticus, an diversus, haud facile constituo. Id quidem liquido patet, quod auctor hujus adnotationis existimaverit primum se Plutum manibus versare, sed contaminatum, translato huc ex posteriore fabula versu, quem ordo temporis rerumque gestarum repellat: nam nimine dubito, quin spuria sint et aliena, ἢ καὶ αὐτὸς ὁ ποιητὴς ὕστερον ἐνθεῖναι· si enim in secunda refictæ novatæque fabulæ commissione Aristophanes ipse, quod jure suo poterat, inseruit, quid adtinebat absonam movisse difficultatem? nulla utique est ἀλογία, quum poeta comœdiam, quæ non steterat, reficiens multaque mutans, ea inmiscet, quæ cum præsenti rerum statu congruunt. Sunt autem hæc non leviter adfecta: *verum ista*, inquit, *quæ de occupata Phyle, victis* 30. *tyrannis, et lege oblivionis lata præcesserant, nondum erant acta Diocle archonte, quum primus Plutus scenam exercuit,* οὐδὲ τὸ ἐπὶ τριάκοντα ἤδη ἦν· legerem equidem pro more Græcis usitato, τὰ ἐπὶ τῶν τρ. ita solent τὰ Πελοποννησιακά, τὰ Χαιρωνικά, τὰ ἐπὶ Λυσάνδρου. Sed hoc leve est præ iis, quæ statim sequuntur, in quibus orationis legitime constructæ nexus plane desideratur. Vidit hoc S. Petitus, opemque ferre conatus est Miscell.

I, 16. p. 56. rescribendo: ὀγδόῳ ἔτει ὕστερον μάχης τῆς μετὰ Θρασυβούλου γενομένης Κριτίας ἐν Πειραιεῖ τελευτᾷ· quæ vix cum Græci sermonis ingenio satis conveniunt. Ratio vero, cur pro πέμπτῳ supponi voluerit ὀγδόῳ, eo nititur fundamento, quod egregium illud Thrasybuli facinus extinctæ tyrannidis ad annum demittat quartum Ol. 94. hic, si retro numeres, a Diocle octavus erit. Non Petitum tantummodo, sed et Petavium, G. I. Vossium Hist. Univ. Epit. aliosque multos in eum errorem Diodorus inplicuit, qui revera 14. p. 413. D. isti anno historiam ejectorum tyrannorum adsignat: hinc non una labes in turbatam temporis illius seriem manavit; velut ἀναρχία in anno secundo Ol. 94. statuta, quæ præcedentis fuit archonte Pythodoro, ut diserte Xenophon testatur Hell. 2. p. 270, 27. regnum 30. virorum ultra duos annos et Euclidem magistratum productum. Longe cautius Simsonius nobilissimum Thrasybuli factum collocavit in a. I. Ol. 94. Xenophonti obsecutus: audiamus modo Cleocritum mystarum præconem apud eum contentissima voce clamitantem p. 278, 22. Μὴ πείθεσθε τοῖς ἀνοσιωτάτοις τριάκοντα, οἳ ἰδίων κερδέων ἕνεκα ὀλίγου δεῖν πλείους ἀπεκτόνασιν Ἀθηναίων ἐν ΟΚΤΩ ΜΗΣΙ, ἢ πάντες Πελοποννήσιοι δέκα ἔτη πολεμοῦντες· numerum, quos ἀκρίτους interemerint, definivit Isocrates in Areop. p. 153. C. mille et quingentos. Pluribus, quæ dixi, constabiliri poterant, nisi luculentius eam rem nos edocturus esset vir clariss. P. Wesselingius ad Diodorum Siculum. [Postquam hæc nostra formis literarum jam fuerant expressa, in lucem prodiere Sam. Petiti Leges Atticæ insigni notarum accessione ab eruditissimis viris exornatæ: ibi curam promissam Wesselingius breviter occupavit p. 193. iisque quæ supra scripsi, non dissimilia tradidit. HEMST. *in Addendis.*] Hic si πέμπτῳ retineamus, ut sane conservandum est, Philochorum habebimus manifesto Xenophonti suffragantem; Philochorum, inquam, scriptorem perquam adcuratum, qui res patrias per Archontum seriem digesserat. Nunc cetera videamus an paulo melius quam fecerat Petitus hoc pacto possint constitui: ἀλλὰ καὶ, ὡς Φιλόχορος, πέμπτῳ ἔτει ὕστερον μάχῃ τῶν μετὰ Θρασυβούλου γενομένῃ ἦν, ᾗ Κριτίας ἐν Πειραιεῖ τελευτᾷ. Ut a mendosæ vocis literis quam minime recederem, scripsi γενομένῃ ἦν, quod in grammatico non moleste feras: alioqui maluissem ἐγένετο· in reliquis sensus est expeditus, et rebus conveniens. Ἀλογίαν vero et ἄλογον adpellant, quod indecore temporum rationibus adversatur; ut ad v. 179. et apud alios ἀλόγως τοὺς χρόνους ἀναβιβάζειν, ἄλογος ἀναχρονισμός etc. Ἀπὸ τῶν σ... καταλαβόντας, si suum locum teneant, significabunt hunc versum ab ipso fortassis Aristophane fuisse insertum post pacta, quæ Athenis convenerunt cum iis, qui Phylen occupaverant: tum, quod Kustero præeunte feci, ad τοὺς καταλαβόντας adjiciendum est Φυλήν· quod nomen facile, quia mox iterabatur, evanuit. Verum suspicio me tetigit, hæc in alienam sedem ex superioribus esse detrusa: sensus quidem in ἐνθεῖναι finitus nihil ultra postulat: jam videamus, an eo reduci queant, ubi operam utiliorem præstent: Ψηφίσασθαι ἔδοξεν ἀπὸ τῶν συνθηκῶν τῶν Ἀθήνησι γενομένων πρὸς τοὺς καταλαβόντας, μὴ μνησικακῆσαι etc. hic mihi tam commode videntur poni, ut nihil sit probabilius, quam inde nescio quo casu fuisse avulsa: certe ne Φυλὴν quidem supplere necesse est, quippe quod ex proximis facili negotio repetatur: ordo rerum gestarum pacis-

οὐδὲ τὰ ἐπὶ τῶν τριάκοντα ἤδη ἦν, ἀλλὰ καὶ, ὡς Φιλόχορός φησιν, πέμπτῳ ἔτει ὕστερον τῆς Θρασυβούλου γενομένης Κριτίας ἐν Πειραιεῖ τελευτᾷ. τοῦτο οὖν ἔοικέ τις ἐκ τοῦ δευτέρου Πλούτου μετενεγκὼν ἐνθάδε ὀλιγωρῆσαι τῆς ἀλογίας ταύτης, ἢ καὶ αὐτὸς ὁ ποιητὴς ὕστερον ἐνθεῖναι. ἀπὸ τῶν συνθηκῶν τῶν Ἀθήνησι γενομένων πρὸς τοὺς καταλαβόντας. Φυλὴν δὲ, τὸν δῆμον, ἀφ' οὗ Φυλάσιοι. [συνέθεντο γὰρ μετὰ τὸ μεταγαγεῖν μὴ μνησικακῆσαι. Φυλὴ δὲ τόπος οὕτω καλούμενος. V.] Ἄλλως. Θρασύβουλος βουλόμενος καταλῦσαι τοὺς λ' καταλαβὼν Φυλὴν, τόπον τινὰ, κἀκεῖσε συμμάχους λαβὼν, κατέλυσε. καὶ ἐπεὶ ἀλαζονικὸν ἐφθέγξατο, ἤκουσε, μὴ μνησικακήσῃς, καὶ ἐγένετο παροιμιακόν. Φυλὴ δὲ, δῆμος τῆς Ἀτ-

que factæ inter eos, qui asty, et illos, qui Piræëum tenebant, simul constat. Fœdus autem, quo sibi mutuo reconciliati sunt Athenienses, jurejurando sancitum, quasi proprio vocabulo συνθῆκαι solet adpellari, et συνθῆκαι καὶ ὅρκοι· Lys. in Agor. p. 138, 28. ὡς παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας ἀγωνίζεται, ἃς συνεθέμεθα πρὸς τοὺς ἐν ἄστει οἱ ἐν τῷ Πειραιεῖ· ibidemque sæpe: p. 173, 33. τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις ἐμμένουσι. Isocrat. Except. adv. Callim. p. 375. C. οὕτω μὲν τῶν συνθηκῶν ἐχουσῶν, τοιούτων δὲ τῶν ὅρκων γενομένων· prælectum modo fuerat in judicio pacis jurisque jurandi exemplar. Alterum, quod subjicitur, scholium, me si roges, in rem malam hinc facessere jubeam; ita ridiculum est, et bonæ frugis expers, cui, quicquid emendando tentaveris, succurri non potest: incurrit enim, quo facilius esse credas hominis imperitissimi fœtum, in historiæ fidem plus simplici vice. Meliora dedit, nec tamen optima, margo C. LB. Φυλὴν — ἐὰν ἐπλούτησας. Horum nihil excerptum a Suida: brevius etiam, quam editi, C. LB. posito comici versu subjungit: Φυλή· ὄνομα τόπου· καὶ Φυλάσιοι, οἱ ἐνοικοῦντες. HEMST.

1. τὰ V. τὸ Ald.

ib. τῶν addidi ex Θ.

ib. ὡς om. V.

ib. φησιν addidi ex V.

2. πέμπτῳ ἔτει] ε̄ ἔτη V.

ib. ὕστερον τῆς Θρασυβούλου γενομένης V. ὕστερον μάχεται μετὰ Θρασυβούλου γενομένου ἢ (γενομένους, omisso ἢ, Θ.) Ald. Scribendum videtur ὕστερον μάχης γενομένης, deleto Θρασυβούλου, quod ex superiore illo μετὰ Θρασυβούλου Φυλὴν καταλαβόντας oriri potuit: nisi quis plura excidisse credere malit. Dukerus conjecit πέμπτῳ ἔτει ὕστερον μάχεται μετὰ Θρασυβούλου ἐν Πειραιεῖ γενομένου ὁ Κριτίας καὶ τελευτᾷ. De Thrasybuli Critiæque morte vid. Xenoph. H. Gr. 2, 4, 13.

3. τοῦτο] τοῦτον Θ.

5. Post ἐνθεῖναι interpungendum esse intellexit Hemst. qui proxima ἀπὸ τῶν — Φυλάσιος, non transponere, sed ut inutilem alius scholiastæ annotationem separare debebat.

6. Φυλὴν δὲ] δὲ om. V.

ib. φυλάσιοι V.Θ. Φυλάσιος Ald.

7. μεταγαγεῖν] Malim καταγαγεῖν.

8. θρασύβουλος V.Θ. ὁ Θρασύβουλος Ald.

9. κἀκεῖσε] καὶ V.

11. μνησικακήσῃς V. μνησικακῆσαι Ald.

ib. ἐγένετο παροιμιακόν] γέγονε παροιμιαστικός V.

τικῆς, καὶ οἱ ἐνοικοῦντες Φυλάσιοι. τὸ δὲ, εἰ σὺ Φυλὴν κατέλαβες, ἀντὶ τοῦ, εἰ ἐπλούτησας, εἰ μέγας γέγονας, Φυλὴν καταλαβόμενος, καὶ τοὺς λ′ τυράννους μεταχειρισάμενος. Φυλὴ γὰρ τόπος οὕτω καλούμενος. περὶ δὲ Θρασυβούλου εἴρηται διὰ τὸ ἐπαινεῖσθαι, ὅτι ἐκεῖ ἐφόνευσε τοὺς λ′ τυράννους.

[*Φυλὴν κατέλαβες*: Προεγράφη *ὄπισθεν ἡ ἱστορία, ὅπως Λακεδαιμόνιοι* Ἀθηναίοις *τριάκοντα τυράννους κατέστησαν,* Ἀθηναίους *ὄντας καὶ αὐτούς· οἳ τοὺς* Ἀθηναίους *κακῶς ἐποίουν τοὺς ὁμοφύλους καὶ συμπολίτας. ἀλλὰ Θρασύβουλός τις* Ἀθηναῖος *φιλόπατρις καὶ μισοτύραννος Φυλὴν κατέλαβε χωρίον τῆς* Ἀττικῆς *μετὰ ὀκτακοσίων ἀνδρῶν, καὶ συμβαλὼν τοῖς τριάκοντα καὶ τοῖς μετ' αὐτῶν νικᾷ τε αὐτοὺς καὶ τὴν πόλιν τῆς τυραννίδος ἠλευθέρωσεν. ἐπεὶ δὲ ἦσαν τινὲς ἐν τῇ πόλει, πρὸς οὓς ἐφέροντο καλῶς οἱ τύραννοι, ὅτε ἦρχον, οὗτοι τοὺς ἀναιρέτας τῶν τυράννων δεδιότες, ἡνίκα τινὶ αὐτῶν συναντήσειαν, ἔλεγον, μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες· ὅθεν καὶ ψήφισμα ἔθεντο ἀλλήλους μὴ μνησικακεῖν* Εὐκλείδου *δημαγωγήσαντος. φησὶ δὲ* Ἑρμῆς, *ὦ* Καρίων, *μὴ μνησικακήσῃς ἐμὲ ἕνεκεν τῶν ὄπισθεν· ὡς οὐδὲ οἱ μετὰ Θρασυβούλου τοὺς μετὰ τῶν τυράννων, εἰ κατέλαβες τὴν Φυλὴν, ὡς ὁ Θρασύβουλος· τουτέστιν, ἐὰν ἐπλούτησας.* Schol. LB. *μὴ*: Ὅρα *ἵνα. μνησικακήσῃς*: Ὀργισθῇς. *Φυλὴν*: Τήν. *τὸ χωρίον. κατέλαβες*: Εὗρες. Gl. LB. *φιλὴν*: Ὄνομα *τόπου.* Gl. Dorv. *εὐ σὺ φ. κ.*: Τουτέστι *εἰ ἐπλούτισας.* Gl. Paris.]

[1148. *σύνοικον*: Μεθ' *ὑμῶν. πρὸς θ.*: Ἕνεκεν *τῶν.* Gl. LB.]

[1149. Ἀπολιπὼν: Ἀφείς. Gl. LB. Dorv. *ἐνθάδε μενεῖς*: Ἐνταῦθα *προσκαρτερήσεις.* Gl. LB.]

[1150. *τὰ γὰρ*: Ναί. Gl. Θ. LB. Dorv. *τὰ παρ' ὑμῖν*: Τὰ *ἐνταῦθα. βελτίω πολύ*: Κρείττονα *κατὰ πολύ.* Gl. LB. *κρείττονα τῶν ἐν θεοῖς.* Gl. Θ. Dorv.]

[1151. *ταὐτομολεῖν*: Αὐτόμολός *ἐστιν ὁ οἰκείᾳ θελήσει λιπὼν*

1–5. *τὸ δὲ—ἐφόνευσε τοὺς λ′ τυράννους*] *μὴ μέγα φρονήσῃς, εἰ μέγας γέγονας καὶ πεπλούτηκας, ὥσπερ ὁ θρασύβουλος καταλαβὼν φυλὴν καὶ ἰσχύσας ἐδυνήθη καταλύσας τοὺς τυράννους καὶ παρ' ἀθηναίους* (scr. Ἀθηναίων) *τιμῆς ἠξιώθη* V.

6. *ὄπισθεν*] Ad v. 550.

14. *συναντήσειαν, ἔλεγον* Hemst. *συναντήσειεν, ἔλεγε* codex.

30. *κρείττονα*] *κρείττω* Θ.

ἐκείνους, μεθ' ὧν ἦν, καὶ πρὸς ἄλλους ἐλθών. τὸ ἐξέρχεσθαι ἀπὸ τῶν οἰκείων, καὶ εἰσέρχεσθαι πρὸς τοὺς ἀλλοτρίους, ἀστεῖόν ἐστιν. Schol. Br. αὐτομολεῖν: Τὸ ἐνταῦθα ἐλθεῖν καὶ διατρίβειν. ἀστεῖον: Πεπαιδευμένον. Gl. Paris. φρόνιμον, καλόν. Gl. LB. καλὸν, χάριεν. Gl. Θ. χαρίεν. Gl. Dorv.]

[1152. πατρὶς γάρ: Παρὰ τὴν παροιμίαν· ὅπου γὰρ ἀγαθόν ἐστιν, ἐκεῖ μοι πατρίς. V. ναί. πᾶσ': Ὅλοις τοῖς ἀνθρώποις. Gl. LB. ἵν': Ὅπου. Gl. Dorv. ἵν' ἂν: Ὅπου εὐτυχῇ. Gl. Paris. πράττῃ τις εὖ: Εὐτυχῇ. Gl. LB. εὐημερῇ. Gl. Dorv. πᾶσι. ὅπου. πάσχῃ. Gl. Θ.]

[1153. ὄφελος: Ἤγουν ὠφέλεια. Gl. Dorv.]

1154. στροφαῖον: Ἐπὶ ἀποτροπῇ τῶν ἄλλων κλεπτῶν. στροφαῖος, παρὰ τὸ στρέφεσθαι καὶ πανουργεῖν. λέγεται δὲ ὁ Ἑρμῆς, στροφαῖος, ἐμπολαῖος, κερδῷος, δόλιος, ἡγεμόνιος, ἐναγώνιος, διάκονος. Ἄλλως. στροφὸν, ἐπεὶ στροφοὶ λέγονται οἱ συμπεπλεγμένοι λόγοι καὶ δολεροί. Ἄλλως. στροφαῖον ἐκάλουν ἱδρυμένον παρὰ τῇ θύρᾳ τὸν δαίμονα· ἅμα δὲ παρὰ τὸ στρέφειν τὰ πράγματα· οἱ δὲ τοῦτο ποιοῦντες πανοῦργοι λέγονται. ἔστι δὲ ἐπωνυμία Ἑρμοῦ, παρὰ τὸ ταῖς θύραις ἱδρύσθαι ἐπὶ φυλακῇ τῶν ἄλλων κλεπτῶν· οὗτοι γὰρ

12–16. Ἐπὶ—καὶ δολεροὶ om. R.
12–15. Ἐπὶ—διάκονος om. V.
14. κερδῷος om. Θ.
15–p. 344. l. 1. Ἄλλως. στροφὸν—πανουργεύεσθαι] στροφαῖον ἐπωνυμία ἑρμοῦ—πανούργεσθαι. ἀπὸ τοῦ γράφειν (στρέφειν G.) καὶ κυκᾶν τὰ πράγματα. ἄλλως. στροφὸν—πανοῦργοι λέγονται V.
15. στροφὸν, ἐπεὶ στροφοὶ] στροφαῖον, ἐπεὶ στροφαὶ Gelenius. στροφαὶ sine dubio verum est: pro στροφὸν ego fere malim reponi στρόφιν, quod ideo scilicet adhibitum, ut explicandæ voci στροφαῖος inserviret. Persuadet Eustathius, qui antiquioris lexicographi verba ponit ad Il. Ω. p. 1353, 9. Στροφαῖος δὲ Ἑρμῆς φησὶν, οὐ μόνον ὁ παρὰ τῷ στροφεῖ ἱδρυμένος, ἀλλὰ καὶ ὁ στρέφων καὶ ἐξαπατῶν, οἷον στρόφις. Στρόφις autem versutus in Aristoph. Nub. v. 450. σκολιὸς, οὐχ ἁπλοῦς, πολύπλοκος, ut Hesychius interpretatur; quale nomen callidissimum Maiæ filium non dedecet. HEMST.
ib. ἐπεὶ] ἐπειδὴ V.
ib. λέγονται] Legebatur λέγονται καί.
ib. συμπεπλεγμένοι] πεπλεγμένοι V.
16. λόγοι καὶ δ. V. καὶ δ. λόγοι Ald.
ib. Ἄλλως addidi ex V.
ib. στροφαῖον R.V. δὲ addit Ald.
17. τὸν om. V. τὸν παρὰ τῇ θύρᾳ ἱδρυμένον δαίμονα Suidas s. στροφαῖος.
18. λέγονται addidi ex R.V. et Suida.
ib. ἔστι δὲ ἐπ. R. ἐπ. δὲ τοῦτο Ald. ἐπ. δέ ἐστιν Suidas.
19. ταῖς] ἐν ταῖς Suidæ libri deteriores. πρὸς ταῖς Hemst.
ib. ἱδρύσθαι] ἱδρύσασθαι V.
19–p. 344. l. 1. οὗτοι—πανουργεύεσθαι om. R.

ὀπίσω τῶν θυρῶν εἰώθασι καὶ ἀναδύεσθαι καὶ ὅλως πανουργεύεσθαι. [στροφαῖον: Πυλωρὸν, ἔνθα καὶ ἔνθα στρεφόμενον. Gl. Θ. Dorv. στρεφόμενον. ἱδρύσασθε: Ποιήσατε. Gl. LB. πυλωρόν. Gl. Paris. ἐπωνυμία ἐστὶ τοῦτο τοῦ θεοῦ· παρὰ τὸ ταῖς θύραις ἱδρύσθαι ἐπὶ φυλακῇ τῶν ἄλλων κλεπτῶν. στροφαῖον οὖν περὶ τὴν θύραν ἀντὶ τοῦ φύλακα τῆς θύρας ἀπὸ τῆς στρόφιγγος. ὁ δὲ θεράπων τὸ στροφαῖον ἐπὶ τῶν δολίων καὶ συμπεπλεγμένων λόγων ἐκλαμβάνει· ἐπεὶ σημαίνει καὶ τοῦτο ἡ λέξις· στροφαῖον γὰρ φαμὲν ἄνθρωπον, τὸν εἰδότα συμπλέκειν καὶ στρέφειν λόγους καὶ μηχανάς. Paris.]

[1155. στροφαῖον: Πανοῦργον. Gl. Paris. στροφαῖον; Ποιήσομέν σε; Gl. LB. ἀλλ' οὐκ—στροφῶν: Ἀντὶ τοῦ οὐ χρεία ἐστὶ πανουργεῖν. R.V. χρεία ὑπάρχει οὐδαμῶς ἡμῖν κινήσεων. Gl. LB. ἀλλ' οὐδεμία ἐργασία ἐστὶ δολιοτήτων. Gl. Paris. στροφῶν: Πανουργιῶν καὶ ποικιλίας καὶ στροφῶν λόγων. Gl. Θ.]

1156. ἀλλ' ἐμπολαῖον: Πραγματευτὴν, ἢ ἀντὶ τοῦ ἀγοραῖον, καὶ τῆς καπηλείας προεστῶτα. παλιγκάπηλοι δὲ λέγονται οἱ τὰ αὐτὰ πωλοῦντες καὶ ἀγοράζοντες. Ἄλλως. πέντε εἰσὶν αἱ διαφοραὶ τῶν πωλούντων, αὐτοπώλης, κάπηλος, ἔμπορος, παλιγκάπηλος, μεταβολεύς. καὶ ἔστιν αὐτοπώλης μὲν ὁ ἐν τῇ ἰδίᾳ χώρᾳ πωλῶν τὴν ἑαυτοῦ πρόσοδον· κάπηλος δὲ ὁ ἀγοράζων ἀπὸ τοῦ αὐτοπώλου καὶ πωλῶν ἐν τῇ χώρᾳ ἐν ᾗ ἠγόρασεν· ἔμπορος δὲ ὁ ἀγοράζων καὶ ἐπὶ ξένης πωλῶν· [ἢ ἀπὸ τοῦ αὐτοπώλου ἢ ἀπὸ τοῦ καπήλου.] παλιγκάπηλος δὲ ὁ

1. εἰώθασιν ante ὀπίσω ponit Θ.
ib. ὅλως om. V.
2. ἔνθεν καὶ ἔνθεν στρεφόμενος Dorv.
5. ἐπὶ φυλακῇ] ἤτοι φυλακὴ Paris.
14. πανουργικῶν adscriptum in Dorv.
15. Scholion v. 1156. om. R.
ib. ἀντὶ τοῦ add. V.Θ.
17. Ἄλλως addidi ex V.
ib. πέντε V. πέντε δὲ Ald.
22. Seclusi verba ἢ ἀπὸ τοῦ αὐτοπώλου ἢ ἀπὸ τοῦ καπήλου, quæ om. V.
ib. δὲ post παλιγκάπηλος et post μεταβολεὺς addidi ex V.
ib. παλιγκάπηλος] Etymol. Παλιγκάπηλος, ὁ μεταβολεὺς, ὁ τὸ αὐτὸ ἀγοράζων καὶ πωλῶν· paulo plenius Hesychius: ὁ μετάβολος, ὁ τὸ αὐτὸ ἀεὶ ἀγοράζων καὶ πωλῶν, ὡς παλίνδουλος, ὁ πολλάκις δουλεύσας· quod posterius eo pertinet, ut moneat, πάλιν in hoc vocabulo composito non simplici tantum suaque gaudere potestate, sed continuam frequentemque significare rerum emtarum, venditarumque commutationem. Idem docuit in Παλίνσκιος· τὸ γὰρ πάλιν, inquit, ἐνιαχοῦ ἐπίτασιν δηλοῖ, ὡς παλιγκάπηλος, παλίμπρατος· ita scribendum, non παλίμπρακτος· vide Poll. 7, 11. qui τὰ δεύτερον πιπρασκόμενα dici notat παλίμπρατα, παλίμπωλα, additque, καὶ ὁ τοῦτο ποιῶν, παλίμπωλος, παλιγκάπηλος· quo tamen loco, ne forma vocis legitima desi-

deretur, malim, παλιμπώλης· servus etiam παλίμβολος et παλίμπρατος, ὁ πολλάκις πραθεὶς 3, 125. neque usum eleganter alio translatum observare neglexit, παλίμπρατος τὴν ὥραν, παλιγκάπηλος τοῦ κάλλους 6, 127. et inter rhetoris opprobria, πρὸς ἀργύριον βλέπων, παλίμπρατος· pauloque post, παλιγκάπηλος, πεπρακὼς ἑαυτόν· quomodo de Flacco Philo Judæus p. 971. A. Φλάκκον ἤδη τιμῶν ἀθλίων ἐωνημένοι, ἃς ὁ δοξομανὴς καὶ παλίμπρατος ἐλάμβανεν. Hinc παλιμπράτης, quem Glossæ veteres μεταπράτην et *cocionem* vocant, parum a παλιγκαπήλῳ distat; quod maledictum ut sophistis fuit a liberalioribus philosophis objectum, sic perinde et illud in Epist. Socrat. p. 2. quem locum ponere non gravabor, ut insigni menda liberem: ἀλλ' ὥσπερ τοὺς σοφιστὰς, καὶ Σωκράτην φαίνῃ ὑπονοεῖν παλιμπράτην τινὰ εἶναι παιδείας, καὶ τὰ πρότερον γράψαι οὐχ ἁπλῶς ἀρνούμενον, ἀλλ' ἐπὶ πλείοσιν ἢ τοῖς τότε δεδομένοις ὑπὸ σοῦ· legebatur, αἱρούμενον· ἀλλ' ἐπὶ πλείοσι τοῖς τότε διδομένοις· est autem ἀρνεῖσθαι *conditionem oblatam respuere*. Μετάβολοι vero, interprete Suida, πραγματευταὶ, μεταπράται, et μεταβολεῖς, illi recentioribus usitatiores, hi Atticis, ut notat Thomas Magist. propterea que soli a Polluce commemorati, καπήλοις et παλιγκαπήλοις tam vicini, ut iis vel explicandis adhibeantur, vel proxime junctis adhæreant: οἱ μεταβολεῖς καὶ οἱ τῶν ὠνίων κάπηλοι apud Socrat. H. E. 3, 17. graviter et figurate Demosth. in Aristogit. p. 835. C. Εἰ δὲ κάπηλός ἐστι πονηρίας, καὶ παλιγκάπηλος, καὶ μεταβολεὺς, καὶ μονονοὺ ζυγὰ καὶ σταθμὰ ἔχων πάντα, ὅσα πώποτ' ἔπραξεν, ἐπώλει. Ita descripsit Xenophon 'Απομν. 3. p. 451. v. 30. ut et, in qua mercaturæ parte versentur indicaverit, et ab ἐμπόροις simul sejungat: ἢ τοὺς ἐμπόρους, ἢ τοὺς ἐν τῇ ἀγορᾷ μεταβαλλομένους, καὶ φροντίζοντας, ὅ τι ἐλάττονος πριάμενοι πλείονος ἀποδῶνται. Jam nostri grammatici, quum παλιγκάπηλον exponunt τὸν τὸ αὐτὸ, vel τὰ αὐτὰ ἀεὶ ἀγοράζοντα καὶ πωλοῦντα, talem videntur intellexisse, qui ejusdem generis merces et ad se delatas emeret, et aliis iterum venderet; quod etsi nonnihil differat explicationi, quæ statim proponitur, ab usu tamen vocis ipsoque παλιγκαπήλων, quorumdam saltem, instituto non est alienum: hoc enim pacto Phœnices quoque παλιγκάπηλοι scholiastæ Pindari ad Pyth. 2, 125. nihil opportunius ad rem explanandam illo ipso Sophoclis loco, quem protulit: 'Ωνὴν ἔθου καὶ πρᾶσιν, ὡς Φοῖνιξ ἀνὴρ, Σιδώνιος κάπηλος .... alteroque comici, ubi nonnemo protinus, simul atque id, quidquid fuerit, quod in fabula dictum præcesserat, contingeret, fieri se Phœnicem aiebat, una manu dare, accipere altera:——εὐθὺς δὲ Φοῖνιξ γίγνομαι, Τῇ μὲν δίδωμι χειρὶ, τῇ δὲ λαμβάνω. Ceterum eximius est, qui sequitur, scholiastæ locus, et quinque mercatorum honestioris viliorisque gradus classes commodissime vereque, ut arbitror, describit; quem Budæus quum posuisset auctoris nomen reticens C. L. G. p. 469. H. Stephanus ignoravit, unde sumtus foret, Th. L. G. T. 2. p. 65. neque minus effugit Salmasii diligentiam de Usur. c. 12. quod in hoc genere declarando totum occupatur. Verum non latuit Des. Heraldo Anim. in. Observ. ad I. A. et R. 2. c. 2. §. 6. cujus hæc subdita scholio sunt verba: *Heic* ἔμπορον ὑπὸ τοῦ καπήλου *contineri vult aliquo casu, et* κάπηλον *esse qui domi emit* ἀπὸ τοῦ αὐτοπώλου, *et vendit ibidem* τῷ ἐμπόρῳ, *quo nomine vult appellari quemcunque, qui emit* ἐπὶ ξένης, *sive* ἀπὸ τοῦ αὐτοπώλου, *sive* ἀπὸ τοῦ καπήλου· *sed et qui emit domi, quod vendat* ἐπὶ ξένης. *Ex eo autem, quod* κάπηλον *vult esse eum, qui emit* ἀπὸ τοῦ αὐτοπώλου, παλιγκάπηλον *esse*

ἀπὸ τοῦ ἐμπόρου ἀγοράζων καὶ πωλῶν. μεταβολεὺς δὲ ὁ κατὰ τὴν κοτύλην πωλῶν, ὥσπερ οἱ νῦν λεγόμενοι κάπηλοι· εἴρηται δὲ παρὰ τὸ συνεχῶς μεταβάλλειν. καὶ αὗται μέν εἰσιν αἱ σημασίαι κυρίως τῶν πωλούντων· καταχρηστικῶς δὲ πᾶς πωλῶν κάπηλος λέγεται. [ἀλλ' ἐμπολαῖον: Ποιήσατε πράτην. Gl. LB. πραγματευτήν. Gl. Dorv. πραγματευτικόν. Gl. Paris.]

[1157. Ἑρμῆν: Τόν. παλιγκάπηλον: Τὸν μεταπράτην. Gl. LB. καπηλεύοντα τὰ πωλούμενα. Gl. Θ. Dorv. δεῖ: Ἀπόκειται. ἢ πρέπον ἐστί. Gl. LB.]

[1158. δόλιον: Ἔφορον τοῦ δόλου ποιήσατε. ἥκιστά γε: Ποιήσομέν σε οὐδαμῶς. Gl. LB. οὐδαμῶς. Gl. Θ.]

[1159. Ἔργον: Χρεία ἐστὶν ἡμῖν. ἁπλῶν τρόπων: Ἀδολιεύτων ἠθῶν. Gl. LB.]

1160. ἀλλ' ἡγεμόνιον: Κατὰ χρησμὸν οἱ Ἀθηναῖοι ἡγεμόνιον

vult, qui emit ἀπὸ τοῦ καπήλου, *et eum distinguit* ἀπὸ τοῦ μεταβολέος, *etsi nulla pene est inter utrumque differentia.* Quorum ista, *qui emit* ἐπὶ ξένης ..... *sed et qui emit domi* etc. satis arguunt, inpediti quiddam Heraldo fuisse visum hærere in ἐμπόρου descriptione, quod frustra verbis tegere sit conatus. Budæus etiam scripsit, ἢ ἀπὸ τοῦ καπήλου ὠνούμενος, illud scilicet participium, ut sensus congruat, addendum existimans. Sanare licet scholiasten, ejusque genuinam mentem adsequi oratione in meliorem ordinem redigenda: Ἔμπορος δὲ ὁ ἀγοράζων ἢ ἀπὸ τοῦ αὐτοπώλου, ἢ ἀπὸ τοῦ καπήλου, καὶ ἐπὶ ξένης πωλῶν· quod iis, quæ tradidit, tam concinne respondet, ut, quin ita reliquerit, dubitari nequeat. Porro hæc adhibentur a. Berkelio ad Stephan. in Ἰσεῖον, cujus urbis Ægyptiæ nomen erat incolis, ut, Hesychio teste, Metapontinis apud Italos, ab ipsa re μεταβόλοις· nam, quæ huc egregie faciunt, πωλοῦσι μόνοις τοῖς ἐμπόροις ἀθρόα τὰ φορτία, παρὰ τῶν τεχνιτῶν ἀγοράζοντες αὐτὰ κατ' ὀλίγα, καὶ κοτυλίζουσι τοῖς ἐγχωρίοις· ubi κοτυλίζειν Polluci quoque notatum 7, 194. idem est, quod scholiastæ κατὰ τὴν κοτύλην πωλεῖν. Quod autem Berkelius in nostro enarratore leviter perstringit, *Et quanquam scholiastes velit* τὸν μεταβολέα *illum esse, qui heminatim aliquid vendit, videtur tamen proprie denotare negotiatorem, qui merces mercibus commutat,* παρὰ τὸ συνεχὲς μεταβάλλειν, *quod etiam heminatim et* κατὰ κοτύλην *fieri potuit;* non multum habet ponderis, eoque minus, quia se prius ipsa, quam scholiastæ explicationem evertunt. Pluribus illustrari possent, si hoc agendum haberemus. HEMST.

2. εἴρηται δὲ] λέγεται δὲ καὶ (καὶ delendum) μεταβολεὺς V.

3. συνεχῶς V. συνεχὲς Ald.

4. πᾶς πωλῶν] παρὰ πολῶν V. παρὰ πολλῶν G.

14. Κατὰ χρησμὸν] Mercurium ἡγεμόνιον oraculi monitu ab Atheniensibus esse statutum, qui dixerit, præter enarratorem nostrum, alium non memini. HEMST.

῾Ερμῆν ἱδρύσαντο. παρὰ δὲ τὸ τοῖς τυφλοῖς τοὺς βλέποντας ἡγεῖσθαι, ἐπήνεγκε δὲ ἐπὶ τοῦ Πλούτου, φάσκων αὐτὸν ἤδη βλέπειν, καὶ μὴ δεῖσθαι ὁδηγοῦ. [ἡγεμόνιον: Προοδοποιόν. Gl. Θ. Dorv. προοδοποιὸν ποιήσατε. Gl. LB. ὁδηγόν. Gl. Paris. ὅτι ὁ ῾Ερμῆς καὶ ὁ λόγος καὶ τὸ λογικὸν ἡγεμονεύει τεχνῶν καὶ πρακτικῶν, ὑποτιθεὶς ἑκάστῳ καὶ ἐφευρήσεις καὶ πανουργίας καὶ ἀφορμάς. ἡγεμόνιος δὲ λέγεται καὶ ὁ ὁδηγὸς τῶν τυφλῶν· διὸ φησὶ, ἀλλ' ὁ θεὸς ἤδη βλέπει. Schol. LB. ὁ θεός: ῾Ο Πλοῦτος. Gl. LB. ἤδη: 'Απὸ τοῦ νῦν. Gl. Dorv. ἀντὶ τοῦ ὁ Πλοῦτος. ὥστε μὴ δεῖσθαι ἡγεμόνος καὶ ὁδηγοῦ. R.]

[1161. ἡγεμόνος: Τινὸς ὁδηγοῦ. Gl. LB. οὐδὲν: Οὐδαμῶς. Gl. LB. Dorv. δεησόμεθ' ἔτι: Χρείαν ἕξομεν εἰς τὸ ἑξῆς. Gl. LB. εἰς χρείαν ἔλθωμεν. Gl. Dorv.]

[1162. ἐναγώνιος: 'Επιστάτης τῶν ἀγώνων καὶ πανηγύρεων. Gl. LB. ἀγῶνας καὶ πανηγύρεις ἐργαζόμενος. εἰς ἀνατροπὴν τούτου. Gl. Θ. Dorv. μοῖραν γὰρ ἐν τοῖς ἀγῶσιν ἔχει ὁ ῾Ερμῆς. R.V. Paris. ἐρεῖς: Λέξεις. Gl. LB. λέγεις. Gl. Dorv.]

[1163. συμφορώτατον: Λίαν συμφέρον. Gl. LB. ἁρμοδιώτατον. Gl. Dorv. ἀντὶ τοῦ ἁρμόδιον. Gl. R.V. (non G.) Θ.]

[1164. μουσικοὺς: Λογικούς. Gl. Paris. μουσικὰς: Χορούς. Gl. Dorv. γυμνικούς: Παλαίστρας, δρόμους καὶ τὰ τούτοις ὅμοια. Gl. Θ. παλαίστρας. Gl. Dorv. χοροὺς, ὀρχήσεις, παλαίστρας, δρόμους καὶ τὰ τοιαῦτα. Gl. Paris. χοροὺς καὶ ὀρχήσεις. Gl. Θ.]

[1165. ὡς: Λίαν, ὄντως. Gl. Θ. Dorv. ὡς ἀγαθὸν: Λίαν συμφέρον. Gl. LB. ἐπωνυμίας: ῾Ωσανεὶ ἔλεγε πολλὰ ὀνόματα ἔχειν R. ὀνομασίας. Gl. LB. Dorv. ἔχειν: Κρατεῖν. Gl. Dorv.]

1166. [ἐξεύρηκεν: Διὰ τῶν πολλῶν ἐπωνυμιῶν. Gl. Θ. Dorv.

1, 2. παρὰ δὲ—ἐπήνεγκε V. παρὰ—ἐπήνεγκε Ald.
5. τὸ addidit Hemst.
6. ἡγεμόνιος] ἡγεμόνος codex.
15. ἀγῶνας — ἐργαζόμενος] ἀγώνων—ἐργάζομαι Dorv.
ib. εἰς ἀ. τούτου om. Dorv.
16. μοῖραν—ἔχει] μοῖρα—ἐστὶν Paris.
19. ἀντὶ τοῦ om. V.Θ.
24. ὄντως, λίαν Θ.
26. κρατεῖν Hemst. κρατεῖσθαι Dorv.
27. Ad v. 1166. Ald. addit οὗτος γὰρ ἐξεύρηκεν] ἐποίουν γὰρ τοῦτο οἱ δικάζοντες, ἵνα, ἐὰν ἀποτύχωσιν ἑνὸς, εἰς (ἀποτύχωσι εἰς Θ.) ἄλλο δικαστήριον δικάσωσιν. quæ ex proximo scholio illata om. R.V.

βιότιον: Βίον, ὑποκοριστικῶς. R.V. (non G.) μικρὰν ζωήν. Gl. Θ. LB. Dorv.]

1167. οὐκ ἐτὸς ἅπαντες: Ὡσανεὶ ἔλεγεν, οὐ ματαίως ἄρα σπεύδουσι πολλὰ ὀνόματα ἔχειν, ἵνα, ἐὰν ἀποτύχωσιν ἑνὸς, εἰς ἄλλο δικάσωσι δικαστήριον. ὁ τούτων νοῦς ἐκ τῶν προειρημένων περὶ τῆς κληρώσεως τῶν γραμμάτων καὶ τῶν δικαστηρίων δῆλος. ἐποίουν δὲ τοῦτο οἱ δικάζοντες, ἵνα, ἐὰν ἀπολειφθῶσιν ἑνὸς, ἐν τῷ ἄλλῳ δικάσωσι, τὸν πεσσὸν καὶ εἰς τόδε καὶ εἰς τόδε ἐμβάλλοντες τῶν δικαστηρίων. [οὐκ ἐτὸς: Οὐ ματαίως. Gl. LB. οὐ μάτην, οὐ ψεκτῶς. Gl. Paris. ἐτὸς: Μάτην. Gl. Θ. Dorv. πάντες: Ὅλοι. Gl. LB. οἱ δικάζοντες: Οἱ κριταί. Gl. LB. Dorv. θαμὰ: Συνεχῶς. Gl. Θ. LB. οὐκ ἐτὸς ἅπαντες: Οὐ ματαίως ἄρα οἱ ἐν ταῖς Ἀθήναις, φησὶ, δικάζοντες σπεύδουσιν ἐν πολλοῖς γε-

3. Ὡσανεὶ] ἄλλως. ὡσανεὶ Θ.

3–9. Ὡσανεὶ—ἐμβάλλοντες τῶν δικαστηρίων] ὁ τούτων νοῦς—καὶ τῶν δικαστηρίων δῆλος. ἄλλως. οὐ ματαίως ἔλεγον πολλὰ ὀνόματα ἔχειν. ἐποίουν γὰρ τοῦτο οἱ δικάζοντες, ἵνα, ἐὰν ἀποτύχωσιν, εἰς ἄλλο δικάσωσι δικαστήριον V.

3. ὡσανεὶ Θ. et Suidas s. ἐπώνυμον. ὡς ἂν εἰ Ald.

4. δικάσωσι δ. R.V. δ. δικάσωσιν Ald. Sequentia om. R.

5. ὁ τούτων V. ὁ δὲ τούτων Θ. Ald.

ib. προειρημένων] Ad v. 277.

ib. τῆς addidi ex Θ.

6. κληρώσεως] προαιρέσεως V.

ib. δῆλος post δικαστηρίων posui cum V. Post προειρημένων habent Θ. Ald.

ib. ἐποίουν δὲ] ἐποιοῦντο δὲ Ald. Correxi ex scholiis supra allatis, in quibus est ἐποίουν γάρ.

7. ἀπολειφθῶσιν Θ. ἀποληφθῶσιν Ald.

ib. δικάσωσι om. Θ.

8. τὸν πεσσὸν] Qui sit ὁ πεσσὸς, quem εἰς τόδε καὶ εἰς τόδε ἐμβάλλειν τῶν δικαστηρίων judices famelici lucellique judicialis avidi dicuntur, proclive non est definire: nec memini viros eruditissimos, quorum in hoc genere cura fuit versata, vel extremo digito difficile vocabulum adtigisse. Sive enim τὴν βάλανον intelligas, cujus ex Aristotele facta fuit mentio ad v. 278. sive potius τὴν δέλτον, τὸ πινακίδιον, aut τὸ σύμβολον, cui nomen ejus tribunalisque, in quod mittebatur, erat inscriptum, nodus non plane fuerit expeditus; atque adeo dubito, an vitium aliquod inveteratum hic occultetur: quocirca prætermittere non possum, quin lectorem admoneam illius interpunctionis, quam Ald. præbet, ἐν τῷ ἄλλῳ δικάσωσι τὸν πεσσὸν, καὶ εἰς τόδε etc. si forte sagaciori cuipiam lucis aliquid inde adfulgeat: ἐμβάλλειν certe εἰς τὸ δικαστήριον, *ingerere se atque inferre in tribunal*, non secus dici poterit, atque ἐμβάλλειν εἰς τὴν ἀγοράν. HEMST. De hac interpunctione non cogitandum.

ib. ἐμβάλλοντες] ἐμβαλόντες Θ.

12–p. 349. l. 6. His non dissimilia promuntur in scholiis editis, quæ vetusti moris apud Athenienses ignorationem non parum redolent. HEMST.

γράφθαι γράμμασιν ἐν τοῖς δικαστηρίοις. περὶ δὲ τῶν γραμμάτων καὶ δικαστηρίων Ἀθηναίων ἔφημεν ὄπισθεν, πῶς ἐν ἑκάστῳ ἦν γεγραμμένον στοιχεῖον· ἐν μὲν τῷ τοῦ Ἀρεοπάγου δικαστηρίῳ πρὸ τῶν θυρῶν ἐπεγέγραπτο α΄· ἐν δὲ τῇ Ἡλιαίᾳ η΄· ἐν δὲ τῷ ἐν Φρεαττοῖ δ΄, καὶ ἐν τοῖς λοιποῖς ὡσαύτως· διὰ τοῦτο ἔφη, σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν. Schol. LB.]

1168. γεγράφθαι: Ἀντὶ τοῦ ὠνομάσθαι, ὥστε καὶ ἡλιαστὰς εἶναι καὶ πανταχοῦ ἑαυτοὺς ἐγγραφῆναι σπουδάζοντες. βούλονται δὲ ἐν Ἀρείῳ πάγῳ, βούλονται δὲ καὶ ἐν ἄλλῳ δικαστηρίῳ ἀναστρέφεσθαι, διὰ τὸ μὴ ἀργεῖν ὅλως. [σπεύδουσι: Σπουδάζουσι. γεγράφθαι: Ἐγγράφεσθαι. Gl. LB. γράμμασι: Δικαστηρίοις. Gl. Θ. δικαστηρίων. Gl. Dorv. ἐν πολλοῖς γεγρ. γρ.: Ἐγγεγραμμένοι εἶναι δικαστηρίοις. Gl. Br. ὠνομάσθαι ἐν πολλοῖς δικαστηρίοις. Gl. Paris.]

[1169. οὐκοῦν: Λοιπὸν βούλει ἵνα. Gl. LB. τὸ λοιπόν. Gl. Dorv. εἰσίω: Εἰσέλθω. Gl. Θ. LB. Dorv. καὶ πλῦνέ γε: Ναί. Gl. Dorv.]

[1170. τὸ φρέαρ: Τὸ πηγαδί. Gl. LB.]

[1171. ἵν' εὐθέως: Τοιοῦτος γὰρ ὁ Ἑρμῆς, ὡς Ὀδυσσεύς· "Ἑρ-" μείας δ' οὐκ ἔστι διάκτορος." V. ὅπως παρευθὺς ὑπηρέτης καλὸς ὑπάρχειν φαίνῃς. Gl. LB. διακονικὸς διακόνου διαφέρει· διάκονος μὲν γάρ ἐστιν ὁ ὑπηρέτης· διακονικὸς δὲ ὁ δυνάμενος ὑπηρετεῖν. Schol. LB.]

1172. τίς ἂν φράσειε: Κορωνὶς ἑτέρα ὁμοία ἐν ἐκθέσει τοῦ δρά-

4. δ'] Videtur φ' scripsisse.

7. ὠνομάσθαι] Sic scilicet explicuit propter ἐπωνυμίας illas πολλάς, quæ ante fuerunt commemoratæ: idem igitur est, quod, nomina sua multiplicari student, et in plures tabellas referri, ut, si uno tribunali per sortem excludantur, in aliud irrepere facilius possint: malim vero σπουδάζουσι. Ceterum hoc scholium parvi pretii duco, et ab homine rerum Atticarum haud satis perito profectum, ut ex Areopagi injecta mentione non obscure colligitur: neque enim sorte, quemadmodum in cetera tribunalia, in hunc itidem gravissimum Areopagitarum consessum adlegebantur. HEMST. Totum scholion om. R.

8. ἑαυτοὺς V. αὑτοὺς Ald.

ib. ἐν ἀρείῳ Θ. καὶ ἐν ἀρείῳ Ald.

9. ἀναστρέφεσθαι V.Θ. ἀναγράφεσθαι Ald.

18. Τὸ πηγαδί] πηγάδιον pro puteo serioris est Græciæ: vide ad v. 810. HEMST.

20. οὐκ ἔστι] οὐκέτι V.

24. Scholion metricum om. R.V.Θ.

ματος. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λζ', ὧν τελευταῖος

τῆς γραὸς ἐπιπολῆς ἔνεισιν αἱ χύτραι.

ἑξῆς δὲ τούτων καὶ τελευταῖοι παντὸς τοῦ δράματος στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ β'. ἑξῆς δ' αὖ τούτων ἡ κορωνὶς, ἡ καὶ τὸ δρᾶμα περατοῦσα.

[1172. *ὁ τοῦ Διὸς ἱερεὺς παραγέγονεν πεινῶν καὶ αὐτὸς καὶ μηδὲν ἔχων φαγεῖν. τοῦ* Πλούτου *γὰρ ἀναβλέψαντος παρορῶνται καὶ οἱ ναοὶ αὐτοί.* V. *φράσειε*: Εἴποι. *σαφῶς*: Φανερῶς. Gl. LB. Dorv. *ἐνταῦθα σύναπτε τὸ ἐμοὶ καὶ τὸ σαφῶς.* Gl. Θ.]

[1173. *ὦ βέλτιστε*: Ὦ *κάλλιστε.* *τί γὰρ ἄλλ'*: Ἐστίν. *ἢ*: Παρό. *κακῶς*: Ἔχω. Gl. LB. *καλῶς*: Ἔχω *δηλαδή.* Gl. Dorv. *λείπει τὸ ἔχω.* R.]

[1174. *ἀφ' οὗ*: Καιροῦ. Gl. LB. *δι' οὗτινος.* Gl. Dorv.]

[1175. *ἀπόλωλα*: Ἐφθάρην. Gl. LB. *ἐφθάρηκα.* Gl. Dorv. *λιμοῦ*: Τοῦ. *τῆς πίνης.* Gl. LB. Dorv.]

1176. *τοῦ σωτῆρος*: Ἐν *ἄστει Δία σωτῆρα τιμῶσιν, ἔνθα καὶ σωτῆρος Διός ἐστιν ἱερόν· τὸν αὐτὸν δὲ ἔνιοι καὶ ἐλευθέριόν φασι.*

8. *παρορῶνται*] *παρορῶντο* V.

11. *Ὦ κάλλιστε*] Consueta Græcis serioribus adpellatio, quum veterum esset usitatior, *ὦ 'γαθὲ, ὦ βέλτιστε.* HEMST.

12. *ἢ*] *παρό. κακῶς*] *ἔχω.* C. LB. Hæc ad integrandam orationem valent, *τί γὰρ ἄλλο ἐστὶ, παρ' ὃ κακῶς ἔχω.* Perperam in Dorv. *καλῶς*, cui superscriptum, *ἔχω δηλαδή.* HEMST.

15. *ἐφθάρηκα*] Forma verbi ex vulgari lingua sumta. HEMST.

16. *τῆς πίνης*] *πεῖναν* recentiores *πίναν* scribunt: v. Ducangium. HEMST.

17. *Δία σωτῆρα* V. *σωτῆρα Δία* Ald.

18. *ἐλευθέριον*] Fuisse Jovem, qui utroque nomine *Σωτῆρος* et *Ἐλευθερίου* Athenis coleretur, vel saltem adficeretur, fidem faciunt Hesych. et Harpocrat. in *Ἐλευθέριος·* neque tamen eo minus plurimis in urbibus *Διὸς* et *Σωτῆρος* et *Ἐλευθερίου* templa fuerunt seorsim dedicata. Quis autem Athenis extiterit *Ζεὺς σωτὴρ*, nam plures fuisse constat, cui cognomen itidem *Ἐλευθερίου* sit inditum, non satis apertum est. Ego scholiasten sequor, eique duplicis adpellationis privilegium tribuo, cui templum fuit ad forum in asty constitutum, summaque religione ab Atheniensibus habitum: huic enim quotquot annis extremo die sacra fiebant, ut patet ex Lysia in Evandr. p. 175. v. 36. quo tempore stipes videtur a populo collata in aram exornandam; cujus rei meminit Plutarch. in Demosth. p. 859. A. Ab his sacris peractis quum rediret magistratus in concionem, populoque læta fuisse re-

[1177. *τίς*: Ποταπὴ τοῦ λιμώττειν σε. *ὦ*: Ἱερεῦ. *πρός*: Ἕνεκεν. Gl. LB. *τοῦ μὴ ἔχειν σε. ἱερεῦ*. Gl. Θ.]

[1178. *θύειν*: Θυσιάζειν. Gl. LB. Dorv. *τίνος ἕνεκα*: Χάριν. Gl. Dorv.]

[1180. *ὁ μέν*: Τίς. *ἥκων*: Ἐλθών. Gl. LB. *ἦλθον*. Gl. Dorv. *ἔμπορος*: Ἤγουν πραγματευτής. Gl. LB. Dorv. Πραγματευτὴς, κυρίως ὁ κατὰ θάλατταν. Gl. Θ.]

1181. *ἔθυσεν ἱερεῖόν τι σωθείς*: Ἀντὶ τοῦ θυσίας ἐπετέλει· ἢ

nunciaret, tale, ut arbitror, exordium erat oratoris, cujusmodi legitur in Demosth. Προοιμ. Δημηγ. 63. Ejusdem Jovis σωτῆρος a Lycurgo mentionem fieri puto adversus Leocr. p. 150, 6. et 167. Ἐλευθερίου vero cognomen fuit nactus διὰ τὸ τοὺς ἐξελευθέρους (pejus ἐλευθέρους Etymologus habet, et scriptus Suidæ codex) τὴν στοὰν οἰκοδομῆσαι τὴν πλησίον αὐτοῦ. quod quum Hyperides expressis verbis, Harpocratione teste, tradiderit, non video, quam fidem Didymus mereatur tanto citerior, qui magnum oratorem hoc nomine erroris arcessere non dubitavit: nam Ἐλευθέριον dictum esse Jovem propterea, quod Græcos Persici dominatus metu liberasset, id quidem ultro largior, utpote firmatum præter alios auctoritate Strabonis 9. p. 632. A. et Aristid. T. 1. p. 237. C. sed ejus Jovis templum Platæis post memorabilem illam de Mardonio victoriam fuit erectum, et noto Simonidis epigrammate celebratum. Perperam igitur confudit Didymus communem illum Græcæ libertatis vindicem, et hunc Atheniensibus proprium Δία Σωτῆρα, cui ab alia longe causa, quam vere Hyperidem, qui optime scire poterat, explicuisse credo, Ἐλευθερίου titulus accessit: quod non parum adjuvatur a Menandro, ex quo patere monet Harpocration, ὅτι ἐπιγέγραπται μὲν Σωτὴρ, ὠνομάζετο δὲ καὶ Ἐλευθέριος. In illa vero τοῦ Διὸς τοῦ Ἐλευθερίου στοᾷ sedentem adortus est Ischomachum Socrates, eosque sermones audivit, qui venustissime sunt descripti a Xenoph. Οἰκον. Λόγ. p. 487. unde simul liquet, foro fuisse junctum. Solebant autem, si quod gravius adeundum esset discrimen, Jovi suo Servatori vota nuncupare; quæ Diomedon, capitis damnatus, a se collegisque suis prius concepta, quam pugnam ad Arginusas committerent, Athenienses admonet, ne reddere negligant Διῒ τῷ Σωτῆρι, καὶ Ἀπόλλωνι, καὶ ταῖς Σεμναῖς θεαῖς, apud Diodor. Sic. 13. p. 386. D. ubi quod præcedit, corrigendum censeo, καλῶς ἔχοι ὑμᾶς φροντίσαι. Hinc facile intelligitur, non alium esse Jovem Σωτῆρα, cujus hic sacerdotem Aristophanes in scenam ire jussit. Erat alioqui in Piræeo etiam ἱερὸν τοῦ Διὸς τοῦ Σωτῆρος navigantibus opportunum, cujus mentionem fecit Strab. 9. p. 606. B. nec deerit forte, qui eam in ædem, propter portum sitam, commodius ingredi putet ἔμπορον σωθέντα, ut Jovis propitii numen victima cæsa veneretur: at ego cum scholiaste facio. HEMST.

2. Ἕνεκεν] Ita solent Græci posteriores: λέξον μοι ἕνεκεν τῆς Θεοτόκου, *quæso te dic mihi, per virginem Deiparam*. HEMST.

8 – p. 352. l. 1. Ἀντὶ—μέλλουσι]

ἐξιλεοῦτο τὸ θεῖον ἐπὶ τοῖς μέλλουσι. μετεκάλει δ' εἶπε τὸν ἱερέα, ἐπειδὴ νόμος ἐστὶ τὰ ὑπολειπόμενα τῆς θυσίας τὸν ἱερέα λαμβάνειν. [ἔθυσεν: Θυσίας ἐπετέλεσεν. R. ἑόρταζεν ἐν τῷ οἴκῳ καὶ θυσίαν ἐποίει. Gl. Θ. ἤγουν ἐθυσίαζεν. Gl. Dorv. ἱερεῖον: Θῦμα. σωθείς: Φυλαχθείς. Gl. LB. ἐκ χειμῶνος. Gl. Θ. Dorv. ὁ δέ τις: Ἄλλος. Gl. LB.]

[1182. δίκην: Κρίσιν. Gl. LB. κατὰ δίκην. Gl. Dorv. ἀποφυγών: Ἔθυσεν. Gl. LB. δίκην ἀπ.: Κρίσιν, τιμωρίαν διαδράς. Gl. Paris. ὁ δ' ἄν: Ἄλλος. Gl. LB. ἐκαλλιερεῖτο: Ἐθυσίαζε. Gl. LB. Paris. ἑόρταζεν ἐν τῷ οἴκῳ. Gl. Dorv.]

[1183. μετεκάλει: Μετεπέμπετο. τὸν ἱερέα: Ἐμέ. Gl. LB. τοῦ Διὸς δηλαδή. Gl. Dorv.]

[1184. θύει: Θυσιάζει. τὸ παράπαν: Τὸ παντελῶς. Gl. Dorv. παντελῶς. (Gl. Θ.) εἰσέρχεται: Ἐν τῷ ναῷ θυσιάζων. Gl. LB.]

[1185. πλὴν: Εἰ μή. ἀποπατησόμενοι: Χέζοντες. Gl. LB. Dorv. εἰ μὴ χέσοντες. Gl. Θ. τὰ ἀφοδήματα ἀπορρίψοντες. Gl. Paris. ἀπόπατος λέγεται τὸ ἀφοδευτήριον, καὶ ἡ αὐτὴ ἡ ἀπόκρισις τῶν περιττῶν. λέγεται δὲ πάτος ἡ τροφή· ὅθεν καὶ πάσασθαι τὸ φαγεῖν· ἐκ τούτου οὖν ἡ ἀπόκρισις τῶν περιττῶν λέγεται ἀπόπατος. Schol. LB. πάτον λέγουσι μὲν καὶ τὴν πεπατημένην ὁδὸν, καὶ κατατετριμμένην, ἀπὸ τοῦ πατεῖσθαι, περὶ ἧς καὶ Ὅμηρος λέγει "πά-" τον ἀνθρώπων ἀλεείνων." λέγεται δὲ καὶ πάτος καὶ ἡ τροφὴ, ὅθεν καὶ πάσασθαι τὸ φαγεῖν, καὶ ἐξ αὐτοῦ ἀπόπατος, ἡ ἔκκρισις καὶ ἀποσκυβάλισις τοῦ πάτου καὶ τῆς τροφῆς. ἤγουν καὶ ἐπεὶ παρά τισι πάτος λέγεται ὁ πρωκτὸς, εἰκότως ἀποπατεῖν λέγεται καὶ τὸ ἐκ τοῦ πρωκτοῦ τὰ σκύβαλα ἀπορρίπτειν. Victor. πλεῖν: Πλέον. Gl. Θ. LB. Dorv. ἤ: Παρό. χίλιοι: Πολλοί. Gl. LB.]

θυσίας ἐπιτελέσαι ἢ ἐξιλεώσασθαι τὸ θεῖον ἐπὶ τοῖς μέλλουσιν V. Totum scholion om. R.

8. (p. 351.) θυσίας V.Θ. τὰ τῆς θυσίας Ald.

1. ἐξιλεοῦτο] ἐξιελοῦτο Θ.

1, 2. μετεκάλει — λαμβάνειν om. R.V. Conf. schol. v. 1186.

5. Φυλαχθείς] Hic usus verbi φυλάττεσθαι est citerioris Græciæ. HEMST.

17. ἀφοδήματα] Codex ἐφοδήματα. Correxit Schæferus.

23. Nugæ sunt, quæ narrat de voce πάτος, quasi *alimenta* significaret: nusquam enim, etsi analogia non obstet, ea potestate reperietur. HEMST.

1186. *οὐκοῦν τὰ νομιζόμενα*: Τῶν *ἀφοδευμάτων παίζων, τοῦτο δὲ δέον εἰπεῖν, τὸ δέρμα καὶ τὰς κωλᾶς, ἐπειδὴ νόμος ἐστὶ τὰ ὑπολειπόμενα τῆς θυσίας τὸν ἱερέα λαμβάνειν.* Ἄλλως. *τὰ ἔθιμα τῶν παρεχομένων τοῖς ἱερεῦσι δέρματα καὶ κωλαῖ. φησὶν οὖν ὅτι καὶ τῆς κόπρου τὰ νομιζόμενα λαμβάνεις, τὰ ἔθη σκώπτων.* [*τὰ νομιζόμενα*: Τὰ *συνήθη καὶ ἃ ἐκ νόμου τοῖς ἱερεῦσι λαμβάνειν δέδοται. παίζει δέ.* Gl. Θ. *τὰ ἐκ νόμου συνήθη.* Gl. LB. *συνήθη.* Gl. Dorv. *τὰ κατὰ τοὺς νόμους ὀφειλόμενα.* Gl. Br. *τὰ ἔθιμα, τὰ κατὰ νόμους ἀνήκοντα.* Gl. Paris. *νόμος ἦν τὰ ὑπολειπόμενα τοῦ ἱερείου τὸν ἱερέα λαμβάνειν, δέρματα καὶ κωλᾶς. παίζων οὖν κἀνταῦθα φησὶ λαμβάνειν αὐτὸν τὰ νομιζόμενα ἐκ τῶν ἀφοδευμάτων.* Schol. Br.]

[1187. *καὐτός μοι δοκῶ*: Νομίζω *συμφέρειν.* Gl. LB.]

[1188. *χαίρειν ἐάσας*: Εὐφήμως *εἶπε τὸ χαίρειν.* V. (non G.). *φθείρεσθαι ἀφείς.* Gl. LB. Dorv. Br. *φθείρεσθαι.* Gl. Θ.]

[1189. *θάρρει*: Ἔχε *θάρρος.* Gl. LB. Dorv. *καλῶς ἔσται*: Τὰ *σὰ γενήσεται.* Gl. LB. *ταῦτα καλῶς γενήσονται.* Gl. Dorv.]

[1190. *ὁ σωτὴρ*: Τὸν Πλοῦτον *λέγει.* R. *τὸν Πλοῦτον ἐνταῦθά φησι.* V. (non G.). *ἤγουν ὁ Πλοῦτος.* Gl. Θ. Dorv. *πάρεστιν ἐνθάδε*: Ἐνταῦθ' *ἐστίν.* Gl. LB.]

[1191. *αὐτόματος*: Αὐτόκλητος. Gl. LB. *αὐτοπροαίρετος. ἀπὸ τοῦ αὐτὸς καὶ τοῦ μῶ, τὸ ὁρμῶ. ἔστι δὲ φιλόσοφος λέξις.* Gl. Paris. *τὸ αὐτόματος γίνεται ἀπὸ τοῦ αὐτὸς καὶ τοῦ ἵημι, τὸ ἔρχομαι, ἤγουν ὁ ἀφ' ἑαυτοῦ ἐρχόμενος.* Gl. Victor. *ἥκων*: Ἐλθών. *ἀγαθὰ*: Τά. *τοίνυν*: Λοιπόν. *λέγεις*: Ἐμοί. Gl. LB.]

[1192. *τὸ ἐξιδρυσόμεθα τὸν Πλοῦτον.* R. *ἱδρυσόμεθ'*: Στήσομεν. Gl. Θ. Dorv. *ποιήσομεν, στήσομεν.* Gl. LB. *ἱδρυσόμεσθ'*: *καθιδρύσομεν, ἐγκαταστήσομεν.* Gl. Paris. *ἱδρύω τὸ καθιδρύω τουτέστιν ἢ ναὸν ἀνεγείρω, ἢ ἄγαλμα καθιστῶ.* Gl. Victor. *ἱδρυσόμεθ' οὖν*: Ὄπισθεν *τοῦ ἱεροῦ τῆς* Ἀθηνᾶς *τὸ τῶν* Ἀθηναίων *ἦν θη-*

1, 2. Τῶν—*τὸ δέρμα καὶ τὰς κωλᾶς* om. R.V.

2. *κωλᾶς* Hemst. *κωλὰς* Ald.

ib. *ἐστὶ* R.V. et schol. v. 1181. *ἦν* Ald. et Suidas s. *κωλακρέται* et *νομιζόμενα.*

3. Ἄλλως] *ἢ οὕτως* R.

4. *κωλαῖ* Suidas. *κῶλα* R.V.Θ. Ald.

5. *τὰ ἔθη σκώπτων* om. R.V.

22. *φιλόσοφος*] *φφος* Paris. eodem compendio quo v. 716.

σαυροφυλάκιον· φησὶν οὖν τὸν Πλοῦτον, ἤτοι ἀφιερώσομεν αὐτὸν ἐκεῖσε, καὶ ἀναθήσομεν, οὗπερ ὑπῆρχε πρότερον ἱδρυμένος, ἤγουν πεποιημένος καὶ ἀνατεθειμένος. σὺ δὲ περίμενε, διὰ μέσου. φυλάττων ὁ Πλοῦτος τὸν ὄπισθεν οἶκον τῆς θεοῦ. Schol. LB. αὐτίκα μάλ᾽: Συντόμως λίαν. περίμενε: Πρόσμενε. Gl. LB. τοῦτο διὰ μέσου. Gl. Θ.]

[1193. οὗπερ: Ἐκεῖ ὅπου. ἦν ἱδρυμένος: Ὑπῆρχεν κατεσκευασμένος, ἱστάμενος. Gl. LB. ἱστάμενος, καθήμενος. Gl. Dorv. ἀφιερωμένος. Gl. Paris.]

1194. τὸν ὀπισθόδομον ἀεὶ φυλάττων: Ὀπίσω τοῦ νεὼ τῆς καλουμένης πολιάδος Ἀθηνᾶς διπλοῦς τοῖχος ἔχων θύραν, ὅπου ἦν θησαυροφυλάκιον. Ἄλλως. ἐπεὶ τὰ χρήματα ἐν τῷ ὀπισθοδόμῳ ἀπέκειτο. μέρος δέ ἐστι τῆς ἀκροπόλεως, ἔνθα ἦν ταμιεῖον, ὄπισθεν τοῦ τῆς Ἀθηνᾶς ναοῦ. τῆς Ἀθηνᾶς δηλονότι. εἰς τὴν ἀκρόπολιν ἀνέφερον τὰ χρήματα, κἀνταῦθα ἐφυλάττοντο, καθὰ καὶ Θουκυδίδης φησὶν ἐν τῇ δευτέρᾳ οὕτως “ὑπαρχόντων δὲ ἐν τῇ ἀκροπόλει ἀεί “ποτε ἀργυρίου ἐπισήμου ἑξακισχιλίων ταλάντων· τὰ γὰρ πλεῖστα “τριακοσίων ἀποδέοντα περιεγένετο, ἀφ᾽ ὧν ἔς τε τὰ προπύλαια τῆς “ἀκροπόλεως καὶ ἐς καὶ τἄλλα οἰκοδομήματα, καὶ ἐς Ποτίδαιαν “ἐπανηλώθη.”

[τὸν ὀπισθόδομον: Τὸ ὄπισθεν τοῦ οἴκου, ἤγουν τοῦ ναοῦ. Gl.

10–20. Ὀπίσω — ἐπανηλώθη] τῆς ἀθηνᾶς. εἰς τὴν ἀκρόπολιν ἀνέφερον— ἐπανηλώθη. ἐπειδὴ τὰ χρήματα—ἀθηνᾶς ναοῦ R. τῆς ἀθηνᾶς—ἐπανηλώθη. ἄλλως. ὀπίσω—ἀκροπόλεως. ὡς μέλλοντος προϊέναι τοῦ πλούτου. V. Postrema ὡς—πλούτου ex scholio v. 1196.

10. τῆς κ. π. Ἀθηνᾶς post διπλοῦς τοῖχος leguntur in V.Θ. Ald. Transposuit Meursius Cecr. c. 26.

12. Ἄλλως add. V.

ib. ἐπεὶ V. ἐπειδὴ Ald.

ib. ἀπέκειτο] ἀπέκειντο Θ.

13. μέρος R.V. μέσον Ald.

ib. ἐστι om. V.

13, 14. ἔνθα—ναοῦ om. V.

13. ἦν] ἐστὶ R.

14. Post ναοῦ pergit Θ. et Ald. τοῦτο δὲ εἶπεν ὡς μέλλοντος προϊέναι τοῦ πλούτου. (v. 1196.) ἀλλ᾽ ἐκδότω— Φυλλίου. ἵν᾽ ἔχων προηγῇ τῷ θεῷ: τῆς Ἀθηνᾶς—ἐπανηλώθη.

ib. δηλονότι add. V.

16. φησὶν om. Θ.

ib. δευτέρᾳ] c. 13.

ib. ἀεί ποτε R.V. ἀπό τε Ald. ἔτι τότε apud Thucyd.

18. τριακοσίων] τὰ V.

ib. περιεγένετο] παρέγετο Θ. Corrigendum μύρια ἐγένετο ex Thucyd.

ib. εἰς add. R.V. quod in ἐς mutavi.

ib. τε om. R.

19. τἄλλα V.Θ. τὰ ἄλλα Ald.

ib. ἐς] Vulgo εἰς.

LB. τὰ ὄπισθεν τοῦ δόμου. Gl. Dorv. τὸν ὄπισθεν τοῦ ναοῦ. Gl. Paris. τῆς θεοῦ: Τῆς Ἀθηνᾶς. Gl. LB. Paris.]

1195. ἀλλ' ἐκδότω τις δεῦρο: Ὅτι Λυκόφρων, ὡς ὁ Ἐρατοσθένης φησὶν, ᾠήθη πρῶτον τοῦτον δᾷδας ᾐτηκέναι. πεποίηκε δὲ καὶ ἐν Ἐκκλησιαζούσαις αὐτό. ἀλλὰ γὰρ Στράττις πρὸ ἀμφοτέρων τούτων τοὺς Ποταμίους διδάσκων εἰς Φιλύλλιον ἀναφέρει τὸ πρᾶγμα

ὑμεῖς τε πάντες ἔξιτ' ἐπὶ τὸ Πύθιον,
ὅσοι πάρεστε μὴ λαβόντες λαμπάδας
μηδ' ἄλλο μηδὲν ἐχόμενον Φιλυλλίου.

[ἐκδότω: Ἔξω δότω ἡμῖν. δεῦρο: Ἐνταῦθα. ἡμμένας: Πῦρ ἐχούσας. Gl. LB. ἁπτομένας. Gl. Θ. Dorv.]

1196. ἵν' ἔχων προηγῇ τῷ θεῷ: Τοῦτο δὲ εἶπεν ὡς μέλλοντος

3. Scholion v. 1195. om. R.
ib. Λυκόφρων V. ὁ λυκόφρων Ald.
ib. Lycophron, ut probabile videtur, ea de re, cujus causa testis ab Eratosthene citatur, scripserat in libris περὶ κωμῳδίας, quorum in Athenæo fit mentio: idem erat et poeta multisque tragœdiis nobilitatus, et grammaticus, ut Suidas ostendit; nec raro cum Eratosthene paulo inferiore hoc in genere jungi solet, velut a nostro schol. ad Vesp. v. 702. ad Pac. v. 701. Refutatur autem ejus sententia de facibus in scenam ab Aristophane primo postulatis argumento liquidissimo, quod a Strattide sumtum est, qui rem illam ad Philyllium auctorem retulerit; idque in ea fabula, quam docuerit πρὸ ἀμφοτέρων τούτων, Plutum videlicet huncce, et Ecclesiazusas nostri comici, cujus tu dramatis vid. v. 970. 1142. nam cave, ne cum Jungermanno ad Poll. 9, 78. n. 24. ἀμφοτέρους Lycophronem et Aristophanem intelligas. HEMST.
ib. ἐρατοσθένης V.Θ. ὁ ἐρατοσθένης Ald.
4. τοῦτον (τοῦτο Θ. Ald.) δᾷδας] δᾷδας τοῦτον V.
5. γὰρ om. Θ.
ib. στράττις V.Θ. στράτις Ald.
ib. πρὸ] πρὸς Θ.
6–9. Ποταμίους—Φιλυλλίου Hemst. Legebatur Ποταμοὺς—Φυλλίον (φύλλον Θ.).
7. τὸ Πύθιον] Pythium autem Strattidis utrum intelligendum sit Apollinis fanum in urbe, an alterum Œnoæ, de quo Philochorus apud schol. Sophocl. ad Œdip. Col. 1041. definire non possum: illud tamen vero videtur similius. Meminit ejus Πυθίου Thucyd. 2, 15. et 6, 54. ubi vide Dukerum, parique loquendi formula Isæus p. 55, 14. ἀναθήματα ἀνέθεσαν τρίποδας ἐν Πυθίῳ, quod Suidas illustrabit in Πύθιον. Labitur vero Io. Meursius Athen. Att. 2. 10. quum auream in hoc templo Gorgiæ Leontino statuam esse collocatam putat: aliud enim in ipso Philostrati loco de Vit. Soph. I, 9. §. 2. αἱ τῶν Ἑλλήνων πανηγύρεις ostendunt, et τῷ λόγῳ τῷ Πυθικῷ statim adjunctus Ὀλυμπικός. HEMST.
8. πάρεστε V. περ ἐστὲ Ald.
9. Φιλυλλίου Hemst. Legebatur Φυλλίου (φύλλον Θ.).
12. Τοῦτο] De scholio huc transposito ab Hemst. dixi ad v. 1194.

προϊέναι τοῦ Πλούτου. [ἵν' ἔχων: Ὅπερ κρατῶν. Gl. LB. ἔχων: Κρατῶν. Gl. Dorv. κατέχων. Gl. Paris. προηγῇ σὺ τῷ θεῷ: Προοδοποιῇς τῷ Πλούτῳ. Gl. LB. προηγῇ: Προοδοποιεῖ ὦ ἱερεῦ. Gl. Dorv. πρ. τῷ θεῷ: Ἡγεμὼν γένῃ τῷ θεῷ. Gl. Paris. πάνυ μὲν οὖν: Λίαν χρὴ τοῦτο ποιῆσαι. Gl. LB.]

[1197. δρᾶν: Ποιεῖν. χρὴ: Πρέπει. Gl. LB. κάλει: Ἀντὶ τοῦ καλέσει. Gl. V. (non G.)]

1198. τὰς χύτρας, αἷς τὸν θεὸν: Ἔθος γὰρ ἦν ἐν ταῖς ἱδρύσεσι τῶν ἀγαλμάτων ὀσπρίων ἡψημένων, χύτρας περιπομπεύεσθαι ὑπὸ γυναικῶν ποικίλως ἠμφιεσμένων· καὶ τούτων ἀπήρχοντο χαριστήρια τοῖς θεοῖς ἀπονέμοντες. [ποιῶ: Ποιήσω. Gl. LB. τὰς χύτρας: Τὰ τζυκάλια. Gl. Dorv. τὰς χύτρας: Ἀφιεροῦντες τι ἐν ναοῖς, ἢ καθιδρύοντες αὐτοὺς ἔθος εἶχον προσάγειν χύτρας ἀθάρας καὶ σεμιδάλεως μεστάς, ἢ πελάνων καὶ ὀσπρίων ἀληλεσμένων· προωδοποίουν δὲ φέρουσαι ταῦτα ἐπὶ κεφαλῆς γυναῖκες σεμναί τινες. Schol. LB. αἷς: Δι' ὧν. τὸν θεὸν: Τὸν Πλοῦτον. Gl. LB.]

1199. ἐπὶ τῆς κεφαλῆς: Ἐπειδὴ, ὁπότε μέλλοιεν βωμοὺς ἀφιδρύειν, ἢ ἄγαλμα θεοῦ, ἕψοντες ὄσπρια ἀπήρχοντο τούτων τοῖς ἀφιδρυμένοις, εὐχαριστήρια ἀπονέμοντες τῆς πρώτης διαίτης· ὅθεν καὶ ἐν ταῖς Δαναΐσι

8. Scholion v. 1198. om. R. Scholio v. 1199. adjungit V, præfixo ἄλλως, omissoque γὰρ post ἔθος.

9. ἡψημένων] ἡψημένας Θ. ἑψημένων Ald. ἐψημένων V.

10. ποικίλως] Corrigendum est ποικίλοις, quod tantillum vitium eos, qui scholiastæ verbis usi sunt, fefellit. Scholium autem mox ad Ἐπὶ τῆς κεφαλῆς adjectum huc revocari malim; hocce contra istius in locum succedere. HEMST.

10, 11. καὶ τούτων — ἀπονέμοντες om. V.

12. ἀφιεροῦντες Hemst. Codex ἀφιεροῦν.

13. αὐτοὺς] Reponi malim βωμούς. Ita jubet scholiastes noster et ad Pac. v. 922. HEMST.

18. ἄγαλμα] ἀγάλματα schol. Pacis 922. et Suidas s. χύτραις.

ib. θεοῦ R.V.Θ, schol. Pac. et Suidas. Legebatur θεῶν.

ib. τούτων τοῖς ἀφιδρυμένοις] τούτους ἀφιδρυμένους Θ.

19. εὐχαριστήρια] χαριστήρια schol. Pac., quæ hic etiam paulo ante videbamus, et ad v. 1055. idque occurrere frequentius negari non potest: χαριστήριον ναὸν ἱδρύσασθαι ad Nub. v. 52. χαριστήρια τῇ πόρνῃ ἀποδιδόντας Athen. 13. p. 572. F. σωτηρίας χαριστήριον ἀποδοῦναι 15. p. 672. A. χαριστήρια τῷ Διῒ θύειν Zenob. C. 1, 33. ταῦτα σύμπαντα χαριστήρια τῷ Ἀχιλλεῖ ἀνάκειται Arrian. P. P. E. p. 13, 10. de Venat. c. 35. χαριστήριον τῆς Ἰκάρου ταφῆς Hesych. in Πλήξαντα· inde Προχαριστήρια ab iis, qui veterum festa collegerunt, neglecta Suidas commemoravit: Προσχαιρητήρια, in quibus

μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου χύτρας,
παρ' αἷς ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ.

[*ἱδρυσόμεθα*: Τάξομεν, *κατασκευάσομεν*. Gl. LB. *στήσομεν*. Gl. Dorv. *ἐπὶ*: Ἐπάνω. *τῆς κεφαλῆς*: Τῆς *σῆς*. *φέρε*: Βάσταζε. Gl. LB. *ἄγε*. Gl. Dorv.]

1200. *αὐτὴ ποικίλα*: Λείπει τὸ *ἱμάτια, ἵν' ᾖ ποικίλα ἱμάτια ἔχουσα σεμνῶς ἦλθες. πορφυροῖς γὰρ καὶ ποικίλοις ἱματίοις ἐπόμπευον. δεῖ δὲ ὑπονοεῖν, ὅτι ἡ γραῦς ἐβιάσατο καὶ συνεισῆλθε τῷ νεανίσκῳ· καὶ ὅτι ἡ γραῦς ποικίλα ἦλθεν ἔχουσα ἱμάτια.* [*σεμνῶς*: Εὐτάκτως. Gl. LB. *ἐντίμως, μεγαλοπρεπῶς*. Gl. Θ. *ἐντίμως*. Gl. Dorv. *ἔχουσα*: Φοροῦσα. Gl. LB. Dorv. *αὐτὴ*: Σύ. Gl. LB. *ποικίλα*: Διάφορα *ἱμάτια*. Gl. LB. *ἱμάτια*. Gl. Dorv. *λείπει ἱμάτια*. Gl. R.Θ.]

[1201. *ὧν δ' οὕνεκ'*: Ὧν *τινῶν χάριν· τί γενήσεται*; Gl. LB. *πάντα*: Ἃ *βούλει*. Gl. Dorv. *πεπράξεται*: Πραχθήσεται. Gl. LB. *γενήσεται*. Gl. Dorv. *τί γενήσεται. ἃ βούλει γενήσεται*. Gl. Θ.]

[1202. *ἥξει*: Ἐλεύσεται. Gl. LB. *ἔλθῃ*. Gl. Dorv. *ὥς σε*: Εἰς *σέ*. Gl. Θ.]

explicandis mirifice lapsus est Io. Meurs. in Græc. Fer. perperam apud Harpocrationem legi, vel ordo literarum demonstraverit. Neque alterum tamen, quasi exemplo careret, temere videtur repudiandum: Etymol. p. 706, 44. *ὑπὲρ ὑγείας καὶ εὐτυχίας εὐχαριστήρια*. HEMST. *εἰς χαριστήρια* Θ.

20. (p. 356.) *ταῖς* om. G.

1. *ἑρκείου* Suidas. Scribebatur *ἑρκίου*.

2. *παρ' αἷς*] *μεθ' ὧν* schol. Pacis.

ib. *ἱδρύθη*] *ἱδρύνθη* G.

6. Scholion v. 1200. om. V.

7. *πορφυροῖς*] Ἐν præfigendum videtur: familiarissima locutio, *εἶναι ἐν ἐσθῆτι, indutum esse veste*, in qua per ingenium linguæ, ut quidem existimo, præpositionem omittere non licet: ideo pluribus in locis, ubi errore librariorum desideratur, revocandam arbitror; ut in Æschin. Ep. 4. *καθήμενος ἐν ἐνδύματι καὶ λύρᾳ ὁ Πίνδαρος·* apud Alciphr. 3. p. 428. *ἀλλ' ἐγὼ μὲν ἐν ταπεινῷ τῷ σχήματι* etc. et schol. nostrum ad v. 9. *ἐν παρθενικῇ σκευῇ χρηστηριάζειν·* neque alia fuit causa, cur vel Casaubonus, perspicacissimus ille Græcæ proprietatis judex, in Athen. 6. p. 255. E. *κατέκειτο ἐν λευκῇ χλαμύδι*, vel ego in Luciani Nigr. p. 53. *ἐν τοιαύτῃ ἐσθῆτι θεώμενος* restitueremus: sic enim ipse sub initium Bacchi: *ἐν πορφυρίδι καὶ χρυσῇ ἐμβάδι·* et paulo post, *ἱππεύοντα ἐν κροκωτῷ·* Alciphr. 3, 40. *ἡμίγυμνος ἐν τριβωνίῳ*. Hic igitur pari modo, *ἐν πορφυροῖς, purpureis amicti, variisque vestimentis pompas celebrabant*. HEMST.

8. *δὲ*] *καὶ* R.

ib. *συνεισῆλθε*] *συνῆλθε* Θ.

18. *ἔλθῃ*] *ἔλθει* codex.

[1203. εἴγε μέντοι: Εἴπερ ὅμως. νὴ Δί᾽: Μὰ τόν. ἐγγυᾷ: Ἐγγύην δίδως. Gl. LB. ὑπόσχῃ. Gl. Dorv. ἀντὶ τοῦ ἔγγυον καὶ ὑπόσχεσιν δίδως. Gl. Paris. ἐγγυᾷ ἐνεργητικῶς· ἐπὶ γαμικοῦ συναλλάγματος. οἷον ἐγγυᾷ ὁ δεῖνα τῷ δεῖνι τὴν ἑαυτοῦ θυγατέρα. ἐγγυῶμαι δέ σοι παθητικῶς ἀντὶ τοῦ ὑπισχνοῦμαί σοι. ὅθεν καὶ ἐγγύη ἡ ὑπόσχεσις. Paris. Victor.]

[1204. ἥξειν: Ἐλθεῖν. οἴσω: Κομίσω. Gl. LB. Dorv. τὰς χύτρας: Τὰ τζυκαλία. Gl. LB.]

[1205. μὴν: Λοιπόν. Gl. LB.]

[1206. αὗται: Αἱ χύτραι. ταῖς ἄλλαις χύτραις: Τῶν ἄλλων χυτρῶν. Gl. LB.]

1207. ἡ γραῦς ἔπεστ᾽ ἀνωτάτω: Ἐν τῷ ὑπερζεῖν τὰ μαγειρευόμενα ὄσπρια. γραῦς γὰρ καλεῖται ὁ ἀφρὸς ὁ ἀνώτατος, ἢ τὸ ἐπιπηγνύμενον ἐλαιῶδες τῷ ζωμῷ, ἡ ἐπιφάνεια τῆς ἀθάρης. τὸ δὲ, οὐκ ἔτι τοίνυν καὶ τὰ ἐφεξῆς ἐκ τοῦ ποιητοῦ διὰ τοῦ χοροῦ. [ἡ γραῦς: Τὸ λίπος. Gl. LB. ἡ κοινῶς ἄθη. Schol. LB. ὁ ἀφρός. φασὶ γὰρ ἰδιωτικῶς τὸν ἀφρὸν γραῦν διὰ τὸ λευκόν. Gl. Θ. ἤγουν ὁ ἀφρὸς διὰ τὸ λευκόν. Gl. Dorv. ἔπεστ᾽ ἀνωτάτω: Ἐπάνω. Gl. Θ. ἐπάνω ὑπάρχει. Gl. LB. ἡ γραῦς ἔπεστ᾽: Ἤτοι ὡς ἀφρός. Gl. Paris. γραῦς λέγεται τὸ ἀφρῶδες καὶ ἐπάνω τῆς χύτρας, ὅταν ἑψημένον τι ἔχοι ἐντός. παίζει οὖν ἐνταῦθα, ὅτι τὴν γραῦν κατέπει-

12–14. Ἐν τῷ—ἀθάρης] γραῦς λέγεται ὁ ἀφρὸς ὁ ἀνώτατος τῶν χυτρῶν R. τὸ ἐπιπηγνύμενον ἐλαιῶδες τῷ ζωμῷ, ἢ ἐπιφάνεια τῆς ἀθάρης. ἐν τῷ ὑπερζεῖν τὰ ὄσπρια γραῦς καλεῖται ὁ ἀφρὸς ὁ ἀνώτατος. V.

13. ὁ ἀφρὸς om. Θ.

ib. ἀνώτατος R.V.Θ. et Suidas s. γραῦς. ἀνωτάτω Ald.

ib. ἢ om. Θ.

ib. ἐπιπηγνύμενον V. πηγνύμενον Ald.

14, 15. τὸ δὲ—χοροῦ] ὁ λόγος ἐκ τοῦ ποιητοῦ διὰ τοῦ χοροῦ R. om. V.Θ.

16. ἡ κοινῶς ἄθη] Vox barbara labentis Græciæ Ducangium præteriit: suspicor, ut ἄνθος dixerunt ἄθος, vel ἄθθος, perinde et ἄθη pro ἄνθη receptum fuisse; unde ἀθηβολὴ, quod Ducangius subministrat. Ἄνθη vero Atticis eadem, quæ ἄνθησις, ut αὔξη, βλάστη, ἄσκη, ὀφειλὴ, σύλη. Solet autem, quicquid in summam faciem cujuslibet corporis emicat atque emergit, ἄνθος dici, et ἀνθεῖν, ἐξανθεῖν: ideo spuma quoque ἄνθος· unde οἶνος λευκῷ πεπυκασμένος ἄνθει sunt *spumantis pocula Bacchi* Archestrato apud Athen. I. p. 29. B. Aristoph. Lysistr. v. 1259. . . . πολὺς δ᾽ ἀμφὶ γένυας ἀφρὸς ἤνσει· quod opportune Berglerus adnotavit ad Alciphr. I. Ep. I. ubi τοῦ ὕδατος ἀφρὸς ἐξηνθήκει. Patet itaque non fuisse nullam causam, cur Græci recentiores γραῦν vetustorum ἄθην adpellaverint, aut ἄθθην. HEMST.

σαν βαστάσαι τὰς χύτρας, ἧς ἄνω ἦσαν αἱ χύτραι· ἔπασχε δὲ αὕτη τὸ ἐναντίον· ἐπεὶ ἐν μὲν ταῖς ἄλλαις, φησὶ, χύτραις ὑπάρχει ἄνω ἡ γραῦς, ἢ τὸ ἀφρῶδες· ταύτης δὲ τῆς γραὸς ὑπεράνω εἰσὶν αἱ χύτραι. Schol. LB.]

[1208. τῆς γραὸς: Τῆς γυναικός. Gl. Dorv. ἐπιπολλῆς: Ἐπάνω. Gl. LB. Dorv. Victor. ἐπιπολλῆς: Ἀπὸ τῆς ἐπὶ προθέσεως καὶ τοῦ πολλῆς γενικῆς τῶν ἑνικῶν γίνεται, καὶ ἔστιν ἐπίρρημα τοπικόν. ἔνεισιν: Ὑπάρχουσιν. Gl. LB. ὑπάρχει. Gl. Dorv.]

[1209. οὐκ ἔτι: Οὐδαμῶς. τοίνυν: Λοιπόν. μέλλειν: Βραδύνειν. εἰκὸς: Ὑπάρχει πρέπον. ἀναχωρεῖν: Μεταβαίνειν. Gl. Θ. LB.]

[1210. εἰς τοὔπισθεν: Ἔμπροσθεν γὰρ Χρεμύλου καὶ τῶν ἄλλων ἵσταντο. Gl. Θ. μέρος. δεῖ: Πρέπει. Gl. LB. κατόπιν: Ὄπισθεν. Gl. LB. Dorv. ᾄδοντας: Ὠιδὴν λέγοντας. Gl. LB. ἕπεσθαι: Ἀκολουθεῖν. Gl. LB. Dorv.]

ΝΕΦΕΛΑΙ.

ΥΠΟΘΕΣΕΙΣ.

I.

Τὸ δρᾶμα κατὰ Σωκράτους γέγραπται τοῦ φιλοσόφου ἐπίτηδες ὡς κακοδιδασκαλοῦντος τοὺς νέους Ἀθήνησι, τῶν κωμικῶν πρὸς τοὺς φιλοσόφους ἐχόντων τινὰ ἀντιλογίαν· οὐχ, ὥς τινες, δι' Ἀρχέλαον τὸν Μακεδόνων βασιλέα, ὅτι προὔκρινεν αὐτὸν Ἀριστοφάνους.

II.

Φασὶ τὸν Ἀριστοφάνην γράψαι τὰς Νεφέλας ἀναγκασθέντα ὑπὸ Ἀνύτου καὶ Μελήτου, ἵνα προδιασκέψαιντο ποῖοί τινες εἶεν Ἀθηναῖοι κατὰ Σωκράτους ἀκούοντες. ηὐλαβοῦντο γὰρ, ὅτι πολλοὺς εἶχεν ἐραστὰς, καὶ μάλιστα τοὺς περὶ Ἀλκιβιάδην, οἳ καὶ ἐπὶ τοῦ δράματος τούτου μηδὲ νικῆσαι ἐποίησαν τὸν ποιητήν. ὁ δὲ πρόλογός ἐστι τῶν Νεφελῶν ἁρμοδιώτατα καὶ δεξιώτατα συγκείμενος. πρεσβύτης γάρ ἐστιν ἄγροικος ἀχθόμενος παιδὶ ἀστικοῦ φρονήματος γέμοντι καὶ τῆς εὐγενείας εἰς πολυτέλειαν ἀπολελαυκότι. ἡ γὰρ τῶν Ἀλκμαιωνιδῶν οἰκία, ὅθεν ἦν τὸ πρὸς μητρὸς γένος ὁ μειρακίσκος, ἐξ ἀρχῆς, ὥς φησιν Ἡρόδοτος, τεθριπποτρόφος ἦν καὶ πολλὰς ἀνῃρημένη νίκας, τὰς μὲν Ὀλυμπίασι, τὰς δὲ Πυθοῖ, ἐνίας δὲ Ἰσθμοῖ καὶ

1. In V. hic est ordo Argumentorum, II, IV, III, VII, V, I, VI.
2. τὸ δρᾶμα V. τὸ δρᾶμα τὸ τῶν Νεφελῶν Ald.
5. αὐτὸν om. V.
ib. Ἀριστοφάνους] Sequitur in Ald. ὁ χορὸς δὲ ὁ κωμικὸς—παραβῆναι, quæ supra exhibuimus inter Prolegomena de comœdia VII.
8. Μελήτου] Scribebatur Μελίτου.
ib. προδιασκέψαιντο V. προδιασκέψωνται Ald.
9. κατὰ Σ. ἀκούοντες V. ἀκούοντες κατὰ Σ. Ald.
10. οἳ καὶ V. Aberat καὶ.
13. ἀστικοῦ] Scribebatur ἀστυκοῦ.
15. ὁ μειρακίσκος add. V.
16. Ἡρόδοτος] 6, 125.
17. Ὀλυμπίασι] Vulgo Ὀλυμπιάσι.

Νεμέᾳ καὶ ἐν ἄλλοις πολλοῖς ἀγῶσιν. εὐδοκιμοῦσαν οὖν ὁρῶν ὁ νεανίσκος ἀπέκλινε πρὸς τὸ ἦθος τῶν πρὸς μητρὸς προγόνων.

III.

Πρεσβύτης τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς, δεῖται τούτου, φοιτήσαντα ὡς τὸν Σωκράτη μαθεῖν τὸν ἥττονα λόγον, εἴ πως δύναιτο τὰ ἄδικα λέγων ἐν τῷ δικαστηρίῳ τοὺς χρήστας νικᾶν καὶ μηδενὶ τῶν δανειστῶν μηδὲν ἀποδοῦναι. οὐ βουλομένου δὲ τοῦ μειρακίσκου, διαγνοὺς αὐτὸς ἐλθὼν μανθάνειν, μαθητὴν τοῦ Σωκράτους ἐκκαλέσας τινὰ διαλέγεται. ἐκλυθείσης δὲ τῆς διατριβῆς, οἵ τε μαθηταὶ κύκλῳ καθήμενοι πιναροὶ συνορῶνται καὶ αὐτὸς ὁ Σωκράτης ἐπὶ τῆς κρεμάθρας αἰωρούμενος καὶ ἀποσκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα τελεῖν παραλαβὼν τὸν πρεσβύτην, καὶ τοὺς νομιζομένους παρ' αὐτῷ θεοὺς, Ἀέρα, προσέτι δὲ καὶ Αἰθέρα καὶ Νεφέλας κατακαλεῖται. πρὸς δὲ τὴν εὐχὴν εἰσέρχονται Νεφέλαι ἐν σχήματι χοροῦ· καὶ φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ Σωκράτους ἀποκαταστᾶσαι πρὸς τοὺς θεατὰς περὶ πλειόνων διαλέγονται. μετὰ δὲ ταῦτα ὁ μὲν πρεσβύτης διδασκόμενος ἐν τῷ φανερῷ τινὰ τῶν μαθημάτων γελωτοποιεῖ· καὶ ἐπειδὴ διὰ τὴν ἀμαθίαν ἐκ τοῦ φροντιστηρίου ἐκβάλλεται ἄγων πρὸς βίαν τὸν υἱὸν συνίστησι τῷ Σωκράτει. τούτου δὲ ἐξαγαγόντος αὐτῷ ἐν τῷ θεάτρῳ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον, διαγωνισθεὶς ὁ ἄδικος πρὸς

1. πολλοῖς add. V.
3. Hoc argumentum ex codd. suis emendatum dedit Brunckius, omissa singularum lectionum notatione.
4. τις add. V. Br. om. Ald.
5. φοιτήσαντα Br. φοιτήσοντος V. φοιτήσαντος Ald.
ib. ὡς] εἰς Mutinensis a.
ib. Σωκράτη] Σωκράτην Br.
6–8. εἴ πως—ἀποδοῦναι addunt codices: om. Ald.
8. οὐ βουλομένου δὲ τοῦ μειρακίσκου, διαγνοὺς V. Br. μὴ πειθομένου δὲ τοῦ μειρακίου Ald., omisso διαγνούς.
9. τοῦ add. V. Br. om. Ald.
10. τῆς addit V.
12. τελεῖν V. τελεῖ Ald. τελεῖν etiam scriptor Argumenti decimi posuit. διδάσκει codex C. ap. Brunckium.
14. προσέτι δὲ καὶ om. Mut. a.
ib. N. κατακαλεῖται] τὰς νεφέλας ἀνακαλεῖται Mut. a.
16. ἀποκαταστᾶσαι] ἀποστᾶσαι V.
18. μαθημάτων] μαθητῶν V.
19. ἐκ om. Mut. a.
ib. ἄγων Br. διάγων V. Mut. a. Ald.
ib. πρὸς] κατὰ V.
20. ἐξαγαγόντος V. Br. ἐξάγοντος Ald.
21. διαγ.] καὶ διαγ. V. διαγωνισθεὶς—λόγον καὶ om. Mut. a.

τὸν δίκαιον λόγον, καὶ παραλαβὼν αὐτὸν ὁ ἄδικος λόγος ἐκδιδάσκει. κομισάμενος δὲ αὐτὸν ὁ πατὴρ ἐκπεπονημένον ἐπηρεάζει τοῖς χρήσταις, καὶ ὡς κατωρθωκὼς, εὐωχεῖ παραλαβών. γενομένης δὲ περὶ τὴν εὐωχίαν ἀντιλογίας, πληγὰς λαβὼν ὑπὸ τοῦ παιδὸς βοὴν ἵστησι, καὶ προσκαταλαλούμενος ὑπὸ τοῦ παιδὸς ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν ἀντιτύπτεσθαι, ὑπεραλγῶν διὰ τὴν πρὸς τὸν υἱὸν σύγκρουσιν ὁ γέρων, κατασκάπτει καὶ ἐμπίπρησι τὸ φροντιστήριον τῶν Σωκρατικῶν. τὸ δὲ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων.

IV.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Πατὴρ τὸν υἱὸν σωκρατίζειν βούλεται·
καὶ τῆς περὶ αὐτὸν ψυχρολογίας διατριβὴ
ἱκανὴ, λόγων τ᾽ ἀπόνοια πρὸς τοὐναντίον.
χορὸς δὲ Νεφελῶν ὡς ἐπωφελῆ λέγων,
καὶ τὴν ἀσέβειαν Σωκράτους διεξιών·
ἄλλαι θ᾽ ὑπ᾽ ἀνέρος κατηγορίαι πικραὶ,
καὶ τῶν μαθητῶν εἷς πατραλοίας ἐκτόπως.
εἶτ᾽ ἐμπυρισμὸς τῆς σχολῆς τοῦ Σωκράτους.

V.

Αἱ πρῶται Νεφέλαι ἐδιδάχθησαν ἐν ἄστει ἐπὶ ἄρχοντος Ἰσάρχου, ὅτε Κρατῖνος μὲν ἐνίκα Πυτίνῃ, Ἀμειψίας δὲ Κόννῳ. διόπερ Ἀρι-

1. παραλαβὼν V. Br. περιλαβὼν Ald.
ib. αὐτὸν om. Mut. a.
ib. ἐκδιδάσκει] διδάσκει V.
3. κατωρθωκὼς V. κατωρθωκότα Mut. a. Ald. κατωρθωκότος Br.
4, 5. βοὴν—ὑπὸ τοῦ παιδὸς om. Mut. a.
5. προσκαταλαλούμενος] προσκαλούμενος V.
6. ὑπὸ τῶν] ἀπὸ τῶν V.
ib. σύγκρουσιν V. Br. σύγκρισιν Mut. a. Ald.
7. ἐμπίπρησι] ἐμπιπρᾷ Mut. a.
8. Σωκρατικῶν] Σωκρατιστῶν Br.
10. Addidi Ἀριστοφάνους γραμματικοῦ. Huic enim tribuuntur similia aliarum fabularum argumenta. In Ald. ἄλλως, διὰ στίχων.
11. βούλεται V. προτρέπεται Ald.
13. τ᾽ addidi ex V.
14. χορὸς V. χορὸν Ald.
ib. ἐπωφελῆ λέγων] ἐπιλέγων V.
16. ὑπ᾽ ἀνέρος] Legebatur ὑπ᾽ ἀνδρός. ὑπὲρ ἀνδρὸς V, ortum fortasse ex ὑπ᾽ ἀν[ερ]δρός.
20. ἐν ἄστει om. V.
21. μὲν] μὲν γ̄ V.
ib. Κόννῳ] κόνῳ Ald.

στοφάνης ἀπορριφθεὶς παραλόγως ᾠήθη δεῖν ἀναδιδάξαι τὰς Νεφέλας τὰς δευτέρας, καὶ ἀπομέμφεσθαι τὸ θέατρον. ἀποτυχὼν δὲ πολὺ μᾶλλον καὶ ἐν τοῖς ἔπειτα οὐκέτι τὴν διασκευὴν εἰσήγαγεν. αἱ δὲ δεύτεραι Νεφέλαι ἐπὶ Ἀμεινίου ἄρχοντος.

VI.

Τοῦτο ταυτόν ἐστι τῷ προτέρῳ. διεσκεύασται δὲ ἐπὶ μέρους, ὡς ἂν δὴ ἀναδιδάξαι μὲν αὐτὸ τοῦ ποιητοῦ προθυμηθέντος, οὐκέτι δὲ τοῦτο δι' ἣν ποτε αἰτίαν ποιήσαντος. καθόλου μὲν οὖν σχεδὸν παρὰ πᾶν μέρος γεγενημένη διόρθωσις. τὰ μὲν γὰρ περιῄρηται, τὰ δὲ παραπέπλεκται, καὶ ἐν τῇ τάξει καὶ ἐν τῇ τῶν προσώπων διαλλαγῇ μετεσχημάτισται. τὰ δὲ ὁλοσχεροῦς τῆς διασκευῆς τοιαῦτα ὄντα τετύχηκεν. αὐτίκα ἡ παράβασις τοῦ χοροῦ ἤμειπται καὶ ὅπου ὁ δίκαιος λόγος πρὸς τὸν ἄδικον λαλεῖ, καὶ τελευταῖον ὅπου καίεται ἡ διατριβὴ Σωκράτους.

VII.

Τὴν μὲν κωμῳδίαν καθῆκε κατὰ Σωκράτους ὡς τοιαῦτα νομίζοντος καὶ Νεφέλας καὶ Ἀέρα καὶ τί γὰρ ἄλλ' ἢ ξένους εἰσάγοντος δαίμονας· χορῷ δὲ ἐχρήσατο Νεφελῶν πρὸς τὴν τοῦ ἀνδρὸς κατηγορίαν, καὶ διὰ τοῦτο οὕτως ἐπεγράφη τὸ δρᾶμα. διτταὶ δὲ φέρονται Νεφέλαι. οἱ δὲ κατηγορήσαντες Σωκράτους, Ἄνυτος καὶ Μέλητος. τὸ δὲ δρᾶμα τῆς ὅλης ποιήσεως κάλλιστόν φασι καὶ τεχνικώτατον.

1. *ἀπορριφθεὶς* V. *διαρριφεὶς* Ald.
ib. *ἀναδιδάξαι* V. *ἀναδιδάξας* Ald.
ib. *τὰς Νεφέλας* addidi ex V.
2. Addidi *καί*.
ib. *ἀπομέμφεσθαι* V. *καταμέμφεσθαι* Ald.
ib. *ἀποτυχὼν* V. *ἀτυχὼν* Ald.
6. *τοῦτο ταυτόν* V. *τοῦτο δὲ ταυτό* Ald.
7. *αὐτὸ*] *αὐτῷ* V.
10. *παραπέπλεκται* V. *πέπλεκται* Ald.
11. *τὰ δὲ*] Legebatur *ἃ δέ*.
ib. *ὁλοσχεροῦς*] Legebatur *ὁλοο χερῆ*. *ὁλοσχερῆς* V.
12. *αὐτίκα*] *αὐτίκα μάλα* V.
13. *καίεται*] *καὶ ἔτι* V.
16. *μὲν* om. V.
17. *εἰσάγοντος*] *εἰσάγοντα* V.
19. *καὶ* om. V.
ib. *τὸ δρᾶμα* add. V.
20. *ἄνυτος καὶ μέλιτος* (η above ι) V. Legebatur *Μέλιτος καὶ Ἄνυτος*.
20, 21. *τὸ δὲ δρᾶμα—τεχνικώτατον*] Hæc in V. Ald. supra post Argumentum IV. lecta huc transposui.
21. *δρᾶμα* V. *δρᾶμα τοῦτο* Ald.
ib. *φασι* V. *φησι* Ald.

VIII.

ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ.

Ἄνυτος καὶ Μέλητος Σωκράτει τῷ Σωφρονίσκου βασκήναντες καὶ αὐτὸν μὴ δυνάμενοι βλάψαι ἀργύριον ἱκανὸν Ἀριστοφάνει δεδώκασιν, ἵνα δρᾶμα κατ' αὐτοῦ συστήσηται. καὶ ὃς πεισθεὶς γέροντά τινα Στρεψιάδην καλούμενον ἐπλάσατο ὑπὸ χρεῶν πιεζόμενον, ἃ δὴ ἀνηλώκει περὶ τὴν τοῦ παιδὸς Φειδιππίδου ἱπποτροφίαν. οὕτω δὲ τούτων ἐχόντων, μὴ ἔχων ὁ Στρεψιάδης τί ποιήσει περὶ τὰ χρέα, βουλεύεται προσαγαγεῖν τῷ Σωκράτει τὸν ἑαυτοῦ παῖδα, ἵνα παρ' αὐτοῦ τὸν ἄδικον μάθῃ λόγον, καὶ οὕτω τοὺς δανειστὰς ἀποκρούσηται. Φειδιππίδης μὲν οὖν, πολλὰ δεηθέντος τοῦ πατρὸς, προσελθεῖν οὐκ ἐπείσθη· ἀποτυχὼν δὲ ὁ πρεσβύτης τῆς ἐπ' ἐκεῖνον ἐλπίδος καὶ οὐκ ἔχων ὅστις καὶ γένηται, εἰς δεύτερον εἶδε πλοῦν. οὐδὲν οὖν τῆς ἡλικίας φροντίσας οὐδ' ἐνθυμηθεὶς εἴ τισιν ἄτοπος δόξειεν ἀνὴρ ἐν γήραος οὐδῷ μανθάνειν καθάπερ κομιδῇ νέος ἀρχόμενος, ἀλλ' εἰς ἓν ἀφεωρακὼς μόνον ἐκεῖνο, ἐὰν ἄρα οἷός τε γένηται τοὺς δανειστὰς διὰ πειθοῦς ἀποστερῆσαι τὰ χρήματα, αὐτὸς πρόσεισι τῷ Σωκράτει. οὐκ ἔχων δὲ ὑπηρετοῦντα τῇ βουλήσει τὸν νοῦν, ἀλλὰ τοιοῦτος ὢν οἷς ἐμάνθανεν, οἷος καὶ πρὶν τῆς παιδείας ἐφῆφθαι, αὐτὸς μὲν ἀπέγνω παιδεύεσθαι, προσελθὼν δὲ τῷ παιδὶ καὶ αὖθις πολλαῖς πέπεικε ταῖς δεήσεσιν ἕνα τῶν Σωκράτους ὁμιλητῶν γενέσθαι. ὁ δὲ καὶ γέγονε καὶ μεμάθηκε. συνίσταται δὲ τὸ δρᾶμα ἐκ χοροῦ Νεφελῶν. ἔχει δὲ κατηγορίαν τοῦ Σωκράτους, ὅτι τοὺς συνήθεις θεοὺς ἀφεὶς καινὰ ἐνόμιζε δαιμόνια, Ἀέρα καὶ Νεφέλας καὶ τὰ τοιαῦτα.

1. VIII, IX, X. recentiorum grammaticorum sunt Argumenta ex antiquioribus quæ supra exhibuimus composita.

3. Μέλητος] μέλιτος Ald.

9. ἑαυτοῦ Ernestius. τούτου Ald.

ib. παῖδα] τὸν Φειδιππίδην δηλονότι addit Monac.

ib. παρ' αὐτοῦ post μάθῃ ponit Monac.

11. προσελθεῖν post ἐπείσθη ponit Monac.

12. ἐπ' ἐκεῖνον] ἀπ' ἐκείνου Monac.

13. εἶδε πλοῦν] πλοῦν εἶδε Monac.

ib. οὖν Monac. γὰρ Ald.

14. ἐν addidi ex Monac.

16. ἀφεωρακὼς] ἑωρακὼς Monac.

18. βουλήσει Monac. νοήσει Ald.

20. πέπεικε Monac. πεποίηκε Ald.

21. γενέσθαι Monac. γεγενῆσθαι Ald.

21–24. ὁ δὲ—τὰ τοιαῦτα] διὰ τούτων δὲ δείκνυσι ἀριστοφάνης ἄθεον τὸν σωκράτη, ὡς ἀφέντα τοὺς συνήθεις θεοὺς καὶ νομίζοντα νεφέλας καὶ ἀέρα. ὅθεν καὶ νεφέλαι ὠνομάσθη ἡ παροῦσα κωμῳδία codex Matrit. ap. Iriartium in Catalogo p. 236.

IX.

Πρεσβύτης τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς, δεῖται τούτου φοιτήσαντα εἰς τὸν Σωκράτην μαθεῖν τὸν ἄδικον λόγον, ὅπως μηδενὶ τῶν δανειστῶν μηδὲν ἀποδώσῃ. μὴ βουλομένου δὲ τοῦ παιδὸς, εἰσέρχεται αὐτός. καὶ μὴ δυνάμενος μαθεῖν διὰ τὸ γῆρας ἐκδιώκεται. ὑποστρέψας δὲ καὶ τῷ υἱῷ πείσας ἤγαγεν αὐτὸν τῷ Σωκράτει, ὃς καλέσας τὸν δίκαιον λόγον καὶ ἄδικον καὶ αἵρεσιν τῷ νέῳ δοὺς ἐκλέξασθαι, διδάσκει ἐκεῖνον τὸν ἄδικον λόγον. μαθὼν δὲ ὁ υἱὸς ὅπερ ἐβούλετο ὁ πατὴρ καὶ τὴν παχύτητα ἐκείνου καταγνοὺς τύπτει τὸν πατέρα αὐτὸν ἑστιῶντα. ὁ δὲ ἀλγήσας διὰ τὴν τοῦ παιδὸς ἀσέβειαν ἀπελθὼν κατακαίει τὸ φροντιστήριον, νομίσας Σωκράτην αἴτιον τῆς ἀσεβείας τοῦ παιδὸς εἶναι. κατηγορεῖ δὲ ἐνταῦθα τοῦ Σωκράτους ὡς ἀσεβοῦς καὶ ξένους θεοὺς ἐπεισάγοντος, ἀφέντος τοὺς συνήθεις. ἐπιγράφεται δὲ Νεφέλαι, διότι παρεισάγεται χορὸς Νεφελῶν ὁμιλῶν τῷ Σωκράτει, ἃς ἐνόμιζε θεὰς, ὡς Ἀριστοφάνης κατηγορεῖ. ὁ γὰρ Ἄνυτος καὶ Μέλητος φθονοῦντες Σωκράτει καὶ μὴ δυνάμενοι ἄλλως βλάψαι ἢ φανερῶς κατηγορῆσαι μεγάλου ὄντος ἱκανὸν ἀργύριον δεδώκασιν Ἀριστοφάνει ταύτην τὴν κωμῳδίαν κατ' ἐκείνου γράψαι. τὰ δὲ πρόσωπα Στρεψιάδης, Φειδιππίδης, μαθητὴς Σωκράτους, Σωκράτης, χορὸς Νεφελῶν, δίκαιος λόγος, ἄδικος λόγος, Πασίας δανειστὴς, μάρτυς.

X.

Τὸ δρᾶμα τῶν Νεφελῶν κατὰ Σωκράτους γέγραπται τοῦ φιλοσόφου ἐπίτηδες, ὡς κακοδιδασκαλοῦντος τοὺς νέους Ἀθήνησι, τῶν κωμικῶν πρὸς τοὺς φιλοσόφους ἀπεχθῶς ἐχόντων. ἄλλοι δέ φασι τὸν Ἀριστοφάνην τὸ τῶν Νεφελῶν συντάξασθαι δρᾶμα ὑπὸ Ἀνύτου καὶ Μελήτου παροξυνθέντα. βουλόμενοι γὰρ οὗτοι γραφὴν ποιήσασθαι κατὰ Σωκράτους καὶ θέλοντες πεῖραν λαβεῖν τῆς τῶν Ἀθηναίων γνώμης περὶ Σωκράτους ὁποῖοί τινες ἂν φανεῖεν, κατ' αὐτοῦ

1. Argumentum IX. ex cod. Matrit. ibidem edidit Iriartius.

3. τοῦ παιδὸς addidit Harlesius. ib. φοιτήσαντα] φοιτήσαντος codex. Vid. ad Argum. III.

10. καταγνοὺς Hermannus. μὴ καταγνοὺς codex.

22. Argumentum X. edidi ex codice Taurinensi 34.

γραφῆς ἐνισταμένης, πολλοὺς γὰρ εἶχεν ἐραστὰς ἐκεῖνος καὶ μάλιστα τοὺς περὶ Ἀλκιβιάδην, οἳ καὶ ἐπὶ τοῦ δράματος τούτου μηδὲ νικῆσαι ἐποίησαν τὸν ποιητὴν, τοῦθ᾽ ἕνεκεν αὐτὸν ἐπὶ τὴν τοῦ δράματος τοῦδε παρώτρυναν ποίησιν χρήμασιν αὐτὸν ἱκανοῖς, ὡς λόγος, δεξιωσάμενοι. ἐστὶ δὲ ὁ τοῦ δράματος πρόλογός τε καὶ ἡ ὑπόθεσις δεξιώτατα καὶ ἁρμοδιώτατα συγκείμενα. πλάττεται γάρ τις ἄγροικος πρεσβύτης Στρεψιάδης ὄνομα ἀχθόμενος παιδὶ Φειδιππίδῃ καλουμένῳ φρονήματος γέμοντι ἀστικοῦ, καὶ διὰ τὴν τῆς οἰκίας εὐγενείας πολυτέλειαν πάντα τὰ τοῖς γονεῦσι προσόντα καταναλώσαντι, καὶ μάλιστα εἰς ἱπποτροφίας. ἡ γὰρ τῶν Ἀλκμαιωνιδῶν οἰκία ὅθεν ἦν τὸ πρὸς μητρὸς γένος τῷ μειρακίσκῳ ἐξ ἀρχῆς, ὥς φησιν Ἡρόδοτος, ἱππότροφος ἦν καὶ πολλὰς ἀνῃρημένη τὰς νίκας, τὰς μὲν Ὀλυμπίασι· τὰς δὲ Πυθοῖ, ἐνίας δὲ Ἰσθμοῖ καὶ Νεμέᾳ, καὶ ἄλλας ἐν ἄλλοις. εὐδοκιμοῦσαν οὖν ὁρῶν ὁ νεανίσκος ἀπέκλινε πρὸς τὸ ἦθος τῶν πρὸς μητρὸς προγόνων· ὁ πάτηρ οὖν Στρεψιάδης ὑπὸ τῶν χρεῶν καταπονούμενος διὰ τὴν τοῦ παιδὸς ἱπποτροφίαν βούλεται προσαγαγεῖν τῷ Σωκράτει τὸν παῖδα, ἵν᾽ ὑπ᾽ αὐτοῦ διδαχθείη τὸν ἄδικον λόγον, ὡς ἂν ἐντεῦθεν δι᾽ αὐτοῦ τοὺς δανειστὰς ἀποκρούσηται. δεῖται οὖν τοῦ παιδὸς πεισθῆναι τοῖς βεβουλευμένοις αὐτῷ· μὴ πεισθέντος δὲ τούτου, διαγνοὺς αὐτὸς ἐλθὼν μανθάνειν μηδεμίαν τῆς τοῦ γήρως ἡλικίας φροντίδα ποιησάμενος, μηδ᾽ ἐνθυμηθεὶς εἴ τισιν ἄτοπον δόξειεν ἀνὴρ ἐν γήραος οὐδῷ μανθάνειν καθάπερ κομιδῇ νέος ἀρχόμενος, ἀλλ᾽ εἰς ἓν ἀφεωρακὼς μόνον ἐκεῖνο, ἐὰν ἄρα οἷός τε γένηται τοὺς δανειστὰς διὰ πειθοῦς ἀποστερῆσαι τὰ χρήματα, αὐτὸς πρόσεισι τῷ Σωκράτει, καὶ μαθητήν τινα τοῦ Σωκράτους καλείσθαι (καλέσας) διαλέγεται περὶ τούτου, καὶ τῆς διατριβῆς διαλυθείσης, οἱ μαθηταὶ κύκλῳ καθήμενοι πιναροὶ συνορῶνται καὶ αὐτὸς δὲ ὁ Σωκράτης ἐπὶ κρεμάθρας αἰωρούμενος καὶ ἀποσκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα τελεῖν παραλαβὼν τὸν πρεσβύτην καὶ τοὺς νομιζομένους παρ᾽ αὐτῷ θεοὺς παραδοῦναι Ἀέρα τὲ καὶ Αἰθέρα, πρὸς δὲ καὶ Νεφέλας μετακαλεῖται· πρὸς δὲ τὴν εὐχὴν εἰσέρχονται Νεφέλαι χοροῦ σχῆμα πληροῦσαι· καὶ φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ Σωκράτους ἀποστραφεῖσαι πρὸς τοὺς θεατὰς περὶ πλειόνων διαλέγονται. μετὰ ταῦτα ὁ πρεσβύτης διδασκόμενος μὲν ἐν

10. ἱπποτροφίας] ἱπποτροφίαν codex.

12. Ὀλυμπίασι] ὀλυμπιάσι codex.

τῷ φανερῷ, μὴ ἔχων δ' ὑπηρετοῦντα τῇ βουλήσει τὸν νοῦν, εἰς γέλωτα κινῆσθαι (κινήσας) τοὺς μαθητὰς τοῦ διδασκαλείου ἐκβάλλεται καὶ προσελθὼν αὖθις τῷ παιδὶ, πολλαῖς πέπεικε ταῖς δεήσεσιν ἕνα τῶν Σωκράτους ὁμιλητῶν γεγενῆσθαι. συνίστησιν οὖν αὐτὸν τῷ Σωκράτει καὶ ἐξαγαγόντος Σωκράτους ἐν τῷ θεάτρῳ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον, διαγωνίζονται πρὸς ἀλλήλους οἱ λόγοι καὶ νικηθεὶς ὁ ἄδικος παραλαβὼν τὸν νέον πρὸς τὸ διδάξαι, καὶ ἱκανῶς ἐκδιδάσκει. ὡς οὖν ἤδη ἐκπεπονημένον κομισάμενος αὐτὸν ὁ πατὴρ ἐπηρεάζει τοῖς χρήσταις, καὶ ὡς κατωρθωκὼς τὸ σπουδαζόμενον εὐωχίαν συνίστησιν· ἐν ᾗ καὶ ἀντιλογίας γινομένης πληγὰς λαβὼν ὑπὸ τοῦ παιδὸς βοὴν ἵστησι· καὶ προσκαταλαλούμενος ὑπὸ τοῦ παιδὸς ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν τύπτεσθαι ὑπεραλγῶν τούτου χάριν κατασκάπτει καὶ ἐμπίπρησι τὸ σωκρατικὸν φροντιστήριον. ἐστὶ δὲ τὸ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων.

SCHOLIA IN NUBES.

Ἡ ΕΙΣΘΕΣΙΣ τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου, καὶ ἑξῆς ἐκ προσώπων ἀμοιβαίων· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σνθ′, ὧν προτίθεται ἐν ἀρχῇ τοῦ δράματος κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐν ἐκθέσει κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον· καὶ μετὰ τὸν διακοσιοστὸν τριακοστὸν τρίτον ἕτερον κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. τελευταῖος δὲ πάντων τούτων οὗτος

καταπαττόμενος γὰρ παιπάλη γενήσομαι.

ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος. ἐπὶ δὲ τῷ τέλει πάντων τῶν στίχων κορωνίς.

1. ἰοὺ ἰού: Σχετλιαστικὸν ἐπίρρημα. διὰ γὰρ τὸ ἐγρηγορέναι καὶ ἀγρυπνεῖν δυσφορῶν ἀναβοᾷ. συμβαίνει γὰρ τοῖς ἀγρυπνοῦσι μάλιστα μεγάλας τὰς νύκτας νομίζειν. ἠγρύπνει δὲ ὁ Στρεψιάδης μὴ δυνάμενος ὑπνώττειν ὑπὸ τῆς τῶν χρεῶν φροντίδος. τὸ δὲ προοίμιον σχετλιαστικὸν ἐκ τοῦ πράγματος.

2. βασιλεῦ: Οὐκ ἀργῶς χρὴ τοῦτο νομίζειν εἰρηκέναι τὸν ποιητήν· ἔχεται γὰρ ἱστορίας τὸ ὦ Ζεῦ βασιλεῦ τοιαύτης. τοῖς Ἀθη-

1–10. Scholion metricum om. R.V.Θ.

3. σνθ′ Kusterus. σμε′ Ald. Numerantur trimetri, omittuntur monometri.

4. ἐν ἐκθέσει] Legebatur ἐν εἰσθέσει, unde Reizius hæc verba usque ad ἀκατάληκτον aliud scholion esse putabat: sed sic omitteretur versus 223. Ἔκθεσις autem non ultimus versus dicitur, sed posterior pars horum colloquiorum inde a v. 223. HERM.

5. τὸν διακοσιοστὸν τριακοστὸν τρίτον] 234. ed. nostræ.

11. Scholia ad v. 1–3. hoc ordine habet R, 2, 3, 1. Θ. orditur a verbis παρεπιγραφή. συγκεκαλυμμένος—περιβλήματος ex scholio v. 3.

ib. Σχετλιαστικὸν] ἔστι δὲ σχετλιαστικὸν R.

ib. γὰρ add. V.

13. μάλιστα om. R.

ib. τὰς] τινὰς Θ.

13–15. ἠγρύπνει—πράγματος om. R.V.Θ.

16. τοῦτο ν.] ν. τοῦτο V.

ib. εἰρηκέναι τ. π. R.V. τ. π. εἰρηκέναι Ald.

17. τὸ ὦ ζεῦ βασιλεῦ add. R.V.Θ.

ναίοις Πυθόχρηστον ἐγένετο καταλῦσαι μὲν τὰς βασιλείας, προστήσασθαι δὲ καὶ σέβειν Δία βασιλέα. ὥστε τὸ λεχθὲν τῆς ἱστορίας ταύτης ἔχεσθαι χρὴ νομίζειν. [εἰώθασι δὲ παρὰ τὰς συμφορὰς ἀναβοᾶν τὸν Δία, ὡς παρὰ τῷ ποιητῇ Ἀγαμέμνων "προθελύμνους "ἕλκετο χαίτας ὑψόθ' ἐόντι Διί." R.V.]

τὸ χρῆμα τῶν νυκτῶν: Τὸ μέγεθος, τὸ ἔκταμα. ἔθος δὲ τοῖς Ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι, οἷον, ἵππος σπάνιόν τι χρῆμα· καί, γυνὴ σπάνιόν τι χρῆμα· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ὧν ἂν ἐξευρεῖν βούλωνται μάλιστα. [αἱ νύκτες. ὅσον: Πολύ. Gl. Θ.]

3. ἀπέρατον: Ἀντὶ τοῦ μέγα, οὗ πέρας οὐκ ἔστιν. οἱ δὲ ἀπέραντον μετὰ τοῦ ν γράφοντες ἁμαρτάνουσι. ζητεῖται δὲ πῶς μεγάλας τὰς νύκτας λέγει. Διονυσιακοῦ γὰρ ὄντος τοῦ δράματος, συνεστάλθαι τὰς νύκτας ἀνάγκη, διὰ τὸ τοιούτῳ καιρῷ ὑποπίπτειν τὰ Διονύσια· πλὴν εἰ μὴ τούτῳ μεγάλαι καταφαίνονται, τῷ φροντίζειν καὶ ἀγρυπνεῖν, ὅπερ συμβαίνει πάσχειν τοὺς ἀγρυπνοῦντας. παρεπιγραφὴ δέ. συγκεκαλυμμένος καὶ καθεύδων ὑποτίθεται ἐξανακαλυψάμενος καὶ ἔξω τὴν κεφαλὴν ποιήσας τοῦ περιβλήματος. [ἀπλήρωτον, ἀτελείωτον. Gl. Br. ἀπέρατον, τὸ μὴ ἔχον πέρας· ἀπέραντον δὲ, τὸ μὴ περαινόμενον, καὶ τὸ ὅπερ μὴ δύναιτ' ἄν τις ἐξελθεῖν. Schol. C. ἀτελές· οἱ γὰρ ἀγρυπνοῦντες ὑπὸ φροντίδος τινὸς μεγάλας τὰς νύκτας λογίζονται. Θ.]

[4. ἀλεκτρύονος: Τούτου γὰρ ἡ φωνὴ ἔμφασιν ἡμέρας παρίστησιν. Θ.]

5. οἱ δ' οἰκέται ῥέγκουσιν: Οὕτως Ἀττικοὶ διὰ τοῦ κ. νῦν

1. πυθόχρηστον R.V. πυθοχρήστως Θ. Ald.
ib. μὲν om. R.
2. καὶ σέβειν add. R.V.
3. παρὰ] ἐπὶ R.
4. τῷ ποιητῇ] Il. K, 15.
5. ἕλκετο χαίτας ὑψόθ'] ἐλίσσετο καὶ τῷ ὑψόθεν V.
6. Τὸ μ.] χρῆμα δὲ τὸ V.
6–9. ἔθος—μάλιστα om. R.
7. καὶ, γυνὴ] καὶ om. V.Θ.
8, 9. ὧν—μάλιστα add. V.
10. ἀντὶ τοῦ add. R.
11. μ. τὰς νύκτας R.V.Θ. τὰς νύκτας μ. Ald.
13. τὸ τοιούτῳ] τῷ τουτῷ (sic) R.
14. τῷ φροντίζειν V. διὰ τὸ φροντίζειν Ald. om. R.
ib. καὶ ἀγρυπνεῖν add. V.
15. συμβαίνει π. R. π. συμβαίνει Ald.
17. περιβλήματος R.V.Θ. παραβλήματος Ald.
24. Οὕτως—τοῦ κ om. R.V.Θ. In V. (non G.) ad v. 4. adscriptum ἀττικοῖς (scr. Ἀττικὸν) τὸ σχῆμα.
ib. νῦν οἰκέτας R.V.Θ. οἰκέτας δὲ νῦν Ald.

οἰκέτας οὐ τοὺς θεράποντας μόνον λέγει, ἀλλὰ πάντας τοὺς κατὰ τὴν οἰκίαν. καθεύδουσι νῦν, φησὶν, ὡς τῶν ἄλλων μὲν ἀμεριμνούντων, αὐτοῦ δὲ φροντίζοντος. διὰ τοῦτο δὲ ῥέγκουσιν εἶπεν, ἵνα μᾶλλον αὐτοὺς δείξῃ πάσης ὄντας ἔξω φροντίδος. τῶν γὰρ βαθέως καθευδόντων ἴδιον τὸ ῥέγκειν, τῶν δὲ μηδὲν φροντιζόντων τὸ βαθέως κοιμᾶσθαι. [ῥέγκουσι: — ἔστι δὲ Ἀττικόν. ἐπεὶ καὶ ῥέγχουσι γρ. τὸ δὲ ῥέγκουσιν ἀπὸ τῶν Ἰώνων λέγουσι λαβόντες, οἵτινες ἀεὶ τὰ δασέα εἰς ψιλὰ τρέπουσι. Schol. Harl. 5. βαθέως ὑπνώττουσι καὶ ὅ φασιν ἰδιωτικῶς ῥοχαλίζουσι. Gl. Θ.]

ἀλλ' οὐκ ἂν προτοῦ: Ἀλλ' οὐκ ἂν πρότερον. ἐν γὰρ τῇ εἰρήνῃ, φησὶν, ἐξέπεμπον αὐτοὺς ἐργασομένους εἰς τοὺς ἀγροὺς, ὡς ὑπὸ τῆς περὶ τὴν γεωπονίαν ἀσχολίας μὴ ἀνέτως μηδὲ οὕτω βαθέως δύνασθαι καθεύδειν.

6. ἀπόλοιο δῆτ', ὦ πόλεμε: [Πόλεμος ἦν κατ' ἐκεῖνο καιροῦ καὶ τοσοῦτον ἐδυστύχησαν Ἀθηναῖοι ὥστε μηδὲ τὰ σώματα τῶν ἀποθανόντων ταφῆναι ἕως οὗ οἱ δοῦλοι ἐξελθόντες ἐνίκησαν τοὺς Λακεδαιμονίους περὶ Ἀργενούσας καὶ τὰ σώματα τῶν ἀποθανόντων ἐκόμισαν καὶ διὰ τοῦτο ἠλευθερώθησαν καὶ οὐκ ἐξῆν οὐδενὶ τύπτειν δοῦλον. ἢ ὅτι ἐν εἰρήνῃ ἐξέπεμπον αὐτοὺς ἐργασομένους εἰς τὸν ἀγρὸν, ὡς ὑπὸ τῆς περὶ τὴν γεωργίαν σχολῆς μὴ δύνασθαι οὕτω βαθέως καθεύδειν. R.V.] φασὶν ὡς Ἀθηναῖοι, Λακεδαιμονίοις ἐν Ἀργινούσαις ναυμα-

1. οὐ om. R.
ib. μόνον om. V.
2. οἰκίαν—ὡς] οἰκίαν καθεύδοντας ὡς V. καθεύδουσι νῦν, φησὶν, ὡς R. καθεύδουσιν οὖν πάντες, ὡς Ald.
ib. μὲν om. R.V.
3. αὐτοῦ δὲ φροντίζοντος] αὐτὸν δὲ φροντίζοντα R.
ib. δὲ ῥ. V. καὶ ῥ. R.Θ. καὶ τὸ ῥ. Ald.
ib. εἶπεν R.V. ἐπήγαγεν Ald.
5, 6. τῶν δὲ—κοιμᾶσθαι add. R.V.
5. κοιμᾶσθαι] καθεύδειν V, qui addit τοῦτο καὶ ὁριζόμενος δύναται λέγειν, quæ in G. superius sunt adscripta ad v. 2.
10–13. Nihil præter πρότερον ἐν τῇ εἰρήνῃ habet R.
11. εἰς τοὺς ἀγροὺς add. V.
ib. τῆς περὶ Portus. τὴν V. τὴν περὶ τὴν Θ.
12. γεωπονίαν V. γεηπονίαν Ald.
ib. ἀσχολίας V. et Portus. ἀσχολίαν Θ. Ald. ἀσχολοῦντας G.
15. σώματα τῶν] σώματα αὐτῶν V.
17. Ἀργενούσας] Scribendum potius Ἀργεννούσας, vel Ἀργεννούσσας, quæ antiqua est scriptura, de qua vid. Steph. Byzant., restituenda ex codicibus Thucydidi 8, 101. aliisque.
18. ἐξῆν] ἐξὸν R.
19. ἐργασομένους εἰς τὸν ἀγρὸν] ἐργασαμένους εἰς τοὺς ἀγροὺς V.
20. βαθέως om. R.
21—p. 371. l. 8. φασὶν — κἀνταῦθα] Scholion recentissimum om. R.V.Θ.

χήσειν μέλλοντες, προεῖπον τοῖς δούλοις, ὡς εἴ τις αὐτῶν συμπαράταξεται τῇ ναυμαχίᾳ, τιμῆς εἰς τὸ λοιπὸν ἀπολαύσειεν. βοηθησάντων οὖν τῶν δούλων, Λακεδαιμονίους ἐνίκησαν. καὶ ταῦτα μέν τινες φάσκουσι. τὸ δ' ἀληθὲς οὕτως ἔχει. Ἀθηναίοις καὶ Λακεδαιμονίοις πόλεμος ἦν. οὐκ ἤθελον οὖν Ἀθηναῖοι τοὺς δούλους κολάζειν, εἴ τι πταίσαιεν, δεδιότες μὴ πρὸς Λακεδαιμονίους αὐτομολήσωσι. τὸ δὲ ὅτε ποτὲ μὲν μόνον χρόνον δηλοῖ, ποτὲ δὲ καὶ χρόνον καὶ αἰτίαν, ὥς ἐστι κἀνταῦθα.

[7. ὅτ': Ἐπεί. Gl. Θ.]

8. ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσί: Οὐκ ἐπαινῶν αὐτὸν χρηστόν φησιν, ἀλλ' εἰρωνευόμενος ἀντὶ τοῦ ἄχρηστος ἡμῖν γέγονεν. πῶς γὰρ δύναται θαυμάζειν, ὃν ἐπὶ ῥαθυμίᾳ διὰ τὸ καθεύδειν μέμφεται;

[10. ἐγκεκορδυλημένος: Ἐγκεκαλυμμένος καὶ συνεστραμμένος ὥστε μηδὲ ἀνθρώπου σχῆμα δηλοῦν, ἀλλ' ἐξοχὴν φαίνεσθαι τῶν στρωμάτων. κορδύλη δὲ ἰδίως λέγεται τὸ ἐν τῇ κεφαλῇ ὑπερεξέχον οἴδημα ὑπὸ πληγῆς εἰς ὕψος καὶ ὄγκον ἀρθέν, ὃ καλοῦμεν κόνδυλον. Κρέων δὲ ἐν τῷ πρώτῳ τῶν Κυπριακῶν κορδύλην φησὶν καλεῖσθαι τὸ πρὸς κεφαλῇ προσείλημα, ὃ δὴ παρὰ Ἀθηναίοις καλεῖται κρώβυλον, παρὰ δὲ Πέρσαις κιδάριον. ὅτι δὲ νῦν ἐγκεκορδυλημένος ἀντὶ τοῦ ἐνειλημένος καὶ ἐγκρύψας ἑαυτὸν δηλοῖ σαφέστερον ἐκ τῶν ἐπιφερομένων εἰπὼν "ἀλλ' εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι." ἰστέον δὲ ὅτι λήγοντος μὲν τοῦ χειμῶνος, ἀρχομένου δὲ ἔαρος ἄγεται τὰ Διονύσια, ὥστε διὰ τὸ κρύος καὶ ψῦχος εἰκὸς ἦν οὕτως καθεύδειν αὐτοὺς τοι-

10. οὐκ R.V. νῦν οὐκ Ald.

11. ἀλλ'—πῶς R.V, nisi quod ἡμῖν γέγονεν om. R. ἀλλ' ἐν (ἐν om. Θ.] εἰρωνείᾳ. πῶς Θ. Ald.

12. διὰ τὸ καθεύδειν add. R.V.

13. De hoc scholio R. hæc habet, ἐγκεκαλυμμένος—δηλοῦν, et ἰστεον—καθεύδειν αὐτούς. Tzetzæ scholion vide in annotatione ad schol. Ran. 1507.

ib. Ἐγκεκαλυμμένος] ἐντετυλιγμένος præmittit Suidas s. ἐγκεκορδυλημένος.

14. μηδὲ R. μηδ' V.

15. τὸ addidi ex Suida.

ib. ὑπερεξέχον] ἐξέχον Suidas.

17. Κυπριακῶν] ῥητορικῶν corrupte Suidas.

18. πρὸς κεφαλῇ Suidæ codices duo s. νιδάριον, ubi vulgo πρὸς τῇ κεφαλῇ. πρὸς κεφαλῆς V. et Suidas s. ἐγκεκορδυλημένος. πρὸ κεφαλῆς codex Suidæ Leidensis s. φακιόλιον.

19. κιδάριον Kusterus. κιδάνιον V. νιδάριον Suidas: quod vitium repetitur s. νιδάριον et φακιόλιον, quas glossas recte omittit codex Paris. A.

ib. ἀντὶ τοῦ addidi ex Suida.

20. ἐνειλημμένος Suidas.

ib. καὶ ἐγκρύψας Suidas. ἔκρυψεν V.

23. Post αὐτούς addit R. σισύρα δὲ παχὺ περίβλημα.

ib. τοιούτῳ addidi ex scholio Aldino.

οὕτῳ σχήματι τὴν κεφαλὴν περιβεβλημένους, ὅθεν καὶ πέντε περιβόλαια περιβεβλῆσθαι τὸν υἱὸν εἶπε. V.] ἐν πεντε σισύραις: Στερεὰ περιβλήματα παχέα ταῖς νῦν καλουμέναις ἐμφερῆ σισύραις. ἔστι δὲ φαῦλα καὶ μικρὰ περιβλήματα. ἰστέον ὅτι λήγοντος τοῦ χειμῶνος, ἀρχομένου δὲ τοῦ ἔαρος, γίνεται τὰ Διονύσια· ὥστε διὰ τὸ κρύος αὐτοὺς εἰκὸς καθεύδειν, τοιούτῳ σχήματι τὴν κεφαλὴν περιβεβλημένους, ὥστε καὶ πέντε περιβόλαια περιβεβλῆσθαι τὸν υἱόν. [ἐν: Ἐπί. Gl. Θ. σισύρη τὸ παχὺ ἱμάτιον ἀπὸ αἰγείων δερμάτων. Gl. Victor.]

ἐγκεκορδυλημένος: Ἐγκεκρυμμένος. [ἐντετυλιγμένος. Θ.] κορδύλην γὰρ οἱ Κύπριοι λέγουσι τὸ περιείλημα τῆς κεφαλῆς. [ἐγκεκορδυλημένος: Ἐντετυλιγμένος, ἐγκεκρυμμένος. Gl. Br. ἀρχὴ γὰρ ἔαρος ἦν καὶ ἐνεκαλύπτοντο γούνναις ἔτι. Gl. Θ.]

11. ἀλλ' εἰ δοκεῖ, ῥέγκωμεν: Παρεπιγραφή. ποιήσας γὰρ ἀσχήμονα τὴν ὄψιν καὶ τὸ σχῆμα τοῦ νεανίσκου μιμησάμενος, ὥσπερ ἐκεῖνος ἐκάθευδεν. ἀποστραφεὶς καὶ αὐτὸς πειρᾶται δῆθεν καθεύδειν, ἐγκρύψας τὴν κεφαλὴν τοῖς περιβλήμασι. [τοῦτο πρὸς ἑαυτὸν λέγει. ῥέγκωμεν: Ἀττικόν. ἐγκεκαλυμμένοι: Ἐσκεπασμένοι. Gl. Θ.]

12. ἀλλ' οὐ δύναμαι: Ἀλλ' οὐκ ἔπεισι μοι ὕπνος. εὐθὺς δὲ καὶ τὴν αἰτίαν ἐπάγει τοῦ μὴ δύνασθαι καθεύδειν.

δείλαιος: Ἄθλιος, κακοδαίμων.

δακνόμενος: Ἐνοχλούμενος ὑπὸ τῶν τῆς ἱπποτροφίας ἀναλωμά-

1, 2. περιβεβλημένους—περιβεβλῆσθαι] συμπεριβεβλημένους, ὅθεν καὶ ἐμπεριβόλαια (id est ε' περιβόλαια) βεβλῆσθαι V. Correxi ex scholio Aldino.

2—11. Στερεὰ—τῆς κεφαλῆς om. R.V.

3. ἐμφερῆ om. Θ.

ib. σισύραις Θ. σύραις Ald.

4–22. περιβλήματα — κακοδαίμων] Horum in Θ. (qui lemmata omittit) et Ald. hic est ordo: περιβλήματα. Ἀλλ' οὐ δύναμαι. ἀλλ' οὐκ—καθεύδειν. Δείλαιος,—κακαδαίμων. Ἐγκεκορδυλημένος—τῆς κεφαλῆς. παρεπιγραφή. ποιήσας γὰρ—περιειλήμασιν. Ἀλλ' εἰ δοκεῖ ῥέγκωμεν. ἰστέον ὅτι—τὸν υἱόν.

10. ἐγκεκρυμμένος hic omittit Θ, habet infra ante παρεπιγραφή.

11. οἱ om. Θ.

ib. περιείλημα] ἐνείλημα Θ.

14, 15. Παρεπιγραφή—ὄψιν καὶ om. R.

15. μιμησάμενος ante τὸ σχῆμα ponit R.

17. ἐγκρύψας] ἀποκρύψας V.

ib. περιβλήμασι R.V. περιειλήμασιν Ald.

20, 21. Ἀλλ' οὐκ—καθεύδειν om. R.V.

23. τῶν om. R.V.

των. δοκεῖ γὰρ δαπανηρὸν εἶναι τὸ ἵππους τρέφειν· ὅπερ καὶ τῇ Λακωνικῇ προσέζευκται κατάρᾳ. καὶ γὰρ δὴ καὶ τοῦτο οἱ Λακεδαιμόνιοι ἐν κατάρας ἔθεσαν μέρει. τὸ δὲ δακνόμενος ἔλαβεν ἀπὸ τοῦ αὐτὸν κατακεκλεῖσθαι εἴσω τῶν στρωμάτων καὶ τῶν περιβλημάτων. τὸ δὲ χρεῶν νῦν περισπαστέον. δηλοῖ γὰρ τῶν ὀφλημάτων. εἴρηται δὲ παρὰ τὸ κόρεων. δαπάνην δὲ, τουτέστι τὰς δέσμας τοῦ χορτου, ἵνα ἑξῆς ἀκολούθως τῇ φάτνῃ λέγειν δοκῇ. [ἐνοχλούμενος. Gl. Br.]

14. ὁ δὲ κόμην ἔχων: Ἐκόμων γὰρ οἱ περὶ ἱππικὴν ἔχοντες. κἀν τοῖς Ἱππεῦσι

μὴ φθονεῖθ' ἡμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις.

15. ἱππεύεταί τε καὶ ξυνωρικεύεται: Νῦν μὲν ἐπὶ κέλητος, νῦν δὲ ἐπὶ ξυνωρίδος ἅρματος ὀχούμενος ἄνω καὶ κάτω βακχεύει. ξυνωρὶς τὸ μὴ πλῆρες ἅρμα, ἀλλ' ἐκ δυοῖν ἵππων συνεστὸς, ὃ δὴ δίφρον καλοῦμεν. τὸ δὲ ἱππεύεσθαι, οὐχ ἁπλῶς χρείαν περὶ ἱππικὴν ἔχειν, ἀλλὰ τὸ ἐπὶ ἑνὸς ἵππου ὀχεῖσθαι, ὃ καὶ νῦν κέλητα καλοῦσιν. [ἱππάζεται: Ἐν ἵππῳ ὀχεῖται. ξυνωρικεύεται: Ἐπὶ δίφρου φέρεται. Gl. Br.]

16. ὀνειροπολεῖ θ' ἵππους: Κἀν τοῖς ὀνείροις ἵππους περινοεῖ. τουτέστιν, οὕτω προστέτηκε τῷ πράγματι καὶ οὕτω περὶ ἵππους

ib. ἀναλ.] καὶ τῶν ἀναλ. V.
ib. ἀναλωμάτων om. R.
1. τὸ add. R.V. et Suidas s. δακνόμενος.
ib. ἵππους τρέφειν] ἱπποτροφεῖν V. Sequentia om. R, præter illa τῶν χρεῶν—ὀφλημάτων.
3. μέρει] Addit Suidas, ἔστι δὲ αὕτη, οἰκοδομά σε λάβοι καὶ ἀμβολά ὅ τε ἵππος καὶ ἁ γυνά τοι μοιχὸν ἔχοι.
4. κατακεκλεῖσθαι] προσκεκλίσθαι Θ.
ib. καὶ τῶν περιβλημάτων om. V.
ib. τὸ δὲ] καὶ τὸ Θ.
ib. τὸ] τῶν R.
ib. δὲ om. R.
5. δηλοῖ γὰρ] νῦν δηλοῖ μὲν γὰρ V.
ib. εἴρηται V.Θ. εἴρηκε Ald.
6. παρὰ τὸ G. παρὰ τὸ τῶν V. ἀπὸ τῶν Ald.
ib. δαπάνην δὲ om. V.Θ.
ib. τὰς δέσμας] τὰς δεσμὰς V. Legebatur τὰ δεσμά.
7. ἑξῆς V. ἑξῆς καὶ Ald.
8. Scholion v. 14. om. V.
9, 10. κἀν — ἀπεστλεγγισμένοις om. R.
9. Ἱππεῦσι] 580.
10. φθονεῖθ'] φθονῆθ' Ald. φθονεῖτε Θ.
11, 12. Νῦν μὲν—βακχεύει om. R: totum scholion om. V.
12. ξυνωρὶς R. ξυνωρὶς δὲ Ald.
13. συνεστὸς R. συνεστώς Ald.
ib. δὴ R. νῦν Ald.
14. χρείαν] χρὴ Θ.
ib. ἔχειν] ἔχει Θ.
15. ὀχεῖσθαι] καὶ οὕτως ἱππάζεσθαι addit Ald. quæ om. R. et Suidas s. ἱππάζεται.
ib. καὶ addidi ex R.
18–p. 374. l. 1. Κἀν—ὁρᾶν om. Θ.
18. περινοεῖ] περινοεῖς V.
19. οὕτω περὶ ἵππους ἐσπούδακεν] οὕτως ἐσπούδακε τῷ πράγματι R.

ἐσπούδακεν, ὥστε καὶ καθεύδων ὀνείρατα περὶ ἵππων ὁρᾶν. τὸ ὀνειροπολεῖν δὲ καὶ ὀνειρώττειν ταύτῃ διενήνοχεν, ὅτι τὸ μὲν ὀνειροπολεῖν ἐπὶ τῶν ἐνύπνιον ἐρώντων, τὸ δὲ ὀνειρώττειν ἐπὶ τῶν διὰ νυκτὸς αὐτομάτως ἀφιέντων γόνον· ὅπερ τοῖς ἐν ἐπιθυμίᾳ τινὸς οὖσι συμβαίνει γίνεσθαι, δοξάζουσι τοῖς παιδικοῖς συνεῖναι. [ὀνειροπολεῖ: Ἤγουν ἐν ὀνείρασι φαντάζεται. Gl. Θ. et Br.]

17. ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας: Ἤτοι ὅτι μετὰ τὴν εἰκάδα ὁ μὴν προσεγγίζει τῇ τριακάδι καὶ τῶν δανείων οἱ τόκοι αὐξάνονται· ἢ ὅτι αἱ μυστικαὶ δαπάναι ὑπῆρχον. οἱ Ἀττικοὶ δὲ τὰς εἰκάδας πληθυντικῶς λέγουσιν. Ἄλλως. ἐπεὶ ἡ σελήνη ἐν ἡμέραις εἰκοσιεννέα τελεῖται, τὰ δὲ κʹ τῶν εἰκοσιεννέα ἐγγύς, ἐδίδοντο δὲ ἐν τῷ τέλει τῆς σελήνης οἱ τόκοι, διὰ τοῦτο εἰκάδας εἶπεν. ἢ τὸ εἰκάδας μὴ νόει διὰ μόνα τὰ εἴκοσιν, ἀλλὰ καὶ διὰ τὰ ἐφεξῆς. τούτου γὰρ ἕνεκα πληθυντικῶς εἴρηται. [ἤγουν ἤδη εἰς τέλος ἰοῦσαν. Gl. Θ.]

18. ἅπτε παῖ λύχνον: Ταῦτα πάντα παρεγκυκλήματά εἰσι καὶ παρεπιγραφαί. δεῖ γὰρ τὸν οἰκέτην τὸ προσταχθὲν ποιῆσαι, καὶ ἅψαι τὸν λύχνον, καὶ δοῦναι τὸ βιβλίον, ἔπειτα καὶ ὁρᾶν εἰς τὸ βιβλίον καὶ οὕτω λέγειν τοὺς δανειστάς.

1. καθεύδων] καδεύδοντα V.
ib. ὀνείρατα R. τὰ ὀνείρατα Ald.
ib. ὁρᾶν R.V. ὁρᾷ Ald.
1, 2. τὸ—διενήνοχεν, ὅτι τὸ] ἄλλο δέ ἐστι τὸ ὀνειροπολεῖν καὶ ἄλλο τὸ ὀνειρώττειν· τὸ R.
1. τὸ ὀνειρ.] τὸ om. Θ.
3. διὰ add. R.V.
4, 5. ὅπερ—συνεῖναι om. R.
ib. τοῖς—δοξάζουσι V. τοῖς ἐρῶσιν ἐκτόπως συμβαίνει, δόξασι. Ald.
7. ἤτοι R. ἢ Ald. Totum scholion om. V.
ib. τὴν add. R.
8. μὴν R. μὴν καὶ Ald.
8, 9. τῶν—αὐξάνονται] τὰ δάνεια αὔξει τοὺς τόκους R, reliqua scholii parte (ἢ ὅτι—εἴρηται) omissa.
9. μυστικαὶ δαπάναι quid essent non intelligere se dixit Ruhnkenius in adnotationibus a Tittmanno editis p. 129. Videtur scholiastes sumptus dicere quæ ad Eleusinia celebranda Strepsiadem facere oporteret. HERM. Stipem menagyrtis singulis mensibus dari solitam intelligit Lobeck. Aglaoph. p. 645.
ib. δὲ om. Θ.
10–14. Ἄλλως—εἴρηται om. Θ.
16. Ταῦτα—παρεπιγραφαί om. R.
ib. παρεγκυκλήματα] παρεγκύκλημα et παρεπιγραφὴ apud scholiastas vocatur cum id, quod in scena dicitur, etiam re vera fit: uti hoc loco famulus accendit lucernam, hero ipsi dicente, *accende, famule, lucernam*. KUST. παρεγκλήματα Θ.
ib. εἰσι V. ἐστι Ald.
ib. καὶ παρεπιγραφαί addidi ex V, correcta scriptura codicis παρεπίγραφα.
17. τὸ προσταχθὲν R.V. τὰ προσταχθέντα Ald.
ib. καὶ add. R.V.
ib. ἅψαι V.Θ. ἅψασθαι R. Ald.
18. βιβλίον] σύμβολον Θ.

[20. *λογίσωμαι*: Ψηφίσω. R. *λογαριάσωμαι, λογαριάσω.* Gl. Θ. Br.]

21. *δώδεκα μνᾶς* Πασίᾳ: Τοῦτον *ὡς ἱπποτρόφον καὶ διαπορθήσαντα τὴν οὐσίαν παρεισήγαγε. χαριέντως δὲ τούτου νῦν μνημονεύει, ἐπεὶ καὶ αὐτὸς δι' ἱπποτροφίαν δοκεῖ δυστυχεῖν.*

22. *τοῦ δώδεκα μνᾶς*: Καὶ *τοῦτο παρεγκύκλημα ἐφίστησιν. ὡς διαπορῶν τοῦ δανείου τὴν αἰτίαν, εἶτα ἀναμνησθεὶς τὰ ἑξῆς ἐπάγει.* *τοῦ δώδεκα*: Μὴ *λάβῃς εἰς τὸ τοῦ ἔξωθεν τὸ ἕνεκα, ὡς οἴονταί τινες· ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ μνᾶς.* [*ἀντὶ τοῦ, ἐκ τοῦ δανείου ἐκείνου τί ἠγόρασα;* R. *τοῦ*: Ἕνεκεν *τίνος πράγματος.* *τί*: Ἐς *τί; κατὰ τί;* Gl. Br.]

23. *τὸν κοππατίαν*: Κοππατίας *ἵππους ἐκάλουν, οἷς ἐγκεχάρακται τὸ κ στοιχεῖον, ὡς σαμφόρας τοὺς ἐγκεχραγμένους τὸ σ. τὸ γὰρ σ καὶ τὸ κ χαρασσόμενον σὰν ἔλεγον καὶ κόππα. αἱ δὲ χαράξεις αὗται καὶ μέχρι τοῦ νῦν σώζονται ἐπὶ τοῖς ἵπποις. συζευγνυμένου γὰρ τοῦ κ καὶ σ τὸ σχῆμα τοῦ ϛ ἀριθμοῦ δύναται νοεῖσθαι, οὗ*

ib. *καὶ ὁρᾶν εἰς τὸ βιβλίον* R.V. *καθορᾶν ἐν αὐτῷ* Ald.

19. (p. 374) *δανειστάς*] *δανιστάς* R.

1. *λογαριάσωμαι* om. Θ.

3–5. *Τοῦτον — δυστυχεῖν*] *τοῦτον ὡς ἱπποτρόφον ἐμνημόνευσεν, ἐπεὶ καὶ αὐτὸς διὰ τοῦτο πάσχει* R. Totum scholion om. V.

6. Καὶ add. V.Θ. Scholion om. R.

7. *διαπορῶν* Hermannus. Legebatur *διαπορεῖν*.

ib. *τὰ*] *τὸ* V. *τε* Θ. *ἐπάγει τὸ ἑξῆς* G.

8, 9. *Μὴ—μνᾶς* om. V.Θ.

12. *ἐγκεχάρακται* R. et Suidas s. *κοππατίας*. *ἐγκεχάρακτο* Ald.

13. *τὸ κ στοιχεῖον*] Ἐπίσημον ϙ dicit, quod koppa vocatur.

ib. *ὡς σαμφόρας*] *ὡς ἀμφόρας* V. (non G.). *ὡς καὶ σαμφόρας* R.

ib. *ἐγκεχαραγμένους*] *ἔχοντας* R. Conf. schol. Equit. 600.

13–p. 376. l. 7. *τὸ γὰρ—πόλιν*] Scholion recentius, quod om. R.

14. *καὶ τὸ κ* V. *καὶ τὸ ν* Ald. et Suidas.

ib. Addidi *καὶ κόππα*. Rationem redditurus scholiasta cur *σαμφόραι* et *κοππατίαι* (non *σιγμοφόραι* et *καππατίαι*) dicantur, literas alphabeti *σ* et *κ* equis inustas non *σίγμα* et *κάππα*, sed *σὰν* et *κόππα* appellari ait. Longe a vero aberrarunt Scaliger ad Euseb. n. 617. et Salmas. Exercit. Plin. p. 626.

15. *συζευγνυμένου* duo libri optimi apud Suidam. Legebatur *συνεζευγμένου*. Hoc autem dicit homo ineptus, e signis koppa et san copulatis signum prodire numeri nonagenarii (cujus figuras vide apud Corsinum), cui designando tanquam proprium et primarium adhiberi *τὸ κόππα*, nulla habita *τοῦ σὰν* ratione.

16. *δύναται νοεῖσθαι*] *κατανοεῖσθαι δίδωσιν* Suidas: sed *δίδωσιν* om. codices Gaisfordi.

προηγεῖται τὸ κόππα. καὶ παρὰ τοῖς γραμματικοῖς οὕτω διδάσκεται, καὶ καλεῖται κόππα ἐνενήκοντα. τινὲς δὲ κοππατίαν ἐξηγήσαντο τὸν κόπτοντα καὶ κοιλαίνοντα ταῖς ὁπλαῖς τὸ ἔδαφος, οὐ δεόντως ὑποτιθέμενοι. οὐδὲ γὰρ βουκεφάλας καλοῦμεν διὰ τὸ μορφὴν τοιαύτην ἔχειν, ἀλλὰ διὰ τὸ οὕτω κεχαράχθαι, οἷος, οἶμαι, καὶ ὁ τοῦ Ἀλεξάνδρου τοῦ Μακεδόνος ἵππος ἦν, ᾧ τελευτήσαντι τὴν Βουκεφάλειαν Ἀλέξανδρος ἔκτισεν, ἐντάφιον αὐτῷ τῆς ἀρετῆς χαριζόμενος πόλιν.

24. *εἴθ᾽ ἐξεκόπην*: *Ἔπαιξε τὸ ἐξεκόπην παρὰ τὸ κοππατίαν. φησὶ δὲ, ὤφελον, πρὶν πρίασθαι τὸν ἵππον, τὸν ὀφθαλμὸν ἐκκεκόφθαι, παταχθεὶς αὐτὸν λίθῳ.* [*ἐξεκόπην*: Ἐξέβαλον. *λίθῳ*: Διὰ λίθου. Gl. cod. in Catal. codd. Nanian. p. 478.]

25. *Φίλων, ἀδικεῖς*: [*Ὁ Φειδιππίδης καθεύδων ὡς ὀνειροπολῶν λέγει πρὸς τὸν ἑταῖρον αὐτοῦ.* R.] *ὁ νεανίσκος Φειδιππίδης ταῦτα καθεύδων ὑποφθέγγεται, ὥς τινα συνηνιοχοῦντα μεμφόμενος, ὅτι δέον αὐτὸν ἐλαύνειν μὴ ὑποσκελίζοντα μηδ᾽ ὑποθέοντα τὰς τῶν ἵππων ὁδοὺς, ὡς ἀνεπικωλύτως θέοιεν, ὁ δ᾽ ὑποθέει καὶ ἐμποδίζει προλαμβα-*

1. *τὸ κόππα τὸ* ϙ Suidæ codex Paris. A. Scribebatur *τὸ κ.*
ib. *τοῖς* add. V. et Suidas.
ib. *γραμματικοῖς*] *γραμματισταῖς* Suidas.
3. *καὶ κοιλαίνοντα*] *καὶ κολάζοντα* V. om. Suidas.
ib. *οὐ δεόντως* Suidas. Legebatur *οὐδὲν ὄντως*.
4. *οὐδὲ* Suidas. *οὐ* Ald.
ib. *βουκεφάλας* V. et Suidas. *βουκεφάλους ἵππους* Ald.
5. *ἔχειν* V. et Suidas. *αὐτοὺς ἔχειν* Ald.
5, 6. *οὕτω—τὴν* V. et Suidas. Legebatur *οὕτως ἐγκεχαράχθαι, ὡς καὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος ὁ ἵππος ἦν, ὃς τελευτήσαντος τοῦ.*
6. *ᾧ τελευτήσαντι*] *οὗ τελευτήσαντος* G, quod etiam in Θ. est, ceterum cum Aldina consentiente.
ib. *Βουκεφάλειαν Ἀλέξανδρος*] *βουκεφάλου ἀλεξάνδρειαν* Ald. *βουκέφαλον ἀλεξάνδρειαν* Suidas. *ἀλεξάνδρου* (omisso *βουκεφάλου*) Θ.
8–10. *Ἔπαιξε—λίθῳ*] *ἀφῃρέθην. παρὰ τὸν κοππατίαν δὲ παίζει εἰπὼν τὸ ἐξεκόπην* Θ.
8. *παρὰ* R.V. *περὶ* Ald.
ib. *τὸ* R. *τὸν* Ald.
ib. *φησὶ δὲ*] *ἀντὶ τοῦ* R.
9. *ὤφελον* R. *ὄφελον* Ald.
ib. *ἐκκεκόφθαι*] *κεκόφθαι* G.
ib. *παταχθεὶς* V. *πατάξας* Ald.
ib. *παταχθεὶς αὐτὸν* om. R.
13–p. 377. l. 4. *ὁ νεανίσκος—ἡνιόχου* om. R.
13. *νεανίσκος* om. V.
ib. *ταῦτα* V. *τοῦτο* Ald.
14. *ὑποφθέγγεται*] *ἀποφθέγγεται* Θ. *ὀνειροπολῶν λέγει* V.
ib. *ὥς τινα*] *ὡς τὸν* V.
ib. *συνηνιοχοῦντα*] *τὸν συνηνιοχοῦντα* (superscr. *ὧν*, *ων*) Θ.
ib. *δέον*] *δὲ* Θ.
15, 16. *τὰς τῶν—ἐμποδίζει*] *τὰς τῶν αὐτοῦ . . . . θέοιεν ἐμποδίζοις* (*θέῃ ἐμποδίζειν* G.) V.
15. *τὰς τῶν*] *τῶν* om. Θ.
16. *ὑποθέει*] *ὑποθέοι* Θ.

νόμενος τῶν ἵππων τῶν ἐκείνου τὸν δρόμον. δεῖγμα δὲ τῆς περὶ τὴν ἱππικὴν αὐτοῦ σπουδῆς τὸ φροντίζειν καὶ καθεύδοντα περὶ τούτων. τὸ δὲ Φίλων οἱ μέν φασιν ἀναρμόστως καθ' ὕπνον εἰρηκέναι τὸν νεανίσκον ἀντὶ τοῦ, ὦ φίλε, οἱ δὲ κύριον ἡνιόχου.

28. *πόσους δρόμους*: *Ὀνειρώττων εἶπε πόσους δρόμους. εἷς δ' ἐστὶν ἀπὸ τῆς ἀφετηρίας μέχρι τοῦ καμπτῆρος. οἱ δ' ἡνίοχοι καθωπλισμένοι ἤλαυνον. τοῦτο δὲ εὗρεν ὁ Θησεύς.* [*πόσους καμπτοὺς πεποίηκας; ἐστὶ δὲ εὕρημα τοῦτο τοῦ Θησέως.* R.]

πολεμιστήρια: [*Καὶ τοῦτο καθ' ὕπνους λέγει. τὰ ἀμιλλητήρια ἅρματα ὤφειλεν εἰπεῖν· ὁ δὲ ὑπὸ τοῦ ὕπνου ὥσπερ τοῦ ὀρθοῦ ἐκπίπτων τὰ πολεμιστήριά φησι. πολεμιστήρια γὰρ ἅρματα λέγονται τὰ τοῖς πολέμοις ἁρμόδια, ἀμιλλητήρια τὰ ἐν ταῖς ἁμίλλαις συνεργοῦντα, ἀγωνιστήρια δὲ τὰ ἐν τοῖς ἀγῶσι.* Θ.] *κατά τινας ἀγὼν Ἀθήνῃσιν ἱππικοῦ δρόμου. ἕνα δὲ δρόμον ἐκεῖ τρέχουσιν, ὥστε τὰ ἀμιλλητήρια πληθυντικῶς εἶπεν ὁ νέος, σφαλλόμενος ἐκ τοῦ ὀνειροπολεῖν. πολεμιστήρια καλοῦνται καὶ τὰ πολεμικὰ ἅρματα, ἐφ' ὧν ὁπλίτης ἐπιβέβηκεν ἅμα τῷ παραβάτῃ. ταῦτα δὲ ἐξεῦρεν ὁ Θησεύς. ἀμιλλητήρια δὲ τὰ ἀγωνίσματα. Ἄλλως. δέον εἰπεῖν, πόσους δρόμους ἐλαύνει τὰ ἀμιλλητήρια· ἀντὶ τοῦ πόσοι δρόμοι εἰσὶ τῆς ἁμίλλης· ὁ δὲ ἐπειδὴ καθ' ὕπνους τοῦτ' ἔλεγε, πολεμιστήρια εἶπεν. ὁ γὰρ νοῦς τῶν ὀργάνων ἀργούντων τῷ ὕπνῳ εἰκῇ φέρεται.*

[29. *ἐλαύνεις*: Πολλὰς *στροφὰς φροντίδων στρέφεσθαί με ποιεῖς διὰ τὰ σὰ χρέα.* Θ. *στρέφεσθαί με ποιεῖς, ἤγουν πολλὰς στροφὰς φροντίδων διεγείρεις.* Gl. Br.]

30. *ἀτὰρ τί*: Τί *δὴ μετὰ ταῦτα ὄφλημά με κατέλαβεν.* Εὐριπίδης· "*τί χρέος ἔβα δῶμα.*" [*χρέος*: Ὄφλημα. Gl. V. (non G.). *ἔβα με*: Κατέλαβε. Gl. Br. *ἦλθε, κατέλαβε.* Gl. Θ.]

31. *τρεῖς μναῖ διφρίσκου*: Διφρίσκου *καλεῖ τὸ σκεῦος ἐν ᾧ οἱ ἡνίοχοι ἐφεστῶτες ἐλαύνουσιν. ὑποκοριστικῶς δὲ εἶπε τοὺς διφρί-*

1–4. *δεῖγμα—ἡνιόχου* om. V.
3, 4. *τὸ δὲ—ἡνιόχου* om. Θ.
5–7. *Ὀνειρώττων—Θησεύς* om. R. V. Θ.
13–21. *κατά τινας—φέρεται*] Scholion recentissimum, quo carent R. V. Θ.
25. *Τί—κατέλαβεν* om. V. *κατέλαβε με τί δὴ μετὰ ταῦτα* R.
25. *δὴ*] *δὲ* Θ.
25, 26. *Εὐριπίδης—δῶμα* om. R. V.
28, 29. *Διφρίσκου—ἐλαύνουσιν* om. Θ.
28. *διφρίσκου καλεῖ* V. *φρίσκους καλεῖ* R. *δίφρος καλεῖται* Ald.
ib. *ἐν ᾧ*] *ἐφ' ὃ* R.
ib. *οἱ* om. R.
29–p. 378. l. 2. *δὲ εἶπε—ἀγωνιστικούς* om. R. *δὲ* om. Θ.

σκους, διὰ τὸ μικροὺς εἶναι καὶ κούφους τοῖς ἀγωνιζομένοις πρὸς τοὺς ἀγωνιστικούς.

31. Ἀμυνίας τῶν περὶ ἵππους ἐπταικότων. μέμνηται δὲ αὐτοῦ καὶ ἐν τοῖς Σφηξί. νῦν δὲ οὐκ ἐκείνου καθάψασθαι βουλόμενος μνημονεύει αὐτοῦ, ἀλλὰ τὸν τότε ἄρχοντα διασύρειν προαιρούμενος τῇ ἐκείνου προσηγορίᾳ ἐχρήσατο. τότε γὰρ ἦρχεν Ἀμεινίας τοῦ Προνάπους υἱός. ἐπεὶ οὖν τοὺς Ἀθηναίους πρότερον κωμωδεῖν τὸν ἄρχοντα ὁ νόμος ἐκώλυεν, ἀφαιρέσει μὲν τοῦ ι, προστεθέντος δὲ τοῦ υ, παρατρέψας ὀλίγον Ἀμυνίαν αὐτὸν εἶπεν ἀντὶ τοῦ Ἀμεινίαν. [ὀφείλονται. Gl. Θ.]

32. ἄπαγε τὸν ἵππον ἐξαλίσας: Καὶ τοῦτο ὀνειροπολούμενος ὁ νεανίσκος λέγει. ἐξαλίσας δὲ, ἐκκυλισθῆναι ποιήσας. καὶ τὸν τόπον, ἐν ᾧ τιθέντες ἑαυτοὺς οἱ ἵπποι τοῦτο ποιοῦσιν, ἀλινδήθραν ἐκάλουν· ὥς που καὶ ἐν τοῖς Βατράχοις ὁ αὐτὸς ποιητὴς ἀλινδήθρας τε καὶ ἐγκυλίσματα. [κυλίσας. Gl. R.]

33. ἀλλ' ὦ μέλ' ἐξήλικας: Κατὰ ἀποκοπὴν τοῦ ε, Ἀττικῶς. οὕτω ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται γραφόμενον.

1. μικροὺς—κούφους] κούφους—μικροὺς V.

ib. τοῖς ἀγωνιζομένοις πρὸς om. V.

ib. πρὸς τοὺς ἀγωνιστικούς] κατὰ τὸν ἀγωνιστικόν Θ.

3. ἀμυνίας R. ἀμυνίας δὲ V. ἀμυνίας καὶ οὗτος Θ. καὶ τροχοῖν Ἀμυνίᾳ] καὶ οὗτος Ald.

ib. περὶ R.V. ὑπὲρ Ald.

ib. ἵππους] τοὺς ἵππους V.

ib. ἐπταικότων R.V. πταισάντων Ald. Sequentia om. R.

4. Σφηξί] 1267.

ib. καθάψασθαι βουλόμενος V. καθαπτόμενος Ald.

5. τότε add. V.

ib. προαιρούμενος V. βουλόμενος Ald.

6. ἀμεινίας V. ἀμυνίας Θ. Scribebatur Ἀμινίας.

ib. Addidi τοῦ ex V, in quo scriptum τῆς.

ib. προνάπους V. Scribebatur Προνάπου. πυνᾶ Θ. Aminiam archontem Pronapis fuisse filium grammaticorum est commentum, ductum e versu Vesparum 74. ubi aliquis ex spectatoribus Ἀμυνίας ὁ Προνάπους memoratur.

7–9. ἐπεὶ — Ἀμεινίαν] Legebatur ἐκεῖνον οὖν ἐπισκῶψαι θελήσας, παρέτρεψε τὸ ι εἰς τὸ (τὸ om. Θ.) υ, καὶ παρεγραμμάτισε γελοίως· ἐπεὶ παρὰ τοῖς Ἀθηναίοις ὁ νόμος φανερῶς (ἐπεὶ νόμος παρὰ τοῖς ἀθηναίοις μὴ φανερῶς Θ.) ἐκώλυε τὸν ἄρχοντα κωμῳδεῖν. Ἀμυνίαν δὲ αὐτὸν εἶπεν, ἀντὶ τοῦ Ἀμινίαν (διὰ τοῦτο καὶ ἀμυνίας εἶπεν οὐκ ἀμυνίαν Θ.). Correxi ex V.

8. ἐκώλυεν] ἐκώλυσεν G.

11. Scholion v. 32. om. R.V.Θ. Aliud idque valde ineptum habet Θ, εἰς τοὐπίσω . . . ἀπὸ τοῦ ἀλίζω τὸ συναθροίζω. οὐκ ἠλισθῆναι ποιήσας, ὥς τινές φασι.

14. Βατράχοις] 904. ubi est πολλὰς ἀλινδήθρας ἐπῶν, cujus interpretatio est ἐγκυλίσματα.

15. κυλίσας] κυλισθῆναι R.

16, 17. Κατὰ—γραφόμενον] Sch. recentissimum, quod om. R.V.Θ.

[ἐξήλικας: Ἐξέβαλες, ἐξέωσας. R. ἐξέβαλες. V. (non G.)]

34. ὅτε καὶ δίκας ὦφληκα: Ἤγουν καὶ δίκας προσώφληκα. ἢ ὡς καὶ δίκας προσώφληκα. ἐπιτάσει δὲ χρῆται ταύτῃ, ὅτι πρὸς τῷ ζημιωθῆναι εἰς τὴν ἱπποτροφίαν, καὶ εἰς δίκας ἐπεπτώκειν. ἐπιτείνει γοῦν τὸ κακὸν, ὅτι πρὸς τῷ ζημιοῦσθαί με ἔτι καὶ δίκας ὀφείλω. καὶ γὰρ οὐ τοῦ δανείου χάριν, ἀλλὰ τοῦ τόκου ἐνεχυράσασθαι ἀπειλοῦσιν.

χἄτεροι τόκου: Ἀντὶ τοῦ, καὶ ἄλλοι. Ἀττικῶς εἶπε. λείπει ἡ ὑπέρ. καὶ ἕτεροι ὑπὲρ τόκου ἐνέχυρα παρ' ἐμοῦ λήψεσθαί φασιν. μᾶλλον δὲ τὴν ὄχλησιν δείκνυσι τὴν κατ' αὐτοῦ, δι' οὓς φησι τόκου χάριν ἐνεχυριάσειν αὐτὸν ἀπειλεῖν. [ἐνέχυρα ὑπὲρ τόκου παρ' ἐμοῦ λήψεσθαι φησί. Gl. V. (non G.). ἐνέχυρον ἐξ ἐμοῦ λαβεῖν. Gl. Θ. Br.]

35. ἐτεὸν, ὦ πάτερ: Ταῦτα οὐκέτι ὀνειροπολούμενος, ἀλλ' ἐγερθεὶς λέγει, τὸν πατέρα ἑωρακὼς ὀδυρόμενον.

36. τί δυσκολαίνεις καὶ στρέφῃ: Τί περιστρέφῃ συνεχῶς κόπτων σεαυτόν. συμβαίνει δὲ τοῖς ἀγρυπνοῦσι τοῦτο πάσχειν, τῇδε κἀκεῖσε ῥίπτειν ἑαυτοὺς καὶ μεταβάλλειν.

37. δάκνει με δήμαρχός τις: Παίζων τὸν κόριν ἢ τὴν ψύλλαν καλεῖ. οἱ δὲ δήμαρχοι οὗτοι τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ

In Θ. gl. sunt, ἐξέβαλε. πραγμάτων. ἀλλ' ὦ μέλεε. ἀπὸ τοῦ ἀπαγορευτικοῦ ἐπιρρήματος καὶ τοῦ ἐλέους.

2–11. Ἤγουν—ἀπειλεῖν om. R.V.

2, 3. Ἤγουν—ἢ ὡς καὶ δίκας προσώφληκα om. Θ.

3. δὲ om. Θ.

ib. πρὸς τῷ] ἐπὶ τὸ Θ.

4. ἐπιτείνει] ἐπιτείνεται Θ.

5. πρὸς] ἐπὶ Θ.

7. Aliud scholion inferius addit Θ, δίκη ἡ παρὰ τοῖς ἕλλησι σωματοειδὴς θεά. δίκη καὶ ἡ τιμωρία καὶ ἡ κόλασις. δίκη καὶ ἡ δικαιοσύνη. δίκη καὶ τὸ δικαστήριον καὶ ἡ κρίσις.

8. Ἀντὶ—εἶπε om. Θ.

9. τόκου] τοῦ τόκου Θ.

ib. παρ' ἐμοῦ post λήψεσθαι ponit Θ.

10. δι' add. Θ.

11. ἐνεχυριάσειν] ἐνεχυριάσαι Θ.

14. Ταῦτα—ἐγερθείς om. R.Θ.

ib. Ταῦτα] τοῦτο V.

15. τὸν π. ἑ. V. ἑ. τὸν π. Ald.

16–18. Τί—μεταβάλλειν] φροντίζεις, ἀγανακτεῖς, τοιαῦτα γὰρ πάσχουσιν οἱ φροντίδα τινὰ ἔχοντες Θ. Totum scholion om. V.

16. κόπτων σεαυτόν add. R, sequentibus omissis.

19–p. 380. l. 13. Παίζων—ἐνεχυριαζομένους om. R.V. Scholion de demarchis ab recenti grammatico illatum partim ex Harpocratione partim aliunde.

19. τὸν κόριν ἢ om. Θ.

20. ἀπογραφὰς Θ. cum Harpocratione et Suida s. δήμαρχος. ὑπογραφὰς Ald.

ib. ἐν] προσόντων Harpocratio et Suidas: sed ἐν codex unus Harpocrationis.

χωρίων. καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρ' αὐτοῖς ἦν, συνῆγόν τε τοὺς δήμους, ὅτε δέοι, καὶ ψῆφον αὐτοῖς ἐπεδίδοσαν καὶ ἠνεχυρίαζον. Ἀριστοτέλης *δὲ περὶ* Κλεισθένους *φησὶ* " *κατέστησε καὶ δημάρχους* " *τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις. καὶ γὰρ* " *τοὺς δήμους ἀντὶ τῶν ναυκραρίων ἐποίησεν.*" *οἱ πρότερον ναύκραροι, εἴτε ὑπὸ* Σόλωνος *κατασταθέντες εἴτε καὶ πρότερον. οὗτοι δὲ τὴν πομπὴν τῶν* Παναθηναίων *ἐκόσμουν,* Κλεισθένους *καταστήσαντος ἀντὶ ναυκράρων. ἔστι δὲ δήμαρχος ὁ τὴν ἐπώνυμον ἀρχὴν ἄρχων. καὶ* Ἀσκληπιάδης *ὁ* Ἀλεξανδρεὺς *τοὺς κατὰ δῆμον ἄρχοντάς φησι.* Δημήτριος *δὲ ὁ* Φαληρεὺς *οὕτω φησὶ* " *καὶ δημάρχους* " *οἱ περὶ* Σόλωνα *καθίσταντο ἐν πολλῇ σπουδῇ, ἵνα οἱ κατὰ δῆμον* " *διδῶσι καὶ λαμβάνωσι τὰ δίκαια παρ' ἀλλήλων.*" *ἔδει οὖν τὸν δήμαρχον ἀγαγεῖν εἰς τοὺς οἴκους τοὺς ἐνεχυριαζομένους. παίζει ὡς εἰ ἔλεγε κόρις ἢ ψύλλα. ὄνομα πολιτείας οἱ δήμαρχοι, οὓς ἐχρῆν ἐνεχυριάζειν τοὺς ἀγνώμονας τῶν χρεωστῶν.* [*δέον εἰπεῖν κόρεις. οἱ γὰρ κόρεις ἐν τοῖς στρώμασιν ὄντες τοὺς ὑπνοῦντας δάκνουσιν. ὁ δὲ μεμνημένος, ὅτι εἰς δικαστήριον ἥξει ὑπὸ τῶν δανειστῶν, δήμαρχος φησί. δήμαρχος δέ ἐστιν ὁ τοῦ δήμου προστάτης, ὃν φασὶν ἰδιωτικῶς δοῦκαν.* Schol. C. *ἄρχων τοῦ δήμου.* Gl. Θ.]

38. *καταδαρθεῖν*: Οἱ Ἀττικοὶ *παροξύνουσι καταδάρθειν. κυρίως*

1. *χωρίων* Θ. cum Harp. et Suida. *χρεῶν* Ald. Conf. Boeckh. Œc. civ. vol. 2. p. 47.

2. *ἐπεδίδοσαν*] *ἐδίδοσαν* Harp. et Suidas.

ib. *ἠνεχυρίαζον*] Scribebatur *ἐνεχυρίαζον.* Apud Harp. post locum Aristotelis legitur *ὅτι δὲ ἐνεχυρίαζον οἱ δήμαρχοι, δηλοῖ* Ἀριστοφάνης *ἐν Σκηνὰς καταλαμβανούσαις.*

3–13. Ἀριστοτέλης—*ἐνεχυριαζομένους* om. Θ.

3. Ἀριστοτέλης] *ἐν* Ἀθηναίων *πολιτείᾳ* addit Harp.

4. *ἔχοντας* Harp. *ἑλόντας* Ald.

ib. *ναυκράροις* Harp. *ναυκλάροις* Ald. Sequentia om. Harp.

5. *ἀντὶ τῶν* Hermannus. *αὐτῶν* Ald.

ib. *ναυκραρίων*] *ναυκλαρίων* Ald.

ib. *ναύκραροι*] *ναύκλαροι* Ald. et infra *ναυκλάρων.*

6. *πρότερον* Hermannus. *πρῶτον* Ald.

11. *ἄρχοντες* post *δῆμον* lectum delevit Hermannus.

13, 14. *παίζει—ψύλλα* om. V.

13. *παίζει* R. *παίζει δὲ* Ald.

14. *εἰ* om. R.

ib. *ἔλεγε κόρις ἢ*] *ἔλεγεν ἡ κόρις ἢ ἡ* R.

14, 15, *ὄνομα—χρεωστῶν* om. R.

14. *ὄνομα* V. *ὄνομα δὲ* Ald.

ib. *πολιτείας*] *πολίτων* Θ.

14, 15. *οὓς—χρεωστῶν*] *παρὰ τοῖς ἀθηναίοις οἱ πρώην ναύκραροι καλούμενοι οἷς ἐξῆν ἐνεχυράζειν* V.

ib. *οὓς ἐχρῆν ἐνεχυριάζειν*] *οἱ ἐνεχυριάζοντες* Θ.

15. *χρεωστῶν*] *τοῦτο δὲ οὐκέτι καθεύδων, ἀλλ' ἐγερθείς* add. Ald. quæ om. R.V.Θ. Spectant ad v. 35.

20–p. 381. l. 2. Οἱ—*κοιμᾶται*]

δὲ τὸ ἐπὶ δέρματος κοιμᾶσθαι. ταῦτα δὲ εἰπὼν ὁ νεανίσκος, συγκαλυψάμενος καὶ στραφεὶς πάλιν κοιμᾶται. [ὦ δαιμόνιε: Κακοδαίμων. καταδαρθεῖν: Κοιμηθῆναι. Gl. R.Θ. Victor.]

41. εἴθ' ὤφελ' ἡ: Τὸ ὤφελε τινὲς ἐπιρρηματικῶς δέχονται, ὡς τὸ

ὤφελε μηδ' ἐγένοντο θοαὶ νέες.

καὶ τὸ Εὐριπίδου ἐν Μηδείᾳ κατ' ἀρχὰς τοῦ δράματος· ἵν' ᾖ παράλληλον τὸ σχῆμα, τοῦ πρεσβύτου συνεχέστερον ἀπευχομένου τῇ προμνηστρίᾳ· ὁ δὲ ποιητὴς ῥῆμα αὐτὸ οἶδεν

οὐκ ὄφελον Τρώεσσι κοτεσσάμενος·

καὶ

μὴ ὄφελες λίσσεσθαι ἀμύμονος Αἰακίδαο.

τὸ δὲ φεῦ ἰδίᾳ.

ἡ προμνήστρι' ἀπολέσθαι: Ἡ προνοήσασα τῶν γάμων προμνήστρια καλεῖται· ἡ νῦν προξενήτρια. [ἡ τοῦ γάμου πρόξενος. Gl. Θ. Br.]

42. γῆμ' ἐπῆρε: Κυρίως τὸ ἐπῆρεν ἀντὶ τοῦ ἐχαύνωσεν καὶ ἀνεκούφισεν, ἐπαγγελλομένη προῖκα μεγάλην εἰσοίσειν τὴν γυναῖκα, οἰκουρὸν φάσκουσα εἶναι, μὴ οὕτως ἔχουσαν. καταχρηστικῶς δὲ ἀνέπεισεν. [παρεκίνησε (Gl. Θ.), κατέπεισε. Gl. Br.]

κατακοιμηθῆναι, κυρίως δὲ καταδαρθεῖν τὸ ἐπὶ δέρματος κοιμηθῆναι. ταῦτα — κοιμᾶται. ἀττικοὶ δὲ παροξύνουσι καταδαρθεῖν V. Totum scholion om. R.

20. (p. 380.) παροξύνουσι] παροξυτόνως Θ. Ceterum error hic est grammaticorum, qui καταδάρθειν in codicibus non raro scriptum invenerant, ut θίγειν et alia hujusmodi.

1. ταῦτα δὲ εἰπὼν] τοῦτο δὲ εἶπεν Θ.

2. κοιμᾶται] ἄρχεται ὑπνοῦν Θ. Aliud scholion infra addit Θ, κοιμηθήσεσθαι. κυρίως δὲ τὸ ἐπὶ δερμάτων κεῖσθαι. δρῶ τὸ κοιμῶμαι καὶ κατὰ παραγωγὴν δρήθω· δεύτερος ἀόριστος ἔδραθον καὶ κατὰ μετάθεσιν τῶν γραμμάτων ἔδαρθον καὶ τὸ ἀπαρέμφατον δαρθεῖν.

4–11. Τὸ ὤφελε — Αἰακίδαο om. R.V.Θ.

4. ὡς τὸ] Callimachi epigr. 18.

9. οὐκ] Il. Σ, 367.

11. μὴ] Il. I, 698.

12. ἰδίᾳ V. (qui ἰδία τὸ φεῦ). ἰδίως Ald. τὸ δὲ φεῦ ἰδίᾳ om. R. τὸ δὲ— προξενήτρια om. Θ.

13, 14. Ἡ προν.—προξενήτρια] ἡ προξενήτρια ἡ προνοήσασα τὸν γάμον R. προμνήστρια δὲ καλεῖται ἡ προνοήσασα, ἣν νῦν προξενήτριαν φησίν (φασίν G.) V.

16–19. Κυρίως—ἀνέπεισεν om. Θ. Nihil præter ἀντὶ τοῦ ἐχαύνωσε καὶ ἠπάτησε habet R.

16. Κυρίως τὸ ἐπῆρεν ἀντὶ τοῦ ἐχαύνωσεν καὶ ἀνεκούφισεν V. et Suidas s. γῆμ' ἐπῆρε. κυρίως τὸ ἀνεχαύνωσεν, ἀνεκούφισεν Ald. γυναῖκα οἰκουργὸν (scr. οἰκουρὸν) φάσκουσαν (scr. φάσκουσα) εἶναι, μὴ οὕτως ἔχουσαν addidi ex V. Emendate scripta habet Suidas, nisi quod ἐχούσης pro ἔχουσαν.

18. καταχρηστικῶς δὲ ἀνέπεισεν om. V. et Suidas. γῆμαι ἀνέπεισε in initio scholii addit Suidas.

[43. ἄγροικος κυρίως ὁ ἰδιώτης, ἀγροῖκος δὲ ὁ ἐν τῷ ἀγρῷ οἰκῶν. οἱ δὲ Ἀττικοὶ ἐναλλάξ. Gl. Θ. ἥδιστος: Ἄλυπος. Gl. R.]

44. εὐρωτιῶν: [Τοῦ εὐρωτιῶν ἐξήγησις τὸ εἰκῇ κείμενος. τοῖς γὰρ εἰκῇ καὶ ἀμελῶς κειμένοις ἱδρὼς προσίζει καὶ νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος, ὥσπερ αὖ ἐπιμελὴς καὶ καθάριος ὁ τῶν ἀστικῶν. τὸ δὲ ἀκόρητος ἀκαλλώπιστος. κορεῖν γὰρ τὸ καλλωπίζειν. R.V.] ἀντὶ τοῦ ἱδρῶν. ἑρμηνεύει δὲ τοῦτο διὰ τοῦ, εἰκῇ κείμενος. εὐρωτιῶσι γὰρ τὰ εἰκῇ κείμενα, ὥσπερ νοτίδος αὐτοῖς ἐγγινομένης καὶ σηπούσης. καὶ εὐρὼς, ὁ σκώληξ. ἐπεὶ τοῖς ἀμελῶς κειμένοις ἱδρὼς προσίζει, τουτέστι νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος. ὁ γὰρ αὐτῶν οἶκος πυρῶν καὶ δερμάτων μεστὸς ὢν, οὐδεμίαν ἔχει τῶν τοιούτων πραγμάτων εὐθεσίαν, ἀλλ' ἄλλο ἀλλαχῇ κεῖται, ὡς ἔτυχε. τὸ δὲ ἀκόρητος, ἀκαλλώπιστος. κορεῖν γὰρ τὸ καλλωπίζειν, ὅθεν καὶ νεωκόρος. [ἀκόρητος: Ἀκαλλώπιστος. Gl. Br.]

45. βρύων: Αὔξων καὶ τεθηλώς. R. θάλλων. Gl. Θ. καὶ προβάτοις καὶ στεμφύλοις: Στέμφυλα κυρίως λέγεται τὰ ἀποπιέσματα τῶν ἐλαῶν. περιπτίσματα δὲ τὰ ἐκ τῶν σταφυλῶν ἀποπιεζόμενα. εὑρίσκεται δὲ καὶ ἀνάπαλιν τὰ στέμφυλα ἐπὶ τῶν σταφυλῶν καὶ τὰ περιπτίσματα ἐπὶ τῶν ἐλαῶν. [στέμφυλα λέγονται τὰ ἀποπιέσματα τῶν σταφυλῶν καὶ τῶν ἐλαιῶν. Θ. τεταριχευμέναις σταφύλαις. Gl. Br.]

46. τοῦ Μεγακλέους: Ἐδιπλασίασε τὸ ὄνομα εἰρωνευόμενος. τοῦ Ἀλκμαιωνιδῶν δὲ οὗτοί εἰσι γένους. αὐτὸς δὲ διεβάλλετο ὡς δοῦλος.

5. ὥσπερ αὖ—ἀστικῶν om. V.
ib. αὖ Suidas s. εὐρωτιῶν. οὖν R.
6. τὸ δὲ om. R.
7–14. ἀντὶ τοῦ—νεωκόρος om.R. V.
7. κείμενος] κειμένου Θ.
8. νοτίδος] νοτιζόμενα Θ.
8, 9. αὐτοῖς—σκώληξ om. Θ. Idem infra scholion habet hoc, σεσημμένος, ἀπὸ τοῦ εὐρὼς ὁ σκώληξ. ἀνεπιμέλητος, ἀκαλλώπιστος. κορῶ γὰρ τὸ ἐπιμελοῦμαι.
15. Αὔξων] αὔξων καὶ πληθύνων Suidas s. ἀκόρητος.
ib. Scholion v. 45. om. R.V.
16. κυρίως λέγεται om. Θ.
17. ἐλαῶν] ἐλαιῶν Θ.
ib. περιπτίσματα] Legebatur περιπίσματα hic et paullo post. περιπτύσματα bis Θ. Idem vitium corrigendum in scholio Equit. 803.
18. ἀνάπαλιν om. Θ.
ib. τὰ] τὸ Θ.
19. ἐλαῶν] ἐλαιῶν Θ.
22–p. 383. l. 3. Ἐδιπλασίασε—Ἐρετριεῦσιν om.R. V. Prima tantum verba ἐδιπλασίασε τὸ ὄνομα a m. sec. habet V, om. G.
22, 23. εἰρωνευόμενος—αὐτὸς om. Θ.
23. δὲ δ.] δ. δὲ Θ. Inepta sunt quæ scholiasta de Megacle tradit, de quo v. Boeckh. Explicat. Pindar. p. 303. Servus ille non magis fuit

ὁ πρῶτος οὖν Μεγακλῆς Κοισύρας ἦν υἱὸς, ἥτις ἦν ὑπερβαίνουσα γένει καὶ πλούτῳ. ἦν δὲ ἐξ Ἐρετρίας. διὸ καὶ κοισυρεῖσθαι τὸ μέγα φρονεῖν, παρ' Ἐρετριεῦσιν. [οὗτος τοῦ γένους ἦν τῶν Ἀλκμαιωνιδῶν. ἐδιπλασίασε δὲ τὸ ὄνομα. R. τοῦ κατὰ πολὺ ἐνδόξου. δὶς δὲ τὸ αὐτὸ εἶπεν εἰρωνευόμενος. Θ.]

47. [ἀδελφιδῆν: Τοῦ ἀδελφοῦ αὐτοῦ θυγατέρα. Gl. Θ.] ἄγροικος ὢν ἐξ ἄστεος: Οὐκ ἀργῶς τῇ παραθέσει νῦν ἐχρήσατο. οὐ γὰρ ὀνειδίσαι βουλόμενος ἑαυτὸν ἄγροικον καλεῖ (ἀνόητον γὰρ καὶ ἄγροικον παντάπασι διαβάλλειν ἑαυτόν)· ἀλλὰ πρῶτον μὲν λεληθότως διὰ τούτου τὴν εὐπορίαν δείκνυσι τὴν ἑαυτοῦ. οὐ γὰρ ἂν, εἰ μὴ πάνυ ἦν πλούσιος, ἐπεδικάσατο ἂν αὐτοῦ ἡ γυνὴ, καὶ τῇ δόξῃ αὐχοῦσα τοῦ γένους καὶ τῇ ἐν ἄστει διατριβῇ. δόξαν γὰρ εἰώθασιν οἱ ἄνδρες ἔχειν οὐχ ἧττω τῶν γυναικῶν. ὁ δὲ τῇ ἀντιπαραθέσει καὶ τοῦτο ἐπιστώσατο, φήσας αὐτὸν ἀγροῖκον εἶναι, τὴν δὲ γυναῖκα πολιτικήν. θαυμαστὸν γὰρ οὐδὲν, εἰ ἄνθρωπον ἰδιοπράγμονα καὶ μέτριον τοὺς τρόπους τῇ ἐπὶ τῆς ἀγροικίας διαίτῃ γύναιον ὑπέταξε πολιτικὸν καὶ κατεδουλώσατο.

48. σεμνὴν: Νῦν οὐ τὴν σώφρονα, οὐ γὰρ ἐπαινεῖ αὐτὴν, ἀλλὰ τὴν ἀλαζόνα καὶ ὑπέρογκον καὶ σοβαρὰν τῷ εἴδει· τρυφῶσαν δὲ ἱματίοις, καὶ τῇ ἄλλῃ δαπάνῃ. [σοβαρὰν τὸ ἦθος. Gl. Θ. Br.]

ἐγκεκοισυρωμένην: Περισσῶς κεκοσμημένην. ἢ ἔθνος ἡ Κοισυρόπολις ὀνομάζεται, πάνυ αἰσχρὸν καὶ μυσαρόν. ἢ τὰ τῆς Κοισύρας φρονοῦσαν. ἔστι δὲ Ἐρετριακὸν τὸ ὄνομα. οὗτοι δὲ εἰς τρυφὴν διαβάλλονται. αὕτη δὲ ἐγαμήθη Πεισιστράτῳ ἐπιχειρήσαντι τυραννεῖν.

quam serva Cœsyra, quod traditur in scholio v. 64. et Pac. 450.

1. ὁ om. Θ.

3. παρ' Ἐρετριεῦσιν om. Θ.

6. Scholion v. 47. om. R.V, totum habet Suidas s. ἄγροικος. οὐκ ἀργῶς—λεληθότως om. Θ.

12, 13. δόξαν—γυναικῶν] Hæc ex Suida sunt redintegranda, ἀδοξεῖν γὰρ εἰώθαμεν ἐπὶ τοῖς ἀγροίκοις. ἔπειτα δὲ κἀκείνην θεραπεύει τὴν ἀντίθεσιν (scr. τῇ ἀντιθέσει), τῷ ὑποτετάχθαι αὐτὸν τῇ γυναικί. δεσπόζειν γὰρ εἰώθασιν οἱ ἄνδρες τῶν γυναικῶν.

12–17. δόξαν—κατεδουλώσατο om. Θ.

18–20. Νῦν—δαπάνῃ om. Θ.

18. Νῦν add. R.V.

ib. ἀλλὰ τὴν add. R.V.

19, 20. καὶ σοβαρὰν—δαπάνῃ om. V. καὶ ἐπ' αὐτῇ μέγα φρονοῦσαν R.

21–24. Περισσῶς—τυραννεῖν om. V.Θ. Hæc tantum habet R, κεκαλλωπισμένην. ἔστι δὲ ἐρετριακὸν—τυραννεῖν.

21. Περισσῶς] ἀντὶ τοῦ περιττῶς Suidas s. ἐγκεκοισυρωμένη.

21, 22. ἢ ἔθνος—μυσαρὸν ἢ om. Suidas.

24. τυραννεῖν] Addit Suidas, λέγει δὲ τὴν περιεργίαν τῆς κομμωτικῆς. πολλοῖς γὰρ, οἷα εἰκὸς, ἐκέχρητο καλλω-

[περισσῶς κεκοσμημένην, κεκαλλωπισμένην, ὁμοίως τῇ Κοισύρᾳ. αὕτη δὲ ἦν γυνή τις πάνυ ἑαυτὴν κοσμοῦσα ἱματίοις καὶ τῇ ἄλλῃ διαίτῃ, ὡς τοὺς ὁρῶντας ἐκπλήττεσθαι. Schol. Br.]

50. [πρὸς τὰ αὐτοῦ πλεονεκτήματα ἴσα καὶ τὰ τῆς γυναικὸς ἀντέθηκεν. εἰπὼν γὰρ τριῶν αὐτὸν ὄδωδέναι, τρυγὸς, τουτέστιν οἴνου, τρασιᾶς, τουτέστι σύκων, ἐρίων, τρία καὶ τὰ ἐκείνης ἐπήγαγε. διελεγκτικὸν δὲ τὸ τοιοῦτον σχῆμα τοῦ λόγου. τῇ γὰρ ἀντιπαραθέσει τοῦ ἥττονος ἡ εὐτέλεια δείκνυται. τὸ δὲ ἐρίων περιουσίας ἀντὶ τοῦ πόκων πλήθους εἴτ' οὖν πλούτου. τρασιὰ δὲ λέγεται τόπος ἐν ᾧ ψύχεται τὰ σῦκα. V.] ὄζων τρυγὸς: Νέου οἴνου· ἢ τῆς ὑποστάθμης· τρασιὰ δὲ λέγεται ὁ τόπος ἢ ὅπου ψύχεται τὰ σῦκα καὶ ταριχεύεται, ἢ σανίς. τρία δὲ εἶπε τὰ αὐτοῦ· τρυγὸς, τρασιᾶς (ἀντὶ τοῦ σύκων) καὶ ἐρίων περιουσίας. καὶ τὰ ἐκείνης δέ. ἐλεγκτικὸν δὲ τὸ τοιοῦτον σχῆμα.

[τρασιᾶς: Ξύλον, ἐν ᾧ τὰς ὀπώρας ἐξήραινον. Gl. Br. σανίδος, ἐν ᾗ τὰ σῦκα ταριχεύουσι πρὸς τὸν ἥλιον. ἀπὸ τούτου δὲ τὴν ὀσμὴν δηλοῖ τὴν ἐκ τῶν σύκων καὶ τῶν λοιπῶν τῶν τοιούτων γινομένην. Θ.]

ἐρίων περιουσίας: Ἀντὶ τοῦ, πλούτου. τοιοῦτος δὲ ὁ γεωργικὸς βίος. ἀπὸ δὲ τοῦ καθόλου ἐπὶ τὰ κατὰ μέρος ἦλθε. καθόλου γὰρ ἐν τοῖς ἐπάνω εἰπὼν τὴν εὐδαιμονίαν τὴν ἑαυτοῦ

βρύων μελίτταις, καὶ προβάτοις, καὶ στεμφύλοις,

πάλιν καταμερίζει αὐτά. ἀπὸ μὲν γὰρ τῶν προβάτων τὰ ἔρια, ἀπὸ δὲ τῶν στεμφύλων τρὺξ καὶ οἶνος, ἀπὸ δὲ τρασιᾶς τὰ σῦκα.

51. καταγλωττισμάτων: Εἶδος φιλημάτων περιεργότερον. ἢ εἰπίσμασιν, τουτέστι νίμμασι καὶ τοῖς τῆς κεφαλῆς πλέγμασι καὶ τοῖς ἄλλοις οἷς κοσμεῖσθαι γυναῖκας ἔθος. ἐγκεκοισυρωμένη οὖν οἷον τρυφῶσα, ἀπὸ Κοισύρας γυναικὸς πλουσίας, Ἀλκμαίωνος γαμετῆς.

1–3. περισσῶς—ἐκπλήττεσθαι] Brevius scholion in Θ, ἱματίοις καὶ τῇ ἄλλῃ δαπάνῃ περισσῶς κεκοσμημένην, κεκαλλωπισμένην τῇ Κοισύρᾳ.

4–6. πρὸς τὰ — ἐπήγαγε] Hæc præbet etiam R.

5. τριῶν om. V.

6. τρία R. $\bar{\gamma}$ V.

9. πλήθους εἴτ' οὖν πλούτου] περιουσίας τουτέστι πλήθους G.

10–14. Νέου—σχῆμα om. V, R. autem hæc habet τῆς τοῦ οἴνου ὑποστάθμης—ψύχεται τὰ σῦκα.

11. λέγεται om. Θ.

ib. ἢ om. Θ.

11–13. καὶ ταριχεύεται—καὶ τὰ ἐκείνης δέ om. Θ.

18–23. Ἀντὶ τοῦ—τὰ σῦκα om. R.V.Θ, nisi quod R. tria verba habet, περιουσίας τουτέστι πλούτου. Scholion excerpsit Suidas s. τρασία.

24. Scholion v. 51. om. V.Θ. In R. est, εἶδος φιλημάτων περιεργότερον τὸ καταγλώττισμα. ἢ κολακευμάτων.

24. Εἶδος φιλημάτων] αἰσχρῶν φιλη-

δος αἰσχροῦ φιλήματος τὸ καταγλώττισμα. κυρίως δὲ καταγλώττισμα, ὅταν ἐν τῷ καιρῷ τῆς συνουσίας ὁ ἀνὴρ τὴν γλῶτταν αὐτοῦ τῷ τῆς γυναικὸς ἐμβάλλῃ στόματι. [ἐστὶ δὲ καὶ ὁ λαφυγμὸς κατὰ μέν τινας τὸ αὐτό· κατὰ δέ τινας ἡ ἄλογος καὶ καθ' ὑπερβολὴν δαπάνη. Schol. Br.] *ἔστι γὰρ λάπτω καὶ λαφύσσω τὸ ῥοφῶ κυρίως ἐπὶ κυνῶν καὶ χοίρων. ὅθεν παράγεται καὶ ὁ λαφυγμός. εἰκότως δὲ ταῦτα καταλέγει, δεικνὺς ὅτι αἱ εὐγενεῖς γυναῖκες ὑπὸ τῆς ἄγαν τρυφῆς τοιαῦτα πράττουσιν.*

52. *λαφυγμοῦ*: Τῆς *περὶ τὰ ἐδέσματα πολυτελείας· τουτέστιν ἀσωτίας. λαφυγμὸν γὰρ λέγει τὸ ἀπλήστως ἐσθίειν·* Εὔπολις *ἐν* Κόλαξι

> *λαφύσσεται λαφυγμὸν ἀνδρεῖον πάνυ.*

Ὅμηρος

> *ἔγκατα πάντα λαφύσσει.*

Κωλιάδος: Οἱ *μὲν* Κωλιάδα *τὴν θεὸν καλοῦσιν, ἀπὸ νεανίου* Ἀττικοῦ *ἀποδράντος ἀπὸ λῃστῶν συμμαχίᾳ τῆς θεοῦ καὶ οὕτως αὐτὴν ὀνομάσαντος, καθάπερ αὐτὸς δεθεὶς τῶν κώλων ἀπελύθη ὑπὸ γυναικὸς (οἱ δὲ, θυγατρὸς) τοῦ ἀρχιλῃστοῦ δι' ἔρωτα. οἱ δὲ, τόπον ἐοικότα κώλοις ἀνδρὸς, ἔνθα ἡ θεὸς τιμᾶται. ἔνιοι δὲ,* Ἴωνος *θύοντος, κόρακα ἁρπάσαι κωλῆν, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ ἀποθέσθαι· ὅθεν οὕτως ὠνομάσθη.* Ἄλλως. Κωλιὰς *ναός ἐστιν* Ἀφροδίτης, *οὕτω καλούμενος ἀπό τινος νεανίσκου* Ἀττικοῦ, *ἁλόντος ὑπὸ* Τυρρηνῶν *καὶ δεθέντος τὰ κῶλα· εἶτα ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ* Τυρρηνοῦ *καὶ λυσάσης, ἐπανελθὼν εἰς* Ἀθήνας, *χαριστήριον τῇ* Ἀφροδίτῃ *ναὸν ἱδρύσατο* Κωλιάδος, *διὰ τὸ τὰ κῶλα λελύσθαι.* [Κωλιὰς *ναός ἐστιν τῆς* Ἀφροδίτης, *οὕτω καλούμενος ἀπὸ τοῦ συμβεβηκότος τὴν προση-*

μάτων Ald. Correxi ex scholio Ravennate.

5–8. *ἔστι γὰρ—τοιαῦτα πράττουσιν ὑπὸ τῆς ἄγαν τρυφῆς*] Hæc in Ald. scholio v. 52. ad *λαφυγμοῦ* sunt postposita. Mutatum ex scholio Brunckiano.

9, 10. Τῆς—*ἀσωτίας*] *ἀδηφαγίας καὶ τῆς πρὸς τὰ ἐδέσματα πολυτελείας* R. *ἀδηφαγίας καὶ πολυτελείας, τουτέστι ἐκδεδιῃτημένης πολυτελεῖ τροφῇ* V. Totum scholion om. Θ.

10–14. *λαφυγμὸν γὰρ—λαφύσσει* om. R.

ib. Εὔπολις—*λαφύσσει* om. V.

13. Ὅμηρος] Il. Λ, 176. P. 64.

15–25. Οἱ *μὲν—λελύσθαι* om. R. V.Θ.

15. *καλοῦσιν, ἀπὸ ν.*] Legebatur *καλοῦσι, ν.* Addidi *ἀπὸ* ex scholio proximo.

22. Τυρρηνῶν] *τυράννων* Ald. Correctum ex scholio inferiore.

23. Τυρρηνοῦ Hermannus : *τυράννου* Ald.

25. *ἐστιν* om. V.

γορίαν λαβών. νεανίας γάρ τις Ἀττικὸς ἁλοὺς ὑπὸ Τυρρηνῶν καὶ δεσμώτης δουλεύων παρ' αὐτοῖς, ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ ἔχοντος καὶ ἀπολυσάσης, ἦλθεν εἰς τὴν οἰκείαν καὶ οὕτως ἐλευθερωθεὶς εὐχαριστήριον τῇ Ἀφροδίτῃ ἐπὶ τῆς ἀκτῆς ἐφ' ἧσπερ ἡρπάγη ναὸν ἱδρύσατο. Κωλιάδα δὲ προσηγόρευσε τὸν τόπον ἀπὸ τῶν κώλων, ἃ ἐν τοῖς δεσμοῖς κατεπονεῖτο. ἡ δὲ Γενετυλλὶς δαίμων περὶ τὴν Ἀφροδίτην τῆς γενέσεως ἔφορος. R.V.]

Γενετυλλίδος: Γενετυλλὶς ἡ τῆς γενέσεως ἔφορος Ἀφροδίτη. [οἱ μὲν τῶν περὶ τὴν Ἀφροδίτην ἀξιοῦσι θεῶν μίαν εἶναι διὰ τὸ γενέσεως αὐτὴν εἶναι τοῖς ἀνθρώποις αἰτίαν προϊσταμένην τῶν γάμων καὶ τῶν ἐπὶ τοῖς γάμοις μυστηρίων, ὅθεν καὶ παρὰ Ῥωμαίοις Βένερις γενετρίκις ἐν τοῖς φόροις ἐστίν. ὅθεν καὶ ἐν δευτέραις Θεσμοφοριαζούσαις Ἀριστοφάνης μέμνηται τοῦτο, οὕτω που λέγων "ἀλλ' εἴ τις εἰς "βακχεῖον αὐτὰς ἐκάλεσεν ἢ εἰς Πανὸς ἢ ἐπὶ Κωλιάδος Γενετυλλί"δος." V.]

53. οὐ μὴν ἐρῶ γ', ὡς ἀργὸς, ἀλλ' ἐσπάθα: Πρὸς τὸ ἀργὸς, ἐσπάθα· (καὶ τοῦτο εἰρωνευόμενος· περὶ γυναικὸς δὲ λέγει) ἀντὶ τοῦ κατανήλισκε καὶ κατήσθιε· διὰ τοῦτο εἶπεν οὐκ ἀργὸς ἦν. σπαθᾶν δὲ

1. καὶ δεσμώτης δουλεύων παρ' αὐτοῖς V. et Suidas s. Κωλιάδος. δεσμῷ δουλεύων R.

3. οἰκείαν] Legebatur οἰκίαν. Correxi e libris Suidæ melioribus. Post οἰκίαν iterum τοῦ ἔχοντος addit R.

ib. καὶ οὕτως ἐ. V. οὕτως ἐ. καὶ R. et Suidas.

5, 6. Κωλιάδα—κατεπονεῖτο R. κωλιὰς δὲ ἐκλήθη ὅτι θύοντος τοῦ ἱερέως ἱερεῖον κωλῆς ἱέραξ ἥρπαζεν καὶ ἐπέκεινα τῷ τόπῳ ἐπεκαθέσθη, ὅθεν ὁ τοπὸς κωλιὰς ἐκλήθη V. Eadem fere, sed post κατεπονεῖτο addita, habet Suidas, οἱ δὲ, ὅτι Ἴωνος θύοντος ἱερεῖον κωλῆς (scr. ἱερείου κωλῆν cum Hemst.) ἐξήρπασε (ἥρπαζε codex Leid.) καὶ ἐπ' ἐκείνῳ τῷ τόπῳ ἐκάθισεν. ὅθεν—ἐκλήθη. μέμνηται καὶ Καλλίμαχος ἐν Ἑκάλῃ.

6, 7. ἡ—ἔφορος om. V.

8. Γενετυλλὶς—Ἀφροδίτη om. R. V.Θ.

12. ἐν δευτέραις Θεσμοφοριαζούσαις] Sic grammaticus recentior Lysistratam vocavit, cujus e principio versus hi sumpti sunt.

14. ἢ ἐπὶ Κωλιάδος Γ.] Corrige ἢ 'πὶ Κωλιάδ' ἢ 'ς Γ.

16. Scholia ad v. 53. om. Θ. et ad reliquam fabulæ partem vix ulla habet: habet vero tenuia excerpta scholiorum et glossemata.

16, 17. Πρὸς τὸ—ἀντὶ τοῦ om. R.V.

18. κατανήλισκε R.V. et Suidas s. ἐσπάθα. κατηνάλισκε Ald.

ib. καὶ κατήσθιε R.V. et Suidas. Aberat καί.

ib. καὶ διὰ Ald. καὶ om. V. et Suidas.

ib. καὶ—ἀργὸς ἦν om. R.

ib. εἶπεν addidi ex Suida.

ib. Post ἀργὸς ἦν sequitur in Ald. additamentum ex Gregorio Cor. p. 62. illatum, quo carent R.V, Ἀττικοὶ δὲ ἐπὶ τῶν θηλυκῶν ἀρσενικῶν

τὸ ἀφειδῶς ἀναλίσκειν καὶ παρὰ τοῖς ῥήτορσιν εἴρηται πολλάκις· οἰκείως δὲ νῦν τῇ λέξει ἐχρήσατο ἐπὶ γυναικός. καὶ γὰρ ἐπὶ τῶν ὑφαινομένων ἱματίων λέγομεν σπαθᾶν, τὸ ἄγαν κρούειν τὴν κρόκην, ὥστε προκαθίζειν καὶ πολλὴν μὲν ἀναλίσκειν κρόκην, ἰσχυροτέραν δὲ ἀπεργάζεσθαι τὴν ὑφήν. δύναται μὲν οὖν τὸ σπαθᾶν ἐπ' ἀμφοτέρων νοεῖσθαι. ὅτι δὲ νῦν ἐπὶ τῶν πολλὰ δαπανώντων παρείληπται, δῆλον ἐκ τοῦ ἐπιφερομένου,

ἐγὼ δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ,
πρόφασιν ἔφασκον, ὦ γύναι, λίαν σπαθᾷς.

τοῦτο δὲ ἐπήνεγκε διττὸν ὂν, τό τε ἀναλοῦν καὶ τὸ ὑφαίνειν.

55. *λίαν σπαθᾷς*: Ἐργάζῃ. εἰρωνικῶς καὶ τοῦτο. δεικνὺς γὰρ αὐτῇ τὸ ἱμάτιον παραρραγὲν ἔλεγε τοῦτο αὐτῇ.

57. *πότην ἧπτες*: Πότης, Ἀττικῶς ὁ ταχέως ἀναλίσκων λύχνος. [πότης λύχνος παρ' Ἀττικοῖς ὁ πολὺ ἔλαιον ἀναλίσκων. R.]

[58. καλεῖ τὸν παῖδα πλησίον ἐλθεῖν τῆς κλίνης ἐφ' ἧς ἀνέκειτο, τύψειν αὐτὸν ἀπειλῶν. R.V. θρυαλλίδων δὲ τῶν ἐλλυχνίων. V.]

59. *θρυαλλίδων*: Ἀπὸ τοῦ θρύου τὸ παλαιὸν τὰ ἐλλύχνια. τὰ γὰρ παχέα ἐλλύχνια πολὺ ἔλαιον δαπανῶσι. [ἐνέβαλες θρυαλλίδα παχεῖαν. Θ.]

60. *μετὰ ταῦθ' ὅπως*: Μετὰ τὸ ἐπιτιμῆσαι τῷ οἰκέτῃ ἐπὶ τὸ διήγημα ἀνατρέχει πάλιν τοῦ γάμου. οὐ μὴν συναπτέον πάντα τὸν στίχον, ἀλλ' ἀναπαυστέον μέχρι τοῦ υἱός. εἶτα διαστήσαντα χρὴ μεθ' ὑποκρίσεως ἐπάγειν, οὑτοσὶ, ὡς ἀχθομένου αὐτοῦ τῇ γενέσει. [μετὰ τὸ λαβεῖν τὴν γυναῖκα. ὅπως: Ἐπεί. Θ.]

ὀνομάτων κέχρηνται λέξεσιν (καταλήξεσιν ex codd. quibusdam correctum apud Gregor.), ὡς ἐνταῦθα, καὶ παρ' Ὁμήρῳ "κλυτὸς Ἱπποδάμεια." καὶ Εὐριπίδης "τὸ δ' αὖ λίαν παρεῖλες ἀγγελ- "θεῖσά μοι γενναῖος."

1. ἀναλίσκειν R.V. et Suidas. καταναλίσκειν Ald.

2. ἐχρήσατο Suidas. χρῆται Ald. quod om. R.V.

3. ἱματίων om. R.V.

ib. λέγομεν addidi ex R.V. et Suida.

4, 5. ὥστε—ὑφήν addidi ex V. et Suida.

5—10. δύναται—ὑφαίνειν om. R.

6. ἐπὶ τῶν πολλὰ δαπανώντων π. V. ἐπὶ τοῦ πολλοῦ π. Ald.

9. πρόφασιν V. κατὰ πρόφασιν Ald.

11. Scholion v. 55. om. R.V.

13. Πότης—λύχνος om. R.

13, 14. Πότης—ἀναλίσκων] πότης ὁ πολὺ ἀναλίσκων λύχνος V. a m. sec. Omittit G.

17, 18. Ἀπὸ τοῦ—δαπανῶσι om. V. ἀντὶ τοῦ ἐλλυχνίων. ἢ (ἢ delendum) ἀπὸ θρύου τὸ παλαιὸν τὰ ἐλλύχνια R.

20. τῷ οἰκέτῃ] τὸν δεσπότην V.

21. ἀ. πάλιν R.V. πάλιν ἀ. Ald.

21–23. οὐ μὴν—γενέσει om. R.

22. ἀλλ' ἀναπαυστέον om. V. ἀλλ' ἀναγνωστέον F. A. Wolfius.

23. οὑτοσί] οὕτως G.

61. τἠγαθῇ: Καὶ τοῦτο εἰρωνευόμενος λέγει. οὐ γὰρ ἀγαθὴν αὐτὴν παρίστησι στασιαζόμενος, ὥστε ὑπὸ τῆς φιλονεικίας καὶ εἰς λοιδορίαν ἐκτραπῆναι. [κατ' εἰρωνείαν. Θ.]

[62. ὑβριζόμεθα ὑπ' ἀλλήλων. Θ.]

[63. συνετίθει τὸ ὄνομα ἐξ ἵππου. R.]

64. Ξάνθιππον: Ὁ Ξάνθιππος Περικλέους ἦν πατὴρ, ὃς ἦν τοῦ τῶν Ἀλκμαιωνιδῶν γένους. ἐσεμνύνετο δὲ τὸ γύναιον θείῳ Μεγακλεῖ τῷ νικήσαντι τρὶς Ὀλύμπια καὶ δι' ἱπποτροφίαν κατελθόντι ἐκ τῆς φυγῆς. ἐδίωξε γὰρ αὐτὸν ὁ Πεισίστρατος, ὃν καὶ μετεπέμψατο παραχωρήσαντα αὐτῷ τὸ τῆς νίκης κήρυγμα. ἐπεὶ καὶ Καλλίας ὁ δᾳδοῦχος ὁ ἐν τῇ ἱερᾷ στολῇ προσελθὼν ἐπὶ τὴν μάχην εἰς Μαραθῶνα καὶ ἀριστεύσας κατὰ τῶν βαρβάρων τρὶς Ὀλύμπια νικήσας ἅρματι τὸν υἱὸν ἐκάλεσεν Ἱππόνικον. λέγεται δὲ τοῦτον πλουτῆσαι μάλιστα, αἰχμαλώτου τινὸς ἐν τῇ μάχῃ τῶν βαρβάρων προσελθόντος αὐτῷ καὶ μηνύσαντος θησαυρὸν ἐπὶ μισθῷ· ὃν καὶ αὐτὸν ὕστερον ἀπέκτεινεν ὁ Καλλίας. Ξάνθιππος μὲν οὖν ἐγένετο Περικλέους πατήρ. οὐδὲν δὲ νῦν πρὸς αὐτὸν ἐπικοινωνεῖ τὸ λεγόμενον, πλὴν εἰ μὴ ἄρα διὰ Κοισύραν (ἣν ἔφαμεν δούλην οὖσαν μητέρα γενέσθαι τοῦ Μεγακλέους) τὸ ὄνομα τὸ Ξανθίππου παρείληφε. παρῴδηται δὲ τὸ Περικλέους, Μεγακλέους, ὡς ἂν δυνάμενον ἀμφότερα δηλοῦν. δριμέα γὰρ καὶ ἀστεῖα τὰ τῆς κωμῳδίας σκώμματα.

2, 3. στασιαζόμενος—ἐκτραπῆναι om. R.V. Est recentius additamentum.

6, 7. Ὁ Ξάνθιππος — Μεγακλεῖ] μέγα φρονοῦσα πάντως ἐπὶ τῷ προγόνῳ μεγακλεῖ R.V.

8. τῷ νικήσαντι τρὶς R.V. τρίτον νικήσαντι Ald.

ib. ἐκ τῆς φυγῆς] τὸν ἵππον R. τοῦ ἵππου V.

9, 10. ἐδίωξε—κήρυγμα om. R.V.

10. ἐπεὶ καὶ καλλίας R.V. Καλλίας δὲ ὁ Ald. Malim ἔπειτα καὶ K.: nisi hæc alius scholiastæ verba sunt.

11, 12. ὁ ἐν—Μαραθῶνα R.V. προσελθὼν ἐν τῇ ἱερᾷ στολῇ κατὰ Περσῶν ἐν Μαραθῶνι Ald.

11. προσελθὼν ἐπὶ τὴν μάχην εἰς Μαραθῶνα] ἐλθὼν ἐπὶ τὴν μεγάλην μαραθῶνα Ald.

12. τῶν add. R.V.

ib. τρὶς R.V. καὶ τρίτον Ald.

13. ἐκάλεσεν ἱππόνικον R.V. Ἱππόνικον ὠνόμασε Ald.

13–16. λέγεται—ὁ Καλλίας om. R.

13. πλουτῆσαι Palmerius. νικῆσαι V. Ald.

15. ἐπὶ μισθῷ· ὃν add. V.

16. οὖν om. R.

17. ἐπικοινωνεῖ] ἐκοινώνει V.

17–21. πλὴν εἰ—σκώμματα om. R.

18. ἄρα om. V.

ib. ἔφαμεν] Conf. ad v. 46. φαμὲν V.

18, 19. μητέρα—Ξανθίππου] περικλέους μεγακλέους εἶναι μητέρα. τὸ ὄνομα δὲ τὸ ξανθίππου V.

19. παρείληφε V. εἰλήφει Ald.

19, 20. παρῴδηται — Μεγακλέους om. V.

20. ὡς ἂν] νῦν V. spectant hæc ad v. 47.

[66. τέως: Μέχρι τινός. τῷ χρόνῳ, μόλις. Gl. Br. ἐκρινόμεθ': Ἐφιλονεικούμεθα. R. ἐπὶ πολὺν μὲν οὖν χρόνον διεφερόμεθα, ἐμαχόμεθα, διημφισβητοῦμεν. V.]

67. κοινῇ ξυνέβημεν: Ἀντὶ τοῦ ὡμονοήσαμεν καὶ ἀμφοτέροις συνέδοξε. τοῦτο δὲ διότι ἀφ' ἑκατέρων τῶν γενῶν τῷ ὀνόματι ἐπετέθη μέρος.

68. ἐκορίζετο: Ἐκολάκευεν, οἷα τοῖς παιδίοις συμβαίνει τοῖς μικροῖς. [προσηνῶς καὶ κολακευτικῶς. R.]

70. ξύστιδ' ἔχων: Ξύστιδα προπαροξύνουσιν. ἤγουν πορφυρίδα. καὶ γὰρ μέχρι νῦν οἱ εἰσελαύνοντες ἀθληταὶ τοιούτῳ κοσμηθέντες σχήματι καὶ ἅρματος ἐπιβάντες διὰ μέσης πομπεύουσι τῆς πόλεως, ᾧ καὶ οἱ βασιλεῖς χρῶνται. Ἄλλως. ξύστις λέγεται τὸ κροκωτὸν ἱμάτιον, ὃ οἱ ἡνίοχοι μέχρι τοῦ νῦν φοροῦσι πομπεύοντες. χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοὶ βασιλεῖς. [ξυστὶς εἶδος ἱματίου πορφυροῦ. ἄλλοι δέ φασι τὸ ἰδιωτικῶς λεγόμενον σωσάνιον καὶ σῶζον τοὺς ἄνδρας. Schol. Br.]

71. ἐκ τοῦ Φελλέως: [Τόπος τῆς Ἀττικῆς ἐπιτήδειος εἰς βόσιν αἰγῶν τραχύς. R. τόπος τῆς Ἀττικῆς οὕτω καλούμενος τραχύς. αἱ δὲ αἶγες ὡς τραχύτερα διώκοντες καὶ ὀρεινότερα εἰς τὸν τόπον ἐκεῖνον τὰ πλεῖστα διάγουσιν. ἡ δὲ διφθέρα ἐστὶ ποιμενικὸν περιβόλαιον ἐκ δέρματος πεποιημένον. V.] τόπος τῆς Ἀττικῆς οὕτω καλούμενος.

ib. ἀμφότερα δηλοῦν] ἀμφοτέρους δηλῶσαι V.

2. μὲν om. G.

4. Ἀντὶ τοῦ om. V.

ib. καὶ ἀμφοτέροις R.V. ὅτε καὶ ἀμφοτέρως Ald.

5. συνέδοξε V. οὖν ἔδοξεν R. ἡμῖν ἔδοξε Ald. Sequentia om. V.

ib. τοῦτο δὲ διότι R. τοῦτο. ἢ διότι (τοῦτο cum ἔδοξε conjuncto) Ald.

7. Solum ἐκολάκευεν habet R, totum scholion om. V. οἷα τοῖς μικροῖς παιδίοις ἔθος χαριεντιζομένους προσπαίζειν τοὺς γονεῖς Suidas s. ἐκορίζετο.

9–12. Ξύστιδα—Ἄλλως om. R.V.

12. ξύστις] ξυστὶς R.

ib. κροκωτὸν] πορφυροῦν R.

13, 14. ὃ οἱ—βασιλεῖς] ὅπερ οἱ ἡνίοχοι χρῶνται ἐν τῇ ἱππικῇ R.

13. μέχρι τοῦ νῦν φοροῦσι V. et Suidas s. ξυστίς. φοροῦσι μέχρι νῦν Ald.

ib. πομπεύοντες om. V.

15. σωσάνιον] Hoc ab aliis σουσάνιον dicitur: vide Ducang. s. σοῦσον.

18. αἱ δὲ αἶγες πρὸς τὰ τραχύτερα καὶ ὀρεινότερα διάγουσιν Suidas s. Φελλέα.

21. τόπος] Ἄλλως. τόπος Ald., præmisso scholio inutili, quo carent R.V, τόπος οὕτω καλούμενος ἐν Ἀττικῇ. οὐ μὴν ἀλλὰ καὶ περὶ τὸν Διόνυσόν ἐστί τις ἑορτὴ τοῖς Ἀθηναίοις Φέλλος καλουμένη· (hæc ex Suida sumpta, ubi est καὶ ἑορτή τις περὶ τὸν Διόνυσον Φελλὸς καλουμένη.) ἥτις τῶν Διονυσίων ἄρχεται. Λουκιανὸς δὲ ἐν τῷ περὶ τῆς Συρίης θεοῦ (c. 16. vol. 3. p. 463.),

ἐκ τούτου δὲ φελλεάτας λέγουσι Δωριεῖς τοὺς κισσηρώδεις λίθους. αἱ δὲ αἶγες πρὸς τὰ τραχύτερα διώκουσι.

72. *διφθέραν ἐνημμένος*: *Ἀντὶ τοῦ ἐνδεδυμένος. ποιμενικὸν δὲ περιβόλαιον ἡ διφθέρα. Ἀττικοὶ δὲ λέγουσιν ἣν νῦν ἰσάλην καλοῦμεν. ἔστι δὲ ἐκ δέρματος.* [*γοῦνναν.* Gl. Θ.]

74. *ἀλλ' ἵππερόν μου κατέχεε*: *Ἔπαιξε παρὰ τὸν ἴκτερον. νόσημα δὲ ὁ ἴκτερος, ὃς περιχεῖται ταῖς ὄψεσι τῶν νοσούντων. διὸ καὶ τὸ κατέχεε κατὰ λόγον ἐπήγαγεν. οὕτω δὲ καὶ τοῖς χρήμασιν αὐτοῦ ἐπιβεβλῆσθαί φησιν ἵππερον, οἷον ἱππικὸν ἔρωτα ἢ νόσον ἱππικὴν, διὰ τὸ πολλὰ δεδαπανηκέναι περὶ τὴν ἱπποτροφίαν χρήματα.* [*ἱππικὸν ἔρωτα, ἀφανισμόν.* Gl. Br.]

τῶν χρημάτων: *Εὕρηται τοῦτο, καὶ ῥημάτων· ὅπερ οὕτως εἴποις· ἀλλὰ κατέχεε τῶν ῥημάτων ἐμοῦ ἱππικὸν ἔρωτα· τουτέστιν, ἐμοῦ ὡς οὐδὲν δεῖ δαπανᾶν ἀφειδῶς λέγοντος, λῆρον ἡγησάμενος τοὺς λόγους, ἀντετίθη αὐτοῖς, ὡς ἐραστής ἐστιν ἵππων, καὶ οὐδέποτε τούτου ἂν ἀποσταίη.*

80. *Φειδιππίδιον*: *Τὸ ὑποκορίζεσθαι φιλούντων ἔθος. κολακεύει δὲ νῦν τὸν υἱὸν καὶ προσποιεῖται φιλεῖν, ἵνα ἑτοιμότερον αὐτὸν πρὸς τὴν ἀξίωσιν ἑαυτοῦ πείθεσθαι παρασκευάσῃ.*

81. [*ἐπὶ πίστει καὶ συνθήκαις διδόναι τὰς δεξιὰς ἀλλήλων εἰώ-*

" *φαλλοὺς*" *φησὶν,* "*Ἕλληνες τῷ Διονύσῳ* " *ἐγείρουσιν· ἐπὶ τῶν καὶ τοιόνδε τι φέ-* " *ρουσιν, ἄνδρας μικροὺς ἐκ ξύλου πε-* " *ποιημένους, μεγάλα αἰδοῖα ἔχοντας.* " *καλέεται δὲ τάδε νευρόσπαστα.*" *καὶ παρακατιὼν δὲ* " *ἐν τοῖς προπυλαίοις τοῦ* " *Συρίης θεοῦ ναοῦ φαλλοὶ ἑστᾶσιν, οὓς* " *Διόνυσος ἐστήσατο.*"

21. (p. 389) – 2. *τόπος—διώκουσι* om. R.V.

1. *φελλεάτας*] *φελλέτας* Suidas.

3–5. *Ἀντὶ—δέρματος* om. V.

3. *Ἀντὶ τοῦ* add. R.

4, 5. *Ἀττικοὶ—δέρματος* om. R.

4. *ἰσάλην* corruptam esse ex *ἰξαλῆ*, (i. e. *pellis caprina:* ab *ἴξαλος, capra*) recte monuit Casaubonus de Satyr. Poës. 1, 4. et ad Theophr. Charact. pag. 147. Corruptionem tamen illam satis antiquam esse oportet: si quidem Galenus in Lexico glossar. Hippocr. jam meminit vocis *ἰσάλην*, eamque exponit, *διφθέραν, δέρμα*. Apud Pollucem 4, 118. corrupte legitur *ἰζάνην*, pro *ἰξαλῆν*, vel *ἰσάλην*: ut a viris doctis jam observatum est. Vide etiam Fœsium in Œconom. Hippocr. v. *Ἰξάλην*. KUST.

6–10. *Ἔπαιξε — χρήματα*] *ἀντὶ τοῦ εἰπεῖν ἴκτερον οἷον ἱππικὸν ἔρωτα ἢ νόσον ἱππικήν* R.

7, 8. *διὸ—ἐπήγαγεν* om. V.

8. *οὕτω*] *οὗτος* V.

ib. *αὐτοῦ ἐ. φ.*] *αὐτὸν ἐ. φ. αὐτοῦ* V.

9. *ἢ* add. V.

10. *περὶ—χρήματα* add. V.

12—16. *Εὕρηται—ἀποσταίη*] Scholion futile om. R.V.

17. *φιλούντων*] *φιλίας* R, sequentibus omissis. Totum scholion om. V.

θασιν. ὑπὲρ οὖν τοῦ πεισθῆναι τὸν νεανίαν ὁ πρεσβύτης ταύτην ἀξιοῖ παρ᾽ αὐτοῦ πίστιν λαβεῖν. καὶ Εὐριπίδης *ἐν* Μηδείᾳ

> Μήδεια δ᾽ ἡ δύστηνος ἠτιμασμένη
> βοᾷ μὲν ὅρκους ἀνακαλεῖ δὲ δεξιὰς
> πίστιν.

V.] *κύσόν με καὶ τὴν χεῖρα δός*: Πρὸς τὸ Ὁμηρικόν,

> χεῖράς τ᾽ ἀλλήλων λαβέτην καὶ πιστώσαντο.

φίλησον καὶ πρόσπτυξαι καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν. ἔθος δ᾽ ἐπὶ πίστει καὶ συνθήκαις βεβαίαις τὰς δεξιὰς διδόναι ἀλλήλοις. [*ἔθος ἦν τοῖς παλαιοῖς τὰς δεξιὰς διδόναι ἀλλήλοις εἰς βεβαίωσιν τῶν συνθηκῶν. καὶ* Ὅμηρος "*χεῖράς τ᾽— πιστώσαντο*". Schol. Br.]

82. *ἰδοὺ τί ἐστιν*: Τὸ *αἰτηθὲν παρὰ τοῦ πρεσβύτου ποιῶν ὁ νεανίσκος τὴν δεξιὰν ὤρεξεν αὐτῷ. καὶ δῆλον ὅτι παρεπιγραφὴ τὸ ἰδού.*

83. *νὴ τὸν* Ποσειδῶ *τουτονί*: Ἅρμα *δείξας ὄμνυσιν ἢ ἄλλο τι ἡνιοχικόν, ἢ πολεμικὸν σκεῦος. κυρίως νῦν ὁ νεανίσκος ὄμνυσι τὸν* Ποσειδῶνα, *θεὸν ἱππικὸν ὄντα, ἅτε καὶ αὐτὸς περὶ ἵππους ἐσπουδακώς. τουτονὶ δὲ οὐ τῷ κοινῷ τῶν ἀνθρώπων ἔθει χρώμενον αὐτὸν δεῖ νομίζειν λέγειν (εἰώθαμεν γὰρ οἱ ὀμνύντες λέγειν, μὰ τοῦτον τὸν θεόν, μὰ τοῦτον τὸν* Ἀσκληπιόν), *ἀλλ᾽ ἔνδον ἀφίδρυμα ἔχοντα* Ποσειδῶνος. *διὰ τοῦτο καὶ ὁ πρεσβύτης τῷ ὅρκῳ ἀκολούθως ἄχθεται.* [*ἢ οὖν ἅρμα δείκνυσιν αὐτῷ παρακείμενον ἢ ἄλλο τι ἀφίδρυμα* Ποσειδῶνος *καὶ κατὰ τούτου ὄμνυσιν.* V.]

84. *μή μοί γε*: Μὴ *εἴπῃς μοί, φησί, τὸν ἵππιον. οὐ γὰρ ἀνέχομαι τὸ τῶν ἵππων ἀκούειν ὄνομα, δι᾽ οὓς ἀπολωλέκειν τὰ χρήματα.*

88. *ἔκστρεψον*: Ἀντὶ *τοῦ μετάβαλε. ἀπὸ μεταφορᾶς τῶν ῥυπουμένων ἱματίων καὶ ἐκστρεφομένων. ἐκστρέψαι γὰρ ἱμάτιον, λέγεται τὸ ἀλλάξαι τὸ πρὸς τὸ σῶμα μέρος ἔξω. ἄλλαξον οὖν, φησί,*

2. ἐν Μηδείᾳ] 20.
4. δεξιὰς] Scribendum δεξιᾶς, cum libris quibusdam Euripidis.
6–9. Πρὸς τὸ Ὁμηρικὸν (Il. Z, 233)—ἀλλήλοις om. R.V.
12. Scholia v. 82. om. R.V.
13. ἰδού Reizius. εἶδος Ald.
14. Scholia v. 83. om. R.
14, 15. Ἅρμα—σκεῦος om. V.
15. κυρίως V. κυρίως δὲ Ald.
17. οὐ addidi ex V.
18. λέγειν V. εἰρηκέναι Ald.
ib. εἰώθαμεν γὰρ οἱ ὀ. V. εἰώθασι γὰρ ὀ. Ald.
19. ἀλλ᾽ ἔνδον V. ἄλλοι δὲ Ald.
23. Sch. v. 84. om. R.V.
26. ἱματίων post καὶ ἐκστρ. ponit R. et Suidas s. ἔκστρεψον.
ib. καὶ ἐκστρεφομένων om. V.
ib. γὰρ R.V. et Suidas. δὲ Ald.
ib. λέγεται add. R.V. et Suidas.
27. σῶμα R.V. et Suidas. ἔσω Ald.

τοὺς τρόπους σου καὶ μετάβαλε. [ὡς ἁρματηλάτου δὲ τὸ ὡς τάχιστα. V.]

ὡς τάχιστα: Μεταφορικῶς. τὸ γὰρ ὡς τάχιστα κυρίως ἐπὶ ἁρματηλάτου. ταχινὰ γὰρ τὰ ἅρματα.

90. νὴ τὸν Διόνυσον: Ἐπεὶ ἐκώλυσεν αὐτὸν κατὰ τοῦ Ποσειδῶνος ὀμόσαι, εἰκότως μετέβαλεν εἰς τὸν Διόνυσον τὸν ὅρκον. [τὸ δὲ δεῦρο οὐκ ἔστι τοπικὸν, ἀλλ᾽ ἀντὶ τοῦ ἐλθέ. R.V.]

92. καὶ τῳκίδιον: Τὸ οἰκίδιον ὑποκοριστικῶς. σμικρύνει δὲ, καὶ τοῖς ὀνόμασιν αὐτοῖς τὸ εὐτελὲς εἰς παντὰ τῆς φιλοσοφίας δεικνύς. τὸ δὲ δεῦρο νῦν οὐ τοπικὸν, ἀλλ᾽ ἀντὶ τοῦ ἐλθέ. ἤγαγε δὲ δῆθεν αὐτὸν ἐπὶ τὴν Σωκράτους οἰκίαν.

94. ψυχῶν σοφῶν: Ἤγουν ἀνδρῶν φιλοσόφων. τοῦτο δὲ ἐπ᾽ ἀμφοτέρων δύναται νοεῖσθαι. ἔστι γὰρ ἀμφίβολον καὶ ἄδηλον πότερον τὰς ψυχὰς αὐτὰς λέγει σοφὰς, ἢ τοὺς ἄνδρας σοφούς. ταῖς δὲ ψυχαῖς ἐκείνων ἔνεστι τὸ φροντιστήριον. ἐὰν μὲν γὰρ

ψυχῶν σοφῶν τοῦτ᾽ ἐστὶ φροντιστήριον,

ἐνδέχεται τὸ αὐτὰς εἶναι τὰς ψυχὰς σοφὰς, ἐὰν δὲ ψυχῶν, σοφῶν, ἀνδρῶν λέγει. δύναται δὲ καὶ σκώπτειν διὰ τούτου τὸν περὶ ψυχῆς Σωκράτους λόγον καὶ ἀσαφῶς ἐπίτηδες εἰρηκέναι, ἐπεὶ καὶ Σωκράτης ὁριζόμενος περὶ ψυχῆς, ἀσαφῶς ἔδοξε λέγειν, καὶ ὥς τινες νομίζουσιν, ἀπεναντίας αὐτῷ, τὴν ἰδίαν ἀσθένειαν κατηγορίαν Σωκράτους ποιούμενοι. ἃ δὲ περὶ ψυχῆς ὥρισε, ταῦτα "ψυχὴ πᾶσα ἀθάνατος. τὸ "γὰρ ἀεικίνητον, ἀθάνατον. τὸ δ᾽ ἄλλο κινοῦν, ἢ ὑπὸ ἄλλου κινού"μενον, παῦλαν ἔχον κινήσεως, παῦλαν ἔχει καὶ ζωῆς."

1. μετάβαλε V. et Suidas. μεταβαλοῦ Ald.
3, 4. Μεταφορικῶς—ἅρματα om. R.V.
5, 6. Ἐπεὶ—ὅρκον R.V. ἐπεὶ οὐκ ἐπιτρέπει τὸν Ποσειδῶνα ὀμνύναι, μεταβαλὼν τὸν Διόνυσον ὄμνυσιν Ald.
6. τὸ δὲ δεῦρο] τὸ δεῦρο R.
8–10. σμικρύνει—ἐλθέ om. R.
9. αὐτοῖς] αὐτὸ V.
ib. εἰς πάντα τὰ (delendum τὰ) τῆς φ. V. τῆς φ. εἰς πάντα Ald.
10. τὸ δὲ—ἐλθέ om. V.
12–24. Ἤγουν—ζωῆς om. R.V, nisi quod R. gl. habet ἀνδρῶν φιλοσόφων.
17. Comma post ψυχῶν recte ponit Ald. Ineptiæ hæ sunt grammatici ambigentis feminino an masculino genere σοφῶν dictum haberi debeat. Absurdum est de masculino cogitari, quum verborum collocatio postulet ut femininum intelligatur.
22. ταῦτα] Ex Platonis Phædro p. 245 C.
24. ἔχον—καὶ ζ.] ἔχει κινήσεως καὶ ζ. Ald. Correctum ex Platone.

φροντιστήριον: Οἱονεὶ, βουλευτήριον. ἢ σύνοδός τις καὶ θᾶκος σοφῶν. θᾶκος δὲ καλεῖται Ἀττικῶς τόπος ἔνθα πολλοὶ συνέρχονται σκεψόμενοι. φροντισταὶ δὲ ἐκαλοῦντο οἱ περὶ τὸν Σωκράτη, διὰ τὸ φροντίζειν περὶ ἀλλήλων καὶ διὰ τὸ μηδέποτε παύεσθαι τῆς φροντίδος.

[95. ἐπειδὴ περὶ τῶν οὐρανίων διαλέγονται οἱ φιλόσοφοι. R.]

96. ὥς ἐστι πνιγεὺς: [Οὕτως ὁ κρίβανος κυρίως ὅπου οἱ ἄνθρακες συμπνίγονται. διὸ ἐπιλέγει, ἡμεῖς δ' ἄνθρακες. λέγει δὲ τὸν φοῦρνον. R.] πνιγεὺς ἡ τῶν ἀνθράκων κάμινος. διὸ ἐπιλέγει, ἡμεῖς δ' ἄνθρακες· διὰ τὸ ὑπὸ ἡλίου θερμαίνεσθαι. κυρίως πνιγεὺς, ἔνθα οἱ ἄνθρακες ἔχονται καὶ πνίγονται. ταῦτα δὲ πρότερος Κρατῖνος ἐν Πανόπταις δράματι περὶ Ἵππωνος τοῦ φιλοσόφου κωμῳδῶν αὐτὸν λέγει· ἀφ' οὗ στοχαζόμενοί τινές φασιν ὅτι μηδεμιᾶς ἔχθρας χάριν Ἀριστοφάνης ἧκεν ἐπὶ τὴν τῶν Νεφελῶν ποίησιν, ὅς γε μήτε ἴδιόν τι μήτε ἁρμόττον, ἀλλὰ μηδὲ πρὸς ἓν ἔγκλημα ἦλθε Σωκράτους. δύο γὰρ κατ' αὐτοῦ ταῦτα προθεὶς ἐγκλήματα, τὸ περὶ τοῦ οὐρανοῦ, ὅτι ἐστὶ πνιγεὺς, καὶ ὡς ἱκανός ἐστι τὸν ἥττω λόγον διδάσκειν καὶ τὸν κρείττονα, τὸ μὲν κοινὸν τῶν φιλοσόφων ἁπάντων ἐπήγαγεν ἔγκλημα, τὸ δὲ οὐδὲ τὸ σύνολον ἐπικοινωνεῖ φιλοσοφίᾳ. οὐ γὰρ τοῦτο ἐπαγγέλλονται οἱ φιλόσοφοι, δεινοὺς ποιήσειν λέγειν· ἴδιον δὲ τὸ

1. Οἱονεὶ βουλευτήριον om. R.V.
ib. ἢ] ἡ R.V.
ib. τις καὶ θᾶκος σοφῶν] τῶν σοφῶν ἥτις καὶ θᾶκος V.
ib. Post θᾶκος in Ald. παῦλον ἔχον legitur typothetæ errore e loco Platonico illatum.
2. ἀττικῶς (sic G: ἀττικὸν V.) τόπος R.V. ὁ τόπος Ἀττικῶς Ald.
3. δὲ om. R.
ib. Σωκράτη] σωκράτην V.
3, 4. διὰ τὸ—καὶ διὰ] ἐπειδὴ ἐφρόντιζον περὶ ἀλλήλων ἢ διὰ V.
4. περὶ ἀλλήλων V. περὶ om. Ald. ἀλλοτρίων Reizius.
ib. τὸ μ. R.V. τοῦτο μ. Ald.
8. συμπνίγονται] συνπνίγονται R.
9-p. 394. l. 11. πνιγεὺς ἡ—ὑφαιρούμενον om. R.
9, 10. πνιγεὺς ἡ—θερμαίνεσθαι om. V.
10. κυρίως V. κυρίως δὲ Ald.
11. κρατῖνος V. Κράτης Ald.
12. Ἵππωνος] Scribebatur Ἱππῶνος.
16. προθεὶς Kusterus. προσθεὶς Ald.
ib. τοῦ add. V.
17. ὡς V. ἴσως Ald.
18. ἔγκλημα] Delevi quod addebatur φαίνεται δὲ καὶ ἐπὶ τούτων ὁ Ἱππὼν κωμῳδηθῆναι φθάσας (φαίνεται οὖν ὁ ἵππων καὶ ἐπὶ τούτῳ κ. φθ.).
19. τὸ δὲ οὐδὲ] Legebatur τὸ δὲ τῶν ἐγκλημάτων οὐδὲ. Correxi adjuvante V, in quo ὁ δὲ τὸ ἔγκλημα τοῦ δὲ.
ib. τὸ om. V.
ib. φιλοσοφίᾳ] φιλοσοφίαν V.
19, 20. οὐ γὰρ—φιλόσοφοι om. G.
20. ἐπαγγέλλοντες V.

τοιοῦτο μᾶλλον ῥητορικῆς· ὡς ἐπ' ἀμφοτέροις τὸν φιλόσοφον καθαρεύειν. οἱ δ' ὅτι ὁλόκληρον εἰς αὐτὸν συνέταξε δρᾶμα, ὃ δι' ἔχθραν νομίζουσιν αὐτὸν πεποιηκέναι, οὐκ ὀρθῶς οἴονται. πρῶτον μὲν γὰρ Δίφιλος εἰς Βοίδαν τὸν φιλόσοφον ὁλόκληρον συνέταξε ποίημα, δι' οὗ καὶ εἰς δουλείαν ἐρυπαίνετο ὁ φιλόσοφος. οὐ διὰ τοῦτο δὲ ἐχθρὸς ἦν. ἔπειτα Εὔπολις, εἰ καὶ δι' ὀλίγων ἐμνήσθη Σωκράτους, μᾶλλον ἢ Ἀριστοφάνης ἐν ὅλαις ταῖς Νεφέλαις αὐτοῦ καθήψατο. οὐδὲν δὲ χεῖρον ὑπομνησθῆναι τῶν Εὐπόλιδος "δεξάμενος δὲ Σωκρά-" της τὴν ἐπίδειξιν Στησιχόρου οἰνοχόην ἔκλεψεν." οἷον δ' ἦν ὁρᾶν τὸν φιλόσοφον τὸ ἐν φανερῷ μάλιστα σκεῦος κατακείμενον κλέπτοντα καὶ ὑφαιρούμενον. [πνιγεὺς: Κάμινος. Gl. Br.]

98. οὗτοι διδάσκουσιν, ἀργύριον ἤν τις διδῷ: Καὶ τοῦτο ψεῦδος, διαβολῆς χάριν. οὐδεὶς γὰρ μισθὸν ἐτέλει Σωκράτει, ἐπεὶ κἀκεῖνος ἔφασκε μηδὲν εἰδέναι. διόπερ καὶ ὑπὸ τοῦ Πυθίου σοφὸς ἐκρίθη. τοῦτο γὰρ αὐτοῦ πρῶτον ἔκρινεν σοφοῦ εἶναι, τὸ γνωρίσαι ὅτι μηδὲν οἶδε. πῶς οὖν ἂν μισθὸν ἐπράττετο παρὰ τῶν συνόντων ὁ περὶ αὐτοῦ βεβαιούμενος ὅτι οὐδὲν οἶδεν;

[101. ἀποφεύγει εἰπεῖν τὸ ὄνομα διὰ τὸ ἐπαχθές. R.]

102. ἀλαζόνας: Ἰδίως τοὺς ψεύστας ἐκάλουν. εἰκότως δὲ καὶ τοὺς φιλοσόφους ἀλαζόνας καλεῖ, ἐπεὶ λέγειν ἐπαγγέλλονται περὶ ὧν οὐκ ἴσασιν. ἢ ὅτι σεμνὰ ἔχοντες ἤθη ἀλαζόνες δοκοῦσιν. ὠχρι-

1. ῥητορικῆς V. τῆς ῥητορικῆς Ald.
ib. ὡς om. V.
ib. φιλόσοφον] φίλον V.
2–11. οἱ δ' ὅτι—ὑφαιρούμενον om. V.
2. Addidi ὃ.
4. Βοίδαν] Βοΐδαν Ald.
5. δι' οὗ καὶ εἰς] διὸ οὐκ εἰς Ald. Correxit Hermannus, præeunte Reizio, qui δι' οὗ εἰς scripserat.
ib. ὁ addidit Reizius.
9. Eupolidis versus sunt choriambici, in quibus delendum videtur τὴν ἐπίδειξιν. Post Στησιχόρου addendum πρὸς τὴν λύραν ex scholio v. 180.
12. Scholion v. 98. om. R.
13. κἀκεῖνος V. ἐκεῖνος Ald.
14. ἔφασκε μηδὲν] οὐδὲν ἔφασκε V.
ib. τοῦ add. V.
15. σοφοῦ εἶναι V. εἶναι σοφὸν Ald.
ib. τὸ γνωρίσαι] τὸ αὐτὸ τοῦτο γνωρίσαι V.
16. ἂν om. V.
ib. ὁ] τῶν V.
ib. περὶ αὐτοῦ βεβαιούμενος V. λέγων περὶ αὐτοῦ Ald.
17. οἶδεν V. οἶδα Ald.
19–p. 395. l. 2. Ἰδίως—ἄθλιοι] τοὺς φιλοσόφους οὕτως ἐκάλουν. τὸ αἰβοῖ σχετλιαστικόν. τὸ δὲ πόνηροι ἀντὶ τοῦ ἐπίπονοι R. τὸ αἰβοῖ σχετλιαστικόν ἐστι· τὸ δὲ πονηροὶ ἀντὶ τοῦ ἐπίπονοι. τὸ δὲ ἀλαζόνας, ἰδίως ἀλαζόνας τοὺς ψεύστας καλεῖ. εἰκότως οὖν καὶ τούτους οὕτως λέγει V.

ῶντες δὲ καὶ ἀνυπόδητοι, ἐπεὶ μόνης ἀρετῆς φροντίζοντες καὶ οὐ τρυφῆς, διώκουσι τὸ ἀπέριττον. πόνηροι δὲ ἀντὶ τοῦ ἐπίπονοι, ἄθλιοι.

104. καὶ Χαιρεφῶν: Ἑταῖρος Σωκράτους ὁ Χαιρεφῶν, ὃς ἐκαλεῖτο καὶ νυκτερὶς διὰ τὸ μέλας εἶναι καὶ ἰσχνόφωνος.

105. [συγκατατίθεται καὶ ὁ πρεσβύτης ὡς εἰδότος αὐτοὺς τοῦ νεανίσκου καὶ ἀληθῆ περὶ αὐτῶν εἰρηκότος. φησὶν οὖν τούτους αὐτούς. R.V.] μηδὲν εἴπῃς νήπιον: Μηδὲν εὔηθες, μηδὲ μειρακιῶδες, μηδ' ἀνόητον εἴπῃς. ἀντὶ τοῦ μὴ ὡς τὰ νήπια παιδία ἀνόητα εἴπῃς. [νήπιον: Μωρόν. Gl. Br.]

106. ἀλλ' εἴ τι κήδει: Ἀντὶ τοῦ φροντίζεις. ἀλφίτων δὲ ἀντὶ τοῦ χρημάτων, ὡς ἄγροικος, τουτέστι τῆς πατρῴας οὐσίας.

107. [τούτων γενοῦ μοι: Λείπει τὸ εἷς ἀριθμητικὸν ὄνομα, εἷς τούτων γενοῦ μοι, τούτοις μαθήτευσον. σχασάμενος: Καταπαύσας τῆς ἱππικῆς ἀπὸ μεταφορᾶς τῶν ἐρεσσόντων. R.] καταλύσας, παυσάμενος τὴν ἱππικὴν, ἢ ἀποσυγχωρήσας καὶ ἀποστὰς τοῦ παρόντος ἐπιτηδεύματος. τὸ δὲ σχασάμενος ἀπὸ μεταφορᾶς εἴληπται τῶν ἐρεσσόντων· σχάσαι γὰρ δεῖ καὶ ὥσπερ διαστεῖλαι καὶ διασχίσαι τὸ ὕδωρ τὴν κώπην ἐρέσσουσαν. καὶ Πίνδαρος "κώπαν ἤδη μοι σχάσαις." καὶ Εὐριπίδης "σχάσον δὲ δεινὸν ὄμμα." Ἄλλως. στήσας, καταπαύσας. σχάσαι γὰρ τὸ κωπηλατοῦντα στῆσαι τὴν κώπην. [σχασάμενος: Ἀφείς. Gl. Br.]

3. Scholion v. 104. om. V.
4. ἰσχνόφωνος] λεπτόφωνος R.
5. πρεσβύτης] πρέσβυς R.
ib. αὐτοὺς] αὐτοῦ R.
6. ἀληθῆ] ἀληθῶς V.
7–9. μηδὲν—ἀνόητα εἴπῃς om. R.
7. μηδὲν] δὲ addit V.
ib. μηδὲ μειρακιῶδες om. V.
8, 9. ἀντὶ τοῦ—εἴπῃς V. ἀπὸ τοῦ μηδὲ τὰ νήπια παιδία εἰδέναι τι Ald.
10. ἀντὶ τοῦ V. ἤγουν Ald. om. R.
10, 11. ἀλφίτων—χρημάτων R.V. πατρῴων δ' ἀλφίτων ἀντὶ τοῦ τῶν χρημάτων Ald.
11. ὡς ἄγροικος add. R.
ib. τουτέστι R.V. ἢ Ald.
14–21. καταλύσας—τὴν κώπην om. R.
14–17. καταλύσας—ἐρεσσόντων V. τὸ δὲ σχασάμενος, ἀντὶ τοῦ καταπαύσας. ἀπὸ μεταφορᾶς τῶν ἀποσχιζομένων καὶ διαχεομένων ὑδάτων. Ἄλλως. καταλύσας, κατασπάσας, ἀποστὰς τούτου Ald.
14, 15. καταλύσας—ἀποσυγχωρήσας] ἀντὶ τοῦ παυσάμενος τῆς ἱππικῆς, ἢ ἀποχωρήσας Suidas s. σχάσον.
17. σχάσαι γὰρ δεῖ (δὴ Suidas) καὶ addidi ex V. et Suida.
ib. ὥσπερ V. et Suidas. ὡς Ald.
17, 18. διασχίσαι—τὴν κώπην ἐρέσσουσαν V. et Suidas. σχίσαι—τῇ κώπῃ ἐρεσσούσῃ Ald.
18–21. καὶ—κώπην om. V.
18. Πίνδαρος] Pyth. 10, 79.
19. σχάσαις Suidas. σχάσαι Ald. σχάσον apud Pindarum.
ib. Εὐριπίδης] Phœniss. 457.
20. τὸ Hermannus. τὸν Ald.

108. *οὐκ ἂν μὰ τὸν Διόνυσον*: Εὐλόγως τὸν Διόνυσον ὄμνυσι. τούτῳ γὰρ ἐπετελεῖτο τὰ Διονύσια, οἷς ἠγωνίζοντο οἵ τε τῆς τραγῳδίας καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί.

109. *τοὺς φασιανοὺς*: Οἱ μὲν ἵππους, οἱ δὲ ὄρνεα. ἔνιοι δ' ἵππους χάραγμα ἔχοντας φασιανοῦ, ὡς ἀλεκτρυόνος. καὶ εἴπερ ἐστὶ τοῦτο μὴ κατεψευσμένον, οἰκεῖον ἂν εἴη τῇ τοῦ νεανίσκου σπουδῇ. οἱ δὲ περὶ Ἀρίσταρχον ὀρνίθων γένος. οἱ δὲ ὅτι Φᾶσις ποταμός ἐστι Σκυθίας, ὅπου καλοὶ ἵπποι γίνονται. Λεωγόρας δὲ τρυφερός τις, ὁ Ἀνδοκίδου πατήρ. Πλάτων Περιαλγεῖ

ὦ θεῖε Μόρυχε, νῦν γὰρ εὐδαίμων ἔφυς,
καὶ Γλαυκέτης, ἡ ψῆττα, καὶ Λεωγόρας,
οἳ ζῆτε τερπνῶς, οὐδὲν ἐνθυμούμενοι.

Εὔπολις ἐν Αὐτολύκῳ β' ὡς καὶ διὰ Μυρρίναν ἑταίραν τὰ χρήματα ἀποβέβληκέ φησιν. φασιανοὶ δὲ οἱ ἔχοντες τοῦ μηροῦ ἐγκεχαραγμένον φασιανόν. Λεωγόρας δὲ ὄνομα κύριον ἑνὸς τῶν Ἀθήνησι πολιτευσαμένων τότε. πατὴρ δὲ οὗτος ἦν Ἀνδοκίδου τοῦ ῥήτορος. ἄδηλον δὲ, εἰ καὶ ὄρνεα ἔτρεφεν ὁ Λεωγόρας. μέμνηται δὲ αὐτοῦ ὡς ἱπποτρόφου. [οὐκ εἰσὶν ἵπποι φασιανοὶ, ἀλεκτρυόνες μέντοι. ἵπποι δέ τινες εἰσὶν ἀλεκτρυόνας κεχαραγμένοι. τούτους οὖν λέγει. Λεωγόρας δὲ ὄνομα κύριον ἑνὸς τῶν Ἀθήνησι πολιτευσαμένων τότε. πατὴρ δὲ οὗτος ἦν Ἀνδοκίδου τοῦ ῥήτορος. ἄδηλον δὲ εἰ καὶ ὄρνεα

1. ὄμνυσι] ὀμνύει R. Totum scholion om. V.

3. καὶ οἱ R. Aberat οἱ.

4–18. Οἱ μὲν—ἱπποτρόφου om. R.V.

7. Ἀρίσταρχον Ruhnkenius præfat. ad Hesych. vol. 2. p. VII. Ἀρχίλοχον Ald. et Suidas s. Φασιανοί.

9. Περιαλγεῖ] λέγει Suidas, quod ex Περιαλγεῖ corruptum esse recte conjicit Gaisfordus.

10. Μόρυχε Suidas. Μόρυχέ τε Ald. ib. νῦν] τέως Suidas.

11. ἡ Kusterus. ἣ Suidas. ᾗ Ald.

12. τερπνῶς Suidas. τερπνὸν Ald.

13. β' om. Suidas.

14. φασιανοὶ δὲ οἱ ἔχοντες Suidas. Legebatur οἱ δὲ ἔχοντας.

ib. τοῦ μηροῦ ἐγκεχ. φ.] ἐν (ἐν om. duo codd.) τῷ μηρῷ φασιανὸν ἵπποι.

16. πολιτευσαμένων] πολιτευομένων Suidas.

18. Post ἱπποτρόφου addit Junt. Ἀθήναιος (9. p. 387 A.) "καὶ τὸ ἐν "Νεφέλαις δὲ ἐπὶ τῶν ὀρνίθων ἔγωγε "ἀκούω, καὶ οὐκ ἐπὶ ἵππων, ὡς οἱ πολ-"λοὶ,

"τοὺς φασιανοὺς, οὓς τρέφει Λεωγόρας.

"δύναται γὰρ ὁ Λεωγόρας καὶ ἵππους "τρέφειν καὶ ὄρνεις φασιανούς. κωμῳ-"δεῖται γὰρ ὁ Λεωγόρας ὡς γαστρίμαρ-"γος ὑπὸ Πλάτωνος ἐν Περιαλγεῖ." Non animadvertit Francinus verba illa Athenæo ab lectore quopiam esse illata ex scholiasta Aristophanis. De quo dixi in annotatione ad locum Aristophanis.

20. πολιτευσαμένων] προπολιτευσαμένων V.

ἔτρεφεν ὁ Λεωγόρας. ἔστι δὲ ὄνομα τῶν ἱπποτροφησάντων Ἀθήνησιν. V. Φᾶσις ποταμὸς Σκυθίας, ὅπου καλοὶ ἵπποι γίνονται. Λεωγόρα δὲ ὡς ἱπποτρόφου μέμνηται. οἱ δὲ περὶ Ἀρίσταρχον ὀρνίθων τι γένος λέγουσι τοὺς φασιανούς. ἢ φασιανοὶ λέγονται οἱ ἔχοντες τῷ μηρῷ φασιανὸν ἐγκεχαραγμένον ἵπποι. R.]

110. ἴθ', ἀντιβολῶ: Πορεύου. νῦν δὲ, πείσθητί μοι. τὸ δὲ ἀντιβολῶ, παρακαλῶ, Ἀττικῶς.

111. καὶ τί σοι μαθήσομαι: Οὐ γὰρ ἑαυτῷ ἔμελλε μαθεῖν, ἤγουν δι' οἰκεῖον θέλημα ἢ ὠφέλειαν, ἀλλὰ διὰ τὸ τοῦ πατρός. διὸ τὸ σοί λέγει. ἤγουν, τί μαθήσομαι ὑπὲρ σοῦ.

[112. ψεύδεται κἀνταῦθα ὁ κωμικὸς λέγων παρὰ Σωκράτει εἶναι τὸν ἄδικον λόγον. οὐ γὰρ Σωκράτης, ἀλλὰ Πρωταγόρας ὁ Ἀβδηρίτης ἐφεῦρε αὐτὸν καὶ ἐδίδασκεν. Schol. Cant. 3.]

112. ἄμφω τὼ λόγω: Δυϊκῶς ἔκλινε. φησὶ δὲ τοὺς περὶ Σωκράτην ἱκανοὺς εἶναι ἀμφοτέρους τοὺς λόγους ἐκπαιδεύειν.

114. τὸν ἕτερον τοῖν λόγοιν: Τὸν δίκαιον τὸν νικῶντα. ὡς ἀγνοῶν δὲ τὰ δίκαια εἶπε τὸν ἕτερον. ἐβούλετο γὰρ ἀδικίαν μανθάνειν.

120. τοὺς ἱππέας τὸ χρῶμα: Οὐ γὰρ ἂν ὑπομείναιμι ὁραθῆναι ὑπὸ τῶν ἱππέων ὠχρὸς καὶ διεφθαρμένος. ἐκόμων γὰρ οἱ ἱππεῖς, οἱ δὲ φιλόσοφοι κάτω κείρονται. διακεκναισμένος δὲ ἀντὶ τοῦ ἠμαυρωμένος. εἰ γενοίμην, φησὶν, ὠχρὸς ὡς οἱ περὶ τὸν Σωκράτην, καὶ ἀνυπόδητος καὶ ῥυπῶν. οἱ γὰρ ἱππεῖς εὔχροοι καὶ ὑποδεδεμένοι

3. Ἀρίσταρχον] ἀρχίλοχον codex.
6. τὸ δὲ ἀντιβολῶ et Ἀττικῶς om. V. Totum scholion om. R.
7. παρακαλῶ] παρακαλῶ σε V.
8. Sch. v. 111. om. R.V. Habet Θ.
ib. ἔμελλε Θ. ἔμελε Ald.
9. θέλημος ἢ ὄφελος Θ.
12. Ἀβδηρίτης] αὐδηρήτης codex.
14. φησὶ δὲ ἀμφοτέρους τοὺς λόγους τοὺς περὶ Σωκράτην ἐκπαιδεύειν ἱκανῶς Ald. Correxi ex R.V.
15 εἶναι om. V.
16. τὸν νικῶντα R.V. νικᾶν Ald.
17. τὰ δίκαια R.V. τὸν δίκαιον Ald.
ib. γὰρ] δὲ G.
18. οὐ γὰρ ἂν V. οἷον οὐχ Ald. Totum scholion om. R.
19, 20. ὠχρὸς—κείρονται om. V.
20. κάτω κείρονται] ἀποκείρονται Kusterus.
ib. ἀντὶ τοῦ add. V.
21. ἠμαυρωμένος] Addit Ald. αἰσχρὸς καὶ διεφθαρμένος γενόμενος. οἱ γὰρ ἱππεῖς ἐν γυμνασίοις καὶ παλαίστραις διέτριβον. quæ om. V.
ib. εἰ V. οὐ Ald.
ib. φησὶν om. V.
ib. σωκράτην V. Σωκράτη Ald. καὶ ἀνυπόδητος καὶ ῥυπῶν om. V.
22. εὔχροοι V. εὖχροι Ald. et Suidas s. διακεκναισμένη.

καὶ ἐν γυμνασίοις ἐξεταζόμενοι καὶ ἐν παλαίστραις. καὶ ἐν τοῖς Ἱππεῦσι φησι

μὴ φθονεῖθ' ἡμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις.

τουτέστι λιπῶσι. τοῦτο οὖν καὶ νῦν ὁ νεανίσκος δεδοικέναι φησὶ, τὸ ἀπέχθεσθαι τοῖς περὶ τὴν ἱππικὴν ἔχουσιν, εἰ καταλιπὼν τὸ κοσμεῖν τὸ σῶμα καὶ μετιέναι τὰ τῶν ἱππέων ἐπιτηδεύματα τὰ τῶν φιλοσόφων μετέλθοι. ὡς ἱππαζόμενον δὲ καὶ τοῦτον μετὰ τῶν ἱππέων φησὶ τάττεσθαι. [διακεκναισμένος: Διεφθαρμένος, ἠμαυρωμένος, ὠχρὸς ὡς οἱ περὶ τὸν Σωκράτην. R. βεβλαμμένος, ἐφθαρμένος, ὠχρὸς, οἷόν ἐστι τὸ τῶν φιλοσόφων. Gl. Br.]

121. οὐκ ἄρα μὰ τὴν Δήμητρα: Εἰκότως τὴν Δήμητρα ὄμνυσιν, ἐπεὶ περὶ τροφῶν ὁ λόγος ἐστί. τούτων γὰρ ἡ θεὸς εὑρετίς. [ἔδει: Ἀντὶ τοῦ φάγει, θρέψει. R.V.]

122. οὔθ' ὁ ζύγιος οὔθ' ὁ σαπφόρας: Ζύγιοι ἵπποι καλοῦνται οἱ ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ, τουτέστιν ὁ μέσος δεξιὸς καὶ ὁ μέσος ἀριστερός. σαπφόραι δὲ οἱ σῖγμα ἔχοντες περὶ τὸν μηρόν. καὶ διὰ τοῦ μ καὶ π γράφεται. [σαμφόρας ὁ ἔχων εἰς τὸν μηρὸν σ. R.]

123. ἀλλ' ἐξελῶ σ' ἐς κόρακας: Ἀλλ' ἐκβαλῶ σε καὶ ἀποδιώξω ἐκ τῆς οἰκίας τῆς ἐμῆς. τραχύτερον δὲ αὐτῷ διαλέγεται καὶ ἀπηνέστερον, ὅτι τὴν ἐλπίδα τοῦ πείσειν αὐτὸν ἀπώλεσε.

124. ἀλλ' οὐ περιόψεταί με: Εἰκὸς γὰρ ἦν καὶ τοῦτον, σεμνυνόμενον ἐπὶ ταῖς τρισὶ νίκαις τοῦ πατρὸς, ἥδεσθαι τὸν νεανίσκον ὁρῶντα μετερχόμενον τὰ προγονικὰ ἐπιτηδεύματα.

1. καὶ ἐν παλαίστραις add. V. et Suidas.
2. Ἱππεῦσι] 580.
3. μὴ φθονείτω δ' ἡμῖν μήδ' ἀπωστλιγγισμένοις Ald. Correxi ex V.
ib. φθονεῖθ'] φθονεῖτε V.
4. καὶ νῦν add. V. et Suidas.
5. εἰ ἀπολιπὼν τὸ σῶμα κοσμεῖν V.
7, 8. ὡς—τάττεσθαι om. V. Pertinent ad v. 124.
11, 12. Εἰκότως—εὑρετίς om. R.V.
13. φάγει] φάγη V.
ib. θρέψει om. R. θρέψη V.
14. ζύγιοι δὲ καλοῦνται ἵπποι V.
ib. καλοῦνται] λέγονται R.
14, 15. οἱ—ζυγῷ post ἀριστερός ponit R.
15. τουτέστι ὁ μεσαριστερὸς καὶ ὁ μεσοδεξιός V.
16, 17. σαπφόραι—γράφεται om. R.V.
17. τοῦ μ καὶ π] Id est σαμφόρας et σαπφόρας.
19. Sch. v. 123. 124. 126. 127. 129. om. R.
ib. ἀποδιώξω ἐκ V. διώξω σε Ald.
20. οἰκίας τῆς ἐμῆς] ἐμῆς οἰκίας V.
ib. τραχύτερον V. ταχύτερον Ald.
21. ὅτι add. V.
ib. πείσειν] πείθειν V.
ib. ἀπώλεσε V. ἀπολωλεκώς Ald.
22. Sch. v. 124. om. V.

[125. ἄνιππον: Ἵππων ἐστερημένον. σοῦ: Τῶν σῶν ἀπειλῶν. R.]

126. ἀλλ' οὐδ' ἐγὼ μέντοι: Ἀλλ' οὐδ' ἐγὼ μέντοι ἀθυμήσω, διότι μὴ πέπεικα τὸν υἱὸν, οὐδὲ τέλεον ἀφέξομαι τῆς γνώμης τῆς προκειμένης. οἷον, οὐ παραδώσω ἐμαυτὸν ταῖς λύπαις. [οὐκ ἀθυμήσω. R.]

127. διδάξομαι: Νῦν μὲν παθητικῶς ἀποδεκτέον τὸ διδάξομαι. βούλεται γὰρ λέγειν διδαχθήσομαι. ἔστι δὲ τῶν μέσων· παθητικὸν γὰρ ἔχει τὸν σχηματισμὸν, ἐνέργειαν δὲ δηλοῖ. διδάξομαι δὲ τὸν υἱὸν φιλοσοφεῖν κυριώτερον ἢ διδάξω. διδάξω μὲν γὰρ ὁ διδάσκαλος ἐρεῖ, διδάξομαι δὲ ὁ πατὴρ καὶ πᾶς ὁ παραδιδοὺς ἕτερον μανθάνειν. δύναται οὖν καὶ νῦν εἶναι τὸ αὐτὸ, ἵν' ᾖ νοούμενον διδάξομαι, ἐπεὶ οὐ τὸν υἱὸν, ἐμαυτόν. τοῦ μέτρου οὐκ ἐπιτρέποντος εἰπεῖν διδάξω, ἔφη διδάξομαι αὐτὸς βαδίζων εἰς τὸ φροντιστήριον. Ἄλλως. ἀντὶ τοῦ, διδασκάλῳ παραδώσω· ἐπεὶ μέσον ὂν τὸ διδάξομαι, πρὸς ἄμφω τὰς ἐνεργείας χωρεῖ. [διδαχθήσομαι. R.]

129. πῶς οὖν γέρων ὢν: Ταῦτα καθ' ἑαυτὸν λογίζεται ἐν τῷ ἀπιέναι. τὸ δὲ βραδὺς νῦν οὐκ ἐπὶ τῆς τοῦ σώματος κινήσεως παρείληφεν, ἀλλὰ τὸ μὴ ἀγχίνουν καὶ νωθὲς τῆς διανοίας δηλοῦν ἐθέλει. [ἀντὶ τοῦ μὴ ἀγχίνους. R.]

130. λόγων ἀκριβῶν σκινδαλμοὺς: Λόγων ἰσχνῶν λεπτολογίας. λεπτὰ γὰρ καὶ ἰσχνὰ τὰ τῶν λόγων ζητήματα. σκινδαλμοὺς δὲ λεπτολογίας· ἀπὸ τῆς σχίσεως τῶν καλάμων. ἐξήγησις καὶ

3–5. ἀλλ'—λύπαις] ἀλλ' οὐδ' ἐγὼ μέντοι παραδώσω ἐμαυτὸν ταῖς λύπαις V.
7. παθητικῶς V. παθητικὸν Ald.
7–9. τὸ διδάξομαι—δηλοῖ add. V.
9. διδάξομαι δὲ τὸν] εἴπῃ (scr. εἴποις) γὰρ ἂν διδάξομαι τὸν V.
10. ὁ διδ. V. ὁ φιλόσοφος διδ. Ald.
12. νῦν] νῦν μὲν V.
ib. διδάξομαι post νοούμενον addidi ex V.
13, 14. ἐμαυτόν. τοῦ—φροντιστήριον V. ἐμαυτὸν διδάξομαι ἔφη, ἅτε βαδίζων εἰς τὸ φροντιστήριον. τὸ δὲ ἐμαυτὸν λείπει τοῦ Ald.
13. διδάξω G. διδάξας V.
14–16. Ἄλλως—χωρεῖ om. V.
16. ἐνεργείας] διαθέσεις dicere debebat. Monuit Reizius.
17, 18. Ταῦτα—ἀπιέναι om. V.
18, 19. τὸ δὲ—παρείληφεν] νῦν οὐκ ἐπὶ τῆς σωματικῆς κινήσεως εἴληφε τὸ βραδὺς V.
18. νῦν add. V.
19. ἀγχίνουν—ἐθέλει V. ἀγχίνους εἶναι. ἄνωθεν δὲ τὰ τῆς διανοίας δηλοῦν θέλει Ald. Veram scripturam habuit Suidas s. βραδύς.
21–23. Λόγων—καλάμων om. R. Nihil præter λεπτολογίας habet V.
21. ἰσχνῶν Junt. ἰσχυρῶν Ald.
23. ἐξήγησις δὲ Ald. δὲ om. R.
ib. ἐξήγησις] ἐξάσκησις Kusterus.

ἐπεξεργασία τῶν ἀκριβῶν λόγων οἱ σκινδαλμοί. ἰδίως γὰρ σκινδαλμοὺς καλοῦμεν τὰ λεπτότατα τῶν ξύλων καὶ τὰ τῶν καλάμων ξύσματα. τοῦτο δὲ ἐπὶ μὲν τῆς εὐθείας ὀξύνεται, ἐπὶ δὲ τῶν πλαγίων παροξύνεται. [λέγει δὲ τὰς λεπτολογίας. R.]

[131. πορευτέον. ἀντὶ τοῦ διατρίβω καὶ ἀναδύομαι. R. πορευτέον. ἀναβάλλομαι. V. (non G.). τί ταῦτ' ἔχων στραγγεύομαι: Διὰ τί ταῦτ' ἔχων κατὰ νοῦν, πιέζομαι καὶ συνθλίβομαι. στρὰγξ δέ ἐστιν, ὁ διὰ λεπτοτάτης ὀπῆς σχολῇ κατιὼν σταλαγμός. Junt. στραγγεύομαι: Ἀναβάλλω, καὶ διατρίβω. βραδύνω. Gl. Br. ἀργῶν πιέζομαι καὶ συνθλίβομαι. Gl. Victor.]

132. ἀλλ' οὐχὶ κόπτω τὴν θύραν: Ἀλλ' οὐκ ἔχομαι τῶν ἐγνωσμένων. τοῦτο δὲ παρεγκύκλημα. δεῖ γὰρ αὐτὸν ἐλθεῖν καὶ κόψαι τὴν θύραν τοῦ Σωκράτους. παρατηρητέον δὲ ὅτι ἐπὶ μὲν τῶν ἔξωθεν κρουόντων κόπτειν λέγεται, ἐπὶ δὲ τῶν ἔσωθεν ψοφεῖν. ἱκανῶς δὲ διέστειλε Μένανδρος, ἐπὶ μὲν τῶν ἔξω, "κόψω τὴν θύραν" εἰπών, ἐπὶ δὲ τῶν ἔσω "ἐψόφηκε τὴν θύραν ἐξιών." [ἀλλ' οὐχὶ κρούω. R.]

133. βάλλ' ἐς κόρακας: Ἄπιθι ἐς κόρακας. ἔστι δὲ παροιμία ἐπὶ κατάρας λεγομένη. ἀντὶ τοῦ εἰς ἀπώλειαν καὶ φθοράν. Βοιωτοῖς γὰρ ἀναστάτοις ὑπὸ Θρᾳκῶν γενομένοις καὶ περὶ ἀποικίας μαντευομένοις εἶπεν ὁ θεὸς ἐκεῖ κατοικεῖν, ἔνθα ἂν ἴδωσι λευκὸν κόρακα. οἱ δ' ἐν Θετταλίᾳ παρὰ τὸν Παγασητικὸν κόλπον εἶδον περιιπταμένους τοὺς τοῦ Ἀπόλλωνος ἱεροὺς κόρακας, οὓς παῖδες ἀφῆκαν γυψώσαντες ὑπὸ μέθης, καὶ τελεῖσθαι τὸν χρησμὸν φήσαντες ἐν-

1. λόγων addidit Dukerus.
2. λεπτότατα] λεπτὰ R.
ib. τὰ τῶν] τὰ om. R.V.
3. μὲν add. R.V. et Suidas s. σκινδάλαμοι.
ib. ὀξύνεται] ὀξυτονεῖται R.
4. παροξύνεται] προπαροξύνεται V.
11. Sch. v. 132. om. R. Scholio v. 133. postponit V. et Ald.
11, 12. Ἀλλ'—ἐγνωσμένων om. V.
13. τοῦ add. V.
14. λέγεται V. et Suidas s. κόπτω. λέγουσιν Ald.
14–16. ἱκανῶς—ἐξιών om. V.
16. ἐψόφηκε τὴν θύραν] ἀλλ' ἐψόφει καί τις τὴν θύραν Suidas. ἀλλ' ἐψόφηκε τὴν θύραν τις Kusterus.
17, 18. Ἄπιθι—λεγομένη om. R.V.
18. καὶ R.V. καὶ εἰς Ald.
19. βοιωτῶν γὰρ ἀναστάτων—γενομένων V. Dativos ponit V. in scholio ad Pluti v. 604.
ib. καὶ π. ἀ. μαντευομένοις (μαντευομένων V.) addidi ex R.V.
20. λευκὸν κόρακα R.V. λευκοὺς κόρακας Ald.
21. Παγασητικὸν Wesselingius ad Diodor. 19, 53. παγασιτικὸν R.V. παγαιατικὸν Ald.
ib. εἶδον] ἴδον R.
22. τοῦ om. V.
ib. ἀπόλλωνος R.V. ἡλίου Ald.

ταῦθα κατῴκησαν. οἱ δὲ ἀπὸ τοῦ ζώου λέγεσθαι τὴν παροιμίαν φασίν. ἐν γὰρ τοῖς ἐρημοτέροις τόποις ἐπιτηρεῖ τὰ πτώματα.

134. Κικυννόθεν: Δῆμος οἱ Κικυννῆς τῆς Ἀκαμαντίδος φυλῆς, ἔνθα ἄγεται καὶ τὰ Ἀπολλώνια.

135. ἀμαθής γε νὴ Δία: Ἰδιώτης καὶ ἀπαίδευτος.

136. ἀπεριμερίμνως: Ἀσκόπως, ἀμαθῶς καὶ ἀπείρως καὶ ἀνεπιστημόνως. τὸ δὲ λελάκτικας σφοδρότητος καὶ βίας ἐστὶ σημαντικόν. διόπερ καὶ τὴν μέμψιν ἐπήγαγεν, οὐ τὸ κροῦσαι καὶ τὸ προσελθεῖν αἰτιώμενος, (οὐδὲ γὰρ πρὸς φιλοσόφου τὸ τοῖς δεομένοις μὴ παρέχειν τοῦ συνιέναι ἐξουσίαν) τὸν δὲ τρόπον μεμφόμενος, ὅτι βιαιοτέρως ἔπαισε τὴν θύραν, ὡς διαταραχθῆναι τοὺς ἐμφιλοσοφοῦντας.

137. ἐξήμβλωκας: Ἡμιτελῆ ἐξέβαλες, ἐξέωσας. ἐξαμβλῶσαι δὲ κυρίως ἐπὶ τῶν γυναικῶν λέγεται τῶν ἀποτικτουσῶν θᾶττον, οὐ κατὰ τὸν τῶν ὠδίνων καὶ τῆς κυοφορίας νόμον. καὶ τὸ φάρμακον δὲ τὸ αἴτιον τοῦ ἐξαμβλοῦν τὰς γυναῖκας ἀμβλώθριον καλεῖται. ἰδίως δὲ νῦν ἐπὶ φιλοσόφων τὴν φροντίδα· ἐπεὶ καὶ μεριμνοφροντιστὰς

1. ἀπὸ R.V. ἐκ Ald.

ib. φασίν add. R.V.

2. Post πτώματα addit Ald. Ζηνόδοτος (scrib. Ζηνόβιος) δὲ, ὁ τὰς Ταρραίου καὶ Διδύμου παροιμίας ἐπιτεμὼν, "Βοιωτοῖς," φησὶν, "Ἄρνην ποτὲ διοικοῦσι προείρητο ὑπὸ τοῦ θεοῦ ἐκπεσεῖσθαι, λευκῶν κοράκων φανέντων. νεανίσκοι δέ ποτε μεθυσθέντες, καὶ συλλαβόντες κόρακας, γυψώσαντες ἀφῆκαν πέτεσθαι. ἰδόντες δὲ οἱ Βοιωτοὶ ἐταράχθησαν, ὡς τῆς μαντείας λαβούσης τὸ τέλος, καὶ φοβηθέντες οἱ νεανίσκοι, τὸν θόρυβον φυγόντες, ᾤκησάν τινα τόπον, ὃν ἐκάλεσαν Κόρακας. μετὰ δὲ ταῦτα ἐκβαλόντες τοὺς Βοιωτοὺς οἱ Αἰολεῖς, ἔσχον τὴν Ἄρνην οἰκείαν οὖσαν· καὶ τοὺς ἁμαρτάνοντας μεθιστᾶσιν εἰς τοὺς Κόρακας καλουμένους." Quæ Musurus ex Zenobii Proverb. 3, 87. intulit.

3. δῆμος—φυλῆς R.V. ἀπὸ δήμου τῆς Ἀκαμαντίδος φυλῆς Ald.

ib. Κικυννῆς (κικυνῆς R.) τῆς] κικυνισταὶ V.

4. ἔνθα—Ἀπολλώνια om. V.

ib. ἀπολλώνια R. Ἀπολλώνεια Ald.

5. Ἰδιώτης καὶ ἀπαίδευτος om. R.V.

6. ἀσκόπως add. R.V.

ib. καὶ ἀπ. κ. ἀνεπιστημόνως om. V.

7. ἐστὶ add. R.

8–11. διόπερ—ἐμφιλοσοφοῦντας om. V.

ib. οὐ τὸ—ἐμφιλοσοφοῦντας om. R.

12–15. Ἡμιτελῆ—καλεῖται om. R.

12. ἡμιτελῆ add. V.

ib. ἐξέβαλες, ἐξέωσας V. Invertit Ald.

13. κυρίως V. ἰδίως Ald. et Suidas s. ἐξήμβλωκας.

ib. τῶν ἀποτικτουσῶν V. et Suidas. ἀπὸ τῶν τικτουσῶν Ald.

ib. οὐ V. et Suidas. ἢ Ald.

14, 15. καὶ τὸ—καλεῖται V. et Suidas. καὶ φάρμακον ἀμβλίσκειν τὰς γυναῖκας ποιοῦν Ald.

15. ἀμβλώθριον] Usitatum est ἀμβλωθρίδιον.

15–p. 402. l. 4. ἰδίως—ἐξήμβλωκας om. V.

15. ἰδίως δὲ] καὶ σκέψιν. ἰδίως δὲ R, qui hoc scholion postponit scholio v. 138.

ἐκάλουν αὐτοὺς, ὡς προεῖπεν. τοῦ δὲ Σωκράτους λέγοντος, ὅτι τέχνην ἔχω τὴν μαιευτικὴν, καὶ διὰ ταύτης ποιῶ τοὺς νέους ἀποτίκτειν τὰ νοήματα ἐν τῇ ἑαυτῶν ψυχῇ, τοῦτο νῦν κωμῳδεῖ Ἀριστοφάνης διὰ τοῦ ἐξήμβλωκας. [ἀτελῆ ἐποίησας. R. ἡμιτελῆ ἐποίησας διαφθείρας. Gl. Br. Victor. ἐξευρημένην: Ἐπινενοημένην. R.V. (non G.)]

138. τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν: Ἀντὶ τοῦ, ἐν τοῖς ἀγροῖς. πρὸς τὸ σχῆμα. οὕτω χρῶνται πόρρωθεν ἐπὶ τῶν ἀγρῶν ὅτι ἀγροῖκός εἰμι. Ἄλλως. ἀμφίβολον πότερον λέγει πόρρω τῶν ἀγρῶν ἑαυτὸν κατοικεῖν, ἢ ἐν τοῖς μακρὰν καὶ πολὺ τῆς πόλεως ἀπέχουσι. λέλεκται δὲ αὐτὸ παρὰ τὸ Εὐριπίδειον, ὅπερ οὕτως ἔχει,

τηλοῦ γὰρ οἴκων βίοτον ἐξιδρυσάμην.

[139. τὸ πρᾶγμα: Θεώρημα. Gl. Victor. τὸ παραπολωλὸς καὶ διεφθαρμένον. R. διαφθειρόμενον. V. (non G.)]

140. [διὰ τὸ περὶ τῶν οὐρανίων καὶ τῶν ἀδήλων ἀεὶ γίνεσθαι τὴν ζήτησιν αὐτοῖς. R.] ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσι λέγειν: Ἀλλ' οὐ δυνατόν. δηλονότι ἐπὶ διασυρμῷ καὶ διαβολῇ ταῦτα παρεισάγει λέγοντα τὸν θυρωρόν. ἀλλότριον γὰρ τῶν φιλοσόφων τὸ βασκαίνειν καὶ φθονεῖν, οἷς τὸ κοινωνεῖν περὶ πολλοῦ πάντων ἀφθόνως. [οὐ πρέπον εἰ μὴ μόνον τοῖς μαθηταῖς. R.]

[141. οὑτοσί: Ἑαυτὸν δείκνυσι. R.]

144. ἀνήρετ' ἄρτι: Ἐπύθετο, ἀνηρώτησεν. ἄρτι δὲ, ἀντὶ τοῦ ἐξ ὑπογυίου· ἵνα αὐτοσχεδιάζειν δοκῶσι. διαβάλλει δὲ τοὺς φιλοσόφους ὡς εὐτελῆ ζητοῦντας· διὸ καὶ ταῦτα γελοίου χάριν λέγεται,

1. προεῖπεν] προείπομεν R.
1–4. τοῦ δὲ—ἐξήμβλωκας om. R.
3. τοῦτο Reizius. τοῦτον Ald.
7. Ἀντὶ—ἀγροῖς om. R.V.
8. πρὸς om. R.
ib. οὕτω R. ὅτι οὐ V. ὅτι αὐτῷ Ald.
8, 9. πόρρωθεν—εἶμι R. πόρρω τῆς πόλεως, ἐπὶ τῶν ἀγρῶν ἄγροικος εἰμί V. πόρρω τῆς πόλεως Ald. ceteris omissis.
9–12. Ἄλλως—ἐξιδρυσάμην om. R.
9. ἄλλως. ἀμφίβολον V. ἄδηλον δὲ Ald.
ib. ἀγρῶν ἑαυτὸν V. ἀγροίκων αὐτὸς Ald.
10. ἐν add. V.
ib. μακρὰν] μακροῖς V.
ib. λέλεκται δὲ V. λέγεται γὰρ V.
11. τὸ Εὐριπίδειον] τῷ εὐριπίδῃ V.
ib. ὅπερ οὕτως ἔχει add. V.
12. βίοτον V. βιοτὴν Ald.
17–19. Ἀλλ'—φθονεῖν om. R.
18. τῶν om. V.
19. οἷς—ἀφθόνως add. V. Habet Suidas s. ἀλλ' οὐ, sed omisso πολλοῦ.
ib. οἷς G. οἳ V.
20. εἰ μὴ τοῖς μαθηταῖς habet V, om. G.
22–p. 403. l. 1. Ἐπύθετο—ἀκρίβειαν om. R.V.

καὶ διὰ γελοίων τὴν Σωκράτους παρίστησιν ἀκρίβειαν. [ἐπύθετο. R.]

Χαιρεφῶντα: Τῶν ἄγαν γνωρίμων Σωκράτους ὁ Χαιρεφῶν. οὐδὲν δὲ αὐτοῦ διασέσωσται τῶν συγγραμμάτων. δοκεῖ δὲ γενέσθαι περίθερμος καὶ σφόδρα ἐχθρεύσας τῷ ἀδελφῷ. καὶ φησὶ Ξενοφῶν τὸν Σωκράτην συνάγοντα αὐτοὺς λέγειν ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἴη, εἰ μὴ συμφωνοῖεν, οὐδὲ χειρῶν οὐδὲ ποδῶν. δήμου δὲ ἦν ὁ Χαιρεφῶν Σφήττιος. τούτῳ καὶ ἡ Πυθία δοκεῖ τὸν περὶ τοῦ Σωκράτους χρησμὸν εἰπεῖν

σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης·
ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος.

τοῦτον Ἀπολλώνιος ὁ Μόλων ἐν τῷ κατὰ φιλοσόφων ἐψεῦσθαί φησι. τοὺς γὰρ Πυθικοὺς χρησμοὺς ἑξαμέτρους εἶναι. καὶ ἔστι δὲ παρὰ κωμικῷ τινι·

εἰ συγκεχρῶσθαι τοῖς νεκροῖς δυνήσεται.

ὅτι δὲ καὶ ἄλλοι διὰ τριμέτρων πλείους εἰσὶ χρησμοὶ, οὐ μὴν ἀλλὰ καὶ πεζῷ λόγῳ λεχθέντες τῇ Πυθίᾳ, δῆλον. τὸ μὲν καὶ ἐπ' ἐμοὶ μέχρι καὶ νῦν κεχρηκέναι τὸν Πύθιον οὕτω παρήσω λέγειν, ἀλλὰ τῶν

3. ἄγαν R.V. πάνυ Ald.

3–7. οὐδὲν—ποδῶν om. R.

4. διασέσωσται] δοκεῖ σώζεσθαι Suidas s. Χαιρεφῶν.

ib. περίθερμος] πάνυ θερμὸς Suidas.

5, 6. φησὶ—συνάγοντα V. et Suidas. φασὶ Ξενοφῶντα Σωκράτει ξυνάγοντι Ald.

5. Ξενοφῶν] Memor. 2, 3, 18.

ib. τὸν om. Suidas.

6. εἴη V. τι Ald.

7. συμφρονοῖεν V. σωφρονοῖεν Ald. συμφωνοῖεν Suidas cum Xenophonte.

8. τούτῳ] τοῦτο V.

ib. πυθία R.V. πυθὼ Ald.

11. ἀνδρῶν—σοφώτατος] σοφὸς δ' ἁπάντων σωκράτης ὁ θηβαῖος V.

ib. σοφώτατος] σοφώτερος R. Sequentia om. R.

12. τούτου (scrib. τοῦτον) — κατὰ V. τοῦτον τὸν χρησμὸν ὁμολογῶν ἐν τῇ κατὰ Ald. Apollonius Molo scriptor ab Josepho, Eusebio aliisque memoratus.

ib. ἐψεῦσθαι V. ψεύδεσθαι Ald.

ib. Delevi τὴν Πυθίαν post φησι lectum.

13. πυθικοὺς V. φυσικῶς Ald.

ib. καὶ ἔστι δὲ] καὶ εἰ ἔστι δὲ V.

14. κωμικῷ V. κωμικῶν Ald.

15. εἰ] πῇ Ald. quod om. V, in quo εἰ inter καὶ ἔστι legitur, loco alieno illatum.

ib. συγκεχρῶσθαι τοῖς νεκροῖς δυνήσεται] Legebatur συγκεχωρῆσθαι (συγκεχωρίσθαι V.) τῷ χρησμῷ δύναται. Correxit Toupius Emendat. vol. 2. p. 207. ex Diogene Laert. 7, 2. χρηστηριαζομένου αὐτοῦ (Zenonem dicit) τί πράττων ἄριστα βιώσεται, ἀποκρίνασθαι τὸν θεὸν, εἰ συγχρωτίζοιτο τοῖς νεκροῖς· ὅθεν ξυνέντα τὰ τῶν ἀρχαίων ἀναγινώσκειν.

16. εἰσὶ add. V.

17. Addidi δῆλον auctore V, in quo est δηλονότι. Sequentia om. V, et sunt fortasse alius scholiastæ.

ἀρχαίων παραδείγματος ἕνεκα χεῖρον οὐδὲν μνημονεῦσαι. τοῦτο μὲν γὰρ ἐπί τῳ φέρεται οὗτος ὁ χρησμὸς ἐξενεχθεὶς ὑπὸ τῆς Πυθίας

ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις·

ἐν Λέσβῳ δὲ ναπαίου Ἀπόλλωνος ὁ δοθεὶς Πέλοπι, αἰτοῦντος αὐτὸν ἀνάθημα τοῦ θεοῦ τὴν ἄρνα τὴν χρυσῆν, ἕτερα παρέχοντι κειμήλια. ἔστι δ' οὕτως

ὃ βούλομαι δὸς, μὴ δίδου δ' ὃ μὴ θέλω.

φέρει δὲ τὸν χρησμὸν τοῦτον Ἀντικλείδης ἐν τοῖς Νόστοις. καὶ ἑτέρους πλείστους ἂν τις ἔχοι λέγειν τοιούτῳ ἐξενεχθέντας μέτρῳ.

145. ψύλλαν ὁπόσους ἅλλοιτο: [Τοιαῦτα καὶ τὰ τῶν φιλοσόφων ζητήματα, ἀπηλλαγμένα τῶν κοινῶν βιωτικῶν ἐννοιῶν. R. διαβάλλει τοὺς φιλοσόφους ὡς εὐτελῆ ζητοῦντας· διὸ καὶ τὰ ἑξῆς γελοίου χάριν. Ἄλλως. V.] ψύλλαν μὲν Ἀττικῶς, ὃν νῦν ἡμεῖς ψύλλον καλοῦμεν. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστι, τὸ πήδημα τῆς ψύλλης διαμετρῆσαι τοῖς αὐτῆς τῆς ψύλλης ποσὶν, ὁπόσους τούτους πηδήσειε. δῆλον δὲ ὅτι διασῦραι βουλόμενος τὰ τῶν φιλοσόφων ζητήματα ὡς ἰσχνὰ καὶ λόγου μηδενὸς ἄξια, ταῦτα καὶ τὰ τοιαῦτα παρεισάγει. διὸ καὶ τὰ ἑξῆς γελοίου χάριν αὐτῷ λέλεκται.

146. τοῦ Χαιρεφῶντος τὴν ὀφρῦν: Ἰστέον, ὅτι αὐτοπροσώπως εἰσῆγον τοὺς κωμῳδουμένους καὶ ὅτι γελοίου χάριν παρείληφε τοῦτο. αὐτίκα γοῦν οὐδὲ ἄλλου τινὸς ἐμνήσθη μέρους τοῦ σώματος ἢ τοῦ

4. Ναπαίου Lobeck. Aglaoph. p. 267. Legebatur γονναπαίου. Apollinem ναπαῖον ab Lesbiis cultum fuisse constat ex Macrobii Saturn. 1, 17. et Suida s. Ναπάται, quam gl. om. codd. Paris. A. et Leid.

5. ἀνάθημα] Suidas, ἀνάθημα: πᾶν τὸ ἀφιερωμένον θεῷ. "αἰτοῦντος" (libri deteriores αἰτοῦντι) τῷ Πέ-" λοπι ἀνάθημα τὴν ἄρνα τὴν χρυσῆν, " ἕτερα παρέχοντι κειμήλια ἔχρησεν, ὃ " βούλομαι δὸς, μὴ δίδου δ' ὃ μὴ θέλω."

ib. παρέχοντι Suidas. παρέχοντα Ald.

6. ἔστι δ' οὕτως] Scribendum ἔστι δ' οὗτος vel ἔχει δ' οὕτως.

10. Τοιαῦτα καὶ] καὶ vel delendum vel in γὰρ mutandum. Præcedit in R. ἐπινενοημένην, quod retuli ad v. 137. ut factum est in V.

13. νῦν add. V.

14. τοιοῦτον V. τοιοῦτο R. Ald.

ib. ἐστι add. R.V.

16–18. δῆλον—λέλεκται om. V.

16. ὅτι R. ὅτι ταῦτά φησι Ald.

ib. διασῦραι] σῦραι R.

17. ἄξια R. ἐχόμενα Ald.

ib. ταῦτα—παρεισάγει add. R.

18. αὐτῷ] αὐτὸ R.

19, 20. Ἰστέον—κωμῳδουμένους, καὶ om. R.

20. παρειλήφει V.

21. αὐτίκα γοῦν] διὰ τοῦτο R.

ib. γοῦν] δὲ G.

ib. τινὸς om. V.

ib. ἐμνήσθη R.V. ἐμνημόνευσε Ald. ἐμνήσθη post μέρους V.

21 – p. 405. l. 1. ἢ τοῦ—γελοίου om. V.

21. τοῦ] τούτου R.

ἐν ἑκατέρῳ γελοίου. ὁ μὲν γὰρ μεγάλας εἶχε τὰς ὀφρῦς ὁ Χαιρεφῶν, ὁ δὲ φαλακρὸς ἦν ὁ Σωκράτης.

150. *τὼ πόδε*: *Δυϊκὸν τὼ πόδε ἐπὶ τῆς ψύλλης κακῶς. ἱστορεῖται γὰρ ἓξ πόδας ἔχουσα. ψυγείσῃ δὲ, ἀντὶ τοῦ ἀποθανούσῃ.*

151. *Περσικαὶ*: *Ἔστι μὲν δένδρα, ἔστι δὲ καὶ ὑποδημάτων εἶδος γυναικείων. διὸ ἐπιφέρει, ὑπολύσας. διὰ δὲ τὸ δένδρον, παίζων τὸ περιέφυσαν εἶπεν.*

152. *ταύτας ὑπολύσας*: *Ἀδύνατον ἀδυνάτῳ ἐπήγαγεν. οὔτε γὰρ ὑποδήματα φορέσαι δύναται ψύλλα οὔτε ἐκ κηροῦ φῦναι αὐτῇ φύσιν ἔχει οὔτε τῶν τῆς ψύλλης ποδῶν τὸν κηρὸν ἐξελεῖν καὶ διαμετρῆσαι τούτῳ δυνατὸν τὸ διάστημα τοῦ πηδήματος.*

156. *Σφήττιος*: *Ἀπὸ δήμου τῆς Ἀκαμαντίδος φυλῆς.*

157. *ὁπότερα τὴν γνώμην*: *Ἀντὶ τοῦ πῶς διανοεῖται καὶ διαλέγεται περὶ τῶν ἐμπίδων. τὸ δὲ ὁπότερα, ἀντὶ τοῦ ὁποτέρως. ἐμπίδας δὲ, οὓς ἡμεῖς κώνωπας καλοῦμεν· οἱ δὲ, εἶδος κώνωπος παραποτάμιον, ζώνην ἔχοντος. [ἀντὶ τοῦ ὁπότερος. R.]*

1. *ἐν ἑκατέρῳ γελοίου* om. R.

1, 2. *ὁ μὲν—Σωκράτης*] *ὁ μὲν γὰρ χαιρεφῶν βαθείας ἔχει τὰς ὀφρῦς, ὁ δὲ σωκράτης φαλακρὸς ἦν* R.

1. *ὁ Χαιρεφῶν* et *ὁ Σωκράτης* om. V.

3. *Δυϊκὸν*] *δυϊκῶς* V.

ib. *κακῶς* om. R.V.

ib. *ἱστορεῖται* R. *ἱστορεῖ καὶ* V. *λέγεται* Ald.

4. *πόδας ἔχουσα* R. *πόδας ἔχει* V.

ib. *ψυγείσῃ—ἀποθανούσῃ* om. V. *ψυγείσῃ δὲ ἀντὶ τοῦ* om. R.

ib. *ἀποθανούσῃ* R. *θανούσῃ* Ald.

5. Scholion v. 151. om. V.

ib. *Ἔστι*] In Ald. præcedit, *εἶδος ὑποδήματος αἱ Περσικαὶ, ὡς καὶ Ἡρόδοτος. ἐπεὶ δὲ καὶ δένδρου ὄνομά ἐστι Περσικαὶ, διὸ καὶ περιέφυσαν εἶπεν, ὡς ἐπὶ δένδρου.* Est scholion novitii grammatici, quod om. R. Herodotus memoriæ errore nominatur, fortasse propter 1, 195. ubi Babyloniorum *ὑποδήματα* memorantur.

ib. *ἔστι μὲν δένδρα* R. *ἔστι μὲν γὰρ καὶ δένδρον* Ald. Interpretatio grammatici inepta.

ib. *ὑποδημάτων*] *ὑποδήματά τι* R.

6. *τὸ π.* R. Aberat *τό*.

8–10. *Ἀδύνατον—ἐξελεῖν*] *ἀδύνατον. οὔτε γὰρ ὑπόδημα δύναται φορέσαι ψύλλα, οὔτε ὑπολύσασθαι, οὔτε μετρῆσαι τῷ προσπλασθέντι κηρῷ τοῖς ποσὶ τὸ διάστημα τοῦ ὑποδήματος ἀλλ' ἀδύνατον ἀδυνάτῳ ἐπήγαγεν. οὔτε γὰρ τὰ ὑποδήματα ἐκ κηροῦ φῦναι φύσιν ἔχει· οὔτε τῶν τῆς ψύλλης ποδῶν ταῦτα δυνατὸν ἦν ἐξελεῖν* Ald. Correxi ex R.V.

9. *αὐτῇ* R. *αὐτὴν* V.

10. *ἐξελεῖν*] *ἐξέλκειν* R.

ib. *διαμετρῆσαι* R.V. *διαμετρῆσαι τῷ τοῖς ποσὶν αὐτῆς προσπλασθέντι κηρῷ* Ald.

11. Addidi *τούτῳ* auctoribus R. V, in quibus est *τοῦτο*.

ib. *πηδήματος* R.V. *ὑποδήματος* Ald.

12. Scholia v. 156. 157. om. R. ad v. 156. om. V.

13. *Ἀντὶ τοῦ* om. V.

ib. *διαλέγεται* V. *διαλογίζεται* Ald.

14–16. *τὸ δὲ—ζώνην ἔχοντος* om.V.

15. *οὓς ἡμεῖς κώνωπας λέγομεν*] Hæc verba habet R, V. autem in fine scholii v. 158. *ἐμπίδες δὲ καλοῦνται ἃς ἡμεῖς κώνωπας λέγομεν.*

16. *ζώνην ἔχοντος*] Conf. schol. Av. 244.

158. *κατὰ τὸ στόμ' ᾄδειν*: Ἀντὶ τοῦ, διὰ τοῦ στόματος φθέγγεσθαι καὶ βομβεῖν, ἢ διὰ τοῦ ὀρροπυγίου. τὰ γὰρ τοιαῦτα τῶν ζώων τροφὴν μὲν λαμβάνει τῷ στόματι οὐκέτι δὲ αὐτῷ φθέγγεται. καὶ ἔστιν ἀπό τε τῶν τεττίγων τοῦτο καὶ ἀπὸ τῶν ἐγκελάδων ἰδεῖν, οἳ καὶ οὕτω προσηγορεύθησαν, ἐπεὶ ἐν αὐτοῖς τὸν κέλαδον ἔχουσιν. οὗτοι γὰρ καὶ τὰ τοιαῦτα ζῶα πάντα διὰ τοῦ στήθους τὴν φωνὴν προΐεται. εἰ οὖν τούτους λάβοις καὶ σφάξαις οὔτε ὁ ἐγκέλαδος οὔτε ὁ μουσικὸς καὶ καλὸς τέττιξ ἔτι πρόεισι φωνήν. τῆς αὐτῆς γὰρ καὶ ὁ τέττιξ ἐστὶ φύσεως. καὶ τὰ τοιαῦτα ζῶα καλεῖται μὲν παρά τισι βομβύκια, καλεῖται δὲ καὶ ἔντομα, ὅτι κατὰ τὴν ῥάχιν ἐντέτμηται, ὡς ἔστιν ἰδεῖν ἐπὶ τῶν σφηκῶν καὶ κανθάρων καὶ ἐγκελάδων, καὶ τῶν τεττίγων μάλιστα. δι' ὧν καὶ φθέγγεσθαι τμημάτων ἀξιοῦσιν αὐτά.

[163. *κοῖλον*, τὸν πρωκτὸν, πρὸς στενῷ δὲ τῷ ἐντέρῳ προσκείμενον. R.V.]

[164. πῶς διανοεῖται τὰς ἐμπίδας πνεῖν. R.]

165. *σάλπιγξ ὁ πρωκτὸς*: Τοιαύτη γὰρ καὶ ἡ σάλπιγξ, κατὰ μὲν τὸ ἄνω στενὴ, πρὸς τὰ κάτω δὲ κοίλη. διὸ καὶ ὀξὺ ᾄδει.

166. *τοῦ διεντερεύματος*: Τοῦ ἐρωτήματος τοῦ διὰ τοῦ ἐντέρου.

1. Ἀντὶ τοῦ om. V. τοῦ om. R.
ib. φθέγγεσθαι καὶ βομβεῖν om. R.
2. βομβεῖν V. βοᾶν Ald.
ib. τοῦ ὀρροπυγίου] τοῦ οὐρροπυγίου (οὐρο— G.) V. Id est τοὐρροπυγίου. Sequentia om. R.
3. μὲν om. V.
ib. τῷ add. V.
ib. οὐκέτι δὲ αὐτῷ φθ. V. φθ. δ' αὐτῷ οὐκέτι Ald.
4. καὶ V. καὶ γὰρ Ald.
ib. ἀπό τε τῶν V. ἐκ τῶν Ald.
ib. καὶ ἀπὸ V. ἀπὸ om. Ald.
5. οἳ V. ἃ Ald.
ib. οὕτω V οὕτως Ald.
6. οὗτοι V. οὕτω Ald.
7. προΐεται] προϊέναι V, quod om. G.
ib. εἰ] ἐὰν V.
ib. οὖν—ἐγκέλαδος V. γὰρ τοῦτο λάβοιο καὶ οὔτε φθέγξεται τὸ ἐγκέλαδον Ald.
8. καὶ καλὸς om. V.
8–10. τῆς αὐτῆς—κατὰ] διὸ καὶ τὰ τοιαῦτα ζῶα πάντα καλεῖται τὰ ἔντομα κατὰ V.
10. βομβύκια] Vid. Schneider. ad Aristot. H. A. vol. 3. p. 373.
ib. ἔντομα V. ἐντόμια Ald.
11. ἐντέτμηται Kusterus. ἐκτέτμηνται Ald. οὖν διατέτρηται V.
ib. ἐγκελάδων] κελάδων V.
12. δι' ὧν V. διὸ Ald.
ib. τμημάτων add. V.
14. πρὸς—ἐντέρῳ] καὶ προστενῷ τῶν ἐντέρων V.
ib. προσκείμενον] προκείμενον R.V.
17, 18. τοιαύτη—κοίλη V. τοιαύτη γάρ. κατὰ μὲν τὸ ἀνώτατον καὶ πρὸς τὸ ἄκρον κοίλη ἡ σάλπιγξ, τὰ κάτω δὲ στενή Ald. τοιαύτη γὰρ ἡ σάλπιγξ, κατὰ τὸ ἄνω στενὴ καὶ πρὸς τὸ ἄκρον κοίλη R.
17. κατὰ τὸ ἄνω—κοίλη om. G.
18. μὲν om. V.
ib. δὲ et διὸ καὶ ὀξὺ ᾄδει om. V.
19. Τοῦ ἐρωτήματος—ἐντέρου om. R.V.

τοῦ εὑρέματος, τοῦ ἐπινοήματος. ἔπαιξε δὲ παρὰ τὸν ὑπὸ τοῦ Σωκράτους λεχθέντα λόγον περὶ τοῦ τῆς ἐμπίδος ἐντέρου. [τῆς περὶ τοῦ ἐντέρου λεπτολογίας καὶ φυσιολογίας. Gl. Br.]

[167. *ἢ ῥᾳδίως*: *Ἦ ταχέως γε ἂν οὗτος. φεύγων δὲ ἀντὶ τοῦ κατηγορούμενος.* R. *σφόδρα γε οὗτος ἢ ἄγαν οὗτος. φεύγων δὲ ἀ. τ. κ.* V.]

169. *γνώμην μεγάλην ἀφῃρέθη*: *Γνώμης μεγάλης ἐστερήθη ἐμποδισθεὶς ὑπὸ ἀσκαλαβώτου ὁ Σωκράτης. ἑκατέρως λέγεται, καὶ ἀσκαλαβώτης καὶ γαλεώτης. [σκέμμα.* R.]

173. *ἀπὸ τῆς ὀροφῆς*: *Καὶ ἀρσενικῶς ὁ ὄροφος, καὶ θηλυκῶς ἡ ὀροφή· ὡς τὸ,*

οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ Περσικά

ἐν Λυσιστράτῃ· καὶ ἐν Σφηξὶν "ὀροφὴν θέασαι." [ὄροφος καὶ ὀροφή· ἔστι δὲ κάλαμος, ᾧ στεγάζουσιν. Gl. Victor.]

175. *ἐχθὲς δέ γ' ἡμῖν*: *Λεληθότως σκώπτει τὸν τῶν φιλοσόφων βίον ὡς ἐπίπονον καὶ ταλαίπωρον. διὰ τοῦτο εἰς αὔξησιν καὶ τῷ καιρῷ συνεχρήσατο, εἴ γε μέχρι τῆς ἑσπέρας ἀναμένοντες φαγεῖν οὐδὲ τότε παρεσκευασμένον οὐδὲν εἶχον.*

[176. *τοῦτο καλεῖται ἀπόθεσις τοῦ λόγου. τὸ δὲ ἐπαλαμήσατο ἀντὶ τοῦ ἐμηχανήσατο καὶ ἐπενόησεν.* R.V. *ἐπαλαμήσατο*: *Εἰκότως εἶπε τὸ ἐπαλαμήσατο διὰ τὸ καὶ τοὺς ἄρτους ὑπὸ τῆς παλάμης πλάττεσθαι.* Victor.]

177. *λεπτὴν τέφραν*: *Ἰσχνὴν σποδόν. οὐκ ἀργῶς δὲ τὸ*

1. *τοῦ εὑρέματος* addidi ex V.
ib. *ἔπαιξε δὲ παρὰ* R.V. *ἢ τῆς λύσεως τοῦ μαθήματος τοῦ περὶ τοῦ ἐντέρου καὶ ἐμπίδος. ἐπειδὴ δὲ περὶ τῶν τῆς ἐμπίδος ἐντέρων λέγει, ἔπαιξε παρὰ* Ald.
ib. *παρὰ*] *περὶ* G.
2. *λεχθέντα* add. R.V. Post *λόγον* ponit V, non G.
ib. *περὶ τοῦ* R.V. *τὸν περὶ* Ald.
7. *Γνώμης μεγάλης* addidi ex V.
ib. *Γνώμης—ἐστερήθη* om. R.
ib. *ἐστερήθη* V. *οἷον ἐστερήθη* Ald.
8. *ἑκατέρως λέγεται* R.V. *λέγεται δὲ* Ald.
10, 11. *Καὶ ἀρσ.—ἡ ὀροφή*] *καὶ ὀροφὴ καὶ θηλυκῶς καὶ ἀρσενικῶς ὄροφος* R. *καὶ ὀροφὴ δὲ θηλυκῶς καὶ ἀρσενικῶς ὁ ὄροφος.* V.
12. *οὐ* add. R.V.
ib. *τὰ Περσικά*] *τὸν πέρσικα* V. Scribendum *τὼ Περσικά.*
13. *ἐν* R.V. *καὶ ἐν* Ald.
ib. *Λυσιστράτῃ*] 229. Sequentia om. R.V.
ib. *Σφηξὶν*] 1215.
18. *εἶχον*] *εἶχεν* V.
19. *τοῦ λόγου*] *τοῦ* om. R.
19, 20. *τὸ δὲ—ἀντὶ τοῦ* om. R.
20. *καὶ ἐπενόησεν*] *ἐνόησεν* V.
23. *οὐκ ἀργῶς* R.V. *οὐχ ἁπλῶς* Ald.

λεπτήν. πρὸς γὰρ τὴν ὁμοίωσιν τῶν ἀλφίτων. ἰσχνὴν δὲ τέφραν τὴν ἐκ τῶν κεκαυμένων ξύλων κόνιν. οὐ ματαίως δὲ τὸ λεπτὴν προσέθηκε πρὸς τὸ ταύτην δεῖξαι παραπλήσιον τοῖς ἀλφίτοις. [τέφρα δὲ ἡ τῶν κεκαυμένων ξύλων κόνις. R.V.]

178. κάμψας: Καμπύλον ποιήσας καὶ ὥσπερ ἀγκιστροειδῆ. ὀρθοὶ γὰρ οἱ ὀβελίσκοι. καὶ Ὅμηρος

αὐτὰρ ἐπεί ῥ' ὤπτησε καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρεν.

ἀλλ' ἐπεὶ ἔδεσμα μὲν οὐδὲν ἦν ὡς ὀβελίσκου δεῖσθαι, πρὸς δὲ τὸ ἐπιλαβέσθαι καὶ ἁρπάσαι τι καὶ κατασχεῖν τοῦτο ἦν χρήσιμον, ὀρθὸν ὄντα, φησὶ, τὸν ὀβελίσκον ἔκαμψεν, ἵνα δι' αὐτοῦ κλέψαι τὸ ἱμάτιον δυνηθῇ. τοιαῦτα γὰρ οἱ κλέπται μηχανῶνται, ἵνα ῥᾳδίως πόρρωθεν ἁρπάσωσιν ὃ βούλονται. [καμπύλον ποιήσας. διὰ δὲ τοῦ κάμψαι ὀβελίσκον καὶ ἡ κλοπὴ καὶ ἡ ἀφαίρεσις τοῦ ἱματίου ἐγένετο. ἐπειδὴ ὁ ὀβελίσκος ὀρθός ἐστιν, ἔκαμψεν αὐτὸν, ἵνα δι' αὐτοῦ κλέψῃ τὸ ἱμάτιον. R.]

εἶτα διαβήτην λαβὼν: Ἐργαλεῖον ὁ διαβήτης πολλαῖς εὔχρηστον τέχναις, τῷ Λ στοιχείῳ παρεοικός. τούτου τὸ ἓν μέρος ἐντιθέντες τὸ δὲ ἕτερον περιάγοντες κύκλους γράφουσι. καὶ χαράσσοντες τὸ ὑποκείμενον, τὸ ἴσον τηροῦσι διάστημα τοῦ κύκλου ἐκ τοῦ κέντρου. [τὸ εἶτα περιττόν. R.]

1. λεπτήν R.V. λεπτὴν προσέθηκε Ald.
ib. πρὸς γὰρ τὴν R. καὶ γὰρ τὴν V. πρὸς τὴν Ald.
ib. ἀλφίτων] λέγει add. G, non V. καὶ τὰ παραπλήσια add. Ald. quod om. R.V.
1–3. ἰσχνὴν—ἀλφίτοις om. R.V.
5–12. Καμπύλον—βούλονται om. R.
5. καὶ ὥσπερ ἀγκιστροειδῆ V. ὥσπερ ὀγκίνων εἴδει Ald.
6. Ὅμηρος] Il. I, 215. (αὐτὰρ—ὤπτησε) et 210. (καὶ—ἔπειρεν).
7. ὤπτησαν et ἐπῆραν (ἔπειραν G.) V.
8. ἐπεὶ ἔδεσμα μὲν οὐδὲν ἦν (μὲν οὐκ ἦν G.) ὡς V. ἐπειδὴ ἔδεσμα ἦν οὐδὲν πρὸς τὸ Ald.
9. ἐπιλαβέσθαι V. λαθεῖν Ald.
ib. τοῦτο V. τὸ καμφθῆναι τοῦτον Ald.
ib. χρήσιμον] Addit Ald. ἔτι δὲ μέλλων εἰπεῖν ὅτι ὑφείλετο, quæ om. V.
10. κλέψαι (κλέψῃ G.) τὸ ἱ. δυνηθῇ V. δυνηθῇ κλέψαι τὸ ἱ. Ald.
11, 12. τοιαῦτα—βούλονται om. V.
13. κάμψαι] κάμψας R.
16. διαβήτης δέ ἐστιν ἐργαλεῖον V.
ib. εὔχρηστος τέχναις πολλαῖς R.
17. παρεοικώς R.
ib. μέρος ἐντ. R.V. ἐντ. μέρος Ald.
18. τὸ δὲ R.V. καὶ τὸ G. Ald.
ib. περιάγοντες] περιάπτοντες V. παράπτοντες R.
ib. κύκλους γράφουσι add. R.V.
18, 19. καὶ χαράσσοντες — κέντρου om. R.V.

179. ἐκ τῆς παλαίστρας: Ὅμοιον τοῦτο τῷ ὑπὸ Εὐπόλιδος ῥηθέντι περὶ Σωκράτους

Στησιχόρου πρὸς τὴν λύραν οἰνοχόην ἔκλεψεν.

ἐμφαίνει δὲ διὰ τούτου ὅτι παίδων ἤρα ὁ Σωκράτης. ἐν ταῖς παλαίστραις γὰρ τὰ πολλὰ ἐξητάζετο, ἵνα αὐτοὺς ὁρῴη.

ὑφείλετο: Τοῦτο παρ' ὑπόνοιαν ἐπήγαγεν. ἔδει γὰρ αὐτὸν εἰπεῖν, μετέβαλεν αὐτὸν εἰς τὰ ἄλφιτα. Ἄλλως. δέον γὰρ αὐτὸν εἰπεῖν, κατέγραψεν, ᾧ τέως προσέχοντες οὐκ ἐπεινήσαμεν, καὶ σχήματά τινα ἐπεποιήκει, εἰς ἃ πάντων ἡμῶν ὁ νοῦς καθάπερ κεχηνὼς τροφῆς ἐπελάθετο, ἐπήνεγκεν ὅτι ἀπὸ τῆς παλαίστρας ἔλαβεν ἱμάτιον. διαβάλλει δὲ αὐτὸν ὡς περὶ τὰς παλαίστρας τῶν παίδων ἕνεκεν διατρίβοντα. ἐκεῖ γὰρ ἐφοίτα ὡς γυμνοὺς τοὺς παῖδας ὁρῴη. Ἄλλως. ἐπειδὴ οἱ τὰ γεωμετρικὰ θεωρήματα διδάσκοντες διαβήταις γράφουσι ταῦτα, φησὶν ὅτι ὀβελίσκον κάμψας, καὶ διαβήτου σχῆμα διαλαβὼν, πάντας πρὸς αὐτὸν ἐπαγόμενος, ὑφεῖλε τὸ ἱμάτιον.

180. τὸν Θαλῆν: Οὗτος ἐγένετο τῶν ἑπτὰ σοφῶν, Μιλήσιος τὸ γένος, τὰ περὶ τὸν οὐρανὸν πρῶτος ἐξευρών. παρατηρητέον δὲ ὡς ἀπ' εὐθείας τῆς Θαλῆς ὡς Ἑρμῆς ἔκλινε. διχῶς δὲ τοὔνομα ἐκφωνητέον·

1–5. Ὅμοιον—ὁρῴη om. R. ὅμοιον—ἔκλεψεν scholio proximo postponit V, sequentia autem ἐμφαίνει—ὁρῴη postponit scholio v. 186.

1. τοῦτο add. V.

ib. ὑπὸ om. G.

ib. Eupolidis verba partim allata sunt ad v. 96.

4, 5. ἐμφαίνει—τὰ] ἐμφαίνειν διὰ τούτων βούλεται ὅτι παιδεράστης ἦν σωκράτης κὰν ταῖς παλαίστραις τὰ V.

5. ἐξητάζετο V. ἐξητάζοντο Ald.

ib. αὐτοὺς] τοὺς παῖδας V.

6–10. ἐπήγαγεν—ἐπήνεγκεν] εἶπεν. ἀντὶ γὰρ τοῦ εἰπεῖν κατέγραψέ τι ὃ (scr. ᾧ) προσέχοντες οὐκ ἐπινήσαμεν, ἐπήνεγκεν R.

7. αὐτὸν εἰς] αὐτὴν εἰς V.

7–15. Ἄλλως—ὑφεῖλε τὸ ἱμάτιον om. V.

10. ἔλαβεν R. ἔλαβε τὸ Ald.

11. ἕνεκεν R. ἕνεκα Ald.

12–15. ἐκεῖ—τὸ ἱμάτιον om. R.

16–p. 410. l. 2. Οὗτος—ὡς Ἑρμῆς] οὗτος ἐγένετο τῶν ἑπτὰ σοφῶν εἷς, Μιλήσιος· ὃς πρῶτος τὰ περὶ οὐρανὸν ἐξεῦρε. παρατηρητέον δὲ, ὅτι ἀπ' εὐθείας τῆς ὁ Θαλῆς, ὡς Ἑρμῆς, Ἑρμῆν, Θαλῆν, καὶ Ἑρμέας, ὡς Θαλέας. διχῶς δὲ τοὔνομα ἐκφωνητέον· βαρύτονον μὲν, Θάλης, ὡς Χρέμης· οὗ ἡ γενικὴ Θάλητος, ὡς Χρέμητος, Θάλητι, Θάλητα. ὡς τὸ, "Θάλητα χρημάτων ἐλεύθερον." εἰ δὲ καὶ περισπωμένως Θαλῆς, ὡς Ἑρμῆς· καὶ Θαλοῦ, ὡς Ἑρμοῦ Ald. Mutavi ex R.V. De illo Θάλητα χρημάτων ἐλεύθερον, quod ab recentissimo grammatico additum videtur, recte judicat Dobræus. "Legendum videtur "Θάλης Θάλητα χρημάτων ἐλευθεροῖ, "errore scholiastæ pro Κράτης Κράτητα. Vide Menag. ad Diog. "Laert. 6, 87. et Boissonad. MSS. "du Roi vol. 10. p. 164. 289."

17. παρατηρητέον]· ἰστέον V.

18. τῆς Θαλῆς] τῆς θαλοῦ V. non G.

ib. ἔκλινε om. R. Addidi ex Suida s. Θαλῆς et V, in quo est ἔκλινας.

ib. τοὔνομα] τὸ ὄνομα R.

ib. ἐκφωνητέον om. V.

βαρυτόνως μὲν Θάλης ὡς Χρέμης, οὗ ἡ γενικὴ Θάλητος· ἔτι δὲ καὶ περισπωμένως Θαλῆς ὡς Ἑρμῆς. μαθητιῶ δὲ ἀντὶ τοῦ, μαθεῖν ἐπιθυμῶ.

184. *ὦ Ἡράκλεις*: Πεποίηκε *τὸ προσταχθὲν ὁ φιλόσοφος καὶ ἀνέῳξε τὰς θύρας. ὁ δὲ εἰσελθὼν καὶ θεασάμενος αὐτοὺς ὠχροὺς καθημένους τεθαύμακεν ὡς ἀνθρώπων μορφὰς μὴ ἔχοντας μηδὲ ὄψεις διὰ τὴν ὠχρότητα. ὁρᾷ δὲ ὡς φιλοσόφους κομῶντας, στραφέντος τοῦ ἐγκυκλήματος.*

[185. *ὁμοιοῦσθαι*. R.]

186. *τοῖς ἐκ* Πύλου *ληφθεῖσι*: Πύλος, *χωρίον τῆς* Λακωνικῆς, *ἔνθα* Κλέων *στρατηγήσας τοὺς τριακοσίους τούτους αἰχμαλώτους ἀπὸ* Σφακτηρίας *ἔλαβεν. εἰκὸς οὖν τούτους καὶ διὰ τὸν τοῦ αἰχμαλωτισμοῦ φόβον καὶ διὰ τὸ πολλαῖς μὲν ἡμέραις πεπολιορκῆσθαι ἐν ἐρήμῳ νήσῳ, καὶ ἀφ' ἧς οὐδὲν τῶν ἐπιτηδείων ἦν λαβεῖν, πολλῷ δὲ καὶ μετὰ τὴν ἅλωσιν συγκεκλεῖσθαι χρόνῳ δεδεμένους ἐν ξύλῳ, ὠχρούς τε καὶ ἰσχνοὺς καὶ δυσειδεῖς γεγονέναι. ἰστέον δὲ ὅτι τρεῖς ἐπωνυμίας*

1. *ὡς Χρέμης, οὗ ἡ γενικὴ* om. V.

2. *Ἑρμῆς*] Sequitur in Ald. *ἄλλως. ὁ Θαλῆς οὗτος Μιλήσιος ἦν, εἷς τῶν ἑπτὰ σοφῶν. οὗτος ἄκρος μηχανικὸς ἦν. στρατεύσαντος γὰρ Κροίσου πρὸς Κῦρον, καὶ μὴ δυναμένης τῆς στρατιᾶς αὐτοῦ διαβῆναι τὸν Ἅλυν ποταμὸν μέγιστον ὄντα, τοιόνδε τι μηχανᾶται· ἄνω τῆς στρατιᾶς ἰὼν τέμνει τὸν ποταμὸν ἑτέρωσε ῥεῖν, οὐ πάντα, ἀλλὰ τὸ ῥεῖθρον αὐτοῦ σχισθὲν τὸ μὲν ἓν εἰς τὴν ἀρχαίαν πορείαν ἐχώρει, θάτερον δὲ ὑπ' ἀγκάλης εἶχε τὴν στρατιάν· καὶ οὕτως ἐπεραιώθησαν. ἐποίησε δὲ τὴν εἰς δύο τομήν, ἵνα καὶ ἐπανιόντες περαιωθήσωνται.* Annotatio hominis intempestive loquacis, qua carent R.V. Narratio ducta ex Herodoto 1, 75. Luciano vol. 3. p. 67. Diogene Laert. 1, 38.

2, 3. *μαθητιῶ—ἐπιθυμῶ* om. V. *μαθητιῶ δὲ ἀντὶ τοῦ* om. R.

4. *πεποίηκε* R.V. *πεποίηκε γὰρ* Ald.

5. *καθημένους* R.V. *καθειμένους* Ald.

6. *τεθαύμακεν* add. R.V.

ib. *ἔχοντας* (sic G.: *ἐχόντων* R.V.) *μηδὲ ὄψεις διὰ τὴν ὠχρότητα* R.V. *ἔχοντας, τεθαύμακε. μηδὲ ὄψεις διὰ τὴν ὠχρότητα ἔχοντας* Ald.

7, 8. *ὁρᾷ—ἐγκυκλήματος*] Scholion recens om. R.V.

8. *ἐγκυκλήματος*] *ἐκκυκλήματος* dicere debebat. Vid. L. Dindorfium in Thesauro Stephani vol. 3. p. 111.

11. *Κλέων*] *πύλος* V.

ib. *τοὺς τριακοσίους τούτους* addidi ex R. In V. et apud Suidam s. *ἐοίκασι* solum *τοὺς* est.

ib. *αἰχμαλώτους ἀπὸ σφακτηρίας ἔλαβεν* R.V. *ἔλαβεν αἰχμαλώτους, προανύσαντος τὸν πόλεμον Δημοσθένους καὶ Νικίου* Ald. Conf. schol. Equit. 55.

12. *εἰκὸς*] *εἰκότως* R.

ib. *τοῦ* add. R.V. et Suidas.

13. *τὸ*] *τοῦτο* V.

ib. *πεπολιορκῆσθαι*] *πολιορκεῖσθαι* R.V.

14. *καὶ ἀφ'*] *καὶ* om. V. et Suidas.

15. *συγκεκλεῖσθαι* R.V. et Suidas. *συγκλεῖσθαι* Ald.

16. *δυσειδεῖς* Suidas. Legebatur *δυσώδεις*.

ib. *δὲ* om. V.

εἶχεν ὁ τόπος, Πύλος, Κορυφάσιον, Σφακτηρία. Ἄλλως. Πύλος, νῆσος πλησίον Πελοποννήσου. ταύτην ἐν τῷ Πελοποννησιακῷ πολέμῳ Λάχης προκατασχὼν, ὁ τῶν Ἀθηναίων στρατηγὸς, φρούριον ᾠκοδόμησεν. ὅθεν ἐξορμώμενος τὴν παραλίαν ἐδῄου τῆς Λακωνικῆς. Λακεδαιμόνιοι γοῦν καταλῦσαι τὸ φρούριον θέλοντες, ἐπέπλευσαν τῇ νήσῳ καὶ παραστησάμενοι ἄνδρας ἑπτακοσίους ἐντὸς τοῦ φρουρίου κατέλιπον. Ἀθηναῖοι οὖν ἔπεμψαν πολλήν τινα στρατιὰν κατὰ τῶν ἀνδρῶν τούτων μετὰ Κλέωνος στρατηγοῦ. ἐλθὼν οὖν ὁ Κλέων μετὰ τῆς στρατιᾶς καὶ πλεῖστον χρόνον τούτους πολιορκήσας, ὕστερον παρεστήσατο καὶ αἰχμαλώτους λαβὼν Ἀθήναζε ἤγαγεν, οἳ διά τε τὸν πολὺν λιμὸν, ὃν ὑπέστησαν διὰ τῆς πολιορκίας, καὶ διὰ τὸ κατακλεισθῆναι Ἀθήνησιν εἰς εἱρκτὴν, πάνυ ὠχροὶ ἦσαν.

187. *ἀτὰρ τί ποτε*: *Διὰ τί ἄρα. εἰσελθὼν δὲ ἐπὶ συννοίᾳ κατέλαβε τοὺς περὶ Σωκράτην καθημένους, ἅτε φροντίζοντας περὶ τῆς ἐμπίδος καὶ συγκεκυφότας εἰς γῆν.*

188. *βολβοὺς*: *Τὰ λεγόμενα ὕδνα, ἅτινα τὴν γῆν σκάπτοντες εὑρίσκουσιν οἱ ἄνθρωποι.*

190. *ἐγὼ γὰρ οἶδ'*: *Ὡς ἀγροῖκός φησιν εἰδέναι τῶν περὶ Σωκράτην ἀκριβέστερον, ἔνθα οἱ βολβοὶ φύονται.*

191. *οἱ σφόδρ' ἐγκεκυφότες*: *Τοιαῦτα γὰρ τὰ τῶν ἄγαν φροντιζόντων καὶ περὶ τὴν διάνοιαν ἐχόντων σχήματα. Ὅμηρος*

στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς, ὄμματα πήξας.

[*ἐγκεκυφότες*: *Κύπτοντες κατὰ γῆς.* Gl. Victor.]

1. *εἶχεν ὁ τόπος* V. *ἔχει ὁ τόπος* R. *εἶχε τότε* Ald.

ib. *Κορυφάσιον*] Geographi veteres sibi non constant, dum alii Pylum etiam Coryphasium appellatum fuisse tradunt: alii vero diversa ea fuisse loca, et Coryphasium prope Pylum situm fuisse scribunt. Vide Steph. Byzantium v. *Πύλος*, et v. *Κορυφάσιον*, et Luc. Holstenium ad utrumque locum. KUST.

1–12. *Ἄλλως — ἦσαν*] Scholion recens om. R.V.

3. *Λάχης*] Demosthenem recte nominant scholiastæ Equit. 1050. 1053. 1057. Monuit Reizius.

6. *ἑπτακοσίους*] Apud Thucydidem 4, 8. numerantur quadringenti et viginti, præter Helotas. HERM.

13. Scholion v. 187. om. V.

13–15. *Διὰ—γῆν*] *εἰσελθὼν γὰρ εὗρε περὶ τὸν σωκράτην κάτω νεύοντας ἐπὶ συννοίας* R.

16. Sch. v. 188. om. R.V.

18, 19. *Ὡς—φύονται*] *ὡς ἀγροῖκος ταῦτα φησὶν ὅτι ἀκριβέστερον οἶδα τῶν περὶ τὸν σωκράτην διὰ τὴν ὠχρότητα ποῦ εἰσὶν οἱ βολβοί* V. Scholia v. 190. 191. 192. om. R.

21. *Ὅμηρος*] Il. Γ, 217. Totum scholion om. V.

192. *ἐρεβοδιφῶσιν*: [Τὰ ὑπὸ τὴν γῆν ζητοῦσι καὶ καταμανθάνουσι. R.V.] τὰ ὑπὸ ἔρεβος διφῶσι. τουτέστι τὰ ὑπὸ γῆν ζητοῦσι. [ἐρευνῶσιν, ἐξετάζουσι. Τάρταρος δὲ ἐστὶν ὁ ὑπὸ γῆν κατώτατος τόπος. Junt.]

193. *τί δῆθ' ὁ πρωκτὸς*: Ἴσως ἐγγύθεν τοῦτο εἴληφεν ἀπὸ τῆς ἐμπίδος. ἐπεὶ κἀκείνην διὰ τοῦ πρωκτοῦ ᾄδειν ἔφη, διὰ τοῦτο καὶ τούτους διὰ τοῦ πρωκτοῦ ἀστρονομεῖν διδάσκεσθαι λέγει. ἀνάγκη γὰρ συγκεκυφότων αὐτῶν καὶ εἰς γῆν ὁρώντων ἄνω τὸν πρωκτὸν βλέπειν.

195. *ἀλλ' εἴσιθ', ἵνα μὴ 'κεῖνος*: Κατὰ τὸ σιωπώμενον, ἄλλων ἐξεληλυθότων ἐκ τοῦ φροντιστηρίου, τοῖς φιλοσόφοις λέγει εἴσιτε εἴσω ὁ μαθητὴς, ἵνα μὴ ἐξελθὼν ὁ Σωκράτης εὕρῃ ὑμᾶς ἐνταῦθα διατρίβοντας. τὸ δ' ἐκεῖνος κατ' ἐξοχήν. Ἄλλως. τὸ ἐκεῖνος καὶ τὸ αὐτός ἀντὶ ὀνόματος παραλαμβάνεται. καὶ Ὅμηρος τὴν Θέτιν που παρεισάγει λέγουσαν

τίπτε μ' ἐκεῖνος ἄνωγε μέγας θεός.

καὶ παρὰ Πυθαγορείοις τὸ αὐτὸς ἔφα, τουτέστιν ὁ Πυθαγόρας. καὶ ἐν τοῖς ἑξῆς αὐτός, ἤγουν ὁ Σωκράτης.

[199. *ἔξω διατρίβειν*: Εἰ γὰρ θεάσεται αὐτοὺς ἔξω, δυσχερανεῖ τὰ μέγιστα Σωκράτης. Gl. Victor.]

200. *πρὸς τῶν θεῶν, τί ταῦτα*: Εἰσελθὼν ὁ πρεσβύτης ὁρᾷ τὰ τῶν φιλοσόφων σκεύη, ἄβακα, ἢ σφαῖραν, ἢ χωρογραφίαν καὶ ἐρωτᾷ τί ἐστι.

201. [Ἀστρονομία: Σφαῖραν δείκνυσι. Gl. R. Br.]

2. τὰ ὑπὸ ἔρεβος — ζητοῦσι om. R.V.
5. ἐγγ. τοῦτο] τοῦτο ἐγγ. V.
ib. ἀπὸ R.V. ἐκ Ald.
6. ἐπεὶ] ὅπερ V.
6, 7. ᾄδειν — πρωκτοῦ addidi ex R.V.
7. διδάσκεσθαι om. R.
7–9. ἀνάγκη—βλέπειν om. R.V.
10–13. Κατὰ —Ἄλλως om. V.
10, 11. Κατὰ—φροντιστηρίου om. R.
11, 12. λέγει—ὁ σωκράτης R. φησὶν ὅτι εἴσιτε, ἀντὶ τοῦ εἰσέλθετε, ἵνα μὴ ὁ Σωκράτης Ald.
12. ὑμᾶς R. ἡμᾶς Ald.
13–18. τὸ δ' ἐκεῖνος—ὁ Σωκράτης om. R.
13. καὶ τὸ V. Aberat καὶ.
14. ἀντὶ τοῦ ὀνόματος παραλαμβάνουσιν οἱ ποιηταί Suidas s. ἐκεῖνος.
ib. ὀνόματος παραλαμβάνεται V. ὀνομάτων παραλαμβάνουσι Ald.
ib. Ὅμηρος] Il. Ω, 90.
ib. τὴν θέτιν που (που om. Suidas) παρ. V. παρ. τὴν Θέτιν Ald.
17, 18. καὶ παρὰ—Σωκράτης om. V.
21. Sch. v. 200. om. R.V.
22. χωρογραφίαν] Legebatur ζωγραφίαν.

τουτὶ δὲ τί: Διαγράμματά τινα καὶ πίνακας δείκνυσι καὶ ἀστρονομικοὺς καὶ γεωμετρικούς.

203. πότερα τὴν κληρουχικήν: Ὡς ἄγροικος ταῦτά φησι. τὴν ἰδιωτικὴν, τὴν ὑπὸ κλήρου δεδομένην, τὴν τελοῦσαν. ἐπεὶ οἱ Ἀθηναῖοι λαμβάνοντες πόλιν πολεμίαν καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες, πολίτας ἑαυτῶν ἀποστέλλοντες τὴν γῆν αὐτοῖς διένεμον. ἢ κληρουχικὴν ἐνταῦθα λέγει τὴν γεωργικήν. κληροῦχοι γὰρ οἱ γεωργοὶ, διὰ τὸ τοὺς Αἰγυπτίους κλήρῳ μερίζειν τὴν αὐτῶν γεωργίαν.

205. τὸ γὰρ σόφισμα δημοτικόν: [Δημωφελές. οἷον, τὸ γὰρ σόφισμα ἤτοι μάθημα συμφέρον τῷ δήμῳ V.] οἴεται τῶν πρὸς γεωργίαν εἶναι τοῦτο ἀβάκιον· ἢ τοιοῦτόν τι δημωφελές. μάθημα τῷ δήμῳ συμφέρον.

207. αἵδε μὲν Ἀθῆναι: Χωρογραφίαν δείκνυσιν αὐτῷ. τινὲς ἔνθεν ἕως τοῦ, οἱ 'μοὶ δημόται, τοῦ γέροντός φασιν. ἔνιοι δὲ διαιροῦσι. καὶ κατ' ἐρώτησιν δὲ εἶναι τὸ τοῦ φιλοσόφου, καὶ ἐν ἀποφάσει δύναται. τὸ δὲ ἑξῆς, ὡς τοῦτ' ἀληθές, ἐν ἐρωτήσει, ὡς τοῦτό σοι δοκεῖ Ἀττικὸν χωρίον, ἐν ᾧ καθήμενοι δικάζουσιν;

208. ἐπεὶ δικαστὰς οὐχ ὁρῶ: Κατηγορεῖ Ἀθηναίων ἐνταῦθα ὡς περὶ τὰ δικαστήρια μόνα ἠσχολημένων καὶ τοῦ στρατεύειν ἀμελούντων. τοῦτο δὲ καὶ Δημοσθένης ἔστιν ὅτε ποιεῖ.

212. παρατέταται μακρά: Διὰ γὰρ τὸ σχῆμα, λέγω δὴ τὸ ἐπίμηκες τῆς θέσεως, Μάκρις ἐκλήθη.

1, 2. Διαγράμματα — γεωμετρικούς om. R.

ib. δείκνυσι—γεωμετρικούς V. δείκνυσιν ἀστρονομικῶν καὶ γεωμετρικῶν Ald.

3. Scholion v. 203. om. R.

3, 4. τὴν ἰδιωτικὴν—τελοῦσαν om. V.

4. ἐπεὶ V. ἐπειδὴ Ald.

5. πολεμίαν πόλιν V.

6. πολίτας—ἀποστέλλοντες addidi ex V.

ib. τὴν γῆν V. κλήρῳ τὴν γῆν Ald.

ib. αὐτοῖς] αὐτῶν V.

6–8. ἢ κληρουχικὴν—γεωργίαν] Futile additamentum om. V.

8. Αἰγυπτίους] Ægyptios geometria usos forsan volebat scholiastes. DOBRÆUS. Fort. γεωργοὺς vel γεωπόνους.

9. Scholion Aldinum v. 205. om. R.V.

13–16. Χωρογραφίαν—τοῦτ' ἀληθές om. R.V.

18–20. Κατηγορεῖ — ποιεῖ om. R.V.

21, 22. Διὰ—ἐκλήθη om. V.

ib. διὰ—ἐκλήθη R. διὰ τὸ σχῆμα· λέγω δὲ τὸ ἐπίμηκες τῆς θέσεως. διὸ καὶ Μάκρις ἐκλήθη. ἐπιμήκης γὰρ ἦν. Ald. Post ἦν addit Ald. κλίνεται δὲ ἡ Μάκρις αὕτη διὰ καθαροῦ τοῦ ο. διὸ καὶ ὁ νησιώτης αὐτῆς Μακριεύς. ἦν δὲ καὶ αἰγιαλὸς οὕτω λεγόμενος, κλινόμενος δὲ διὰ τοῦ δ. ἐλέγετο δὲ Μάκρις καὶ τῶν Κυκλάδων μία, ἡ Ἴκαρος· ἀφ' ἧς νομίζουσί τινες εἰρῆσθαι καὶ τὸ Ἰκάριον πέλαγος. Quæ Musurus intulit ex Eustathio ad Dionys. Perieg. 520.

[ἡδὶ: Αὕτη. ἤγουν ἰδού. Junt.]

213. ὑπὸ γὰρ ὑμῶν παρετάθη: Εἰς φόρον ἐξετάθη, πλείονα φόρον παρέχουσα. δηλοῖ δὲ καὶ τὸ ἡπλῶσθαι. ἐκληρούχησαν δὲ αὐτὴν Ἀθηναῖοι, κρατήσαντες αὐτῆς. πρὸς τὸν χρόνον ἀπήντησε καὶ τὸ μῆκος τοῦ πολέμου, τὸ σχῆμα τῆς θέσεως δεικνύντος αὐτῷ τοῦ φιλοσόφου. ἐπολιόρκησαν δὲ αὐτὴν Ἀθηναῖοι μετὰ Περικλέους, καὶ μάλιστα Χαλκιδέας καὶ Ἐρετριέας. πρὸς τὸ παρατέταται, ἐν ᾧ ἡ θέσις δηλοῦται, καὶ αὐτὸς ἐπήνεγκε τὸ παρετάθη. τοῦτο λέγει, ὅτι προσέκειντο Ἀθηναίοις. τὸ δὲ παρετάθη ἴσον τῷ ἐξετρυχώθη καὶ κατεπονήθη. Περικλέους δὲ στρατηγοῦντος καταστρέψασθαι αὐτοὺς πᾶσάν φησι Φιλόχορος· καὶ τὴν μὲν ἄλλην ἐπὶ ὁμολογίᾳ κατασταθῆναι, Ἑστιαιέων δὲ ἀποικισθέντων αὐτοὺς τὴν χώραν ἔχειν. Περικλῆς γὰρ αὐτὴν ὑπὸ τοὺς Ἀθηναίους ἐποίησεν, ἐν πολέμῳ νικήσας τοὺς Ἄβαντας. διὸ παρετάθη τοῖς φόροις καὶ ἐπεφορτίσθη· ὡς τῶν Ἀθηναίων ἐπιτεινάντων τοὺς φόρους αὐτῇ. Ἄλλως. τοῦτό φησιν ὁ Στρεψιάδης, οὐ νοήσας τὸ παρὰ τοῦ μαθητοῦ λεγόμενον τὸ, παρατέταται μακρὰ πόρρω πάνυ, ὅ τι νοεῖ. ὁ μὲν γὰρ τοῦτο εἴρηκεν, ὅτι μακρὰ καὶ ἐπιμήκης ἡ Εὔβοια, ὁ δὲ ἐπὶ αὐξήσεως τοῦτο φόρων ἐξέλαβε. παραστησάμενος γὰρ Περικλῆς τὴν Εὔβοιαν, ἐξέτεινε τοὺς αὐτῆς φόρους ἐπὶ πολύ. τοῦτο ἔδοξε τῷ Στρεψιάδῃ νοεῖν τὸ, παρατέταται μακρὰ πόρρω πάνυ. καὶ διὰ τοῦτό φησιν, οἶδα· ὑπὸ

2–4. Εἰς φόρον—αὐτῆς om. V.

3. ἡπλῶσθαι R. ἁπλῶσθαι Ald.

ib. αὐτὴν add. R.

4–p. 415. l. 1. πρὸς τὸν—παρετάθη om. R.

4. χρόνον V. χρόνον δὲ Ald.

5. θέσεως] λέξεως Ald. Correxi ex V, qui τῆς θέσεως post αὐτῷ ponit.

6. μετὰ] καὶ διὰ V.

7. πρὸς τὸ] Alius scholii initium. οὕτω πρὸς τὸ Ald. καὶ οὕτω πρὸς τὸ V. Delevi καὶ οὕτω, quod nihil aliud est quam quod alibi ἄλλως vel ἢ καὶ ἄλλως scholiis præscribitur.

ib. παρατατέται Kusterus. περιτέταται Ald. παρὸν τέταται V.

8. ἐπήνεγκε τὸ παρετάθη om. V.

8, 9. τοῦτο—τὸ δὲ παρετάθη addidi ex V. Illa tantum τοῦτο—Ἀθηναίοις habet Ald. in principio scholii v. 215. posita.

8. ὅτι προσέκειντο R. ὅτι προσέκειτο Ald. οὐ προσέκειντο V.

10. Περικλέους δὲ] Præstat Περικλέους γὰρ.

ib. αὐτοὺς V. αὐτὴν Ald.

11. κατασταθῆναι] καταστραφῆναι V.

12. Ἑστιαιέων (codex ἑστιέων)—ἔχειν addidi ex V. Thucydides 1, 114. καὶ Ἀθηναῖοι πάλιν ἐς Εὔβοιαν διαβάντες, Περικλέους στρατηγοῦντος, κατεστρέψαντο πᾶσαν. καὶ τὴν μὲν ἄλλην ὁμολογίᾳ κατεστήσαντο, Ἑστιαιᾶς δὲ ἐξοικίσαντες αὐτοὶ τὴν γῆν ἔσχον.

12–p. 415. l. 1. Περικλῆς — παρετάθη] Scholion recentius om. V.

13. νικήσας Kusterus. νικῆσαι Ald.

20. φόρους codex Brunckii, qui verba παραστησάμενος—παρετάθη habet. πόρους Ald.

γὰρ ἡμῶν καὶ Περικλέους παρετάθη. [παρετάθη: Ηὐξήθη τοῖς φόροις. Gl. Victor.]

215. ἐγγὺς ἡμῶν: Διὰ τὸ ἐν ταῖς χωρογραφίαις σύνεγγυς πάντα εἶναι, ἐπεὶ οὐκ ἄν τις εἴποι αὐτὰς ἀστυγείτονας.

μέγα: Ἀντὶ τοῦ μεγάλως.

φροντίζετε: Μεταβουλεύεσθε.

[216. ἀπαγαγεῖν: Ἀποστῆσαι. Gl. Victor.]

[217. οἰμώξεσθ' ἄρα: Συνεχῶς ὑπ' αὐτῶν ληϊζόμενοι. Gl. Br.]

218. φέρε τίς γὰρ οὗτος οὑπὶ τῆς κρεμάθρας: Ἀντὶ τοῦ ὑπόθου. Ἀττικὴ δὲ ἡ σύνταξις. κατὰ δὲ τὴν διάνοιαν, ἧς προτάσσεται, σημαίνει πλείονα τὸ φέρε. νῦν μὲν οὖν τὸ ἄγε δηλοῖ, ἐν ἄλλοις δὲ ἄλλο τι σημαίνει, ὡς παρὰ Δημοσθένει "φέρε εἰ δίκας ἀπαιτήσειαν οἱ "Ἕλληνες ὧν νῦν παρείκατε καιρῶν." ἐνταῦθα γὰρ βούλεται λέγειν, ὅτι ὑπερεθέμεθα. Ἄλλως. παρεγκύκλημα. δεῖ γὰρ κρεμᾶσθαι τὸν Σωκράτην ἐπὶ κρεμάθρας καθήμενον καὶ τοῦτον εἰσελθόντα καὶ θεασάμενον αὐτὸν οὕτω πυθέσθαι. κρεμάθρα δὲ λέγεται, διὰ τὸ οὕτως

1. ἡμῶν codex Br. ὑμῶν Ald.

3–6. ἐγγὺς—Μεταβουλεύεσθε] In Ald. τοῦτο πάνυ φροντίζετε] τοῦτο λέγει, ὅτι προσέκειτο Ἀθηναίοις. (De his verbis dictum ad v. 213.) γράφεται μέγα, ἀντὶ τοῦ μεγάλως. τὸ δὲ φροντίζετε, ἀντὶ τοῦ μεταβουλεύεσθε. ἐγγὺς δὲ ἡμῶν διὰ τοῦτό φησι, διὰ τὸ ἐν χωρογραφίᾳ σύνεγγυς παρεῖναι· ἐπεὶ οὐκ εἰσὶν οὗτοι ἀστυγείτονες. Correxi ex R, qui illa tantum habet διὰ τὸ—ἀστυγείτονας et μεταβουλεύεσθαι (nam sic scriptum). Scholia ad h. v. nulla habet V.

5. μέγα ἀντὶ τοῦ μεγάλως ex hoc loco Suidas.

9. Ἀντὶ τοῦ ὑπόθου om. V. ἀντὶ—ὑπερεθέμεθα. Ἄλλως om. R.

ib. τοῦ ὑπόθου] τῆς ὑπὸ Ald. Correctum ex Suida, qui φέρε interpretatur οἷον ὑπόθου, εἴγε οὖν.

10. Ἀττικὴ] ἀρχαία Suidas.

ib. δὲ ἡ] δὲ om. V.

ib. τὴν add. V.

ib. ἧς προτάσσεται om. V.

11. τὸ φέρε om. V.

ib. ἄλλο τι σ. V. σ. ἄλλο τι Ald.

12. ὡς παρὰ] Legebatur ὥσπερ, consentiente V. Fortasse ὥσπερ παρά.

ib. δημοσθένει V. Δημοσθένης Ald. Est p. 98.

ib. εἰ δίκας ἀπαιτήσειαν V, nisi quod ἀπητήσειεν habet. ἂν ἡμᾶς ἀπαιτήσωσιν Ald. Apud Demosthenem εἰ λόγον ὑμᾶς ἀπαιτήσειαν.

13. παρείκατε V. παρήκατε G. παρήκασθε Ald.

14. ὅτι ὑπερεθέμεθα] οὕτω δὲ ὑποθέμεθα V. Post ὑπερεθέμεθα addit Ald. κρεμάθρα δὲ λέγεται, διὰ τὸ μετέωρον εἶναι αὐτὴν κρεμωμένην. ἔστι δὲ σκεῦος, εἰς ὃ τὰ περιττεύοντα ὄψα εἰώθαμεν ἀποτίθεσθαι. quæ hoc loco om. R.V.

ib. Ἄλλως om. R.V.

ib. παρεγκύκλημα] δὲ τὸ ἐπὶ τῆς κρεμάθρας add. V.

15. ἐπὶ κρεμάθρας καθ. R.V. ἐπὶ κρεμαστῇ καθ. Ald.

16. κρεμάθρα R.V. κρεμαστὴ Ald.

αὐτὴν ἀεὶ μετέωρον εἶναι κρεμαμένην. νῦν μέντοι τὰ περιττεύοντα ὄψα εἰς αὐτὴν εἰώθαμεν ἀποτίθεσθαι. γελοίου δὲ χάριν ἐν τῷ τοιούτῳ παρήγαγεν αὐτὸν σχήματι.

219. αὐτός: Τιμῶν τὸν διδάσκαλον οὐκ εἶπε τὸ ὄνομα.

220. [μέγα: Ἀντὶ τοῦ μεγάλως. V.] ἀναβόησον: Τῷ μαθητῇ λέγει ὁ Στρεψιάδης τοῦτο. οἷον, οὐκ ἤκουσεν ἐμοῦ, αὐτὸς σὺ βόησον μέγα.

223. [ὦ Σωκρατίδιον: Ἀπὸ τοῦ ὑποκοριστικοῦ διαβάλλει αὐτόν. R.V.] τί με καλεῖς, ὦ 'φήμερε: Ἀντὶ τοῦ ὦ θνητὲ καὶ ἐφήμερα φρονῶν. ἐφήμερον δὲ αὐτὸν καλεῖ ὡς αὐτὸς λοιπὸν τὰ τῶν θεῶν φρονῶν καὶ ὑπερηφανῶν τὰ τῶν ἀνθρώπων. Ἄλλως. ὦ ἄνθρωπε. ἐλέγετο δὲ ὁ Σωκράτης τὴν ὄψιν Σειληνῷ παρεμφέρειν. σιμός τε γὰρ καὶ φαλακρὸς ἦν. περιέθηκεν οὖν αὐτῷ φωνὴν τὴν τοῦ παρὰ Πινδάρῳ, Σειληνοῦ. ὁ γάρ τοι Πίνδαρος διαλεγόμενον παράγων τὸν Σειληνὸν τῷ Ὀλύμπῳ, τοιούτους αὐτῷ περιέθηκε λόγους "ὦ τάλας ἐφάμερε, "νήπια βάζεις, χρήματά μοι διακομπέων." ἅμα δὲ ὡς ὑπερηφα-

1, 2. νῦν μέντοι — ἀποτίθεσθαι add. R.V.
1. νῦν μέντοι V. νῦν μὲν R. ἐν αἷς μέντοι G.
2. ὄψα om. R.
ib. αὐτὴν] αὐτὴν νῦν G. αὐτὰς R.
ib. γελοίου δὲ] τοῦ δὲ γελοίου V.
ib. τῷ om. R.
4. Τιμῶν] τιμῶ G. τίω V.
ib. εἶπε R.V. εἶπε πρῶτον Ald.
5. Τῷ μαθητῇ] τῷ μαθητῇ δὲ V.
6. τοῦτο V. καὶ τοῦτο Ald. quod om. R.
ib. οἷον om. R.
ib. ἤκουσεν ἐμοῦ V. ἤκουσέ μου Ald.
ib. αὐτὸς σὺ] ἀλλ' αὐτὸς V.
7. μέγα add. R.
8. ὑποκοριστικοῦ] ὑποκοριστικῶς R.
9–p. 417. l. 3. Ἀντὶ τοῦ—λέγοντα om. R.
9. καὶ ἐφήμερα V. ὦ ἐφήμερα Ald.
10. ἐφήμερον δὲ—θεῶν φρονῶν addidi ex V. Habuit Suidas, quem v. s. ὦ 'φήμερε.
11. ὑπερηφανῶν V. ὑπερφρονῶν Ald.
12. τὴν ὄψιν om. V. et Suidas.
ib. Σειληνῷ] σελήνῃ V.
ib. παρεμφέρειν V. παρεμφερὴς εἶναι Suidas. παρεμφαίνειν Ald.
13. φωνὴν τὴν τοῦ παρὰ Πινδάρῳ Σειληνοῦ Suidas. φωνὴν τὴν παρὰ πινδάρῳ σελήνιον V. Legebatur οἷον τοῦ παρὰ Πινδάρῳ Σειληνοῦ φωνήν.
14. Πίνδαρος] Fragm. 128. p. 633. ed. Boeckh.
ib. παράγων τὸν Σειληνὸν Suidas. παράγοντος σιληνοῦ V. παραγαγὼν τὸν Σειληνὸν Ald.
15. Ὀλύμπῳ Suidas. Legebatur Ὀλυμπίῳ.
ib. ἐφάμερε Hermannus. Vulgo ἐφήμερε.
16. νήπια Kusterus. νήπιε libri.
ib. βάζεις V. et Suidas. βαδίζεις Ald.
ib. χρήματά μοι διακομπέων om. V.
ib. διακομπῶν (debebat διακομπέων, ut Hermannus) Kusterus. διακομπεύων Ald. et Suidas.

νοῦντος λοιπὸν τοῦ Σωκράτους τὰ ἀνθρώπινα καὶ ἐν θεοῖς ὄντος αὐτοῦ, διότι μετεωρολέσχης ἦν, οὕτω τὸ ἐφήμερον ἐποίησεν αὐτὸν λέγοντα.

225. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον: ἀεροβατῶ: Ἐπιβαίνω τῷ ἀέρι. διὰ τοῦτο καὶ μετέωρον αὐτὸν ἐποίησε καθήμενον. τὸ δὲ περιφρονῶ τὸν ἥλιον ἀντὶ τοῦ διανοοῦμαι καὶ περιεργάζομαι τὸν τούτου δρόμον. Ἄλλως. ὅτι περιφρονῶ εἶπε, καὶ οὐ περισκοπῶ· ἵν', ἐπειδὴ τὸ περιφρονῶ διπλοσήμαντόν ἐστι, καὶ ἀντὶ τοῦ περισκοπῶ, καὶ ἀντὶ τοῦ ὑπερφρονῶ, ἀμφότερα εἰς τὸν Σωκράτην νοῶνται, ὅτι τε ἀέρα καὶ ἥλιον καὶ νεφέλας καὶ ὅσα τοιαῦτα ἐφρόντιζε καὶ ἐφιλοσόφει καὶ ὅτι αἰθέριον ἑαυτὸν ἡγεῖτο, καὶ ὑπὲρ αὐτὸν μονονοὺ τὸν ἥλιον. ὁ Στρεψιάδης δὲ ἀντὶ τοῦ καταφρονῶ μόνον ἐνόησεν. [περιφρονῶ τὸν ἥλιον: Περιεργάζομαι καὶ περισκοπῶ τὴν τοῦ ἡλίου πορείαν. Gl. Victor.]

226. ἔπειτ' ἀπὸ ταρροῦ: Ἀττικῶς τὰ ἐξ οἰσύων πλέγματα οὕτω καλεῖται. τοὺς γὰρ καλάθους τοὺς γεωργικοὺς ταλάρους καλοῦσι. νῦν δὲ τὴν κρεμάθραν οὕτως ἐκάλεσεν, ἐφ' ἧς Σωκράτης ἐκρέματο. Ἄλλως. ταρρὸς μετέωρόν τι ἰκρίον, ἐφ' οὗ αἱ ἀλεκτρυονίδες κοιμῶνται. τοιαύτην δή τινα ὑποληπτέον τὴν κρεμάστραν ἐσκευάσθαι. ἀντὶ δὲ τοῦ εἰπεῖν περινοεῖς ὑπερφρονεῖς εἶπεν, ἵνα διαβάλῃ τὸν Σωκράτην ὡς ὑπερφρονοῦντα τῶν θεῶν. [ὑπερφρονεῖς: Καταφρονεῖς. Gl. Victor.]

227. ἀλλ' οὐκ ἀπὸ τῆς γῆς, εἴπερ: Ἀλλ' οὐκ ἀπὸ τῆς γῆς ἦν

1. λοιπὸν add. V. et Suidas.
2. οὕτω τὸ ἐφ. Suidas. οὕτως ἐφ. Ald.
3. λέγοντα V. et Suidas. καλοῦντα τὸν γέροντα Ald.
4–7. ἐπιβαίνω—δρόμον R. Prima tantum verba ἐπιβαίνω — καθήμενον habet V. ἀντὶ τοῦ περιεργάζομαι τὸν ἥλιον, τὸν τούτου δρόμον. ἐπιβαίνω τῷ ἀέρι. διὰ τοῦτο γὰρ καὶ—καθήμενον. ἔγκειται δὲ ἅμα καὶ τὸ τοῖς πολλοῖς ἀσεβὲς διὰ τῆς λέξεως. ἴσον γὰρ τῷ καταφρονῶ Ald.
6. περιφρονῶ] περισκοπῶ R.
7–12. Ἄλλως—ἐνόησεν om. R.V.
9. ὑπερφρονῶ Ernestius. περιφρονῶ Ald.
15–18. Ἀττικῶς—Ἄλλως om. R.
15. ἀττικοὶ τὰ ἐκ σχοινίων πλέγματα ταλάρους τοὺς καλάθους καλοῦσι V. Ἀττικῶς, τὰ ἐκ σχοίνων πλέγματα. τοὺς γοῦν καλάμους τοὺς γεωργικοὺς ταλάρους καλοῦσι Suidas s. ταρροί.
17–21. νῦν—θεῶν om. V.
18–20. ἐφ' οὗ—ἵνα R. ἐφ' ᾗ ἀλεκτορίδες κοιμῶνται. ἔφη δὲ ὑπερφρονεῖς ἀντὶ τοῦ εἰπεῖν περινοεῖς καὶ περισκοπεῖς, ἵνα Ald.
18. ἀλεκτρυονίδες] Forma feminini aliunde nondum cognita. Nam usitatum est ἀλεκτορίς. ἀλεκτορίδες Suidas.
19. κρεμάστραν] κρεμάθραν Suidas.
21. ὡς add. R.
23. Scholion v. 227. om. R.
ib. Post τῆς γῆς pergit V. εἶπεν

δυνατὸν ἄνθρωπον ὄντα διαγνῶναι τὰ θεῖα; [εἴπερ: Εἴπερ ἔξεστι περιφρονεῖν τοὺς θεοὺς δηλονότι. Schol. A. εἴπερ: Ἔδει καταφρονῆσαι ἐκείνους. Gl. Victor.]

228. τὰ μετέωρα: Ἐξεῦρον ἀκριβῶς τὰ ὑψηλὰ καὶ μετέωρα πράγματα· περὶ τούτων γὰρ τοῖς φιλοσόφοις τὰ ζητήματα. ἐπὶ τῆς γῆς δηλαδὴ ἐπιβεβηκώς. ψυχρὰ δὲ ἡ αἰτία, ἣν ὁ Σωκράτης λέγει. [ἐπὶ τῆς γῆς τὰ οὐράνια. R.]

230. λεπτὴν καταμίξας εἰς τὸν ὅμοιον ἀέρα: Ἀπολογεῖται πρὸς τὴν ἐρώτησιν τοῦ γέροντος ὁ Σωκράτης, λέγων τὴν αἰτίαν, δι' ἣν κρεμάμενος, ἀλλ' οὐκ ἀπὸ τῆς γῆς φησι περιθεωρεῖν τὰ μετέωρα πράγματα. ὅμοιον δὲ εἶπε τὸν ἀέρα, ἀντὶ τοῦ ὁμοιολεπτομερῆ. ψυχρὰν δὲ καὶ ματαίαν αὐτὸν ἐποίησε παρεχόμενον τὴν λύσιν.

232. οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ: Ἀντὶ τοῦ καὶ γάρ, Ἀττικῶς. Καλλίμαχος

ἀκούσαθ' Ἱππώνακτος. οὐ γὰρ ἀλλ' ἥκω.

ἀντὶ τοῦ, καὶ γὰρ ἥκω.

233. τὴν ἰκμάδα: Τουτέστι τὸ νοητικὸν καὶ γονιμώτατον τῆς ψυχῆς. φασὶ γὰρ οἱ φιλόσοφοι καὶ πρὸς τὴν κρᾶσιν τῶν ἀέρων γίνεσθαι τὸ ὀξύτερον ἢ ἀργότερον ἐπιβάλλειν τοῖς θειοτέροις. διαπαίζει δὲ τὰ τῶν φιλοσόφων ἡ κωμῳδία. λόγος γὰρ παρ' ἐκείνοις, ὡς ὄντως ἐπισπᾶται εἰς ἑαυτὴν τὰς ὑποκειμένας οὐσίας ἡ γῆ.

234. [πάσχει: Τὸ δὲ πάσχειν, οὐ μόνον ἐπὶ τῶν πασχόντων τι λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν ποιούντων. καὶ γὰρ οἱ ποιοῦντες τρόπον τινὰ καὶ αὐτοὶ πάσχουσι πάθος, αὐτὸ τὸ ποιεῖν. τὰ οὖν κάρδαμα τὴν τῶν παρακειμένων αὐτοῖς βοτανῶν ὑγρότητα εἰς ἑαυτὰ ἕλκοντα, ξηρὰς αὐτὰς καταλείπει. καὶ ἔστι τοῦτο αὐτῶν πάθος. Junt.]

(scr. εἴπερ) ἄνθρωπον ὄντα (adde δεῖ) διαγνῶναι τὸν ἥλιον καὶ τοὺς θεούς. ἐπὶ δὲ τῆς γῆς βεβηκὼς ἀπολογεῖται πρὸς—ὁ σωκράτης. ψυχρὰν—λύσιν. ἐξεῦρον—λέγει.

4, 5. ἐξεῦρον—πράγματα R.V. ἐξεῦρον ὀρθῶς] ἀκριβῶς. τὰ μετέωρα] τὰ ὑψηλὰ καὶ οὐράνια Ald.

5, 6. περὶ—βεβηκώς om. V.

ib. ἐπὶ—βεβηκώς om. R.V.

8. Scholion v. 230. om. R.

9–11. λέγων—ὁμοιολεπτομερῆ om. V.

10. περιθεωρεῖν Kusterus. περιθεῖν Ald.

12. αὐτὸν—λύσιν V. αὐτῇ πεποίηκε παρέχοντα λύσιν Ald.

13. Verba τὸ οὐ γὰρ ἀλλὰ ἀντὶ τοῦ καὶ γὰρ ἀττικῶς habet R: ἀντὶ τοῦ καὶ ἀττικῶς V. (non G.): totum scholion Suidas s. οὐ γάρ.

14. Καλλίμαχος] Fragm. 92.

18, 19. πρὸς τὴν—θειοτέροις R.V. περὶ τὴν κράτησιν τῶν ἀέρων τὸ ὀξύτερον ἢ τὸ ἀριστερὸν ἐπιβάλλειν τοῖς θείοις Ald. Sequentia om. R.V.

καὶ τὰ κάρδαμα: Εἶδος λαχάνου ἀγρίου παρὰ Πέρσαις. νῦν δὲ τὴν σφάκον λέγει. καὶ γὰρ ταῦτα τῶν περὶ αὐτὰ φυομένων λαχάνων τὴν δύναμιν ἐπισπᾶται, καὶ πᾶν τὸ ἐν ἐκείνοις ὑγρὸν ἐπισπώμενα αἴτια αὐτοῖς τοῦ ξηραίνεσθαι γίνεται.

236. *ἡ φροντὶς ἕλκει*: Δέον εἰπεῖν, ἡ γῆ ἕλκει τὰ κάρδαμα, ὁ δὲ ὡς ἄγροικος μὴ νοήσας τὸ εἰρημένον συνέχεε τὴν φράσιν, ὅθεν καὶ ἀσαφὲς ἐποίησε τὸ δηλούμενον. τοῦτο δὲ πρὸς τὴν τοῦ Στρεψιάδου ἀμαθίαν ἐπιτηδείως ὁ ποιητὴς ἐποίησεν ἀδιανόητον.

239. *ἦλθες δὲ κατὰ τί*: Ἐντεῦθεν κατέρχεται κατὰ τὸ σιωπώμενον. οὐκ ὀκνεῖ τοῦ αὐτοῦ μνημονεύειν Ἀριστοφάνης. καὶ γὰρ τούτου ἡ ἀρχὴ τοῦ ἔπους φθάσαντι αὐτῷ εἴρηται ἐν Εἰρήνῃ τῷ δράματι οὕτως

ἦλθες δὲ κατὰ τί; τὰ κρέα ταυτί σοι φέρω.

240. *ὑπὸ γὰρ τόκων*: Ὅτι χρήστας ὁ Ἀριστοφάνης τοὺς δανειστὰς λέγει. ἡ μὲν γὰρ συνήθεια τοὺς χρεωφειλέτας χρήστας λέγει. Ἀθηναῖοι δὲ τοὺς μὲν δανειστὰς χρήστας λέγουσι, τοὺς δὲ ὀφειλέτας χρεωφειλέτας καὶ χρεώστας. Φωκυλίδης ἐν μὲν τοῖς αὐτοῦ ποιήμασι κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων οὕτως·

— — χρήστης κακοῦ ἔμμεναι ἀνδρὸς φεῦγε,
μή σέ γ' ἀνιήσειε διδοὺς, παρὰ καιρὸν ἀπαιτέων.

1, 2. Εἶδος—λέγει om. V.
1. λαχάνου R. βοτάνης Ald.
1, 2. νῦν—λέγει om. R.
2. σφάκον Kusterus. σκάφον Ald.
ib. καὶ γὰρ ταῦτα V. τὰ καὶ γὰρ αὐτὰ R. ταῦτα δὲ Ald.
3, 4. ἐπισπώμενα—γίνεται R.V. ἐπισπώμενον αἴτιον τοῦ ξηραίνεσθαι καθίσταται Ald.
4. ξηραίνεσθαι V. ὑγραίνεσθαι R.
5. Δέον] δέον δὲ V.
ib. ἡ om. V.
ib. τὰ] ἢ τὰ R.
6. ἄγροικος R.V. ἰδιώτης Ald.
ib. μὴ ν. τὸ εἰρημένον add. R.V.
ib. ὅθεν add. R.V.
ib. καὶ om. V.
7, 8. τοῦτο—ἀδιανόητον om. R.V.
8. ἀμαθίαν Θ. ἀμάθειαν Ald.
9. Scholion v. 239. om. R.
ib. Ἐντεῦθεν—σιωπώμενον om. V.
10–13. οὐκ ὀκνεῖ—φέρω V. φθάσαντι δὲ αὐτῷ λέλεκται ἐν εἰρήνῃ, καὶ οὐκ ὀκνεῖ τοῦ αὐτοῦ μνημονεύειν ἀριστοφάνης Ald.
11. τούτου] τούτων V.
ib. Εἰρήνῃ] 192. ubi ἥκεις et φέρων.
14. Ὅτι χρήστας] δανειστῶν κακῶν. χρήστας γὰρ V.
ib. ὁ add. R.V.
15–p. 420. l. 2. χρήστας λέγει—πένητι om. V.
16. λέγει R. καλεῖ Ald.
ib. μὲν om. R.
16–p. 420. l. 2. τοὺς δὲ—πένητι om. R.
20. φεῦγε, pro quo φεύγειν apud Suidam est s. χρῆσται, scholiastæ esse additamentum animadvertit Ernestius. Deest initium et finis versus. In initio fortasse μηδέποτε fuit.
21. μή σέ γ' Suidas s. ἀπαιτέων,

ἐν ἐκείνῳ μέντοι ἀντὶ τοῦ δανειστὴς λαμβάνεται,

μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι.

241. τὰ χρήματ' ἐνεχυράζομαι: Τουτέστιν, εἰς ἐνέχυρον ἀφαιροῦμαι τὴν ἐνυπάρχουσαν οὐσίαν, οἷον ἱμάτια καὶ σκεύη καὶ ἄλλα.

242. πόθεν δ' ὑπόχρεως σαυτὸν ἔλαθες: Ὡς ἐπὶ νοσήματός τινος, οὕτω προήγαγε τὸν λόγον. εἰώθαμεν γὰρ ἐν τῇ συνηθείᾳ πυνθανόμενοι τῶν καμνόντων λέγειν, πόθεν συνέβη γενέσθαι τὴν νόσον; διὸ κἀκεῖνός φησι, νόσος μ' ἐπέτριψεν ἱππική, δεινὴ φαγεῖν. ἐκ ποίας αἰτίας ἔλαθες σαυτὸν πολλοῖς ὑποπεσὼν δανείοις;

243. νόσος μ' ἐπέτριψεν: Ἔστι γὰρ ὡς ἀληθῶς νόσος καὶ τὸ ἵππους τρέφειν. δαπανηρὸν γὰρ καὶ οὐκ ἔχον τοὺς καρποὺς ἀξίους τοῦ ἀναλώματος. ἐπέτριψε δ', οἷον ἐξέτριψε καὶ κατεδαπάνησε. [ἠφάνισεν. Gl. Θ.]

δεινὴ φαγεῖν: Καταναλῶσαι δεινή, δαπανηρά. ἅμα δ' ὅτι τὰ δύσπεπτα τῶν σιτίων νόσων πρόξενα γίνεται. [πολυδάπανος οὖσα, καταναλῶσαι δεινή. R.]

246. ὀμοῦμαί σοι: Ἀντὶ τοῦ, ὃν σύνθωμαι μισθόν σοι τελεῖν, ὄμνυμι τοὺς θεοὺς τοῦτόν σοι δοῦναι. τοῦτο δὲ εἶπεν, ἵνα διαβάλλῃ αὐτόν.

247. ποίους θεοὺς: Ταῦτα ἴσως αἰνίττεσθαι βούλεται πρὸς τὴν διαβολὴν τὴν Σωκράτους, ἥν τινες διέβαλλον, λέγοντες ὡς ἀσεβεῖ περὶ τὸ θεῖον ὀμνύων τὸν ἀλεκτρυόνα καὶ προσκυνῶν τὴν πλάτανον καὶ ἄλλα τοιαῦτα, ὡς ἐν τοῖς Ἀπομνημονεύμασι Ξενοφῶν ἱστορεῖ, λέγων

ubi Paris. A. μή γε, duo alii μή γε σε. μή σ' Suidas s. χρῆσται, ubi Paris A. iterum μή γε.

2. μηδέποτε] V. 78. ed. Gaisf.

3. Scholion v. 241. om. R.V. εἰς ἐνέχυρον habet R.

5–8. Ὡς—φαγεῖν om. R.

5, 6. ἐπὶ—οὕτω προήγαγε V. ὑπὸ—οὕτως εἰσήγαγε Ald.

7. πόθεν V. πόθεν δὲ Ald.

8. φησι V. ἑξῆς λέγει Ald.

ib. ἐπέτριψεν] ἔτριψεν V. ἐπέτρεψεν G.

ib. δεινὴ φαγεῖν add. V, sequentibus omissis.

ib. ποίας R. ποίας δέ τινός φησιν Ald.

9. σαυτὸν R. σεαυτὸν Ald.

10. Scholia v. 243. 246. om. R.V.

20. βούλεται R.V. δύναται Ald.

ib. πρὸς] κατὰ V.

21. τὴν σωκράτους R. τοῦ σωκράτους Ald.

ib. λέγοντες ὡς ἀσεβεῖ R.V. αὐτὸν ὡς ἠσέβει λέγοντες Ald.

22. ὀμνύων R. ὀμνύναι V. Ald.

ib. τὸν R.V. νὴ τὸν Ald.

ib. καὶ π. τ. πλάτανον om. V.

ib. προσκυνῶν addidi ex R.

22–p. 421. l. 9. καὶ ἄλλα—τοῦτό φησιν om. R.

23. Ἀπομνημονεύμασι] ἀπομνήμασι V. Voluit fortasse ὑπομνήμασι.

23–p. 421. l. 13. λέγων — θεούς om. V.

οὕτως "πολλάκις ἐθαύμασα τίσι ποτὲ λόγοις ἔπεισαν Ἀθηναίους *οἱ "γράψαντες* Σωκράτη *ὡς ἄξιος εἴη θανάτου τῇ πόλει." εἶθ' ὑποβὰς ὀλίγον "ἀδικεῖ γὰρ," φησὶ, "*Σωκράτης *τοὺς νέους διαφθείρων, καὶ "ξένα δαιμόνια εἰσάγων." ἤτοι οὖν ὡς τέλεον ἀναιροῦντος αὐτοῦ θεοὺς τὸν λόγον ἐκδεκτέον, ἢ ὡς πολυπραγμονοῦντος, ποῖον ὀμόσει γένος θεῶν.* * * * *γεγονέναι. πρῶτον μὲν τοὺς κατὰ* Ὀφίωνα *καὶ* Εὐρυνόμην· *δεύτερον δὲ τοὺς κατὰ* Κρόνον *καὶ* Ῥέαν, *οὕστινας* Ὅμηρος Οὐρανίωνας· *τρίτον δὲ τοὺς* Διὶ *τὴν ἀρχὴν καταλύσαντας τὴν ἐκείνων, οὓς* Ὀλυμπίους *κλῄζομεν.* Ἄλλως. *τοῦτό φησιν, ἐπεὶ ὁ γέρων εἶπεν ἀσυναρτήτως ὅτι μισθόν σοι ὀμνύω καταθήσειν τοὺς θεοὺς, ἅμα ἐπιφέρει τὸ, ποίους ὀμεῖ σὺ θεούς: οὐχ ὡς ἄλλοις αὐτὸς χρώμενος θεοῖς, ἀλλ' ὅτι ὤμοσεν, ὡς νόμισμα καταθήσειν τοὺς θεούς.*

249. *σιδαρέοισιν*: Τοῦ *νομίσματος σημαίνοντος δύο, ποτὲ μὲν τὸ νόμιμον ἔθος, ποτὲ δὲ τὸ κόμμα τοῦ τετυπωμένου χαλκοῦ, ὁ* Στρεψιάδης *ἐδέξατο οὐ πρὸς τὸ ὑπὸ τοῦ* Σωκράτους *ῥηθὲν, ἀλλ' ἔμιξεν ἀμφότερα. ἔδει γὰρ εἰπεῖν, τίσιν ὄμνυτε θεοῖς, ἢ τίνι χρῆσθε νομίσματι. λεπτοῖς δὲ νομίσμασι φαίνονται κεχρῆσθαι* Βυζάντιοι. *διὸ καὶ* Δωρικῶς *εἶπεν. ἔνιοι δὲ κατὰ πολυμάθειαν δωρίζουσιν.* Πλάτων Πεισάνδρῳ

χαλεπῶς ἂν οἰκήσαιμεν ἐν Βυζαντίοις,
ὅπου σιδαρέοισι χρῶνται.

4. *ὡς* Hermannus. *εἰς* Ald. *ὡς εἰς* Kusterus.

6. Lacunam indicavit Kusterus. *φασὶ γὰρ τριπλάσιον γένος θεῶν* inserit Reizius. Est scholion futile recentissimi grammatici.

7. *Ὅμηρος*] Il. E, 898.

ib. *Οὐρανίωνας*] *καλεῖ* addit Hermannus.

8. *τοὺς* Wolfius addidit: qui locum de iis intelligit, qui in gratiam Jovis imperium eorum, qui ante regnaverant, everterunt. Ernestius *κατανύσαντας*. HERM.

9. *ἐπεὶ* R. *ἐπεὶ ἐκεῖνος* Ald. Proximo scholio hæc postponit R.

9, 10. *εἶπεν—ὀμνύω* R. *ἀσυναρτήτως εἶπεν ὡς νομίσματα αὐτῷ* Ald.

10. *ἀσυναρτήτων* R.

ib. *καταθήσειν*] *θήσειν* R.

12. *ἀλλ' ὅτι—θεούς* om. R.

13, 14. *ποτὲ μὲν — κόμμα* R.V. *τό τε νόμιμον ἔθος καὶ τὸ τύμμα* Ald. *κόμμα* legit Suidas s. *νόμισμα*.

14. *χαλκοῦ* R.V. *χαλκοῦ ἢ χρυσοῦ, ἐπὶ τοῦ χαλκοῦ* Ald.

ib. *ὁ* om. V.

15. *ἐδέξατο*] *ἐξεδέξατο* V.

ib. *οὐ* R.V. *καὶ οὐ* Ald.

ib. *τοῦ* add. R.

ib. *ῥηθὲν* R.V. *ῥηθὲν ἀπήντησεν* Ald.

16–21. *ἔδει—χρῶνται* om. V.

17–21. *λεπτοῖς—χρῶνται* om. R.

17. *λεπτοῖς δὲ νομίσμασι*] *λεπτῷ δὲ νομίσματι* Suidas.

21. *σιδαρέοισι*] Legebatur *σιδαρέοισι νομίσμασι*. Delevi *νομίσμασι*. *σιδαρέοισι* autem genere masculino dictum est, quemadmodum *οἱ χαλκοῖ* dicuntur.

Ἄλλως. ἐδόκει γὰρ φαυλότατον εἶναι τὸ νόμισμα τῶν Βυζαντίων ἅτε δὴ σιδηρᾶς ὕλης ὑπαρχούσης. ἢ ὅτι ἐκεῖ μέταλλον ἦν, ἐν ᾧ ὤμνυον. [*ἀντὶ τοῦ νόμιμον.* Gl. V. (non G.)]

250. *βούλει τὰ θεῖα πράγματ'*: *Οὐχ ὡς θεοὺς ἡγούμενος τοὺς παρὰ τοῖς ἄλλοις νομιζομένους, τὰ θεῖα λέγει νῦν, ἀλλ' οἷον τὰ ἀξιοθέατα καὶ ὄντως μεγάλα καὶ τίμια.*

[251. *ἅττ'*: *Ἅτινα ἐστὶν ἀκριβῶς καὶ ἀληθῶς.* *νὴ Δί'*: *Λείπει τὸ θέλω. εἴπερ ὄντως ἐστὶν ἐν θεοῖς.* V.]

[252. *συγγενέσθαι*: *Συνελθεῖν.* Gl. V. (non G.)]

253. *δαίμοσιν*: *Ὡς εἰ ἔλεγε τοῖς καπνοῖς, ἢ ταῖς σκιαῖς, ταῖς ἡμῶν θεαῖς. τὰ γὰρ μηδενὸς ἄξια καπνοὺς καὶ σκιὰς καὶ νεφέλας ὠνόμαζον. Εὔπολις ἐν Αὐτολύκῳ* "*καπνοὺς ἀποφαίνει καὶ σκιάς.*" *ἁρμοττόντως δὲ τῶν φιλοσόφων ἐπιγράφει ταύτας εἶναι θεὰς, ἐπεὶ, ὡς ἔφημεν, περὶ τὰ οὐράνια μάλιστα ἐπτόηνται οἱ φιλόσοφοι.*

254. [*κάθιζε, ἤγουν ἐπὶ τὴν τῶν φιλοσόφων ἕδραν.* V.] *σκίμποδα*: *Τὸν κράβατον σκίμποδα λέγουσιν Ἀττικοί. οἱ δέ φασι σκιμπόδιον ἰδίως λέγεσθαι τὸ χωλοκραβάτιον. σκιμβάζειν γὰρ τὸ χωλαίνειν παρὰ τοῖς παλαιοῖς. ἢ τὸν σκιμβοὺς ἔχοντα τοὺς πόδας.*

1. *Ἄλλως* om. V.

1, 2. *ἐδόκει—ὑπαρχούσης* R. *ἐδόκει τὸ τῶν Βυζαντίων νόμισμα ἐλάχιστον εἶναι πάντων καὶ φαυλότατον, ἅτε σιδηροῦν ὑπάρχον* Ald. *ἐδόκει δὲ φαῦλον εἶναι τὸ νόμισμα τῶν Βυζαντίων ὡς σιδηροῦν* V.

2. *ὕλης*] Malim *τῆς ὕλης*: nisi *ὑπάρχον* scribendum cum Ald.

ib. *ἢ ὅτι—ὤμνυον* om. R.V.

4. Scholion v. 250. om. R.

ib. *Οὐχ ὡς*] *οὐχὶ* V.

5. *νῦν* V. *ὡς* Ald.

ib. *ἀλλ' οἷον*] *ἀλλ' οἱ* V. *ἀλλὰ* G.

7. *ἅτινα* G. *τίνα* V.

10. *Ὡς—σκιαῖς* om. V.

ib. *ἢ* add. R.

ib. *ταῖς ἡμῶν θεαῖς* om. R.

11. *ἡμῶν* V. *ἡμετέραις* Ald.

11, 12. *τὰ γὰρ — ἀποφαίνει καὶ σκιάς* om. V.

11. *καὶ σκιὰς καὶ νεφέλας*] *καὶ νεφέλας σκιᾶς* R.

12. *ὠνόμαζον* R. *ὀνομάζομεν* Ald. Sequentia om. R.

13. *ἁρμοττόντως* V. *ἁρμοζόντως* Ald.

13, 14. *ἐπεὶ—μάλιστα* V. *ἐπειδὴ —μᾶλλον* Ald.

14. *οἱ φιλόσοφοι* add. V.

15. *ἕδραν*] Suidas s. *σκίμπους, ἱερὸν σκίμποδά φησιν Ἀ. ἐν N. ἢ τὴν τῶν φιλοσόφων καθέδραν ἢ τὸν κράβατον.*

16. *Τὸν—Ἀττικοί*] *τὸν κράβατον σκίμποδα λέγει ἀττικῶς* R. om. Suidas. Sequentia om. R.

17. *ἰδίως λέγεσθαι* V. et Suidas. *ἰδίως δὲ λέγουσιν* Ald.

ib. *χωλοκραβάτιον*] *σχωλοκραβάτιον* V. *σχολοκραβάτιον* G. *χωλὸν κραβάτιον* Ald. Recte Suidas *χωλοκράβατον*, pro quo duo codd. *χωλοκράββατον.*

ib. *σκιμβάζειν* Suidas. Scribebatur *σκιμπάζειν.*

18. *χωλαίνειν*] *χολαίνειν* V.

ib. *παλαιοῖς* V. et Suidas. *παλαιοῖς εἴρηται* Ald.

ib. *ἢ* V. et Suidas. *ἢ παρὰ* Ald.

ib. *τὸν* Suidas. *τὸ* V. et Ald. et Suidæ codex Bruxell.

255. τουτονὶ τοίνυν λαβὲ: Καὶ τοῦτο παρεπιγραφή. καὶ γὰρ τὸν Σωκράτην περιθεῖναι δεῖ τὸν στέφανον αὐτῷ, κἀκεῖνον λαβεῖν.

257. ὥσπερ με τὸν Ἀθάμανθ': Ἀθάμας ἐκ Νεφέλης δύο παῖδας ἔσχεν, Φρύξον καὶ Ἕλλην. ἀφεὶς οὖν τὴν Νεφέλην θεὰν οὖσαν, θνητῇ γυναικὶ ἐμίγη. ζηλοτυπήσασα οὖν ἡ Νεφέλη ἀπέπτη εἰς οὐρανὸν καὶ τὴν τοῦ ἀνδρὸς χώραν αὐχμῷ ἐκόλαζε. πέπομφεν οὖν θεωροὺς εἰς Ἀπόλλωνα Ἀθάμας ἐρέσθαι περὶ τοῦ αὐχμοῦ. ἡ οὖν τούτου γυνὴ θέλουσα Φρύξον καὶ Ἕλλην ἀπολωλέναι, πέπεικε διὰ δώρων τοὺς θεωροὺς εἰπεῖν Ἀθάμαντι ὡς οὐκ ἂν ἄλλως παύσασθαι τὸν αὐχμὸν ἔχρησεν ἡ Πυθία, εἰ μὴ τοὺς τῆς Νεφέλης θύσαιεν παῖδας. ἀκούσας οὖν Ἀθάμας μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων. εἷς οὖν κριὸς ἀνθρωπίνῃ χρησάμενος φωνῇ λέγει Φρύξῳ καὶ Ἕλλῃ τὰ περὶ τῆς σφαγῆς. φευγόντων οὖν τούτων μετὰ τοῦ κριοῦ ἡ μὲν Ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν Ἀβύδῳ πορθμὸν ἀπεπνίγη πεσοῦσα ἀπὸ τοῦ κριοῦ· ὅθεν καὶ ἀπ' ἐκείνης Ἑλλήσποντος κέκληται· Φρύξος δὲ ἐποχούμενος τῷ κριῷ εἰς τὴν τῶν Κόλχων γῆν περισώζεται. ἔνθα καὶ τὸν κριὸν, ὃς ὑπὸ τῶν θεῶν χρυσόμαλλος γέγονε, θύει τῷ Ἄρει ἢ τῷ Ἑρμῇ, καὶ κατοικήσας αὐτόθι τοὔνομα καταλέλοιπε τῷ τόπῳ. ἐκ τούτου γὰρ ἡ Φρυγία οὕτως ἐκλήθη. Ἀθάμαντα δὲ ἡ Νεφέλη δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας πεποίηκε· προσαχθεὶς οὖν στεφανηφορῶν ἐν τῷ βωμῷ τοῦ Διὸς σφαγησόμενος ὑπὸ Ἡρακλέους σέσωσται. οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκε. Ἄλλως. ἐν Ἀθάμαντι Σοφοκλέους ὑπόκειται Ἀθάμας στεφανηφορῶν, ὥσπερ ἱερεῖον, δίκας εἰσπραττόμενος περὶ Φρύξου. Ἄλλως. τοῦτο πρὸς τὸν ἕτερον Ἀθάμαντα Σοφοκλέους ἀποτεινόμενος λέγει. ὁ γάρ τοι Σοφοκλῆς πεποίηκε τὸν Ἀθάμαντα ἐστεφανωμένον καὶ παρεστῶτα τῷ βωμῷ τοῦ Διὸς ὡς σφαγιασθησόμενον, μέλλοντα δὲ ἀποσφάττεσθαι αὐτὸν, παραγενόμενον Ἡρακλέα καὶ τοῦτον θανάτου ῥυόμενον, λέγοντα ὡς σώζοιτο ὁ Φρύξος, δι' ὃν ἔμελλεν ἐκεῖνος τεθνήξεσθαι. ἐπεὶ οὖν καὶ ὁ

ib. σκιμβοὺς Ruhnkenius (collato Hesychio, σκιμβός] χωλός). σκαμβοὺς V. Ald. Suidas.

ib. ἔχοντα Suidas. ἔχειν V. Ald. ἔχον G.

1. Scholion v. 255. om. R.

ib. παρεπιγραφὴ καὶ τοῦτο G.

2. σωκράτην V. Σωκράτη Ald.

3. Scholia Aldina v. 257. om. R. Ultimum tantum (inde a verbis τοῦτο πρὸς—) habet V.

27. ὡς add. V.

ib. μέλλοντα δὲ] καὶ μέλλοντα V.

28. τοῦτον V. τοῦ Ald.

28—p. 424. l. 2. λέγοντα—παραπλήσια om. V.

πρεσβύτης ἔστεπται, ὥσπερ παραδείγματι τῷ κατ' ἐκεῖνον χρώμενος, δεδοικέναι φησὶν ἐκείνῳ παραπλήσια. [ὡς ἄγροικος Ἀθάμαντα εἶπεν ἀντὶ Φρίξου. ἀντὶ τοῦ εἰπεῖν τὸν Φρίξον τὸν Ἀθάμαντα εἶπεν, ὡς ἄγροικος ἀγνοῶν τὰς ἱστορίας· οὐ γὰρ Ἀθάμας . . . ἀλλ' ὁ Φρίξος. R.]

258. τοὺς τελουμένους: Τοὺς μυουμένους. ἐνδόξοις δὲ μυστηρίοις παραβάλλει τὰ τῶν φιλοσόφων μαθήματα, ἵνα ἔτι μᾶλλον πείθῃ προσέχειν τὸν γέροντα ὡς θειοτέρῳ τῷ πράγματι.

260. λέγειν γενήσει τρίμμα: Ἱκανὸς καὶ δεινὸς ἔσῃ λέγειν. καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου ὡς ἰταμοῦ καὶ ἀναισχύντου ῥήτορος καθαπτόμενος Αἰσχίνου, περίτριμμα ἀγορᾶς αὐτὸν καλεῖ. τρίμμα δὲ, τετριμμένος ἐν λόγοις. κρόταλον δὲ, εὔγλωττος, εὔστομος. ἡ μεταφορὰ ἐκ τοῦ κροτάλου. ταῦτα δὲ λέγων λίθους συγκρούει ἄνωθεν αὐτοῦ. τρίμμα οὖν εἶπε διὰ τὸ τρίβεσθαι τοὺς λίθους· κρόταλον δὲ διὰ τὸ κρούεσθαι αὐτόν· παιπάλη δὲ διὰ τὴν τραχύτητα· ἐπεὶ παίπαλα καλοῦμεν τὰ δύσβατα. Ἄλλως. ταῦτα λέγων ἅμα ὁ Σωκράτης λίθους παρατρίβων πωρίνους καὶ κρούων πρὸς ἀλλήλους, συναγαγὼν τὰ ἀπὸ τούτων θραύσματα βάλλει τὸν πρεσβύτην, καθάπερ τὰ ἱερεῖα ταῖς οὐλαῖς οἱ θύοντες. καὶ διὰ τοῦτο παίζει τοῖς ὀνόμασι. τρίμμα μὲν τὴν ἀπὸ τούτων ἐκπίπτουσαν λατύπην. καλοῦμεν δὲ καὶ τῶν ἀνθρώπων τοὺς κακεντρεχεῖς καὶ μὴ ἁπλοῦς τρίμματα καὶ περιτρίμματα καὶ πολυκρότους καὶ κρόταλα. ὅθεν καὶ τὸν πρῶτον στίχον Ὀδυσσείας οὕτως ἀξιοῦσι γράφειν τινές

ἄνδρα μοι ἔννεπε Μοῦσα πολύκροτον.

κρόταλον: Ἰδίως ὁ σχιζόμενος κάλαμος καὶ κατασκευαζόμενος

4. Vocabulum inter Ἀθάμας . . . ἀλλ' obliteratum ἐτύθη haud dubie fuit.

7. παραβάλλει] περιβάλλει V.

9–16. καὶ Δημοσθένης—Ἄλλως om. R. In V. nulla ad v. 260. scholia sunt præter hoc unum, περιτετριμμένος ἐν λόγοις, εὔγλωττος, εὔστομος. παιπάλη δὲ ἀντὶ τοῦ τραχὺς, δυσκατάληπτος, ἐπεὶ παίπαλα καλοῦμεν τὰ τῶν χωρίων ἡδύσματα (scrib. δύσβατα).

10. Δημοσθένης] P. 269.

16. λέγων ἅμα] μὲν λέγων R.

17. Σωκράτους—κρούων] Legebatur Σωκράτης εἰς τὰ θύματα παρατρίβων ὀρεινοὺς λίθους καὶ κρούων. Correxi ex R, in quo est σωκράτης παρατρίβων οπω . . . . λιπωρίνους καὶ κρούων.

19. ταῖς οὐ. οἱ θ. V. οἱ ταῖς οὐ. θ. Ald.

20. Post τρίμμα μὲν pergit R. αὐτὸν ἔσεσθαι λέγει παρὰ τὸ τρίβειν καὶ θίγειν (fort. θλίβειν) πρὸς ἀλλήλους τοὺς λίθους, reliquis τὴν ἀπὸ — κρόταλον omissis.

22. περιτρίμματα Hermannus. πολυτρίμματα Ald.

25. ἰδίως R. et Suidas s. κρόταλον. κυρίως Ald.

ib. καὶ R. et Suidas. ὁ Ald.

ἐπίτηδες, ὥστε ἠχεῖν, εἴ τις αὐτὸν δονοίη ταῖς χερσὶ, καθάπερ κρότον ἀποτελῶν. τρανὸς οὖν ἔσῃ, φησὶ, καὶ τὴν φωνὴν διηρθρωμένος, καθάπερ τὰ κρόταλα.

[παιπάλη, τραχὺς, δυσκατάληπτος, ἐπεὶ παίπαλα καλοῦμεν τὰ τῶν χωρίων δύσβατα. R. λεπτολόγος. Gl. E.]

[τρίμμα: Ἔμπειρος. κρόταλον: Λάλος. Gl. Victor. εὔγλωττος. Gl. R. παιπάλη: Λεπτὸς περὶ τὸ λέγειν. Gl. Victor. ἔντριβος καὶ ἔμπειρος. λάλος, ἀκουστὸς, λεπτολόγος, λεπτὸς περὶ τὸ λέγειν. Gl. Θ.]

261. ἔχ' ἀτρέμας: Μένε ἐφ' ἡσυχίας. βαλλόμενος γὰρ ὁ πρεσβύτης τῇ παιπάλῃ ἀποσείεται. διὸ παρακελεύεται αὐτὸν μένειν. παιπάλη δὲ κυρίως τὸ λεπτομερὲς τοῦ ἀλεύρου. [ἀτρέμας: Ἡσύχως. Gl. Victor.]

οὐ ψεύσει γέ με: [Συγκατατίθεται περὶ πάντων Σωκράτην ἀληθεύειν ἅπερ ἐπαγγέλλεται· διὸ καὶ τὸ ἑξῆς πάνυ ἀστείως ἐπάγει. R.] τουτέστιν ἀπατήσεις. ὅτι μηδὲν ὧν ἐπαγγέλλεται Σωκράτης ψεύδεται. πληρωθεὶς γὰρ, φησὶ, τούτων, λέγω δὴ τῶν τριμμάτων τῶν λίθων καὶ τῆς λατύπης, ἣν ἔφαμεν παιπάλην καλεῖσθαι, γενήσομαι παιπάλη. Ἄλλως. τῇ χιόνι παττόμενος, ἐὰν αἱ Νεφέλαι δειχθῶσιν. λέγεται δὲ παιπάλη τὸ λεπτότατον τοῦ ἀλεύρου· ἀφ' οὗ παλύνειν, τὸ λευκαίνειν, ὡς τὸ,

πολλὰς δὲ χιὼν ἐπάλυνεν ἀρούρας.

ἐκεῖ οὖν ἐκεῖνος εἶπε, γενήσῃ τρίμμα, κρόταλον, παιπάλη· αὐτὸς ἔπαιξε παρὰ τὴν παιπάλην, τουτέστι τὸ ἄλευρον, εἰπὼν καταπαττόμενος. [καταπαττόμενος ὑπὸ σοῦ ταῖς πληγαῖς διὰ τὰ μαθήματα, παιπάλη γενήσομαι. Gl. Br.]

[262. καταπαττόμενος: Πληρωθεὶς τούτων. παιπάλη γενήσομαι: Ἤγουν ἀφανισθήσομαι καὶ εἰς οὐδὲν ἔλθω. Gl. Θ.]

3. τὰ κρόταλα R. et Suidas. κρόταλον Ald.

11. παρακελεύεται R.V. παρακελεύει Ald.

ib. αὐτὸν μένειν] αὐτῷ σιωπᾶν καὶ εὐφημεῖν, ἵνα εὔξηται μηδὲν βλάσφημον εἰπεῖν V. Quæ sunt ex scholio v. 263.

12. παιπάλη—ἀλεύρου om. R.V.

14. Σωκράτην] σωκρᾶ R.

16–25. τουτέστιν—καταπαττόμενος om. V.

16–19. τουτέστιν—Ἄλλως om. R.

19. παττόμενος R. πατώμενος Ald.

ib. αἱ N. δειχθῶσιν] αἱ ν. διέχθωσιν R. Legebatur ἔλθωσιν αἱ Νεφέλαι.

21. ὡς τὸ] Homeri Il. K. 7, ubi ὅτε πέρ τε χιών. ὡς τὸ—ἀρούρας om. R.

263. *εὐφημεῖν χρή*: Ἡ *συστηματικὴ αὕτη ἀμοιβαία τοῦ ὕμνου εἴσθεσίς ἐστιν ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ιβʹ, ὧν τελευταῖος*

ἐπακούσατε δεξάμεναι θυσίαν, καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.

καλεῖται δὲ τὸ μέτρον τοῦτο Ἀριστοφάνειον, *ὡς εἴπομεν. τὰ τοιαῦτα δὲ εἴδη καλεῖται ἑτερόστροφα. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος.* Ἄλλως. *εὐφημεῖν χρή*: Ταῦτα *πρὸς τὸν Στρεψιάδην. παρακελεύεται τὸν πρεσβύτην σιωπᾶν καὶ εὐφημεῖν, ἵνα εὔξηται, ὥστε μηδὲν βλάσφημον εἰπεῖν.* [*εὐφημεῖν*: Βοᾶν *μετ' εὐφημίας*. Gl. Victor.]

264. *ἀμέτρητ' ἀήρ*: Ἀκατάληπτε *καὶ ἀναρίθμητε, τουτέστι μέγιστε. τὸν δὲ ἀέρα προσεύχεται· ἐπεὶ αἱ νεφέλαι τούτου τοῦ μέρους, ὡς τῶν φιλοσόφων λόγος, οἳ τὸ πᾶν ἀέρα βούλονται εἶναι· οἳ καὶ τὴν ἐν ἡμῖν ψυχὴν ἀέρα καὶ πνεῦμα διωρίσαντο εἶναι.* [*ἀμέτρητ' ἀήρ*: Ἄπειρε. Gl. Victor. *ἀναρίθμητε. βαστάζεις*. Gl. R.]

ὃς ἔχεις: Ὃς *παρείληφας τὴν γῆν ἅπασαν καὶ βαστάζεις.* [*καὶ οὗτος δὲ φιλοσόφων λόγος ὅτι οὐκ ἐφέδρασται ἡ γῆ, ἀλλ' ὑπὸ τοῦ ἀέρος πάντοθεν περιέχεται, τὸν μέσον τοῦ παντὸς λαχοῦσα τόπον.* R.] *δόξα τις τῶν φυσικῶν ἐθρυλεῖτο, ὅτι πλατεῖα οὖσα ἡ γῆ ὀχεῖται ἐν τῷ ἀέρι. μετέωρον*: Κρεμαμένην. Gl. Victor.]

265. *λαμπρός τ' αἰθήρ*: Ἰδίως *τὸ τῆς ἡμέρας φῶς αἰθὴρ καλεῖται, ἀπὸ τοῦ αἴθειν, ὅ ἐστι πυροῦν. θερμὸς δὲ ὁ ἥλιος καὶ διάπυρος. διόπερ εὐκαίρως ὁ ποιητὴς τῷ ἐπιθέτῳ ἐχρήσατο, αἰθέρα λαμπρὸν εἰπών.*

1–7. Ἡ *συστηματικὴ—Στρεψιάδην* om. R.V.

8. *ὥστε* R. *καὶ* Ald. om. V, de quo dixi ad v. 261.

11–16. Ἀκατάληπτε*—καὶ βαστάζεις* om. V.

11. *τουτέστι μέγιστε* addidi ex R.

12. *τούτου τοῦ μέρους ὡς τῶν φ.* R. *τούτου μερικοῖς φ.* Ald.

13. *λόγος*] λ̥ R. *λόγοις* Ald.

ib. *οἳ τὸ πᾶν ἀέρα βούλονται εἶναι* R. *ἀέρα βούλεται εἶναι τὸ πᾶν* Ald.

14. *διωρίσαντο* R. *ἐδογματίσαντο* Ald.

ib. *εἶναι* add. R.

16. *ἅπασαν* add. R.

17. *λόγος*] λ̥ R.

19. *δόξα τις τῶν φυσικῶν ἐθρ.* R.V. *δόξα γάρ τις ἐθρ. τῶν φυσικῶν* Ald.

ib. *ἐθρυλεῖτο* V. *ἐθρυλλεῖτο* R. Ald.

ib. *ὅτι πλάτεια ὁ υἱὸς ἡνιοχεῖται ἐν τῷ ἀέρι* V. Ceterum in R. hic est ordo scholiorum v. 264. 265. *δόξα τις—ἀέρι. ἰδίως—εἰπών. ὃς παρείληφας—λαχοῦσα τόπον. ἀκατάληπτε—διωρίσαντο εἶναι.*

21. *τῆς ἡμέρας* R.V. *τοῦ ἡλίου* Ald.

22. *δὲ* R.V. *γὰρ* Ald.

23. *ἐπιθέτῳ* R. *ἐπιθετικῷ* Ald.

ib. *αἰθέρα λ. εἰπών* om. V.

σεμναί τε θεαί: Οὐχ οὕτω λέγει τὰς Νεφέλας σεμνὰς θεὰς ὥσπερ τὰς Ἐρινῦς ἐκτρεπόμενοι πάντες ὀνομαστὶ λέγειν αὐτὰς Εὐμενίδας καὶ σεμνὰς θεὰς προσηγόρευσαν. τὸ γὰρ σιωπηλὸν σεμνὸν λελόγισται.

βροντησικέραυνοι: Ἀλλήλαις γὰρ προσερχομένων τῶν νεφελῶν, πῦρ ἐξάπτεται ἐκ τῆς πυκνῆς ἐκτρίψεως. οἰκείως κἀνταῦθα τῷ ἐπιθέτῳ τούτῳ κέχρηται. δοκοῦσι γάρ πως αἱ νεφέλαι προδεικνύναι καὶ προσημαίνειν ἡμῖν τούς τε ὄμβρους καὶ τὰς χαλάζας τοῦ οὐρανοῦ, ὅτε βροντᾷ καὶ ἀστράπτει. Ἄλλως. ἐκ τῶν νεφελῶν φασι τὰς ἀστραπὰς καὶ βροντὰς γίνεσθαι, συγκρουομένας βροντᾶν, συντριβομένας ἀστράπτειν.

266. ἄρθητε: Φυσικώτερον ἐχρήσατο τούτῳ τῷ λόγῳ, ἄρθητε εἰπών, οἱονεὶ ἐπάρθητε. φασὶ γὰρ τὰς νεφέλας εἰς ὕψος αἴρεσθαι κατ᾽ ὀλίγον ἀπὸ τῆς γῆς ἢ τῆς θαλάσσης.

τῷ φροντιστῇ: Δύναται καὶ ἐπὶ τοῦ Σωκράτους καὶ ἐπὶ τοῦ πρεσβύτου νοεῖσθαι. ἐπὶ μὲν τοῦ Σωκράτους, ἵνα ᾖ παρακαλῶν αὐτῷ φανῆναι τὰς Νεφέλας· ἐπὶ δὲ τοῦ γέροντος, ὡς ἤδη συγκαταριθμοῦντος αὐτὸν τοῦ Σωκράτους τῷ τῶν φιλοσόφων συλλόγῳ.

267. μήπω γε, μήπω γε: Ἀναδίπλωσις καλεῖται τὸ τοιοῦτον σχῆμα τοῦ λόγου, τὸ δὶς τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι. παρεπιγραφή. διπλασιάσας γὰρ τὸ ἱμάτιον περιβαλέσθαι φησὶν αὐτὸ θέλειν ὑπὲρ τοῦ σκέπεσθαι καὶ ἧττον αὐτοῦ καθικέσθαι τὸν ὑετὸν

1–4. Οὐχ—λελόγισται om. R.

1. θεὰς ὥσπερ τὰς ἐριννῦς (ἐρινῦς G.) V. ὡς τὰς Ἐριννύας ἃς Ald.

2. πάντες V. πάντως ἂν Ald.

2–4. αὐτὰς εὐμενίδας—λελόγισται V. Εὐμενίδας αὐτὰς—νενόμισται Ald.

5, 6. Ἀλλήλαις—ἐκτρίψεως om. R. Totum scholion om. V.

5. ἀλλήλων γὰρ προερχομένων Ald. Correxit Kusterus.

6, 7. οἰκείως—ἐπιθέτῳ R. οἰκείως δὲ κἀνταῦθα τῷ συνθέτῳ Ald.

8. προσημαίνειν R. προσημῆναι Ald.

9. καὶ R. ἢ Ald.

ib. ἀστράπτει R. ἀστράπτει ἢ ὅτε σκηπτοὺς ἐπιπέμπει Ald.

ib. Ἄλλως addidi ex R, in quo est καὶ ἄλλ.

ib. φασι R. φησι Ald.

9–11. τὰς ἀστραπὰς—ἀστράπτειν R. τὴν ἀστραπὴν καὶ βροντὴν συγκρουομένας ἀποπέμπειν Ald.

12. Scholia v. 266. om. R.V.

19, 20. Ἀναδίπλωσις—χρῆσθαι om. R.

19. ἀναδίπλωσις V. ἐπαναδίπλωσις Ald.

20. τοῦ λόγου add. V.

ib. χρῆσθαι ἐμφανῶς Ald. χρᾶσθαι V, omisso ἐμφανῶς. Sequentia om. V.

ib. παρεπιγραφὴ R. ἔστι δὲ παρεπιγραφή Ald.

21. φησὶν] φασὶν R.

22–p. 428. l. 1. καὶ ἧττον—ἄγεται] Recentis scholiastæ additamentum om. R.

τοῦ σώματος. ἡ γὰρ ἀρχὴ τῶν Διονυσίων χειμῶνος ἄγεται. [πτύξωμαι: Ἤγουν καλύψωμαι, συσπάσωμαι. Gl. Victor. τὸ πτύξασθαι ἐκ μεταφορᾶς εἴρηται τῶν ζωοφύτων, ἤτοι ὀστράκων, ἅπερ οἱονεὶ πτύχας, ἤτοι πύλας τὰ ὄστρακα ἔχοντα, καὶ ταῦτα συνάπτοντα, ἑαυτοῖς περιποιοῦσι τὸ ἀσφαλές. Victor.]

268. τὸ δὲ μὴ κυνῆν: Περικεφαλαίαν, ἀγροίκων φόρημα. οὕτως δὲ ἐκλήθη, ἐπειδὴ πρῶτον ἀπὸ κυνείων δερμάτων ἦν. [περικεφαλαίαν ἤτοι καμηλαύκιον. φασὶ δὲ τὸ πρότερον ἀπὸ καμηλείου δέρματος γίνεσθαι. V.]

ἔχοντα: Οὐ μωρὸν δηλονότι, οὐκ ἀνόητον; ἐλλειπὲς γὰρ εἴρηται.

270. χιονοβλήτοισι κάθησθε: Ἀντιπαρατάττεται Ὁμήρῳ λέγοντι

Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἔμμεναι.

χιονόβλητα γὰρ τὰ ὑψηλὰ τῶν ὀρῶν πληροῦσθαί τε καὶ διατηρεῖν τὴν χιόνα πέφυκεν. εἰώθασι δὲ καὶ τὰ νέφη τούτοις ἐπικαθῆσθαι.

271. εἴτ' Ὠκεανοῦ πατρὸς: Καὶ τοῦτο φυσικόν φησιν, ἀπὸ τοῦ Ὠκεανοῦ πάντα τὸν ἀέρα τὴν νοτίαν, τὴν ἰκμάδα καὶ τὸν ὑετὸν τούτοις ἐπιχορηγεῖν.

Νύμφαις: Λείπει ἡ σύν Ἀττικῶς, σὺν Νύμφαις.

272. προχοαῖς: Λείπει ἡ ἐπὶ, ἵνα ᾖ ἐπὶ ταῖς προχοαῖς τοῦ Νείλου. [ζητεῖται δὲ τίνος ἕνεκεν μόνου τοῦ Νείλου μέμνηται. ὅτι σεμνολογεῖν λεληθότως ὁ ποιητὴς βουλόμενος τὰ καθ' αὑτόν· ἦν γὰρ τὸ γένος Αἰγύπτιος. καιρὸν οὖν εὑρὼν μνήμην τοῦ Νείλου πεποίηται. V.] πρόχουσιν δὲ, ἀγγείοις. [πρόχουσιν: Ἀγγείοις, ὑδρείαις. Gl. Victor.]

273. ἢ Μαιῶτιν λίμνην: Περὶ ταύτης Ἡρόδοτος μαρτυρεῖ λίμνην

1. ἀρχὴ] ἑορτὴ Wolfius.
6–10. Scholia Aldina v. 268. om. R.
6. περικεφαλαίαν ut gl. habet R.
11. Scholia v. 270. 271. 272. 273. 274. om. R.
11–15. Scholion v. 270. om. V.
11. Ὁμήρῳ] Odyss. Z, 42.
16–18. Καὶ τοῦτο — ἐπιχορηγεῖν om. V.
19. Λείπει] λείπεται hic et mox iterum G.
ib. ἀττικῶς V. ἤγουν Ald.
ib. νύμφαις V. ταῖς νύμφαις Ald.
20. ἵνα ᾖ V. ἤγουν Ald.
22. καθ' αὑτὸν] κατ' αὐτὸν G.
ib. ἦν γὰρ τὸ γένος Αἰγύπτιος] Idem ex Heliodoro Atheniensi narrat Athenæus 6. p. 229 e. Est hæc inepta, si qua alia, narratio: sed longe ineptior scholiasta est, qui propterea Nilum hic memorari autumat.
26–p. 429. l. 1. Περὶ—Σκυθίας] αὕτη Σκυθίας ἐστὶ λίμνη. περὶ ταύτης καὶ ἡρόδοτος ἱστορεῖ V.
26. Ἡρόδοτος] 4, 100. 120. 123.

εἶναι Σκυθίας. ἀπὸ τῶν ποταμῶν δὲ ἀρύονται ὕδωρ εἰς χρῆσιν. διὰ δὲ τὸ ἄδηλον, ἐκ διαφόρων τόπων καλεῖ αὐτὰς, ἵνα πιστευθῇ.

νιφόεντα Μίμαντος: Τὸν ἀεὶ νιφόμενον. ὄρος Θρᾴκης ὁ Μίμας. καὶ Ὅμηρος "παρ' ἠνεμόεντα Μίμαντα."

[νιφόεντα: Τὸν ἀεὶ νιφόμενον, χιονιζόμενον. Gl. Victor.]

274. χαρεῖσαι: Ἡδυνθεῖσαι. γράφεται δὲ φανεῖσαι. [φανεῖσαι: Παραγενόμεναι. Gl. E.]

275. ἀέναοι Νεφέλαι: Ἡ ἐπεισόδιος αὕτη στροφὴ καὶ ᾠδὴ τοῦ χοροῦ κώλων ἐστὶ ιϛʹ, ὧν τὰ πρῶτα δύο δακτυλικὰ πενθημιμερῆ, ἃ καλεῖται Ἀρχιλόχεια, ὡς Ἡφαιστίων φησὶ, διὰ τὸ τὸν Ἀρχίλοχον τούτοις χρήσασθαι ἐν ἐπῳδῷ· ὡς τὸ

ἐν δὲ Βατουσιάδης.

ἔχει δὲ τὸ πενθημιμερὲς, ὡς εἴρηται, πόδας δύο καὶ συλλαβήν. τὸ γʹ ἀναπαιστικὸν ἑφθημιμερὲς, ὃ καλεῖται, ὡς εἴρηται, παροιμιακόν. ἔχει δὲ πόδας γʹ, καὶ συλλαβὴν, ὡς εἴρηται. τὸ δʹ δακτυλικὸν τετράμετρον ἀκατάληκτον· ὃ καλεῖται καὶ αὐτὸ Ἀρχιλόχειον. καὶ τούτῳ γὰρ οὕτως ἐν ἐπῳδοῖς ἐχρήσατο, ὡς Ἡφαιστίων φησί. τετράμετρον δὲ εἴρηται, διότι κατὰ μονοποδίαν μετρεῖται τὰ δακτυλικά. τὸ εʹ ὅμοιον. τὸ ἕκτον δίμετρον ἀκατάληκτον. τὸ ζʹ ὅμοιον τῷ τετάρτῳ. τὸ ηʹ, τὸ θʹ καὶ τὸ ιʹ ὅμοια. τὸ ιαʹ ὅμοιον τῷ πρώτῳ· τὸ ιβʹ ἀναπαιστικὸν πενθημιμερές. τὸ ιγʹ δακτυλικὸν τρίμετρον κατὰ μονοποδίαν. τὸ ιδʹ ὅμοιον τῷ δʹ· τὸ ιεʹ ὅμοιον. τὸ ιϛʹ

τηλεσκόπῳ ὄμματι γαῖαν.

ἀναπαιστικὸν ἑφθημιμερές· ὃ καλεῖται, ὡς εἴρηται, παροιμιακόν. ἔστι γὰρ κοινὴ συλλαβὴ τὸ πῳ, διὰ τὸ ἔχειν ἔμπροσθεν φωνῆεν. ἐπὶ τῷ τέλει παράγραφος, καὶ διπλῆ ἔσω νενευκυῖα, δηλοῦσα ἔχειν ἀνταπόδοσιν. Ἄλλως. ἀέναοι Νεφέλαι: Μετὰ τὴν τοῦ Σωκράτους εὐχὴν αἱ Νεφέλαι παρακελεύονται δῆθεν ἑαυταῖς πεισθῆναι τῇ ἐπικλήσει καὶ συναθροισθῆναι, καὶ οὕτως ἐπιφανῆναι τῷ Σωκράτει. ἐκ τούτων δὲ ὁ χορὸς συνέστηκεν διόπερ καὶ τὴν ἐπιγραφὴν ταύτην ἔχει

1, 2. ἀπὸ—πιστευθῇ om. V, qui post ἱστορεῖ pergit σκοπελὸν (ἐν ᾗ καὶ σκοπελὸν G.) καὶ νιφόεντα ψυχρότατον ἀεὶ νιφόμενον, et gl. habet ὄρος θρᾴκης, quod om. G. Θρᾴκης etiam Suidas. Est vero Ioniæ.

3, 4. ὁ Μίμας—Μίμαντα om. V.

4. Ὅμηρος] Od. Γ, 172.

8–27. Ἡ ἐπεισόδιος—Ἄλλως om. R.V.

10. Ἡφαιστίων] P. 39.

22. τὸ ιϛʹ Hermannus. τῷ ιϛʹ Ald.

28. ἑαυταῖς] αὐταῖς V.

30. συνέστηκεν αὐτῷ Ald. αὐτῷ om. R.V.

τὸ δρᾶμα. ἀέναοι δὲ αἱ διὰ παντὸς νάουσαι. νεφέλη δέ ἐστιν ἡ ἐξ ἀέρος καὶ πνεύματος οὐσία παχυνομένη σωματοειδῶς. τοῦ δὲ χοροῦ τὰς ἑκατέρωθεν λέγουσι παρόδους, οὔσας ις' κώλων. τῶν δὲ ὑποκριτῶν μέσων ὄντων, ἐκ στίχων ζ' ἀναπαίστων τετραμέτρων καταληκτικῶν. καλῶς εἶπεν ἀέναοι. εἰσὶ γὰρ ὑδάτων μητέρες. ἀρθῶμεν δὲ, ἀναπηδήσωμεν. [ἀέναοι: Ἀεὶ ῥέουσαι καὶ στάζουσαι. Gl. Victor.]

[μετὰ τὴν τοῦ Σωκράτους εὐχὴν αἱ Νεφέλαι παρακελεύονται ἀλλήλαις, ὥστε πεισθείσας τῇ ἐπικλήσει Σωκράτους συναθροισθῆναι, καὶ οὕτως αὐτῷ φανῆναι. τινὲς οὖν εἰς τὸ δροσερὰν φύσιν εὐάγητον, προστιθέασι τὸ ἀφεῖσαι, ἵνα ἐντεῦθεν τὰς αἰτιατικὰς συντάξωσι. τοῦτο δὲ ἐν οὐδενὶ τῶν ἀρχαίων βιβλίων εὕρηται, ἀλλ' οὐδὲ μέτρον ἀπαιτεῖ. συντάσσεται δὲ οὕτω· ὦ νεφέλαι ἀένναοι αἱ ἔχουσαι φύσιν δροσερὰν εὐάγητον ἤγουν εὐκίνητον. Schol. LB.]

277. φύσιν εὐάγητον: Πανταχοῦ φερομένην, ἢ λαμπράν. [λαμπρὰν, καθαράν. R. εὐάγητον: Πάντη φερόμενον. εὐκίνητον· τοιοῦτον γὰρ τὸ ὕδωρ. Gl. Br.]

278. Ὠκεανοῦ βαρυαχέος: Ἀκολούθως τοῖς ὑπὸ τοῦ Σωκράτους εἰρημένοις

εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις.

ἀλλ' ὁ μὲν διὰ τὸ ἄδηλον ἐκ διαφόρων αὐτὰς τόπων καὶ πηγῶν καλεῖ, ἵν' οὕτω γοῦν τῆς ἀληθείας τυχεῖν δυνηθῇ. αἱ δὲ, ἅτε τῆς ἑαυτῶν γενέσεως γινώσκουσαι τὸ ἀκριβὲς, εὐθὺς διώρισαν καὶ πόθεν αὐτὰς ἀρθῆναι δεήσει. βαρυαχέος δὲ τοῦ μέγα ἠχοῦντος. οἱ γὰρ βαρεῖς ποταμοὶ ῥέοντες μέγαν ἦχον ἀπεργάζονται. [βαρυαχέος: Μέγα ἠχοῦντος. Gl. R. Victor.]

1, 2. δρᾶμα — σωματοειδῶς R.V, nisi quod παχυνομένη σωματοειδῶς om. V. δρᾶμα Νεφέλαι ἅτε ἐξ ἀέρος καὶ πνεύματος οὐσία παχυνομένη σωματοειδής. ἀέναοι δὲ διὰ παντὸς νάουσαι, ὡς ἀέναος ποταμὸς ὁ ἀδιαλείπτως ῥέων. Ald.

2–4. τοῦ δὲ χοροῦ—καταληκτικῶν om. R.V.

3. παρόδους] περιόδους Ald. Correxit Spanhemius. Conf. schol. Vesp. 270.

5, 6. καλῶς—ἀναπηδήσωμεν om. V.

5. καλῶς R. καλῶς δὲ Ald.

ib. ἀρθῶμεν δὲ ἀναπ. om. R.

14. Scholion v. 277. om. R.V.

17. Scholion v. 278. om. R.

ib. τοῖς om. G.

19. εἴτ'] εἴτ' ἐπ' V.

21. οὕτω γοῦν τῆς V. οὕτως τῆς Ald.

ib. δυνηθῇ om. V. δυνηθῇ. αἱ δὲ om. G.

21–23. τῆς ἑαυτῶν — δεήσει] τὴν ἑαυτῶν γένεσιν γινώσκουσαι εὐθὺς διωρίσαντο πόθεν εὑρεθῆναι δεήσει V.

23. βαρυηχέος δὲ V. Ἄλλως. βαρυαχέος Ald.

23, 24. οἱ γὰρ—ἐργάζονται om. V.

[279. ταῖς κομώσαις κορυφαῖς τοῖς δένδροις. R.]

280. [Ἔφαμεν ὅτι τοῖς ὑψηλοτάτοις τῶν ὀρῶν ἐπικάθηνται αἱ νεφέλαι. ἵνα ἀντὶ τοῦ ὅπου τὰ πόρρω καθεζόμενα βλέπομεν. R.] ἵνα τηλεφανεῖς: Ὅθεν, ἀφ' ὧν ἐστὶν ἰδεῖν τὰ πόρρω. τοῖς γὰρ εἰς ὕψος οὖσι καὶ τὰ μακρὰν καταφανῆ γίνεται. τὸ δὲ ἵνα, ἀντὶ τοῦ ὅπου. ἢ τὸ ἵνα ἀφορώμεθα ἐστὶν ἀντὶ τοῦ ὅθεν. κέχρηται δὲ ἐπιρρήματι τῷ ἐν τόπῳ ἀντὶ τοῦ ἐκ τόπου. [ἵνα: Ἀντὶ τοῦ ὅθεν. Gl. Victor.]

[281. ἀρδευομένην. R.]

[283. ζαθέων: Θαυμαστῶν, ἄγαν θείων. κελαδήματα: Κρ. . ν. . τὰς βοάς. Gl. Victor. ἠχήματα. R.]

[284. κελάδοντα: Ἠχοῦντα. βαρύβρομον: Μεγαλόψοφον. Gl. Victor. βαρύηχον, διὰ τὸν τῶν κυμάτων ψόφον. R.V.]

286. σελαγεῖται: Ἀντὶ τοῦ καταλάμπεται. ἔοικε δὲ λέγειν τὸν ἥλιον, ἐπεὶ καὶ οἱ τραγικοὶ εἰώθασιν ὀφθαλμὸν ὀνομάζειν αὐτόν. τοιαύτη δόξα ἐστὶ παρὰ τοῖς φιλοσόφοις, ὄμμα αἰθέρος καλεῖν τὸν ἥλιον. [ὄμμα αἰθέρος τὸν ἥλιον ἔοικε λέγειν· ἐπεὶ καὶ οἱ τραγικοὶ εἰώθασιν οὕτως καλεῖν, ὀφθαλμὸν δηλαδή. ἔστι δὲ καὶ παρὰ τοῖς φιλοσόφοις τοιαύτη δόξα, ὥστε ὀφθαλμὸν καὶ ἡγεμόνα τοῦ οὐρανοῦ καλεῖν. Schol. LB. καταλάμπεται. Gl. Victor. ὄμμα αἰθέρος τὸν ἥλιον λέγει. R. ἐκπυροῦται, λάμπεται. R. λάμπεται. V.

[μαρμαρέαις: Ταῖς λαμπραῖς. μαρμαίρειν γὰρ τὸ λάμπειν. V.]

[287. ἀποσεισάμεναι: Διασκορπίσασαι, τὴν χειμερινὴν ἀπειλὴν ἀποβαλοῦσαι. R.V.]

289. ἀθανάταις ἰδέαις: Ἐπεὶ καὶ γυναικοειδεῖς εἰσιέναι μέλλουσι, τοῦτο λέγουσιν, ἐμπαρασκευαζόμεναι τὴν εἴσοδον, ὡς ὅμοιαι μὲν τοῖς ἄλλοις θεοῖς οὖσαι, περικείμεναι δὲ νέφους τινὰ φύσιν. Ἄλλως. ἀθανάτας ἰδέας κεῖται. καὶ ἔστιν ἑνικὸν ἐν γενικῇ πτώσει.

4–7. Ὅθεν—ἐκ τόπου om. R. In V. est ἔφαμεν ὅτι τοῖς—ἐπικάθηνται αἱ νεφέλαι (ut R). δενδροκόμους δὲ ταῖς κομούσαις (scr. κομώσαις) κορυφαῖς τοῖς δένδρεσι. τηλεφανεῖς δὲ ἀφ' ὧν—καταφανῆ γίνεται.

5. μακρὰν V. μακρὰ Ald.

ib. γίνεται addidi ex V.

10. ἄγαν θείων habet V.

11. ἠχήματα habet V, non G.

14–17. Ἀντὶ—τὸν ἥλιον om. R.V.

24. ἀποβαλοῦσαι om. V.

25–p. 432. l. 4. Ἐπεὶ—τοῦ χοροῦ om. R.V, nisi quod R. ultima verba habet, ἵνα γυναῖκας εἰσαγάγῃ τὰς τοῦ χοροῦ.

28. ἀθανάτας Hermannus. ἀθανάτης Ald.

μέλλει δὲ τὰς Νεφέλας γυναικομόρφους εἰσάγειν, ἐσθῆτι ποικίλῃ χρωμένας, ἵνα τὰ τῶν οὐρανίων φυλάττωσι σχήματα. τὸ δ' ἐπιδώμεθα, ἀντὶ τοῦ ἐπίδωμεν καὶ ἐπισκεψώμεθα. ἵνα γυναῖκας εἰσαγάγῃ τὰς τοῦ χοροῦ.

[290. τηλεσκόπῳ: Τὰ πάντα ἐφορῶντι. R. πόρρω ὁρῶντι. Gl. Victor.]

291. ὦ μέγα σεμναί: Τὸ μερικὸν τοῦτο ἀμοιβαῖον σύστημα ἐκ στίχων ἐστὶν ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ζ', ὡς ἐρρέθη. λέγεται δὲ τοῦτο σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, ὡς Ἡφαιστίων φησίν. ἐπὶ τῷ τέλει παράγραφος. [ὦ θαυμασιώταται καὶ ὑπεράγαν σεμναί. R.V. ταῦτα μὲν καθ' ἑαυτὸν, τὸ δὲ ἤσθου φωνῆς πρὸς τὸν Στρεψιάδην ὁ Σωκράτης. V.]

292. ἤσθου φωνῆς: Ἐν ταῖς κωμῳδίαις τινὲς μηχαναὶ, τὰ καλούμενα ἠχεῖα, ὧν ὁ κτύπος σχηματίζεται εἰς βροντῆς ἀπήχησιν. ἔστι δὲ καὶ ἐν τῇ σκηνῇ μηχάνημά τι, ὃ καλεῖται βροντεῖον, ἀμφορεὺς μεστὸς ψηφίδων ἀντιβαλλομένων εἰς χαλκοῦν λέβητα.

293. καὶ σέβομαί γ' ὦ πολυτίμητοι: Ἀντὶ τοῦ προσκυνῶ, ἢ καταπέπληγμαι, δεῖ δὲ καὶ τοῖς τούτου σχήμασιν ἐνδείκνυσθαι τὸ δεδιττόμενον, καὶ ἐπὶ τῇ παρουσίᾳ τῶν Νεφελῶν ἐκπεπληγμένον. σέβεται δὲ ὡς σεβασμίας ὑπὸ θεῶν καὶ τιμωμένας. καὶ προσκυνῶν δὲ δῆθεν ταῦτα λέγει.

ἀνταποπαρδεῖν: Ἀντὶ τοῦ κτυπῆσαι καὶ ἀντηχῆσαι. περὶ δὲ τὴν βροντὴν ἔπαιξεν, ἐξομοιῶν αὐτῇ τῆς πορδῆς τὸν ἦχον.

294. πρὸς τὰς βροντάς: Μηχανή ἐστιν, ὃ καλεῖται βροντεῖον, ὑπὸ τὴν σκηνήν· ὃ ἦν ἀμφορεὺς, ψηφῖδας ἔχων θαλασσίας. ἦν δὲ

3. ἀντὶ τοῦ—ἐπισκεψώμεθα] Legebatur ἀντὶ τοῦ ἐπιφανῶμεν, ἐπισκέψωμεν et post τοῦ χοροῦ addebatur ἐπίδωμεν καὶ σκεψώμεθα. Illud ἐπιφανῶμεν glossema est verbi ἀρθῶμεν v. 276.

6–10. Scholion metricum om. R.V.

13–16. Ἐν ταῖς—λέβητα om. R.V.

13. μηχαναὶ addidit Nagelius. Vide de his machinis Heron. in Mathem. vet. p. 263.

17–21. Ἀντὶ—λέγει om. R.V. Gl. προσκυνῶ et ἀντηχῆσαι habet V, non G.

22, 23. Ἀντὶ—ἦχον om. V.

23. ἐξομοιῶν R. ὁμοιῶν Ald.

24–p. 433. l. 2. Μηχανή—βροντῇ om. V.

25. ἀμφορεὺς] ἀμφιφορεὺς libri meliores Suidæ s. βροντή.

ib. ψ. ἔχων R. et Suidas. ἔχων ψ. Ald.

ib. ἔχων] ἔχων ἢ R.

ib. θαλασσίας] θαλαττίας Suidas.

λέβης χαλχοῦς, εἰς ὃν αἱ ψῆφοι κατήγοντο καὶ κυλιόμενοι ἦχον ἀπετέλουν ἐοικότα βροντῇ.

τετρεμαίνω: Τρέμω, *παραγώγως. ἐπίτηδες δὲ ἐξέτεινε τὴν λέξιν τερατευόμενος.*

295. *κεἰ θέμις ἐστὶ*: Καὶ *εἰ εὐσεβές ἐστι καὶ μή, χέσαι ἔχω. ὡς ὑπὸ τοῦ φόβου προειλημμένος, καὶ μὴ δυνάμενος ἀνασχεῖν ἔτι. ὁ γὰρ ἐπιστάμενος ὅτι μὴ δεῖ οὕτω ποιεῖν, εἶτα τοῦτο οὐδὲν ἧττον ποιῶν, ὑπὸ μείζονος ἀνάγκης ἐξαγόμενον εἰς τὸ παρανομεῖν δείκνυσιν ἑαυτόν.*

296. *οὐ μὴ σκώψῃς*: Τοῦτο *ὁμοῦ μὲν ὁ Σωκράτης, καὶ ὡς περιφρονῶν τὰ ἀνθρώπινα, πιστῶς λέγει, καὶ τοὺς τῆς κωμῳδίας ποιητὰς ἡγούμενος ἀθλίους, ὁμοῦ δὲ καὶ* Ἀριστοφάνης, *αὐτοῦ μὲν οὐ, τῶν δὲ ἄλλων κωμῳδογράφων ἀτεχνούντων, ὡς καταλιπόντων μὲν τὴν ποίησιν, τοῦ δὲ σκώπτειν ἐχομένων.*

οἱ τρυγοδαίμονες: Οἱ *ποιηταί· ἐπειδὴ τὴν τρύγα χριόμενοι, ἵνα μὴ γνώριμοι γένωνται, οὕτως τὰ αὐτῶν ᾖδον ποιήματα κατὰ τὰς ὁδοὺς ἁμάξης ἐπικαθήμενοι. διὸ καὶ παροιμία, ὡς ἐξ ἁμάξης λαλεῖ, ἤγουν ἀναισχύντως ὑβρίζει. τοῦτο δὲ ἐποίουν οἱ κωμικοὶ ποιηταί.* Ἄλλως. *οἱ κωμικοί, παρὰ τὸ κακοδαίμονες, ἐπεὶ πολλοὶ τῇ αἰσχροποιίᾳ ἐχρῶντο. κακοδαίμονες δέ, παρόσον ἀφέμενοι τῶν θείων περὶ τὸ σκώπτειν τρέπονται.* [*τρυγοδαίμονες*: Οἱ *ἄλλοι κωμικοί. οὗτοι γὰρ ἐν τοῖς ποιήμασιν αὐτῶν ἀνθρώπους εἰσῆγον χέζοντάς τε καὶ ἕτερα αἰσχρὰ ποιοῦντας. λέγει δὲ δι'* Εὔπολιν *καὶ* Κρατῖνον *καὶ τοὺς ἄλλους. τρυγοδαίμονας δὲ τούτους καλεῖ, διότι πάντες οἱ κωμῳδοὶ τρυγὶ ἀνηλείφοντο.* Schol. E.]

297. *σμῆνος ἀοιδαῖς*: [Τὸ *πλῆθος τῶν μελισσῶν.* R.] *κυρίως*

1. *κατήγοντο* R. et Suidas. *κατήρχοντο* Ald.
ib. *κυλιόμενοι*] *κυλιούμεναι* R.
2. *ἐοικότα βροντῇ* add. R. et Suidas.
3, 4. *παραγώγως — τερατευόμενος* om. R.
3. *τὴν λέξιν*] *τῇ λέξει* V.
5–9. Καὶ *εἰ—ἑαυτόν* om. R, sed habet gl. *εὐσεβές ἐστι καὶ μή.*
5. *καὶ μή, χέσαι ἔχω. ὡς* V. *καὶ ὅσιον. καὶ εἰ μὴ εὐσεβές. ὡς* Ald.
6. *ἀνασχεῖν* V. *ἑαυτὸν ἀνασχεῖν* Ald.
7. *δεῖ οὕτω ποιεῖν* V. *δέοντα ποιεῖ* Ald.
8. *ἀνάγκης*] *ἀνάγει* V.
ib. *ἐξαγόμενον* Ernestius. *ἐξαγόμενος* V. Ald.
ib. *δείκνυσιν* om. V.
10–p. 434. l. 11. Τοῦτο—Ἄλλως om. R.V.
12. *αὐτοῦ* Ernestius. *αὐτὸς* Ald.
19. *πολλοὶ*] *πολλῇ* Hermannus.
26. *κυρίως μὲν*] Suidas, *σμῆνος: πλῆθος μελισσῶν, οἱονεὶ ἑσμός. ἰδίως δὲ σμῆνος καλεῖται —.*

μὲν τὸ σύστημα τῶν μελισσῶν. Ὅμηρος δὲ κέχρηται τῇ τροπῇ ἐπὶ εὐγλωττίας ἐπαινῶν τὸν Νέστορα

τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

ὅπερ ἐστὶν ἑσμὸς, τουτέστι σμῆνος τῶν Ἀριστοφάνους ᾠδῶν.

298. παρθένοι ὀμβροφόροι: Ἡ ἀντῳδὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ὁμοίων τῇ ᾠδῇ δεκαέξ· ὧν ὁ τελευταῖος

καὶ μοῦσα βαρύβρομος αὐλῶν.

ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν κατ' ἀρχὰς τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. καὶ ἀμφότεραι ἔξω νενευκυῖαι, δηλοῦσαι ὅτι τέλος ἔσχε τὰ ἀποδιδόμενα. τινὲς δὲ εἰς τὸ παρθένοι στίζουσι, τὸ παλίμβολον τῶν Νεφελῶν παριστάντες. ἄμεινον δὲ εἰς τὸ ὀμβροφόροι στίζειν. Ἄλλως. ταῦτα οὐχ ὑφ' ἓν ἀναγνωστέον οὐδ' ὡς ἐπίθετον τῶν Νεφελῶν τὸ ὀμβροφόροι νῦν ἐκληπτέον, ἀλλ' ὡς αὐτὸ καθ' αὑτὸ πρᾶγμα δηλοῦν. ἢ καὶ ἄμεινον μὲν ἂν εἴη ὑποστίζειν μὲν εἰς τὸ παρθένοι, ζευγνύναι δὲ τὸ ὀμβροφόροι τῷ ἐπιφερομένῳ, ἵν' ᾖ νοούμενον· ἔλθωμεν ἐπὶ τὴν Ἀθηναίων γῆν ὄμβρου γέμουσαι. καὶ γὰρ εἰ ἀμφοτέρως ἡ ἔννοια σώζεσθαι δύναται, ἀλλ' εὐφημότερόν ἐστιν ὃ προειρήκαμεν. εἰσὶν οὖν αἱ Νεφέλαι πάλιν παρακελευόμεναι καί φασιν, ὅλαι ὀμβρίας πληρωθεῖσαι τῇ τῶν Ἀθηναίων ἐπιστῶμεν πόλει. ἡ δὲ τοιαύτη διαστολὴ ὑπεναντία τοῖς ἄνω γενήσεται προειρημένοις ὑπὸ τοῦ ποιητοῦ, ὡς δεῖ τὰς Νεφέλας τολοιπὸν εὐδίους εἶναι, δι' ὧν ἔφη, "ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον ἀθανάταις ἰδέαις ἐπιδώμεθα". πρὸς τοῦτο οὖν ἐκεῖνο ἀντιθετέον, ὅτι τὸ συμβαῖνον περὶ τὰς Νεφέλας αἰνιττόμενος ὁ ποιητὴς, παλίμβολόν τινα καὶ παλίστροφον ἐποίησε τὴν γνώμην αὐτῶν, ἐπεὶ ἔκ τε χειμῶνος εἰς εὐδίαν χωρεῖν καὶ αὖ πάλιν ἐξ εὐδίας χειμάζειν πεφύκασι.

1. Ὅμηρος] Il. A, 249.
4. ᾠδῶν] Interpretatur quasi ἀοιδῶν scriptum sit.
12–26. ταῦτα—πεφύκασι om. R, habet gl. ὄμβρον (scr. fortasse ὄμβρου) γέμουσαι.
12. ταῦτα V. τοῦτο Ald.
ib. ὑφ' ἓν] ὑφὲν V.
14. μὲν εἰς V. Aberat μέν.
ib. ζευγνύναι V. συζευγνύναι Ald.
16. εἰ ἀμφοτέρως V. ἐν ἀμφοτέροις Ald.
17. ὃ V. ὥσπερ Ald.
18. εἰσὶν οὖν et πάλιν et καί addidi ex V.
19. ἐπιστῶμεν V. ἐπισπεύσωμεν Ald.
21. δεῖ V. χρὴ Ald.
ib. ἔφη] ἔφημεν V.
22. ἀθανάταις—ἐπιδώμεθα add. V.
ib. πρὸς τοῦτο οὖν ἐκεῖνο V. ἐκεῖνο δὲ πρὸς τοῦτο Ald.
24. παλίστροφον V. παλίνστροφον Ald.
25. ἔκ τε V. καὶ ἐκ τοῦ Ald.
ib. αὖ add. V.

299. *λιπαρὰν χθόνα*: *Λιπαρὰς Ἀθήνας οὐκ ἀπεικότως καλοῦσι, μάλιστα μὲν καὶ διὰ τὸ δόξαι πλουτεῖν τὴν πόλιν, ἔπειτα δὲ καὶ διὰ τὴν τῶν ἡμέρων τροφῶν εὕρεσιν, παρ' οἷς εἰς ἔτι καὶ νῦν τὸ λιπαρὸν τῆς ἐλαίας φυτὸν δείκνυται. Ἄλλως. τὴν εὐθαλῆ καὶ πᾶσι κομῶσαν. καὶ* Πίνδαρος " *ὦ ταὶ λιπαραὶ καὶ ἀοίδιμοι,* Ἑλλάδος *ἔρεισμα,* " *κλειναὶ* Ἀθᾶναι." *εὔανδρον δὲ, τὴν ὑπ' ἀρίστων ἀνδρῶν παροικουμένην. πολυήρατον δὲ, πᾶσιν ἐράσμιον.* [*λιπαρὰν*: Εἰς *τὴν εὔγαιον τὴν* Ἀττικήν. Gl. Θ. *Λαμπρὰν διὰ τὴν ἐλαίαν τὴν οὖσαν ἐν αὐτῇ*. R.]

[300. Κέκροπος: Οὗτος *γὰρ τῶν* Ἀθηναίων *ἦν ἀρχαιόγονος*. Gl. Θ.]

[*πολυήρατον*: Πάνυ *ἐπέραστον*. Gl. Θ. *ἐρασμίαν*. V. (non G.)]

301. *οὗ σέβας*: *Ὅπου σέβασμά ἐστι καὶ ἀπόρρητα μυστήρια. λίαν γὰρ αὐτοῖς τὸ μὴ ἐξαγγέλλεσθαι ταῦτα ἐσπουδάζετο. ὅτι δὲ λίαν ἐσπούδαζον περὶ τὰ μυστήρια, δῆλον ἐκ τοῦ ψηφίσματος* Μεγαρέων.

1. Scholion v. 299. om. R, habet gl. *τὰς ἀθήνας*.

1–4. *λιπαρὰς—δείκνυται* post locum Pindari ponit V.

1. Λιπαρὰς Ἀθήνας] *λιπαρὰν δὲ τὴν εὐθήναν* V.

ib. *ἀπεικότως*] *σοῦ* addit V, non G.

2. *δοξαι*] *δόξῃ* V.

ib. *δὲ* V. *δέ τοι* Ald.

ib. *καὶ διὰ*] *καὶ* om. V.

3. *ἡμέρων*] *ἡμετέρων* V.

ib. *εἰς* add. V.

ib. *τὸ λιπαρὸν τῆς ἐλαίας φυτὸν* om. V.

4. *τὴν εὐθαλῆ* V. *λιπαρὰν, εὐθαλῆ, τὴν* Ald.

5. *καὶ* Πίνδαρος *ὦ ταὶ λιπαραὶ* V. Πίνδαρος *λιπαραὶ* Ald. Est fragm. 46. p. 579. ed. Boeckh.

6. Ἀθᾶναι] *ἀθῆναι* V. Ald. Sequentia om. V.

10. Ad Κέκροπος v. 300. V. repetit scholion Pluti v. 773.

13. *σέβασμα*] *σεβάσμια* Ernestius.

ib. *ἀπόρρητα* R.V. *ἄρρητα* Ald.

14. *λίαν—ἐσπουδάζετο*, quæ in fine scholii Aldini iterum leguntur, hic posui cum R.V. Uterque codex *ἐξαγγέλεσθαι*. Sequentia *ὅτι δὲ λίαν —*Μεγαρέων om. R.V.

15. *ψηφίσματος* Μεγαρέων] Id est *contra Megarenses*. Sic Thucyd. 1, 140. *εἰ τὸ* Μεγαρέων *ψήφισμα μὴ καθέλοιμεν*. Vales. ad Harpocrat. s. Ἀνθεμόκριτος citat Ernest.

16. Post Μεγαρέων addit Ald. *Ἄλλως. εἰκότως πρὸ πάντων σεμνολογοῦσι τὰ* Ἐλευσίνια. *κοινωνίαν γὰρ ἔχουσι πρὸς τὰς θεὰς, ὅσον ἐκ τῆς τοῦ ἔτους φορᾶς, καὶ τῆς τῶν καρπῶν αὐξήσεως. αὗται δὲ τὸν* Ἴακχον *ἐχόρευσαν ταῖς θεαῖς* Νεφέλαις *μυστικαῖς, ὡς* Ἡρόδοτος. *φησὶ γὰρ ἐν τῇ παρὰ* Σαλαμῖνα *ναυμαχίᾳ, πολὺ λειπομένου τοῦ* Ἑλληνικοῦ *πλήθους τῶν νεῶν τῶν* Περσικῶν, *συμμαχῆσαι* Ἀθηναίοις *τὰς θεὰς, μέγιστον τῆς συμμαχίας ἐπιδειξαμένας καὶ ἐναργέστατον τεκμήριον. μελλόντων γὰρ τῶν* Ἑλλήνων *καὶ τῶν βαρβάρων εἰς χεῖρας ἥξειν, πρῶτον μὲν πλεῖστον ὅσον κονιορτὸν, αἰρόμενον ἀπὸ* Ἐλευσῖνος *ἐπὶ τὴν συμβολὴν, παντὶ τῷ στρατῷ δῆλον γενέσθαι. εἶτα τοῦτον εἰς οὐρανὸν ἀνιέντα καὶ νέφος γινόμενον,*

302. *μυστοδόκος δόμος*: Μυστικὸς καὶ ἱερὸς, τουτέστι τοὺς μύστας ὑποδεχόμενος. λέγει δὲ τὴν Ἐλευσῖνα, ἔνθα τὰ Δήμητρος καὶ Κόρης ἐπιτελεῖται μυστήρια. [τὴν Ἐλευσῖνα λέγει μυστικὴν καὶ ἱερὰν οἰκίαν, καὶ τοὺς μύστας δεχομένην. ἐν αὐτῇ γὰρ τὰ μυστήρια τῆς Δήμητρος καὶ τῆς κόρης ἐτελοῦντο. Schol. LB.]

303. *ἐν τελεταῖς ἁγίαις*: Ἐν τελεσιουργίαις ὁσιωτάταις, τουτέστι τοῖς μυστηρίοις. εἰκότως δὲ τὰς Νεφέλας παρήγαγε πρῶτον σεμνολογούσας περὶ τῶν μυστηρίων, ἐπεὶ ἔχουσί τινα πρός τε τὰς θεὰς ταύτας καὶ τοὺς δι' αὐτὰς καρποὺς τελειουμένους οἰκειότητα. εἰ γὰρ τῶν μὲν Νεφελῶν τὸ ὕειν, ἀδύνατον δὲ καρποὺς ἄνευ ὄμβρων γεωργεῖν, πῶς οὐκ οἰκεῖος ὁ περὶ τῶν θεῶν ταῖς Νεφέλαις λόγος; εἴ γε καὶ τὸν Ἴακχον ἐχόρευσαν ταῖς θεαῖς, ὡς Ἡρόδοτος ἱστορεῖ· ἐν γὰρ τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ κατὰ πολὺ λειπομένων τῶν Ἑλλήνων τοῦ πλήθους τῶν Περσικῶν νεῶν συμμαχῆσαι τοῖς Ἀθηναίοις τὴν Δήμητραν καὶ τὴν Κόρην ἱστορεῖ, μέγιστον τῆς συμμαχίας ἐπιδειξαμένας καὶ ἐναργέστατον τεκμήριον. μελλόντων γὰρ λοιπὸν τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων εἰς χεῖρας ἥξειν, πρῶτον μὲν πλεῖστον ὅσον κονιορτὸν ἀπὸ τῆς Ἐλευσῖνος αἰρόμενον πάσῃ τῇ στρατιᾷ κατάδηλον γενέσθαι. εἶτα τοῦτον εἰς οὐρανὸν ἀνιόντα καὶ γενόμενον νέφος διὰ μέσου τοῦ στρατοπέδου χωροῦντα, τὸν Ἴακχον βοᾶν. μυστικὸς ὁ λόγος.

304. *οὐρανίοις τε θεοῖς*: Πρὸς ἀντιδιαστολὴν τῶν καταχθονίων, ὧν

διὰ μέσου τοῦ στρατοπέδου χωροῦντα, τὸν Ἴακχον βοᾶν. μυστικὸς δὲ ὁ λόγος ὁ περὶ τὰ ἀπόρρητα μυστήρια. λίαν γὰρ αὐτοῖς τὸ μὴ ἐξαγγέλλεσθαι ταῦτα ἐσπουδάζετο. Quæ emendatius scripta adjunxi scholio v. 303. auctore V.

1–3. μυστικὸς—ἐπιτελεῖται μυστήρια R.V. τὴν Ἐλευσῖνα λέγει. μυστικὸς καὶ ἱερὸς, τοὺς μύστας ἐπιδεχόμενος. ἔνθα τὰ—ἐπιτελεῖται μυστήρια Ald.

1. τοὺς om. R.

6. ὁσιωτάταις] ἁγιωτάταις V.

7. τοῖς add. V.

7–9. εἰκότως—οἰκειότητα om. R.

8. τινα om. V.

9. ταύτας καὶ τοὺς δι' αὐτὰς V. αὐτὰς καὶ τοὺς διὰ ταύτας Ald.

ib. τελειουμένους] ἐπιτέλους V. Fortasse ἐπιτελουμένους.

10. μὲν add. V.

ib. ὕειν] βρέχειν V.

ib. ὄμβρων] ὄμβρου V.

11. γεωργεῖν] βρέχειν ἢ γεωργεῖν V, non G.

11–21. εἴ γε—ὁ λόγος hic posui cum V. Prima tantum verba εἴ γε —θεαῖς habet R. De scholio Aldino dixi ad v. 301.

12. Ἴακχον om. V.

ib. Ἡρόδοτος] 8, 65.

19, 20. διὰ μέσου—βοᾶν] διὰ τοῦ στρατοπέδου μέσου παρίπτασθαι τὸν ἴακχον βοῦν V. Retinui scripturam Aldinam.

22. καταχθονίων] οὐρανίων θεῶν V.

ib. ὧν om. V.

ἡ Δημήτηρ καὶ Κόρη. τὸ οὐρανίοις δὲ θεοῖς ἐπήγαγεν ὑπερβαλλόντως εὐσεβῆ βουλόμενος ἐπιδεῖξαι τὴν πόλιν. αἱ μὲν γὰρ ἄλλαι πόλεις ἑνί τινι πρόσκεινται θεῶν, αἱ δὲ Ἀθῆναι πάντας ἀδιαφόρως τοὺς θεοὺς τιμῶσι.

[δωρήματα: Ἡ γὰρ Δημήτηρ αὐτοῖς τὸν σῖτον ἔδωκε, καὶ Ἀθηνᾶ τὴν ἐλαίαν, καὶ Ποσειδῶν πρώτους εἶναι τὰ ναυτικὰ, καὶ ἄλλοι ἄλλα πάντα. ἢ τὰ δωρήματα θεοῖς ἀντὶ τοῦ θυσίαι νοητέον. Victor.]

[305. ὑψερεφεῖς: Ὑψηλοί. Gl. Θ. Br. ὑψηλὴν ὀροφὴν ἔχοντες. Gl. Victor.]

306. καὶ πρόσοδοι: Θρησκεῖαι περὶ τοὺς βωμοὺς πρόσοδοι τοῖς θεοῖς, καὶ προσελεύσεις. [πρόσοδοι: Πανηγύρεις. Gl. Θ. Victor. ἑορταὶ καὶ πανηγύρεις. R.V.]

307. εὐστέφανοί τε: Παρὰ τὸ Ὁμηρικὸν

εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα.

αὗται γάρ εἰσιν αἱ εὐστέφανοι θυσίαι, κοσμεῖν μὲν καὶ στεφανοῦν τοὺς ναοὺς, πληροῦν δὲ τοὺς βωμοὺς ἱερῶν καὶ θυμιαμάτων. [ἢ ὅτι στεφανηφοροῦντες τὰς θυσίας ἐτέλουν. Junt.]

[θαλίαι: Εὐδαιμονίαι, εὐθηνίαι, ἀκμαὶ, εὐφροσύναι, πανηγύρεις. Junt.]

309. παντοδαπαῖς ἐν ὥραις: Διὰ παντὸς καὶ διηνεκῶς καὶ ἐν παντὶ καιρῷ. διὰ γὰρ τὸ πάντας θρησκεύειν τοὺς θεοὺς θύουσι καὶ πανηγυρίζουσιν ἀεί.

310. ἦρί τ' ἐπερχομένῳ: Τὴν παροῦσαν ἑορτὴν λέγει, τουτέστι τὰ Διονύσια. ἀρχομένου γὰρ τοῦ ἦρος, ἄρχεται καὶ ἡ πανήγυρις. Βρομία δὲ χάρις οἱ Διονυσιακοὶ ἀγῶνες, ἐν οἷς αἱ ἅμιλλαι τῶν

1. τὸ] τοῖς R.V.
ib. δὲ] καὶ R.
ib. ὑπερβαλλόντως om. R.
2. ἐπιδεῖξαι R.V. ἀποδεῖξαι Ald.
3. τινι add. V.
ib. πρόσκεινται θεῶν R.V. κεῖνται θεῷ Ald.
ib. ἀδιαφόρως om. R.V.
4. τιμῶσι post πάντας ponunt R.V.
10, 11. Θρησκεῖαι — προσελεύσεις] καὶ θρησκεῖαι περὶ τοὺς θεούς R. Totum scholion om. V, sed habet gl. θρησκεία, quod om. G.
13, 14. Παρὰ—ἔρεψα om. V. Totum scholion om. R.
13. Ὁμηρικὸν] Il. A, 39.
15, 16. αὗται—θυμιαμάτων] εἰς τὸ κοσμεῖν καὶ ἀναδεῖν τοὺς νέους, πληροῦν δὲ τοὺς βωμοὺς ἱερείων καὶ θυσιῶν V.
20. διὰ παντὸς καὶ add. R.V.
ib. καὶ ἐν add. R.V.
21, 22. διὰ γὰρ—ἀεί R.V. διά τὸ θρησκεύειν πάντας θεοὺς καὶ πανηγυρίζειν ἀεὶ, θύουσι διαπαντὸς καὶ διηνεκῶς Ald.
21. τοὺς θεοὺς V. τοὺς ὁπόσους R.
25 – p. 438. l. 1. Βρομία — χορῶν om. R.V.: sed V. scholio proximo subjungit, ἄλλως. οἱ διονυσιακοὶ ἀγῶνες, ἐν οἷς αἱ τῶν χορῶν (adde ἅμιλλαι).

χορῶν. [ἦρι: Ἔαρι. τότε γὰρ ἐτελοῦντο (ἐτέλουν Θ.) τὰ Διονύσια. Gl. Θ. Br.]

311. εὐκελάδων τε χορῶν: Τῶν εὐμούσων καὶ ἡδέων χορῶν ἅμιλλαι. ἐρεθίσματα δὲ, ἤγουν ἅμιλλαι, ἢ ὄργανα μουσικά. τοῖς γὰρ Διονυσίοις τοὺς κυκλίους χοροὺς ἵστασαν, καὶ ἠγωνίζοντο οἱ κωμικοὶ καὶ οἱ τραγικοὶ, ἀναγορεύοντες τὰ ὑπόγυιον αὐτοῖς πεποιημένα δράματα. [ἐρεθίσματα: Ἅμιλλαι. Gl. Victor.]

[312. βαρύβρομος: Ἀντὶ τοῦ πολύηχος, πολλὰ βρέμουσα. προσηύλουν γὰρ καὶ ταῖς τραγῳδίαις καὶ τοῖς κυκλίοις χοροῖς. R.]

313. πρὸς τοῦ Διός: Εἴσθεσις διπλῆς ἀμοιβαίας καθόλου ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ρκέ, ὧν τελευταῖος

διὰ τοὺς ἵππους τοὺς κοππατίας καὶ τὸν γάμον, ὅς μ' ἐπέτριψεν.

καλεῖται δὲ τὸ μέτρον Ἀριστοφάνειον, ὡς εἴρηται. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.

314. τοῦτο τὸ σεμνόν: Λεληθότως ἑαυτὸν ἐπαινεῖ· σεμνὸν γὰρ, φησὶν, ἐστὶ τὸ μέλος. ἔστι γὰρ τοῦτο ἀληθές. ὁ δὲ τὸν ἔπαινον ἐπὶ τὰς Νεφέλας τρέπων, οὐκ οἴεται φορτικὸς εἶναι.

μῶν ἡρῷναι: Ἀττικὴ ἡ συναίρεσις τὸ ἡρῷναι, ὡς ἠίθεοι ἤθεοι. κατὰ τὸ ἀρχαῖον καὶ σύνηθες αὐτοῖς ἐνθάδε τρισυλλάβως προηνέγκατο τὸ ἡρῷναι.

315. ἀνδράσιν ἀργοῖς: Τοῖς φιλοσόφοις. διασύρει δὲ αὐτοὺς

3. τῶν εὐμούσων R.V. Legebatur προσηύλουν γὰρ τοῖς τραγικοῖς καὶ τοῖς κωμικοῖς, ἐπηύλουν δὲ προηγουμένως τοῖς κυκλίοις χοροῖς. εὐκελάδων δὲ τῶν εὐμούσων.

ib. χορῶν ἅμιλλαι R.V. Aberat ἅμιλλαι.

4. ἐρεθίσματα—μουσικά om. R.

5. κυκλίους Bentleius. κυκλικοὺς R.V. Ald.

6. τραγικοὶ R.V. τραγικοὶ ποιηταὶ Ald.

ib. ὑπόγ. α. π. om. R.

ib. δράματα] αὐτῶν add. R.

10. Scholion metricum om. R.V.

ib. εἴσθεσις Hermannus. ἔκθεσις Ald.

15. Λεληθότως] φασὶν add. Ald. om. R.V.

ib. σεμνὸν γὰρ, φησὶ (φησὶ om. G.), ἐστὶ τὸ V. σεμνὸν γὰρ τὸ R. σεμνὸν εἶναι λέγων τὸ Ald.

16, 17. ἔστι γὰρ—εἶναι om. R.V.

18. Ἀττικὴ—ἤθεοι om. R. τὸ δὲ ἡρωίναι (id est ἡρῷναι: nam codex ι ubique adscriptum, non subscriptum habet. ἡρῶναι G.) ἀττική ἐστι συναίρεσις ὡς ἠίθεοι (ὡς ἠίθεοι om. G.)V.

ib. συναίρεσις V. σύνταξις Ald.

19, 20. κατὰ—ἡρῷναι om. V.

19. κατὰ R. κατὰ δὲ Ald.

ib. αὐτοῖς (id est Atticis) R. αὐτῷ Ald.

ib. προηνέγκατο R. προήνεγκε Ald.

21. Scholion v. 315. om. R.V. Gl. τοῖς φιλοσόφοις habet R, σοφοῖς V, non G.

πάλιν. ὠφέλιμοι, φησὶ, τοῖς ἀνθρώπων ἀπράκτοις. οἱ γὰρ ἀργοὶ κεχήνασιν εἰς τὰς Νεφέλας. [ἀνδράσιν ἀργοῖς: Τοῖς φιλοσόφοις καὶ ποιηταῖς, οἳ μηδὲν ἄλλο μεταχειρίζονται, ἢ περὶ λόγων σχολάζουσιν. Gl. E.]

316. αἵπερ γνώμην: Αἵπερ σύνεσιν καὶ φρόνησιν, ὡς τὰ δέοντα νοεῖν. καὶ διάλεξιν ἀντὶ τοῦ λόγων ἐμπειρίαν· ὥστε τὰ νοηθέντα φράζειν. [γνώμην: Ἐνθυμήματα. (γνῶσιν Θ.) διάλεξιν: Εὐπορίαν εἰς τὸ διαλέγεσθαι. Gl. Θ. E] νοῦν: Σύνεσιν.

[τὴν γνῶσιν. διάλεξιν λόγων θεωρίαν. διαφέρει διάλεξις διαλέκτου, ὅτι διάλεκτος μέν ἐστι φωνῆς χαρακτὴρ ἐθνικὸς, διάλεξις δὲ τῆς συνήθους φωνῆς ἐκτροπὴ ἐπὶ τὸ σεμνότερον. τερατολογίαν, παραδοξολογίαν. τερατολογεῖν δὲ τὸ ἀπίθανα διηγεῖσθαι . . . . τῶν ἀνθρωπίνων πραγμάτων. περίλεξιν ἀντὶ τοῦ περίφρασιν. κροῦσιν δὲ τὸ ἀπατῆσαι καὶ παραλογίσασθαι τὸν ἀκούοντα, οἷον παρακρούσασθαι καὶ συναρπάσαι. δοκιμασίαν. R.]

317. τερατείαν: Ψευδολογίαν. [παραδοξολογίαν. ἀλαζονείαν. Gl. Br.]

περίλεξιν: Περιττολογίαν, περίφρασιν. [εὐπορίαν καὶ περιττότητα λόγων. Gl. E.]

κροῦσιν: Ἀπάτην, δοκιμασίαν, παραλογισμόν. [ποικιλίαν καὶ στροφὰς λόγων, δι' ὧν τοὺς διαλεγομένους σοφιζόμεθα καὶ ἀπατῶμεν. Gl. Θ. E.]

κατάληψιν: Εὕρεσιν. τὰ αὐτὰ δὲ καὶ διεξοδικώτερον ἑρμηνευτέον ἂν εἴη πάλιν ἐπαναλαβόντας. διάλεξιν τοίνυν, λόγων ἐμπειρίαν, ὡς ἔφαμεν, ὥστε τὰ νοηθέντα δύνασθαι ἑρμηνεύειν. διαφέρει δὲ διάλεκτος καὶ διάλεξις. διάλεκτος μὲν γάρ ἐστι φωνῆς χαρακτὴρ ἐθνικὸς, διάλεξις δὲ τῆς συνήθους φωνῆς ἐπὶ τὸ σεμνότερον ἐκτροπὴ καὶ ἐπὶ τὸ ἀγροικότερον. τερατείαν δὲ, τερατολογεῖν καὶ ἀπίθανα διηγεῖσθαι

5, 6. Αἵπερ—διάλεξιν om. R.V.
6. ἀντὶ τοῦ addidi ex R.
7. φράζειν R.V. φράζειν δύνασθαι Ald. Post φράζειν pergit V, τερατείαν δὲ τὴν τερατολογίαν, καὶ περίλεξιν τὴν περίφρασιν, καὶ κροῦσιν τὸν παραλογισμὸν (παρασυλλογισμόν G.), κατάληψιν δέ φησιν ὥστε τὰ νοηθέντα φράζειν.
12. Ante τῶν ἀνθρωπίνων excidit fortasse καὶ πέρα.

16–p. 440. l. 11. Ψευδολογίαν—τὸν φθόγγον om. R.V.
25. διαφέρει] Vide Koenium ad Gregorium p. 10.
28. ἀγροικότερον] Sic etiam Suidas habet. Sed vera lectio est ἁδρότερον, quod verbum proprium est in hac re rhetoribus. Ad poetæ versum conferendus Piersonus ad Mœrid. p. 365. RUHNKEN.

καὶ λέγειν πράγματα ἐπέκεινα τῶν ἀνθρωπίνων. περίλεξιν δὲ, περιττῶς καὶ περιέργως περιτείνεσθαι διὰ λόγων καὶ δύνασθαι ἑρμηνεύειν τὸ νοηθέν· ὅπερ ἐστὶν λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου. δείκνυσι δὲ ἐξ ὅσων συνέστηκε ῥητορική. δεῖ γὰρ νοεῖν, εἶθ' ἑρμηνεύειν, ὅπερ ἐστὶ λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου. κροῦσιν, ἢ τὸν παραλογισμὸν καὶ τὴν ἀπάτην· τὸ συναρπάσαι τὸν ἀκούοντα. ἢ δοκιμασίαν· ἐπεὶ τὰ σαθρὰ κροτούμενα δοκιμάζεται. κατάληψιν, τὴν γνῶσιν καὶ αἴσθησιν καὶ τὴν τέχνην. οὕτω γὰρ ὁριζόμεθα τὴν τέχνην, οἷον σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων, καὶ τὰ ἑξῆς. κατάληψιν δὲ εἰώθασιν οἱ μουσικοὶ λέγειν, ἐπειδὰν πλήξαντες τοῖς δακτύλοις ἢ τῷ πλήκτρῳ τὰς χορδὰς, καταλάβωσι καὶ ἀποτείνωσι τὸν φθόγγον.

[318. *ταῦτ'* : *Διὰ ταῦτα* R. *λείπει ἡ διά. ἀντὶ τοῦ διὰ ταῦτα, Ἀττικῶς.* V.]

πεπότηται : *Ἀνέπτη καὶ ἀνεκουφίσθη, καὶ μετέωρα φρονεῖ ἤδη.* [*μετέωρος γέγονε.* Gl. E. Victor.]

319. *καὶ περὶ καπνοῦ* : *Ἀντὶ τοῦ, περὶ μηδενὸς καὶ κενῶν πραγμάτων. στενὸς γὰρ καὶ ἀμενηνὸς καὶ ἀσθενὴς ὁ καπνός. παρὰ δὲ τὸ*

5. *κροῦσιν* addidit Ernestius.

7. *τὰ σαθρὰ κροτούμενα*] Legendum est, *τὰ σαθρὰ κρουόμενα*. Nam verbum *κρούειν* Græci scriptores adhibere solent de vasis, quæ pulsando explorantur, an *solidum crepent,* ut cum Persio loquar. Lucianus in Parasito, p. 242. ed. Amstel. *Καθάπερ αἱ πονηραὶ χύτραι διακρουόμεναι, μὴ σαθρὸν ἀποφθέγγηται.* Plutarch. Moral. p. 64. D. *Ἂν διαπειρώμενος κρούσῃς* (sc. *τὸν κόλακα*) *σαθρὸν ἐπηχεῖ καὶ ἀγεννές.* Scholiastes ad Ran. v. 78. *ἀπὸ τῶν ἀγγείων τῶν σαθρῶν· ἐπεὶ οὕτω δοκιμάζουσι διακρούοντες.* KUST.

8. *σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων*] Eandem *artis* definitionem tradit Lucianus in Parasito pag. 242. ed. Amstel. *Τέχνη ἐστὶ σύστημα ἐγκαταλήψεων* (rectius scholiastes noster, *ἐκ καταλήψεων*) *ἐγγεγυμνασμένων, πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ.* Et paulo post: *Δεῖ τοίνυν εἶναι καὶ ταύτην, ὥσπερ καὶ πᾶσαν τέχνην, σύστημα ἐκ καταλήψεων.* Quintilianus Instit. Orat. 2, 17. *Artem* dicit *constare ex perceptionibus consentientibus et coexercitatis ad finem utilem vitæ.* Ad verbum nimirum dictam definitionem Græcorum expressit. Vide etiam Sext. Empir. adv. Mathem. p. 66. ubi eadem *Artis* definitio traditur. KUST.

12. *λείπει*] *λείπεται* codex.

14. *Ἀνέπτη*] *τὸ δὲ πεπότηται ἀντὶ τοῦ ἀνέστη* V. Totum scholion om. R.

ib. *ἤδη* om. R.

16–p. 441. l. 5. *Ἀντὶ—ἀπολογήσονται*] *τὸ στενολεσχεῖν ἀντὶ τοῦ λεπτολογεῖν. στενὸς γὰρ καὶ ἀμενηνὸς ὁ καπνός. διασύρει δὲ τὰ τῶν φιλοσόφων ὡς ἰσχνὰ ὄντα* R. Totum scholion om. V.

17–p. 441. l. 1. *παρὰ—τὸ μηδὲν*] *παρὰ τὸ μεταρσιολεσχεῖν δὲ τὸ στενολεσχεῖν εἴληπται, καὶ τὸ μηδὲν* Ald. Correctum præeunte Suida s. *στενολεσχεῖν.*

στενὸν εἴληπται τὸ στενολεσχεῖν, τὸ μεταρσιολεσχεῖν, καὶ τὸ μηδὲν λέγειν. καὶ τοῦτο δὲ, τὸ λεπτολογεῖν, διασυρμοῦ λέγει χάριν, ὡς ἰσχνὰ τῶν φιλοσόφων ζητούντων ζητήματα. ἢ ποικίλα καὶ λεπτὰ διεξέρχεσθαι, ὡς εἰς στενὸν κομιδῇ τοὺς διαλεγομένους καθιστᾷν, μὴ ἔχοντας, ὅ τι ἀπολογήσονται. [περὶ τοῦ τυχόντος λεπτῶς φιλοσοφεῖν, μικρολογεῖν. Gl. Br.]

[320. ἀντὶ τοῦ συνάψας ἕτερον λόγον τῷ ῥηθέντι ἀντιθεῖναι. R.V.]

322. βλέπε νυν: Ὑπερβατόν· λέγειν γὰρ βούλεται, βλέπε νῦν δευρὶ πρὸς τὴν Πάρνηθα ἡσύχως· ὁρῶ γὰρ ἤδη κατιούσας αὐτάς. ὄρος δέ ἐστιν ἡ Πάρνηθος τῆς Ἀττικῆς. θηλυκῶς λέγομεν. εἰκότως δὲ εἶπε πρὸς τὴν Πάρνηθα κατέρχεσθαι αὐτάς. πᾶσαι γὰρ αἱ τῶν ὀρέων κορυφαὶ διὰ τὸ ὕψος ἀεὶ συννεφεῖς φαίνονται. [ὄρος Ἀττικῆς. θηλυκῶς ἡ Πάρνης. R.]

323. [ἥσυχα: Ἡσύχως. Gl. Br.]

χωροῦσ' αὗται: Τὸ χωροῦσι καθ' αὑτὸ ἀναγνωστέον, εἶτα ὡς τοῦ πρεσβύτου οὐχ ὁρᾶν λέγοντος, προστίθησι πλέον ἐκτείνων τῇ προφορᾷ τοῦ λόγου, τὸ, αὗται πάνυ πολλαί. εἶτα ὡς οὐδὲ οὕτως ὁρῶντος, πρὸς πλείονα γνῶσιν προστίθησι καὶ τόπον. τὴν δὲ τῶν λεγομένων ἐνάργειαν τὰ τῶν ὑποκρινομένων σχήματα δείκνυσι. δείκνυσι δὲ αὐτῷ ὄρος ἐν τῷ θεάτρῳ τὴν Πάρνηθα, ἐξ οὗ κατέρχονται.

326. εἰ μὴ λημᾷς: [Παροιμία ἐπὶ τῶν τὰ μεγάλα παρορώντων.

1–5. τὸ μεταρσιολεσχεῖν — ἀπολογήσονται om. Suidas.

2, 3. λεπτολογεῖν—ζητήματα] Excerpsit Suidas s. λεπτολογεῖν.

7. ἀντὶ τοῦ om. et συνάψας post ἀντιθεῖναι ponit R.

9. Scholion v. 322. om. R.

ib. ὑπερβατόν V. καθ' ὑπερβατόν Ald.

ib. λέγειν γὰρ βούλεται addidi ex V.

ib. βλέπε νῦν ἡσύχως δευρὶ πρὸς τὴν πάρνηθα V.

11. ὄρος δέ ἐστιν ἡ πάρνηθος τῆς ἀττικῆς. θηλυκῶς λέγομεν V. Πάρνης δὲ ὄρος τῆς Ἀττικῆς. τοῦτο καὶ ἀρσενικῶς λέγεται, ὡς τὸ, ἐς κόρακας ἥξω φέρων τε δεῦρο τὸν πάρνηθα ὅλον· καὶ θηλυκῶς ὡς ἐνταῦθα Ald. Quæ Musurus interpolavit ex Stephano Byz. s. Πάρνης.

ib. ἡ Πάρνηθος] Hac forma utitur scholiasta Lysistr. 666.

11–13. εἰκότως—φαίνονται om. V.

16–21. Τὸ χωροῦσι — κατέρχονται om. R.

17. τῇ προφορᾷ V. τὴν προφορὰν Ald.

18. πάνυ πολλαί om. V.

ib. πρὸς] καὶ V.

20. τὰ—σχήματα V. τῷ—σχήματι Ald.

ib. τῶν ὑποκρινομένων] ὑπὲρ τῶν κρινομένων V.

20, 21. δείκνυσι δὲ — κατέρχονται om. V.

R.V. (non G.)] τῶν Νεφελῶν πλησίον οὐσῶν, ἐκεῖνος μηδ' οὕτως ὁρῶν, τοῦτο νῦν προσέθηκεν, ἵν' ᾖ τὸ νοούμενον οὕτως· νῦν αὐτὰς ὁρᾷς, εἰ μὴ λήμας ἔχεις ἐν τοῖς ὀφθαλμοῖς μεγάλας ὡς κολοκύντας. λήμη δέ ἐστι τὸ πεπηγὸς δάκρυον. δέον δὲ εἰπεῖν ἐν λήμαις, ὁ δὲ κολοκύνταις εἶπε, δεικνύων τὴν ὑπερβολὴν τῆς λημότητος. λείπει δὲ ἡ ἐν, ἵν' ᾖ, ἐν κολοκύνταις· ὡς τὸ νοσεῖν ἐν φρενίτιδι. ἀποδοκιμαστέοι δὲ οἱ νοοῦντες ἔξωθεν, ὁμοίας. οὐκ ὀρθῶς γὰρ ἐοίκασι λέγειν. ὁ δὲ Λουκιανὸς ἐν τῷ πρὸς ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον οὐκ ὤκνησεν εἰπεῖν, χύτραις λημῶντες.

327. νὴ Δί' ἔγωγε: Ἔξωθεν ὑπακούεται τὸ ὁρῶ ὡς ἀληθῶς. ἑώρα γάρ, πλησίον οὐσῶν. [πάντα: Ἀντὶ τοῦ πάντα τόπον κατειλήφασι. R.V.]

330. [ἴσθ' ὅτι: Γίνωσκε. Gl. E.]

σοφιστὰς: Ἐν ἄλλοις τοὺς πεπαιδευμένους. τοὺς μετεωρολέσχας νῦν λέγει, καταχρηστικῶς δὲ καὶ πάντας τοὺς ἀπὸ τῶν μαθημάτων ὁρμωμένους. καὶ θαυμαστὸν οὐδέν, ὅπου μηδὲ τοὺς αὐλητὰς οὕτω προσαγορεύειν ὤκνησαν. Πλάτων γοῦν ὁ κωμικὸς ἐν δράματι Σοφισταῖς καὶ τὸν Ὀπούντιον αὐλητὴν Βακχυλίδην εἰς τοὔνομα κατέταξε τῶν σοφιστῶν. καταχρηστικῶς δὲ νῦν ἐπὶ πάσης ἐπιστήμης παρέλαβε τὸ ὄνομα τῶν σοφιστῶν. [σοφισταί, οἱ ῥήτορες καὶ οἱ ἀπατεῶνες· καὶ οἱ διδάσκαλοι, καὶ ὅσοι τῶν φιλοσόφων ῥητορικῶς ἔγραψαν. ἐνταῦθα δὲ σοφιστὰς τοὺς διδασκάλους νόει· ὡς τοὺς ἄλλους σοφίζοντας. Junt.]

331. θουριομάντεις: Ἀπὸ τοῦ γενικοῦ ἐχώρησεν ἐπὶ τὸ κατ' εἶδος.

1–9. τῶν Νεφελῶν—λημῶντες om. V.

1, 2. τῶν Νεφελῶν — οὕτως· νῦν om. R.

3. αὐτὰς ὁρᾷς] ὁρᾷς αὐτὰς δηλονότι R.

4. κολοκύντας] κολοκύνθας R.

4–9. δέον δὲ — λημῶντες om. R. Est scholion recentissimum.

8. Λουκιανὸς] vol. 3. p. 119.

10, 11. Ἔξωθεν—οὐσῶν om. R.V.

11. κατειλήφασι] κατέχουσι G. Verbum om. R.

14–16. Ἐν ἄλλοις—ὁρμωμένους] σοφιστὰς πάντας τοὺς πεπαιδευμένους V.

ib. τοὺς μετ.—μαθημάτων R. et Suidas s. σοφιστής. νῦν δὲ τοὺς μετ. λέγει καὶ πάντας τοὺς ἀπὸ τῶν μαθηματικῶν Ald.

16–20. καὶ θαυμαστὸν—σοφιστῶν om. R.V.

17. προσαγορεύειν] ἀγορεύειν Ald. Correctum ex Suida, qui προσαγορεύειν ὤκνησεν (sic) οὕτω.

ib. γοῦν Suidas. γὰρ οὖν Ald.

19. καταχρηστικῶς Suidas. καταχωρῶν Ald.

ib. ἐπὶ addidi ex Suida.

ib. τέχνης ἔλαβε Suidas.

24. Ἀπὸ—εἶδος om. R. ἀπὸ δὲ τοῦ γενικοῦ προῆλθεν εἰς τὰ ἰδικά V. Cum Ald. consentit Suidas s. Θουριομάντεις.

εἰπὼν γὰρ ὅτι πάντας αἱ Νεφέλαι τρέφουσι τοὺς σοφιστὰς, ἐπήγαγε τίνας καὶ τίνας. θουριομάντεις δὲ οὐ τοὺς ἀπὸ Θουρίου μάντεις, ἀλλὰ τοὺς εἰς Θούριον πεμφθέντας ἐπὶ τὸ κτίσαι αὐτήν. ἐπέμφθησαν δὲ δέκα ἄνδρες· ὧν καὶ Λάμπων ἦν ὁ μάντις, ὃν ἐξηγητὴν ἐκάλουν. ἦν δὲ καὶ τῶν πολιτευομένων πολλάκις. λόγους δὲ συνεχῶς εἰσάγειν ἐφαίνετο περὶ τῆς εἰς Θούριον ἀποικίας. ἁλούσης γὰρ Συβάρεως, Θούριοι ἐκλήθησαν ἀπὸ κρήνης Θουρίας. Ἄλλως. ὡς πολλῶν γενομένων μαντειῶν ἐπὶ τῆς εἰς Θουρίους ἀποικίας, τούτους δὲ ἔφη τρέφεσθαι ὑπὸ τῶν Νεφελῶν, ὡς διὰ τῶν οἰωνῶν τῶν ἐν τῷ ἀέρι μαντευομένους, καὶ εἰς τὸν οὐρανὸν καὶ τὰ νέφη ἀποβλέποντας.

ἰατροτέχνας: *Καὶ ἰατροὶ περὶ ἀέρων καὶ ὕδατος συνέγραψαν. ὕδατα δέ εἰσι καὶ αἱ νεφέλαι. σύνταγμα δέ ἐστιν Ἱπποκράτους περὶ ἀέρων, τόπων καὶ ὑδάτων.*

σφραγιδονυχαργοκομήτας: *Τοὺς κόμαις καὶ περιττοῖς δακτυλίοις τὰς χεῖρας κοσμουμένους μέχρι τῶν ὀνύχων, ὡς ὑπὸ τῶν δακτυλίων σκέπεσθαι τοὺς δακτύλους. ἢ καὶ τοὺς τῶν ὀνύχων ἐπιμελουμένους, καὶ ὁσημέραι ξέοντας αὐτοὺς ὑπὲρ τοῦ ἐκλάμπειν ἄγαν· ὃ πάσχουσιν οἱ τῷ καλλωπίζεσθαι σχολάζοντες μόνον.*

332. *κυκλίων τε*: *Αἰνίττεται εἰς τοὺς περὶ Κινησίαν καὶ Φιλό-*

1–7. *εἰπὼν—Ἄλλως* om. R.V, nisi quod V. hæc verba habet *τοὺς εἰς θούριον πεμφθέντας πόλιν σικελίας παρὰ ἀθηναίων ἐπὶ τῷ κτίσαι αὐτήν.*

2. *καὶ τίνας* om. Suidas.

7. Post Θουρίας Stephani Byzantii verba (s. Θούριοι) inseruit Musurus, *ὕστερον δὲ Ἀπίαι* (Κωπίαι ap. Steph.). *λέγεται καὶ Θουρία καὶ Θούριον· ὡς ἐν τῷ Ἡροδότου ἐπιγράμματι "Ἡρόδοτον "Λύξεω κρύπτει κόνις ἥδε θανόντα, Ἰάδος "ἀρχαίης ἱστορικῆς πρύτανιν, Δωριέων "πάτρης βλαστόντ' ἄπο, τῷ γὰρ ἄπλη- "τον μῶμον ὑπεκπροφυγὼν, Θούριον ἔσχε "πάτρην." τὸ ἐθνικὸν ὁμωνύμως Θούριοι, καὶ Θουριακοι. καὶ Θουρῖνος οἶνος, ὡς Στράβων. Παυσανίας δὲ Ἄνθειαν αὐτὴν καλεῖ.*

7–10. *Ἄλλως—ἀποβλέποντας* om. V.

7. *ὡς* add. R.

8. *μαντειῶν*] *μάντεων* Ernestius.

ib. *θουρίους* R. *Θουρίαν* Ald.

9. *ὑπὸ* R. *ἐκ* Ald.

11–13. *Καὶ ἰατροὶ—ὑδάτων* om. R.V. habet Suidas s. *ἰατρός.*

11. *ἀέρων*] *ὀρέων* addit Suidas. Est fortasse dittographia præcedentis vocabuli.

14. *κόμαις* R.V. et Suidas s. *σφραγίς. κόμῃ* Ald.

15. *κοσμουμένους*] *κεκοσμημένους* V.

15–18. *ὡς ὑπὸ—μόνον* om. R.

16. *τοὺς δακτύλους. ἢ καὶ* add. V. et Suidas.

ib. *τοὺς τῶν* Suidas. Aberat *τοὺς.*

ib. *ἐπιμελουμένους*] *ἐπιμελείᾳ* G.

17. *ξέοντας* V. et Suidas. *ξύοντας* Ald.

ib. *ὑπὲρ τοῦ ἐκλάμπειν*] *ἐκ τοῦ ἐγκαλύπτειν* V.

18. *μόνον*] *μόνοι* V.

19–p. 444. l. 14. *Αἰνίττεται—ἀοιδαί* om. R. *αἰνίττεται—Κλεομένη* om. V.

ξενον καὶ Κλεομένη, καὶ τούτους εἶναι τῶν σοφιστῶν βούλεται. λέγει δὲ τοὺς διθυραμβοποιούς. τῶν γὰρ κυκλίων χορῶν ἦσαν οὗτοι διδάσκαλοι. ᾀσματοκάμπτας δὲ, ὅτι διὰ τὸ ἁρμονίᾳ μὴ ὑποπίπτειν αὐτῶν τὰ συγγράμματα, καμπὰς ἔχουσι πλείονας, ἃς οἱ μουσικοὶ καλοῦσι στροφὰς, καὶ ἀντιστρόφους καὶ ἐπῳδοὺς, δι' ὧν καὶ ἐν ταῖς τραγῳδίαις συνειστήκει τὰ χορικά. Ἄλλως. οἱ παλαιοὶ διαφθορὰν μουσικῆς ἡγοῦντο εἶναι τοὺς διθυράμβους. καὶ προελθὼν αὐτῶν μᾶλλον καθάψεται λέγων

εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ', ἢ κάμψειέν τινα καμπὴν,
οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν ταύτας τὰς δυσκολοκάμπτους,
ἐπετρίβετο τυπτόμενος πολλὰς, ὡς τὰς Μούσας ἀφανίζων.

Καλλίμαχος δὲ πρὸς αὐτοὺς ἀποτεινόμενος οὕτω πως αὐτῶν καθάπτεται

νόθοι δ' ἤνθησαν ἀοιδαί.

[ᾀσματοκάμπτας: Τοὺς διθυράμβους, ἐπεὶ καμπὰς τὰς περιῳδὰς λέγουσι. R.V. οἱ λυρικοὶ ποιηταὶ χοροῖς καὶ αὐλοῖς καὶ λύραις τὰ ποιήματα ᾖδον. καὶ νῦν μὲν οἱ τούτων χορευταὶ ἐνταυθοῖ τὰς μετακλίσεις καὶ τὰς καμπὰς ἐποιοῦντο, νῦν δὲ ἐνταυθοῖ, ἀκολουθοῦντες τῷ ᾄσματι. λέγει οὖν τοὺς τοιούτους ποιητὰς ᾀσματοκάμπτας. Junt.]

μετεωροφένακας: Τοὺς διὰ τῶν μετεώρων ἀπατῶντας. φενακίζειν γὰρ τὸ ἐξαπατᾶν. περὶ δὲ τῶν φιλοσόφων λέγει.

[333. μουσοποιοῦσι: Ποιητικῇ ὑμνοῦσι. Junt.]

334. ταῦτ' ἄρ' ἐποίουν: Λείπει ἡ διά. μιμεῖται δὲ τοὺς διθυράμ-

1. λέγει δὲ τοὺς διθ. V. διθ. χρηματίσαντας Ald.
2. κυκλίων] κυκλικῶν V.
ib. ἦσαν V. et Suidas s. κυκλίων. εἰσιν Ald.
3. ᾀσματοκάμπτας δὲ, ὅτι om. V.
ib. διὰ] διὰ δὲ V.
ib. ἁρμονίᾳ μὴ Suidas. ἐν ἁρμονίᾳ Ald. ἐν om. V.
4. οἱ add. V. et Suidas.
5. δι' ὧν V. διὸ Ald. et Suidas.
5, 6. ταῖς et συνειστήκει add. V. et Suidas.
7. προελθὼν αὐ. μ.] προσελθὼν μ. αὐ. V.
8. λέγων] 969.
10. τὰς κατὰ Φρῦνιν om. V.
12. Καλλίμαχος δὲ] καὶ καλλίμαχος V. Est fragm. 279.
ib. οὕτως (οὕτω Suidas) πᾶς V. et Suidas. οὕτως περὶ Ald.
14. νόθοι] νόθαι Suidas. Callimachi verba om. V.
15. διθυράμβους] διθυραμβοποιοὺς Hermannus. ᾀσματοκάμπτας φησὶν addit V.
ib. καμπὰς V. καμπτὰς G.R.
20, 21. Τοὺς διὰ—λέγει om. V.
21. γὰρ τὸ ἐξαπατᾶν R. γάρ ἐστι τὸ ἀπατᾶν V.
23. Λείπει] λείπεται G.
23–p. 445. l. 14. μιμεῖται—νεφε-

βους. [στρεπταίγλαν δὲ τὴν στρέφουσαν τὴν αἴγλαν καὶ ἀφανίζουσαν. V.] τὸ δὲ στρεπταίγλαν, εἰς τὸ διεστραμμένον αὐτῶν, τὴν ἔμπροσθεν οὖσαν τῆς αἴγλης τοῦ ἡλίου καὶ σκοτίζουσαν. νεφέλης γὰρ ἐπιτεθείσης τῷ ἡλίῳ, οὐκέτι τὰς ἀκτῖνας εἰς τὴν γῆν ἀφίησι. ταῦτα δὲ εἰς Φιλόξενον τὸν διθυραμβοποιόν. τὸ γὰρ στρεπταίγλαν οὗτος εἶπεν. ἐπεὶ οὖν συνθέτοις καὶ πολυπλόκοις οἱ διθυραμβοποιοὶ χρῶνται λέξεσιν, κατὰ τὸν ἐκείνων ζῆλον καὶ αὐτὸς τοιαύταις χρῆται. δηλοῖ οὖν ἄντικρυς διὰ τὸ ἐξεστραμμένον τὴν ἀηδίαν τούτων ἐν τοῖς συνθέτοις. ἔστι δὲ ἡ γενικὴ τὸ ὑγρᾶν Νεφελᾶν καὶ στρεπταιγλᾶν, εἴπερ οὕτω γράφεται, οὐ πρός τι συνταττόμενον, ἀλλ' οὕτως ἦν ἐν τοῖς ποιήμασιν ἐκείνοις· διὸ καὶ αὐτὸς οὕτως ἔθηκεν. οἱ δὲ, πρὸς τὸ δάϊον ὁρμὰν, τουτέστι ταχυτάτην, ἑνικὸν τὸ πᾶν εἶναι φάσκοντες. τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ δροσερᾶν νεφελᾶν. εἰ δὲ στρεπταίγλαν, πρὸς τὸ ὑγρᾶν νεφελᾶν. [στρεπταιγλᾶν: Ταχυτάτην. Gl. Victor.]

335. πρημαινούσας τε θυέλλας: Τουτέστι συστροφὰς ἀνέμου. πρημαινούσας δὲ, ἀντὶ τοῦ μαινομένας, καὶ λάβρως φυσώσας. πρῆσαι γὰρ τὸ φυσῆσαι. Ὅμηρος "ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον."

336. γαμψοὺς οἰωνοὺς: Διερὰς μὲν τὰς διύγρους, γαμψοὺς δὲ ἤτοι τὰς καμπτούσας καὶ πλαγίους νεφέλας. ἢ τὰς ὀρνίθων ὄψεσιν εἰκασ-

λᾶν] στρέφουσαν τὴν αἴγλαν καὶ ἀφανίζουσαν. καὶ ταῦτα δὲ εἶπεν (εἶπεν non clare scriptum) εἰς τὴν ἀηδίαν τούτων ἐν τοῖς συνθέτοις R.

23. (p. 444) διθυράμβους] ἐν διθυράμβοις V.

1. αἴγλαν] αἴγλην V. et Suidas s. στρεπταίγλαν. Correxi ex scholio Ravennate.

2–4. τὸ δὲ στρεπταίγλαν—ἀφίησι om. V.

4–6. ταῦτα—εἶπεν] τοῦτο δὲ φιλόξενος ὁ διθυραμβοποιὸς εἶπεν ἐν διθυράμβῳ τινί V. et, omissis ἐν διθυράμβῳ τινὶ, Suidas.

5. οὗτος Hermannus. αὐτὸς Ald.

7. τὸν ἐκείνων V. τὸν τῶν ἐκείνων Ald.

ib. τοιαύταις] τοιαύτης V.

ib. δηλοῖ V. et Suidas.

ib. χρῆται δ' Ald.

8. διὰ τὸ ἐξεστραμμένον Suidas. τῷ ἐξεστραμμένῳ Ald. ἐξεστραμμένη V.

8, 9. τὴν ἀηδίαν—συνθέτοις addidi ex V. et Suida.

8. τὴν] διὰ τὴν V.

ib. τούτων] τούτων τῶν Suidas. ἐκείνων V. ἐκείνην G. Correxi ex scholio Ravennate.

ib. ἐν τοῖς συνθέτοις om. V. Habet Suidas cum scholio Ravennate.

12. ἑνικὸν Dobræus. ἑνὸς Ald.

15, 16. Τουτέστι—ἀντὶ τοῦ om. V.

15. Τουτέστι — ἀνέμου] συστροφὴ ἀνέμου ἡ θύελλα V.

16. ἀντὶ τοῦ om. R.

ib. λάβρως] λαύρως V.

17. Ὅμηρος (Il. A, 481.)— ἱστίον add. R.V, nisi quod V. μέσον ἱστίον om.

18. διερὰς μὲν add. R.

ib. τὰς διύγρους, γαμψοὺς δὲ addidi ex R.V.

18, 19. δὲ—νεφέλας] δὲ τοὺς πλαγίους. λέγει δὲ τὰς νεφέλας V.

19–p. 446. l. 2. ἢ τὰς—ἐπήγαγεν om. V.

μένας. γαμψοὺς γὰρ ἐκάλουν τοὺς ὄρνιθας. αὐτίκα γοῦν καὶ αὐτὸς τῷ γαμψοὺς, οἰωνοὺς ἐπήγαγεν.

ἀερονηχεῖς: Τὰς ἐν τῷ ἀέρι νηχομένας. παρόσον ἐν αὐταῖς νήχεται τὰ ὄρνεα, ἢ δίκην ὀρνέων ἵπτανται αἱ νεφέλαι. ταῦτα δὲ πάντα ἔκ τινων ποιητῶν εἰσιν, ἄλλο ἄλλου γράψαντος, καὶ τοῦ μὲν τοῦτο, τοῦ δὲ ἐκεῖνο. [τοιοῦτον γὰρ ἔσθ' ὅτε τὸ τῶν νεφελῶν εἶδος. V.]

337. εἶτ' ἀντ' αὐτῶν: Τουτέστιν, ἀντὶ τούτων, ὧν ἐποίουν εἰς τὰς νεφέλας. διὰ τοῦτο ἤσθιον τοὺς κεστρέας καὶ τὰ ὀρνίθεια κρέα.

338. κεστρᾶν τεμάχη: Ἰστέον, ὅτι οὐχ οἱ αὐτοὶ τοῖς κεστρεῦσιν ἰχθύσιν αἱ κεστρέαι. ἄλλοι μὲν γὰρ τὰς μυραίνας ἀξιοῦσι καλεῖν· οἱ δὲ, ἄλλο τι διάφορον ἰχθύων γένος. νῦν μέντοι κεστρεῖς καλοῦμεν τοὺς κεφάλους.

τεμάχη μεγάλαν ἀγαθᾶν: Τουτέστι τιμίων καὶ λαμπρῶν. ἐπὶ ἰχθύων τὸ τέμαχος καὶ ἐπὶ πλακοῦντος, ἐπὶ δὲ κρεῶν οὐκέτι. ἐδώρισε δὲ μιμούμενος τοὺς διθυράμβους. τὸ δὲ ὅλον τείνει πρός τε τοὺς παρὰ τοῖς χορηγοῖς ἑστιωμένους καὶ πρὸς τοὺς ἐν πρυτανείῳ ἀεὶ δειπνοῦντας.

κρέα τ' ὀρνίθια: Καταχρηστικῶς ἐπὶ ὀρνέων κρέα εἶπεν. τούτων δὲ μέμνηται τῶν ᾠκειωμένων νεφέλαις ὑδάτων καὶ ὀρνέων. ταῦτα δέ φησιν, ἐπεὶ ἐν πρυτανείῳ τινὲς αὐτῶν ἐσιτοῦντο καὶ τῶν χρησμολόγων καὶ τῶν μάντεων. βέλτιον μέντοι ὑφ' ἓν ἀναγινώσκειν, κρέατ'

1, 2. καὶ αὐτὸς—οἰωνοὺς om. R.
2. ἐπήγαγεν] Addit Ald. Ὅμηρος, οἰωνοῖσί τε πᾶσι. om. R.V.
3. Τὰς] ἀερονηχεῖς δὲ τὰς V.
3–6. παρόσον—ἐκεῖνο om. R.V.
8. Scholia v. 337—345. om. R.
8–12. Τουτέστιν—νῦν μέντοι om. V.
11. ἀλλ' οἱ μὲν τὰς Suidas s. κεστρᾶν.
12. οἱ δὲ οὐ ταύτας, ἀλλά τι διάφορον ἄλλο γένος ἰχθύων Suidas.
ib. κεστρεῖς καλοῦμεν] κεστρὰς δὲ καλοῦσιν ἰχθῦς V.
14, 15. Τουτέστι—οὐκέτι om. V.
15. κρεῶν] πυρῶν Suidas s. κεστρᾶν, πισῶν s. τεμάχη. Parum accurate hic grammaticus præcipit: recte Phrynichus p. 21. ed. Lob. τέμαχος κρέως ἢ πλακοῦντος ἢ ἄρτου οὐκ ὀρθῶς ἐρεῖ τις, ἀλλὰ τόμος κρέως ἢ πλακοῦντος· τὸ δὲ τέμαχος μόνον ἐπὶ ἰχθύος λέγεται.
16–p. 447. l. 2. τὸ δὲ ὅλον—πτηνῶν] κιχηλᾶν δὲ ἀντὶ τοῦ κιχλῶν δηλονότι. καταχρηστικῶς καὶ ἐπ' ὀρνίθων κρέα εἶπε. βέλτιον οὖν καταχρηστικῶς αὐτὸν (αὐτὸ G.) νῦν ἐκδέχεσθαι καὶ ὑφ' ἓν ἀναγινώσκειν κρεατορνίθεια, ἵνα μόνος μνημονεύειν δοκῇ ταῖς νεφέλαις προσοικειωμένων—πτηνῶν. τοῦτο δὲ εἰς τοὺς εὐωχουμένους ἐν πρυτανείῳ διθυραμβοποιοὺς τείνει καὶ πρὸς τοὺς ἑστιωμένους παρὰ τοῖς χορηγοῖς μάντεις καὶ χρησμολόγους V.
22. κρέατ' ὀρνίθεια] κρέατ' ὀρνίθια Ald.

ὀρνίθεια, ἵνα ὁ ποιητὴς μνημονεύῃ τῶν ταῖς Νεφέλαις προσῳκειωμένων, τῶν τε ἐνύγρων καὶ τῶν πτηνῶν.

339. διὰ μέντοι τάσδ' οὐχὶ δικαίως: Οὐ δικαίως, φησὶν, ἠξιοῦντο τῆς τιμῆς καὶ τῶν δείπνων, διὰ ταῦτα τὰ εἰς τὰς Νεφέλας ὑπ' αὐτῶν γραφόμενα. οὐδὲν γὰρ ἀξιόλογον ἐποίουν.

[340. εἴξασι: Ὡμοιώθησαν. Gl. Br. ἐοίκασι. Gl. R. ἐοίκασι, ὠμοίωνται, ἐκ τοῦ εἴκω. V.]

[341. φέρε ποῖαι γάρ τινες: Δείκνυσιν ἐνταῦθα ὁ Σωκράτης, ὡς ἐν ὅσῳ τις βλέπει τὰς Νεφέλας, τοῦτο τὸ σχῆμα ἐχούσας, μεταστραφεὶς ἀλλοίας ὁρᾷ. Junt.]

[342. ἐκεῖναι: Αἱ Νεφέλαι. Gl. R.V. (non G.)]

343. αὗται δὲ ῥῖνας ἔχουσαι: Εἰσεληλύθασι γὰρ οἱ τοῦ χοροῦ προσωπεῖα περικείμενοι μεγάλας ἔχοντα ῥῖνας καὶ ἄλλως γελοῖα καὶ ἀσχήμονα. διόπερ φησὶν εἰκότως αὐτὰς μὴ ἑωρακέναι, διὸ τὸ μὴ νεφελῶν ἀλλὰ γυναικῶν ὄψεις ἔχειν· ὃ τὴν ἀγνωσίαν αὐτῷ παρεῖχε. δῆλον οὖν ὅτι ὁπόσα ἐν τοῖς ἄνω λέλεκται χορικὰ, οὐκ ἐπὶ τῆς σκηνῆς ὄντος τοῦ χοροῦ εἴρηται, ἀλλ' ἔξω ἑστῶτος καὶ κρυπτομένου ἡ φωνὴ μόνη τοῖς ἔνδον ἐξηκούετο. οὐ γὰρ ἠδύναντο ἐντὸς εἶναι τῆς σκηνῆς αἱ μὴ καταπτᾶσαι μηδέπω. προειρήκαμεν δὲ τῶν Νεφελῶν εἶναι.

[344. ἀπόκριναι: Ἐμοὶ δή. Gl. Victor.]

345. Κενταύρῳ ὁμοίαν: Τὸ συμβαῖνον γίνεσθαι περὶ τὰς νεφέλας διηγεῖται. πολλάκις γάρ εἰσι νέφη παρομοιούμενα ζώοις, ἢ φυτοῖς, ἢ ἀνθρωποειδῆ γιγνόμενα, ἢ ἄλλην τινὰ τοιαύτης ὄψεως ἀποπέμποντα εἰκόνα. φησὶν οὖν, οὐ χρή σε θαυμάζειν, εἰ αἱ Νεφέλαι γυναικῶν ἔχουσι μορφάς· καὶ γὰρ ἐν τῷ οὐρανῷ πολλὰς ἔχουσιν εἰκόνας. τού-

3–5. Οὐ—ἐποίουν om. V.
12. εἰσεληλύθασι γὰρ οἱ τοῦ χοροῦ V. εἰσεληλύθασιν οἱ χορευταὶ Ald.
13. καὶ ἄλλως add. V.
14. εἰκότως V. εἰκὸς Ald.
16. ὅτι om. V.
ib. ὁπόσα] ὅσα V.
17. ὄντος—ἀλλ' ἔξω V. ὄντως λέλεκται, τοῦ χοροῦ δὲ ἔξω V.
ib. ἑστῶτες καὶ κρυπτόμενοι V.
18. ἐξηκούετο] ἠκούετο V.
19. καταπτᾶσαι] καταστᾶσαι G.
ib. μηδέπω] μήπω V.
19, 20. προειρήκαμεν—εἶναι om. V.
22. γίνεσθαι om. V.
23. διηγήσατο V.
23–25. γάρ—εἰκόνα] γὰρ ἰδεῖν φησὶν παρωμοιωμένας ζώοις τισὶν ἢ φυτοῖς ἢ ἀνθρωποειδεῖς γινομένας ἢ ἄλλην τινὰ τοιαύτης ὄψεως εἰκόνα φαινούσας V.
26. τούτων δὲ μόνων ἐμνημόνευσε δι' ὧν V.

των δὲ ἐμνημόνευσεν ἐκείνων ἕνεκα μόνον, δι' ὧν λοιδορῆσαί τινας τῶν πολιτευομένων βούλεται.

347. κομήτην: Κλεῖτον λέγει, ὃς ἦν ἐπὶ κόμῃ σκωπτόμενος. ἀγρίους καὶ κολλοποδιώκτας ἐκάλουν τοὺς παιδεραστάς. Ἱερώνυμον λέγει τὸν διθυραμβοποιόν, ὃς Ξενοφάντου μὲν ἦν παῖς, περὶ παῖδας δὲ ἄγαν ἐπτόητο, λάσιον δὲ εἶχε τὸ σῶμα. ἐπεὶ οὖν καὶ οἱ Ἱπποκένταυροι λάσιον εἶχον τοῦ σώματος τὸ τῶν ἵππων μέρος, ὥστε καὶ ὁ πρὸς τοὺς Λαπίθας πόλεμος δι' ἀκρασίαν ἔρωτος αὐτοῖς συνέστη, εὐλόγως τῶν ἐρωμανῶν τινα θεωμένας ἐξομοιοῦν αὐτὰς τῇ τῶν Κενταύρων ἰδέᾳ τὰς Νεφέλας παρήγαγεν. [τὸν Ξενοφάντου: Υἱόν, Ἱερώνυμον λέγει. Gl. Victor. Ἱερομνήμων ἦν υἱὸς τοῦ Ξενοφάντου, διθυραμβοποιὸς ποιητής. ἦσαν δέ τινες ἄγαν ἐπτοημένοι πρὸς αὐτόν, αἰσχρῷ ἔρωτι. Schol. LB.]

350. τί δ' ἦν ἅρπαγα: Οὗτος κεκωμῴδηται παρὰ Ἀριστοφάνει ὡς χρεωφειλέτης. τίνι, φησίν, αἱ Νεφέλαι ἑαυτὰς ἂν εἰκάσειαν, ἐὰν ἀφομοιώσασθαι θελήσωσιν ἑαυτὰς Σίμωνι, διαρπάζοντι καὶ νοσφιζομένῳ τὰ κοινά. σοφιστὴς ὁ Σίμων ἦν καὶ τῶν ἐν πολιτείᾳ διαπρεπόντων τότε· καὶ πάντως ὅτι τῶν δημοσίων τι ἐνοσφίσατο χρημάτων. μνημονεύει δὲ αὐτοῦ καὶ Εὔπολις ἐν Πόλεσι, διαβάλλων αὐτὸν ἐπὶ τοῖς αὐτοῖς ἐγκλήμασιν οὕτως

ἐξ Ἡρακλείας ἀργύριον ὑφείλετο.

κωμῳδεῖται δὲ νῦν, ἵν' ἢ παύσηται ἁρπάζων, ἢ ἀκούσαντες οἱ Ἀθηναῖοι εἰς εὐθύνας ἀγάγωσιν ὧν κατεδήδοκε.

352. Κλεώνυμον: Τὸν Κλεώνυμον τοῦτον ὡς δειλὸν καὶ ἐπὶ τῆς

2. βούλεται] λέγεται V.
3. Κλεῖτον—σκωπτόμενος om. R.V. Legit Suidas s. Κλεῖτος.
4. ἀγρίους R.V. ἀγρίους δὲ Ald.
ib. κολλοποδιώκτας V. et Suidas s. ἀγρίους. καλαποδιώκτας Ald. Vide Eustath. p. 1915, 16. καὶ κολλοποδιώκτας omittit, ἐκάλουν post παιδεραστάς ponit R.
4–10. Ἱερώνυμον—παρήγαγεν om. V.
5. λέγει R. δὲ λέγει Ald.
ib. παῖς] υἱὸς Suidas.
ib. παῖδας δὲ] δὲ παῖδας R.
7–10. ὥστε—παρήγαγεν om. R.
14–17. Οὗτος—κοινά om. R.V.
17. ὁ R.V. δὲ ὁ Ald.
18. ὅτι add. R.V.
ib. χρημάτων] χρήματα V. Sequentia om. V.
19. ἐν Πόλεσι add. R.
20. ἐπὶ τοῖς αὐτοῖς hoc loco R, ante διαβάλλων Ald.
20–23. οὕτως—κατεδήδοκε om. R.
24. Τὸν Κλεώνυμον addidi ex R. Totum scholion om. V, exceptis verbis ὁ κλεώνυμος ὡς δειλὸς ἐν πολλοῖς κωμῳδεῖται.

παρατάξεως ῥίψαντα τὴν ἀσπίδα οἵ τε ἄλλοι κωμῳδοὶ διαβάλλουσι καὶ ἐν τοῖς Σφηξὶν αὐτός. ὡς δειλὸς δὲ ἐν πολλοῖς κωμῳδεῖται. τὸ δὲ ἐχθὲς προσέθηκεν ὡς ὑπόγυιον τοῦ Κλεωνύμου ῥιψάσπιδος γεγενημένου, τῷ καιρῷ χρώμενος εἰς αἰσχύνην τοῦ δεδρακότος. μείζονα γὰρ τὰ ὑπόγυια πταίσματα τὴν συμφορὰν ἔχει.

[353. δειλότατον: Δειλότατον γὰρ τὸ τῶν ἐλάφων γένος. καὶ Ὅμηρος "κραδίην δ' ἐλάφοιο." R.V.]

354. καὶ νῦν ὅτι Κλεισθένη: Καὶ νῦν διὰ τὸν Κλεισθένην γυναῖκες ἐγένοντο. οὗτος δὲ ἐπὶ κιναιδίᾳ διαβάλλεται. τοῦτον δὲ ὡς γυναικιζόμενον οὐκ Ἀριστοφάνης διαβάλλει μόνον, ἀλλὰ καὶ Κρατῖνος ἐν Πυτίνῃ, λέγων οὕτως

λῃρεῖς ἔχων· γελοῖος ἔσται Κλεισθενης κυβεύων
ἐν τῇδε τῇ κάλλους ἀκμῇ.

τοῦτον ἰδοῦσαι, φησὶν, αἱ Νεφέλαι, εἰς γυναῖκας μετεμόρφωσαν ἑαυτάς.

357. χαῖρ' ὦ πρεσβῦτα: Ἐξήγησις τοῦ πρεσβύτα τὸ παλαιγενές. νῦν δὲ οὐχ ὡς σεμνόν τινα προσηγόρευσαν αὐτὸν διὰ τὸν χρόνον, ἀλλ' ὡς ἀνόητον. τοὺς γὰρ εὐήθεις ἀρχαίους καὶ παλαιοὺς ἔλεγον. [παλαιγενὲς: Οὐκ ἐπὶ σεμνῆς προσηγορίας τοῦτο παρείληφεν, ἀλλ' ἀνόητον δεῖξαι βουλόμενος. τοὺς γὰρ εὐήθεις καὶ ἀνοήτους ἀρχαίους καὶ παλαιοὺς ἐκάλουν. Schol. LB.]

θηρατὰ: Ἀντὶ τοῦ ἰχνευτὰ λόγων, ἢ ζηλωτὰ, ἢ μετιὼν λόγους. [ἐπιθυμητὰ συνετῶν λόγων. R.V. (non G.)]

1. διαβάλλουσι R. διαβάλλουσι πάντες Ald.
2. καὶ ἐν—κωμῳδεῖται om. R.
ib. αὐτός Hermannus. ὁ αὐτός Ald.
4, 5. μείζονα—ἔχει R. et Suidas s. Κλεώνυμος. πλείονα γὰρ τὴν συμφορὰν τὰ πταίσματα ἔχει τὰ ὑπόγυια Ald.
5. ὑπόγυια] ὑπόγυα R. et Suidas.
6. καὶ om. V.
7. Ὅμηρος] Il. A, 225.
8. νῦν R.V. νῦν φησι Ald.
ib. κλεισθένην R. κλεισθένη Ald.
ib. γυν. ἐγ. R.V. ἐγ. γυν. Ald.
9. κιναιδίᾳ V. et Suidas s. Κλεισθένους. κιναιδείᾳ Ald. Verba ἐπὶ κιναιδίᾳ διεβάλλετο in fine scholii v. 360. repetit Ald.
12, 13. λῃρεῖς—ἀκμῇ Bentleius. λῃρεῖς ἔχων. γράφ' αὐτὸς (γράφων αὐτὸν vel αὐτῷ vel αὐτ' Suidæ codices) ἐν ἐπεισοδίῳ. γελοῖος ἔσται κλεισθένη (Κλεισθένης Suidas) κυβεύων. (hic desinit Suidas.) ἐν τῇ τοῦ κάλλους ἀκμῇ Ald. Illa γράφων—ἐπεισοδίῳ alius scholii lacinia esse videntur.
15. Ἐξήγησις—παλαιγενές add. R.V.
ib. τὸ om. V.
16. νῦν δὲ R.V. νῦν Ald.
16, 17. αὐτὸν et ὡς add. R.V.
17. τοὺς γὰρ—ἔλεγον om. V.
ib. εὐήθεις R. δῆθεν Ald.
ib. παλαιοὺς R. παλαιοὺς πρεσβύτας Ald.
21. Ἀντὶ—λόγους om. R.V.

358. ὅ τι χρῄζεις: Ὅ τι βούλοιο. Σωκράτει δὲ λέγουσι. τὸ δὲ λεπτοτάτων λήρων ἀντὶ τοῦ συνετωτάτων, καὶ δυσπαρακολουθήτων λόγων.

360. πλὴν ἢ Προδίκῳ: Οὕτως ἡ ἀκολουθία εἶχε τοῦ λόγου, πλὴν ἢ Προδίκῳ καὶ σοί. ὁ δὲ ἄλλως τὸν λόγον ἐσχημάτισε, τὸ μὲν σοί κατ' ἀρχὰς οὐκ εἰπὼν, ἔπειτα δὲ ἐπενεγκών. μέμνηται δὲ νῦν τοῦ Προδίκου διασύρων ὅτι μεγίστην δόξαν εἶχε περὶ αὐτοῦ, ὡς ὑπὲρ πάντας ὢν τῇ σοφίᾳ. σοφιστὴς δὲ ἦν ὁ Πρόδικος, Κεῖος τὸ γένος. ἤκμασε δὲ κατὰ τοὺς χρόνους Σωκράτους. πρῶτος δὲ οὗτος τὴν πεντηκοντόδραχμον ἐπίδειξιν ἐποιήσατο. μνημονεύει δ' αὐτοῦ καὶ Πλάτων ἐν τῷ Πρωταγόρᾳ καὶ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασιν, οὐ μὴν ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Ταγηνισταῖς οὕτως

τὸν ἄνδρα τόνδ' ἢ βιβλίον διέφθορεν,
ἢ Πρόδικος, ἢ τῶν ἀδολεσχῶν εἷς γέ τις.

διαβάλλει δὲ αὐτὸν καὶ ἐν Ὄρνισιν οὕτω

παρ' ἐμοῦ Προδίκῳ κλάειν εἴπητε τὸ λοιπόν.

διδάσκαλος δὲ ἦν οὗτος καὶ Θηραμένους, τοῦ ἐπικαλουμένου κοθόρνου, ὃς τῆς τῶν τριάκοντα τυραννίδος μετέσχε. κόθορνος δὲ ἐκαλεῖτο οὗτος, ἐπεὶ καὶ τοῖς τριάκοντα συνέσπευδε καὶ τῷ πλήθει. καὶ γὰρ ὁ κόθορνος τὸ ὑπόδημα ἀμφοτέροις ἁρμόζει τοῖς ποσί. φέρεται δὲ καὶ Προδίκου βιβλίον ἐπιγραφόμενον Ὧραι, ἐν ᾧ πεποίηκε τὸν Ἡρακλέα τῇ ἀρετῇ καὶ τῇ κακίᾳ συντυγχάνοντα, καὶ καλούσης ἑκατέρας ἐπὶ

1–3. Ὅ τι—λόγων om. R.V.
4–p. 451. l. 2. Οὕτως—Ἄλλως om. R.
4–8. Οὕτως—σοφίᾳ om. V.
8–p. 451. l. 4. σοφιστὴς—μετεωρολόγος] ἐπὶ καθαιρέσει—μετεωρολόγος Κίος τὸ γένος. ἤκμασε—ἡδονῶν V.
8. Κεῖος Suidas. κίος V. Χῖος Ald.
10. πεντηκοντάδραχμον Suidas.
11. καὶ Πλάτων V. et Suidas. Aberat καί.
ib. Ἀπομνημονεύμασιν] 2, 1, 21.
12. Ἀριστοφάνης] Fragm. 418.
ib. οὕτως add. V. οὕτω Suidas.
13. τόνδ'] Legebatur τοῦτον.
ib. διέφθορεν V. διέφθειρεν G. Ald. et Suidas.
14. εἷς γέ τις V. et Suidas. εἴσφρησις Ald.
15. Ὄρνισιν] 693.
16. κλάειν Suidas. κλαίειν Ald. κλέων V.
17. καὶ Θηραμένους add. V. et Suidas.
18. μετέσχε V. et Suidas. συμμετέσχεν Ald.
19. οὗτος add. V, non Suidas.
19–21. καὶ τῷ πλήθει—Ὧραι addidi ex V. Habet etiam Suidas, sed omissis illis καὶ γὰρ—ποσί.
21. Προδίκου βιβλίον] βιβλίον Προδίκου Suidas.
ib. ἐν ᾧ πεποίηκε V. et Suidas. καὶ πλάττει Ald.
22. καλούσης (καλούσας Suidas) ἑκατέρας V. et Suidas. καλουσῶν ἑκατέρων Ald.

τὰ ἤθη τὰ αὑτῆς, προσκλῖναι τῇ ἀρετῇ τὸν Ἡρακλέα καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προσκαίρων τῆς κακίας ἡδονῶν. Ἄλλως. ἐπὶ καθαιρέσει Σωκράτους τὸν Πρόδικον μέγαν ἀποφαίνει διαφόρως. οὗτος δὲ σοφιστὴς ἦν μετεωρολόγος. [πλὴν ἤ: Εἰ μή. γνώμης: Συνέσεως. Gl. Victor.]

361. βρενθύει: Ἀποσεμνύνεις σεαυτὸν τῷ σχήματι καὶ ταυρηδὸν ὁρᾷς. Ἄλλως. σεμνύνῃ καὶ μέγα φρονεῖς. οἱ γὰρ ἐπιδεδωκότες ἑαυτοῖς σοβαρῶς πεφύκασι βαδίζειν. ὡς τοῦ μὲν Προδίκου ὄντος σοφοῦ, τοῦ δὲ Σωκράτους κενὴν μόνον ἐπὶ σοφίᾳ δόξαν καρπουμένου. [βρενθύει: Κομπάζεις καὶ ὑπεροπτικῶς βαίνεις. Gl. Θ.]

καὶ τὼ 'φθαλμώ: Σεμνὴν τὴν ὄψιν ἔχεις. εἰσὶ γὰρ ἀνθρώπων τινὲς τοιοῦτοι σεμνοὶ μὲν φανῆναι, οὐ κατὰ τὴν ὄψιν δὲ ἔχοντες καὶ τὰ ἐπιτηδεύματα. οὕτω δὲ ἐβάδιζε Σωκράτης. καὶ Πλάτων περὶ αὐτοῦ "ταυρηδὸν ὑποβλέψας, ὥσπερ εἰώθει." [ἴδιόν ἐστι τῶν ἀλαζόνων τὸ μὴ ἔχειν ἀεὶ τὸ βλέμμα ἐπὶ ταυτοῦ, ἀλλ' ἄνω καὶ κάτω κινεῖν, καὶ νῦν μὲν ἐνταῦθα, νῦν δ' ἄλλοσε μεταφέρειν. Schol. E. Victor.]

[364. φλύαρος: Ἀντὶ τοῦ φλήναφος καὶ λῆρος. R.]

[366. μὴ φλυάρει. R.]

370. [καί τοι χρῆν: Ἀντὶ τοῦ, καί τοι ἐχρῆν. Junt.]

1. τὰ αὐτῆς (scr. αὑτῆς) V. αὐτῶν Ald. et Suidas.

3. ἐπὶ κ.] πλὴν μόνου προδίκου ἐπὶ κ. R.

ib. μέγαν R.V. νῦν μέγαν Ald.

ib. διαφόρως R.V. διαφερόντως Ald.

4. δὲ] δὲ καὶ V.

ib. μετεωρολόγος] ἐπὶ κιναιδίᾳ διεβάλλετο add. Ald. om. R.V. Est ex scholio v. 354.

6. Ἀποσεμνύνεις σεαυτὸν] ἤγουν ἀποσεμνύνεις ἑαυτὸν R, in quo hæc ἤγουν —ὁρᾷς scholio proximo inserta sunt post μέγα φρονεῖς. Omittit V, nisi quod ταυρηδὸν (παρ' ὁδὸν G.) ὁρᾷς in fine scholii proximi habet post καρπουμένου.

ib. τῷ R. et Suidas s. βρενθύεσθαι. ἐν τῷ Ald.

7–9. Ἄλλως—καρπουμένου] Hæc proximo scholio postposita legebantur. Recte R.

7. μέγα φρονεῖς] μεγαλοφρονεῖς V.

7–9. οἱ γὰρ—καρπουμένου om. R.

7. ἐπιδεδωκότες] Intelligit scholiastes inflatos, quoniam hi quasi se ipsos augent. HERMANN. ad Viger. p. 738. ἀποδεδωκότες V. et Suidas s. βρενθύεσθαι.

8. ἑαυτοῖς V. et Suidas. αὐτοῖς Ald.

9. μόνον] ἡμῖν V. et Suidæ codices omnes, μόνον ed. Mediol.

11–14. Σεμνὴν—εἰώθει om. V.

11. σεμνὴν R. ἀπὸ τῶν ὀφθαλμῶν σεμνὴν Ald.

ib. ἀνθρώπων] ἄνθρωποι R.

12. τινὲς τοιοῦτοι om. R.

13, 14. οὕτω—εἰώθει om. R.

13. Πλάτων] Phædon. p. 117 B.

13, 14. περὶ—εἰώθει addita ex Suida s. τὠφθαλμώ.

καίτοι ʼχρῆν αἰθρίας οὔσης: Εἰ τὸ *βρέχειν ἦν, φησὶν, ἐν τῇ του Διὸς ἐξουσίᾳ, καὶ μὴ τῶν* Νεφελῶν *τοῦτο ἦν ἔργον, ἐχρῆν αὐτὸν καθ' ἑαυτὸν ἄνευ* Νεφελῶν *ὕειν.* [*αἰθρίαν δὲ ἐν ἐκτάσει καὶ ἐν τοῖς ἔμπροσθεν παρετηροῦμεν.* R.] *Ἄλλως. δοκεῖ τῆς κατὰ* Μύσκελλον *ἱστορίας ἔχεσθαι τὸ λεχθέν.* Μυσκέλλῳ *γάρ φασι χρησμὸν δοθῆναι, κτίζειν πόλιν, ὅπου ἂν αὐτὸν ἐξ αἰθρίας ὑετὸς λάβῃ· ὁ δὲ ᾤετο οὐκ ἄν ποτε ὑπ' αὐτοῦ κτισθήσεσθαι πόλιν, διὰ τὸ ἀδύνατον τοῦ χρησμοῦ. παραγεγενημένου δ' αὐτοῦ περὶ τὴν* Ἰταλίαν, *καὶ ἀμηχανοῦντος περὶ τὴν κτίσιν, παρακαθίσασαν τὴν παλλακίδα δακρύειν ἐπ' αὐτῷ ὀδυρομένην, καὶ τέλος εἰληφέναι τὸ χρηστήριον. διὸ καὶ εὐθὺς ἔκτισε τὴν πόλιν.* [*καίτοι χρῆν αἰθρίας οὔσης*: Εἰ τὸ *ὕειν, φησὶν, ἔργον ἦν τοῦ* Διὸς, *ἔδει αὐτὸν ὕειν, μηδαμῶς τῶν νεφελῶν φαινομένων. ἴσως δὲ δοκεῖ τὸ λεχθὲν ἔχεσθαι τῆς κατὰ* Μύσκελον *ἱστορίας. ὁ* Μύσκελος *γὰρ χρησμὸν δεξάμενος, κτίσαι πόλιν ὅπου ἂν αὐτὸν ὑετὸς καταλάβοι αἰθρίας οὔσης, ᾤετο μηδέποτε ἂν κτισθῆναι ὑπ' αὐτοῦ πόλιν, διὰ τὸ ἀδύνατον τοῦ χρησμοῦ. παραγενόμενος δὲ περὶ τὴν* Ἰταλίαν *καὶ μηχανώμενος περὶ τὴν κτίσιν τῆς πόλεως, παρακαθίσασαν τὴν παλλακίδα ἰδὼν δακρύουσαν καὶ ὀδυρομένην, καὶ τέλος ὑπολαβὼν τὸν χρησμὸν εἰληφέναι, ἔκτισε τὴν πόλιν.* Schol. Harl. 5. *ἀποδημεῖν*: Ἀντὶ *τοῦ μὴ παρεῖναι.* R.V. (non G.)]

[371. *προσέφυσας*: Προσήρμοσας. R.V. (non G.) *ἥρμοσας. καλῶς καὶ ὡς ἔδει προσήρμοσας.* Gl. Br.]

373. *τετρεμαίνειν*: Τρέμειν, *κατὰ ἀναδιπλασιασμόν. ἀντὶ τοῦ*

1. *βρέχειν*] *ἄρχειν* G.

2. *τοῦτο ἦν* R. *ἦν τοῦτο τὸ* Ald. *τοῦτο ἦν ἔργον* om. V.

3. *ἄνευ ν. ὕειν* R.V. *ὕειν ἄνευ ν.* Ald.

ib. *ἐν τοῖς ἔμπροσθεν*] Videtur ad scholia fabulæ deperditæ respicere. Nam in Pluto v. 1130. *αἰθρίαν* correpto iota legitur.

4–11. *Ἄλλως—ἔκτισε τὴν πόλιν* om. R.V. Excerpsit Suidas s. *Μύσκελλος.*

13. *Μύσκελον*] Non *Μύσκελον*, sed *Μύσκελλον* dictum esse constat ex oraculis apud Diodor. Excerpt. Vatic. p. 9. 10. ed. L. Dindorf.

17. *μηχανώμενος*] *ἀμηχανῶν* Dobræus. Frustra, ut videtur. Postrema hujus scholii pars in cod. Leidensi sic scripta *παραγενομένου δὲ αὐτοῦ περὶ τὴν Ἰταλίαν καὶ μηχανωμένου περὶ τὴν κτίσιν, παρακαθίσας τὴν παλλακίδα δακρύουσαν καὶ ὀδυρομένην. καὶ τέλος ὑπολαβὼν τὸν χρησμὸν εἰληφέναι, ἔκτισε τὴν πόλιν.*

18. *ἰδὼν* addidit Dobræus.

20. *Ἀντὶ τοῦ* om. V.

23. *Τρέμειν* add. R.

23–p.453.l.2. *ἀντὶ—εὐλαβουμένων* om. R.

φρίττειν καὶ δεδιέναι. *τὸ γὰρ τρέμειν καὶ πάλλεσθαι τὸ σῶμα τῶν ἄγαν εὐλαβουμένων.*

[374. *ὦ πάντα σὺ τολμῶν*: Ἀντὶ τοῦ *ὦ θρασύτατε καὶ τολμηρέ.* R. *ὦ θρασύτατε.* V. (non G.)]

376. *κρημνάμεναι*: Ἀντὶ τοῦ *κρεμάμεναι ἀπὸ τοῦ ἀέρος.* *ἢ ἐπικρεμάμεναι ἀλλήλαις καὶ ἐπιβαρούμεναι· περισσὸν δὲ τὸ εἶτα.*

377. *παταγοῦσιν*: Ἠχοῦσιν. Ὅμηρος

πάταγος δὲ διὰ στόμα γίνετ' ὀδόντων.

379. *αἰθέριος δῖνος*: Καὶ τοῦτο ἐθρυλεῖτο παρὰ τοῖς φυσικοῖς. *ἡ περιδίνησις ἡ αἰθερία.* *ταῦτα δὲ ἐκ τῶν* Ἀναξαγορικῶν λαμβάνει.

380. *Δῖνος νυνὶ βασιλεύων*: Ἐγγύθεν ἔλαβεν *ἀπὸ τοῦ Διὸς τὸ ὄνομα.* *ὥσπερ εἰ ἔλεγε, μὴ βασιλεύειν τὸν Δία, ἀλλὰ Δῖνον. οὐχ ὅτι τὴν δίνησιν ὑποβάλλει, ἐκ τούτου Δῖνος εἶπεν, ἀλλὰ κεραμεοῦν ἐστι βαθὺ ποτήριον, ὃ καλεῖται δῖνος, ὅπερ ἄνω εὐρύτερον ὄν, κάτω εἰς ὀξὺ λήγει. τὸ γὰρ γελοῖον ἐκ τούτου εἰς τὴν τοῦ Δῖνος παρείληφε διάνοιαν.* [*δῖνος*: *Δῖνος κυρίως ὁ τόρνος, ἐνταῦθα δὲ ἡ τοῦ οὐρανοῦ κίνησις, ἀφ' οὗ δίνη ἡ συστροφὴ, καὶ δινεῖν τὸ συστρέφειν. ὁ μὲν οὖν Σωκράτης δῖνον εἶπε τὴν τοῦ οὐρανοῦ ἢ τοῦ ἀέρος συστροφὴν καὶ κίνησιν καὶ περιφοράν. ὁ δὲ Στρεψιάδης ποτήριόν τι ἐνόησε κεραμοῦν, δῖνον καὶ τοῦτο καλούμενον παρ'* Ἀττικοῖς, *τὸ λεγόμενον καυκίον.* Victor.]

[382. *τὸ φημί πρὸς τὰς νεφέλας* R.V. (non G.)]

384. [*ἄγε ἢ λέγε. τίνι. ἀπὸ αὐτοῦ σου.* R. *ἀπὸ σοῦ ἐγώ σε.* V. (non G.)] *ἀπὸ σαυτοῦ 'γώ σε διδάξω*: Εἰς *τὸ σαυτοῦ τελείαν*

1. *φρίττειν καὶ δεδιέναι*] *φοβεῖσθαι καὶ τρέμειν* V. Sequentia om. V.

3. Ἀντὶ τοῦ add. R. Totum scholion om. V.

5. *ἀπὸ—ἢ* R. *ἐκ—οἷον* Ald.

6. *καὶ—εἶτα* om. V.

7, 8. Ὅμηρος (Il. N, 283)—*ὀδόντων* om. R.

9. Καὶ *τοῦτο—φυσικοῖς* om. R.V.

10. *ἡ περιδίνησις* R.V. *τουτέστι δίνησις* Ald.

ib. *ταῦτα—λαμβάνει* om. R.

ib. *ἀναξαγορικῶν* V. Ἀναξαγορείων Ald.

12. Ἐγγύθεν] *δὲ* addit R. Totum scholion om. V.

ib. *ἀπὸ* R. *ἐκ* Ald.

ib. *τὸ ὄνομα* add. R.

13–17. *ὥσπερ—διάνοιαν*] Scholion recens, quod om. R.V. Ineptum est scholiastæ commentum de poculo *δίνῳ* cogitasse poetam.

25–p. 454. l. 5. Εἰς τὸ—Ἄλλως om. R.V.

στικτέον, ἐπεὶ σύνθετόν ἐστι καὶ ἀμετάβατον γίνεται ὑφ' ἓν λέγουσι.

385. ζωμοῦ Παναθηναίοις: Ἐν τοῖς Παναθηναίοις αἱ Ἀττικαὶ τοῖς Ἀθηναίοις πόλεις ἔπεμπον βοῦς. ὅθεν ἡ δαψίλεια τῶν κρεῶν. Ἄλλως. ἤδη ποτ' ἐν Παναθηναίοις ἐκόρεσας ζωμοῦ τὴν γαστέρα σου. τὰ δὲ Παναθήναια ἑορτὴν παρ' Ἀθηναίοις μεγίστην εἶναι προειρήκαμεν. ἐπεὶ οὖν ἐν τοῖς Παναθηναίοις πᾶσαι αἱ ὑπὸ τῶν Ἀθηναίων ἀποικισθεῖσαι πόλεις βοῦν τυθησόμενον ἔπεμπον, συνέβαινεν ἄδειαν εἶναι τῶν κρεῶν, ὥστε πληροῦσθαι πάντας καὶ παρὰ τὸ δέον ἐσθίοντας διὰ τὴν ἀφθονίαν τῶν κρεῶν. [—βοῦν τεθυσόμενον ἔπεμπον, συνέβαινεν ἀφθονίαν εἶναι κρεῶν, ὥστε κορέννυσθαι πληρουμένους τοὺς βουλομένους κρεάτων τε καὶ ζωμῶν. Schol. LB.]

[Παναθηναίοις: Τὰ Παναθήναια ἑορτὴ τῶν Ἀθηνῶν ἦν, πασῶν τῶν ἐν Ἀθήναις τελουμένων ἑορτῶν ἡ μεγίστη, ἐν ᾗ ζώων πολλῶν σφαττομένων, ὡς πασῶν τῶν ἀποικισθεισῶν ἀπ' Ἀθηνῶν πόλεων πεμπούσης ἑκάστης ἀνὰ ἕνα βοῦν εἰς τὴν θυσίαν καὶ ἕτερα ἱερεῖα, οἱ μὲν τῆς καλλίονος μοίρας ἄνθρωποι τὰ κρέατα ἔσθιον, οἱ πένητες δὲ τοὺς ζωμοὺς σὺν τμήματι ἄρτου βραχυτάτῳ. Victor.]

εἶτ' ἐταράχθης: Εἶτα συνέβη κινηθῆναι καὶ διαταραχθῆναι τὴν γαστέρα.

386. καὶ κλόνος ἐξαίφνης: Καὶ στρόφος τις καὶ εἶλιγξ αὐτῇ συνέπεσε. διεκορκορύγησε δὲ, ἀντὶ τοῦ ἤχησε. κορκορυγεῖν λέγουσι τὸ λαλεῖν τὴν γαστέρα. ἐμιμήσατο δὲ τῇ φωνῇ τῶν ἐντέρων τὸν ἦχον.

[390. ἐκ τοῦ κατ' ὀλίγον φησί. R.]

391. ἀπὸ γαστριδίου τυνουτουί: [Ἀντὶ τοῦ μικροῦ. συναγαγὼν

1. ἐπεὶ—γίνεται] Vid. Apollon. Alex. de syntaxi 2, 19. 20. HERM.

5. ἐν Παναθηναίοις Ald. ἐν om. R.V.

ib. σου post γαστέρα ponit V, post ἐκόρεσας Ald.

6. μεγίστην εἶναι προειρήκαμεν R.V. εἶναι μεγίστην παρὰ πάντων ᾄδεται Ald. Hic quoque ad scholia fabulæ perditæ respicitur.

7. ἐν τοῖς Παναθηναίοις] παρὰ τοῖς ἀθηναίοις V.

ib. ὑπὸ — ἀθηναίων R.V. ἀπὸ — Ἀθηνῶν Ald.

8. τυθησόμενον] τεθυσόμενον V.

19–22. εἶτα—ἤχησε om. R.V.

21. εἶλιγξ] εἵλιξ Ald. ἴλιγξ Suidas s. διεκορκορύγησε.

22. κορκορυγεῖν] κορκορύσσειν V.

ib. λέγουσι (λέγει V. λε/ R.) τὸ λ. τ. γ. R.V. et Suidas. γάρ ἐστι τὸ τὴν γαστέρα λαλεῖν μόνον Ald. Sequentia om. R.

23. ἐμιμήσατο δὲ Suidas. μόνον δὲ ἐμιμήσατο V. ἢ ἐμιμήσατο Ald.

δὲ τοὺς δακτύλους φησὶ τοῦτο. R.] ποσόν. συναγαγὼν δὲ τοὺς δακτύλους ἐρεῖ. τύννον γὰρ τὸ μικρόν. ὅτε ἔλαβεν ὁμολογοῦντα τὸν πρεσβύτην, τότε προσάγειν αὐτὸν ἐπεχείρει τῇ συγκρίσει· καί φησι, θαυμάζεις, εἰ βροντῶσιν αἱ Νεφέλαι πάντα κατέχουσαι τὸν οὐρανὸν, ὅτε ἀπὸ μικρᾶς οὔσης τῆς κοιλίας σου τοσοῦτος ἦχος τῶν πορδῶν γίνεται;

393. τὼ 'νόματ' ἀλλήλοιν: Δυϊκῶς ἔκλινεν. φησὶ δὲ ὅτι διὰ τοῦτο καὶ τὰ ὀνόματά εἰσιν ἀλλήλοις παρεμφερῆ καὶ ὅμοια τῆς βροντῆς καὶ τῆς πορδῆς. ἔπαιξε δὲ παρὰ τὸ ὁμοιοκατάληκτον.

395. καὶ καταφρύγει: Λέγεται γὰρ ὅτι πολλάκις ὁ κεραυνὸς ἁψάμενος οὐκ ἀναιρεῖ, ἀλλὰ περιφλέγει μόνον. Ἄλλως. καταφρύγει, καταίθει. περιφλύει δὲ, περικαίει ἐπιπολῆς. τὸ δὲ ζῶντας, τινὲς ἀντὶ τοῦ πλουσίους ἤκουσαν. [οὓς μὲν κατακαίει, οὓς δὲ ζῶντας περιφλέγει. (πυρὶ φλέγει V.) R.V. κατακαίει. τοὺς ζῶντας, τοὺς πλουσίους. περιφλύει, ἐξ ἐπιπολῆς καίει. Gl. Br. τοὺς δὲ ζῶντας περιφλέγει: Ἤγουν τοὺς μὴ ἀποθανόντας μετρίως καίει. Gl. LB.]

[396. ἀφίησιν, ἀποπέμπει. R.]

397. Κρονίων ὄζων: Ἀρχαῖε καὶ εὐηθείας πνέων. ἔστι δὲ Κρόνια παρὰ τοῖς Ἕλλησιν ἑορτή. ἤγετο δὲ ἑκατομβαιῶνι μηνί. καὶ Κρονίους τοὺς λήρους ἐκάλουν.

[βεκκεσέληνε: Ἤτοι ἀπόπληκτε καὶ σεληνόπληκτε καὶ σαλέ. R.

1, 2. πόσον—μικρόν om. R.V.

2. ἐρεῖ] Significationem præsentis habet, ut sæpe apud scholiastas.

ib. ὅτε R. ὅτε δὲ Ald.

4. θαυμάζειν V.

5. οὔσης R.V. οὕτω Ald.

ib. σου add. R.

6. τῶν R.V. ἀπὸ τῶν Ald.

ib. πορδῶν] πνευμάτων V.

ib. γίνεται om. V.

7–9. Δυϊκῶς—πορδῆς R. διὰ τοῦτο καὶ τὰ τοιαῦτα ὀνόματα ἀλλήλοις εἶναι δοκεῖ προσφερῆ καὶ ὅμοια τῆς βροντῆς καὶ τῆς πορδῆς Ald.

9–13. ἔπαιξε—ἤκουσαν om. R.V.

18–20. Ἀρχαῖε—ἐκάλουν R. Legebatur οἷον ἀρχαϊκῆς εὐηθείας ὀδωδός. ἔστι δὲ Κρόνια παρὰ τοῖς Ἕλλησιν ἑορτὴ τὰ παρὰ Ῥωμαίοις καλούμενα Σατουρνάλια ἢ Ἀπατούρια. Absurde Ἀπατούρια nominantur.

21. Ad βεκκεσέληνε in Ald. hoc exstat scholion, Σεσόγχωσις ὁ βασιλεὺς τῶν Αἰγυπτίων κοσμοκράτωρ γεγονὼς ἠθέλησε γνῶναι τοὺς ἀρχαιοτέρους τῶν ἀνθρώπων. καὶ τροφόν τινα γλωττοτομήσας ἀπέκλεισε μετὰ βρέφους. αὐξηθέντος οὖν καὶ βοῶντος βὲκ, ἤκουσε καὶ ἔγνω ὁ βασιλεὺς, ὅτι ἀρχαιότεροι ἦσαν οἱ Παφλαγόνες. παρ' αὐτοῖς δὲ ὁ ἄρτος βὲκ λέγεται. συνθέτως δὲ εἶπε τὴν λέξιν βεκκεσέληνε· ἐπεὶ καὶ οἱ Ἀρκάδες προσέληνοι ἐλέγοντο. Ἀπολλώνιος "Ἀρκάδες, οἳ καὶ πρόσθε σεληναίης ὑδέονται." τοῦτο δὲ τοὖπος οἱ περὶ τὸν Λούκιλλον τὸν Ταρραῖον καὶ Σοφόκλειον καὶ Θέωνα ἑρμηνεύοντες, τάδε φασίν· οἱ Ἀρκάδες δο-

οἷον σεληνόβλητε, ἀπόπληκτε. Ψαμμήτιχος Αἰγύπτου βασιλεύσας ἠθέλησεν ἐπιγνῶναι τίνες πάντων ἀνθρώπων πρεσβύτεροι καὶ πρῶτοι γένοιντο. ὡς δὲ πάντα πολυπραγμονῶν οὐχ οἷός τε ἦν ἀνευρεῖν τὸ ἀκριβὲς διὰ τὸ πολλοὺς περὶ τούτου φιλονεικεῖν μηχανᾶταί τι τοιοῦτον. λαβὼν ἀρτίτοκα δύο παιδία εἰς οἴκημα κατέκλεισεν ἀνακεχωρηκὸς παντάπασι. καὶ οἱ μὲν λέγουσιν ὡς αἶγας ὑπέπεμπεν αὐτοῖς, ἃς θηλάζοντα ἐτρέφετο τὰ παιδία, οἱ δὲ ὡς τροφοὺς παρέστησε τὰς γλώττας αὐτῶν ἐκτεμὼν, ὥστε τῆς φωνῆς αὐτῶν μὴ ἀκούειν τὰ παιδία. ταῦτα δὲ ὁ Ψαμμήτιχος ἐποίει βουλόμενος εἰδέναι τίνα ποτὲ τὰ παιδία πρώτην προήσουσι τὴν φωνὴν, ἀπαλλαγέντα τῶν ἀσήμων κνυζημάτων. ὡς οὖν τριετὴς αὐτοῖς διεγεγόνει χρόνος τῆς τοιαύτης, τροφῆς εἰσέπεμψεν εἰς τὸν οἶκον τινὰ τῶν φίλων ἐντειλάμενος σιωπῇ παρελθεῖν. τοῦ δὲ ἀνεώξαντος τὰς θύρας, ὀρέγοντα τὰς χεῖρας τὰ παιδία βέκκος ἐλάλουν. Φρύγας δέ φασι τὸν ἄρτον οὕτως καλεῖν, καὶ οὕτως μὲν Ψαμμήτιχον εὑρεῖν καὶ πιστεῦσαι πρώτους γεγονέναι Φρύγας. ἐνταῦθα δὲ ἡ λέξις σημαίνει τὸ ἀρχαῖε καὶ ἀνόητε. V.] *Ἄλλως. ἀντὶ τοῦ, ἀρχαῖε καὶ μωρέ. τοὺς γὰρ μωροὺς ἀρχαίους ἐκάλουν ἀπὸ τῆς ἱστορίας, τοὺς Ἀρκάδας κατὰ τοὺς πρὸ σελήνης χρόνους ἐν ταῖς κοῦσι πρὸ τῆς σελήνης γεγονέναι· ὡς καὶ Εὔδοξος ἐν τῇ Περιόδῳ. Θεόδωρος δὲ ἐν τῇ εἰκοστῇ δευτέρᾳ, ὀλίγῳ πρότερόν φησι τοῦ πρὸς Γίγαντας πολέμου Ἡρακλέους τὴν σελήνην φανῆναι. καὶ Ἀριστίας ὁ Χῖος ἐν ταῖς Θέσεσι, καὶ Διονύσιος ὁ Χαλκιδεὺς ἐν πρώτῳ Κτίσεως, καὶ ἔθνος φησὶν Ἀρκαδίας Σεληνίτας εἶναι· Μνασέας δέ φησι Προσέληνον Ἀρκάδων βασιλεῦσαι. Ἀριστοτέλης δὲ ἐν τῇ Τεγεατῶν πολιτείᾳ φησὶν, ὅτι βάρβαροι τὴν Ἀρκαδίαν ᾤκησαν, οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν νῦν Ἀρκάδων πρὸ τοῦ ἐπιτεῖλαι τὴν σελήνην. διὸ καὶ προσωνομάσθησαν προσέληνοι. Δοῦρις δὲ ἐν τῷ πεντεκαιδεκάτῳ τῶν Μακεδονικῶν Ἀρκάδα φησὶν, ἀφ' οὗ ἡ Ἀρκαδία καλεῖται, Ὀρχομενοῦ υἱόν. διὸ καὶ ποταμὸν τῆς Ἀρκαδίας Ὀρχομενόν. τινὲς δέ φασιν Ἐνδυμίωνα εὑρηκέναι τὰς περιόδους τῆς σελήνης, ὅθεν καὶ προσελήνους τοὺς Ἀρκάδας κληθῆναι. ἔνιοι δὲ ὑπὸ Τυφῶνος. ὑπὸ δὲ Ἄτλαντος καὶ Ξεναγόρας εἴρηκεν.* Horum prima de Sesonchosi (Psammetichum nominare debebat) Musurus ipse videtur composuisse, reliqua ex scholiis ad Apoll. Rh. 4, 264. transscripsit.

1. Scholion codicis Veneti de Psammeticho iisdem fere verbis legitur apud Suidam s. *βεκκεσέληνε*.

ib. *Ψαμμήτιχος* Suidas. *ψαμμίτιχος* V. hic et infra.

2. *ἠθέλησε γνῶναι* Suidas.

3. *πάντα*] *πάνυ* Suidas.

4. *τι* addidi ex Suida.

5. *ἀρτίτοκα* add. ex Suida.

6. *ἃς* Suidas. *αἷς* V.

9. *ὁ* add. ex Suida.

10. *τὴν* om. Suidas.

11. *τῆς* add. ex Suida.

12. *φίλων*] *φιλτάτων* Suidas.

14. *βέκκος* Suidas. *βόκος* V. *βέκκε* G. *βέκος* Herodotus 2, 2.

16–p. 457. l. 13. *Ἄλλως—ἀπόπληκτε* om. R.V.

ἐρήμοις διάγειν, ἢ ὑπὸ ταῖς ὕλαις ἐκ τῶν ἀποπιπτόντων καρπῶν διαζῆν. φιλονεικησάντων δέ ποτε Ἀρκάδων καὶ τῶν Φρυγῶν καὶ Περσῶν περὶ τῆς ἀρχαιότητος, καὶ εἰς κρίσιν ἐλθόντων, Ψαμμήτιχος ὁ βασιλεὺς Αἰγύπτου λαβὼν δύο ἀρτίτοκα παιδία, ἔν τινι ἀπέκλεισε τόπῳ, καὶ αἶγα ἐποίησε ταῦτα θηλάζειν. ἄλλοι δέ φασιν οὐκ αἶγας, ἀλλὰ τὰς ἑαυτῶν μητέρας, ἐκτετμημένας τὰς αὐτῶν γλώττας, ἵνα μὴ δύνωνται διδάσκεσθαι, ὁμιλουσῶν ἀλλήλαις, τὰ παιδία. ἔπειτα μετὰ τριετῆ χρόνον ἐκέλευσε σιωπῶντα ἄνδρα εἰσελθεῖν πρὸς αὐτά. εἰσελθόντος δὲ αὐτοῦ προσεπήδησαν τὰ παιδία, λέγοντα βέκ. ἔστι δέ τοῦτο Φρυγιστὶ ἄρτος. ἐκ τούτου Φρύγες ἐφάνησαν ἀρχαιότεροι. ἀπὸ ἱστορίας οὖν εἴρηται ἡ λέξις. ἔστι δὲ παρ᾽ Ἡροδότῳ, ἔνθα περὶ Ψαμμητίχου φησί. δέον δὲ εἰπεῖν προσέληνε, τὸ βὲκ παρέπλεξεν, ὅπερ ἐστὶ κατὰ Φρύγας ἄρτος. οἷον σεληνόβλητε καὶ ἀπόπληκτε.

399. *σφόδρα γ᾽ εἴσ᾽ ἐπίορκοι*: *Οὗτοι καὶ ὡς ἐπίορκοι καὶ ὡς εἰς ἀλλήλους κακοὶ κωμῳδοῦνται.*

400. [*Σούνιον. τόπος τῆς Ἀττικῆς, ἀκρωτήριον ὂν τῆς Ἀτταλίδος φυλῆς.* R.]

401. *τὰς δρῦς γε τὰς μεγάλας*: *Ἐπειδὴ τοῖς ὑψηλοῖς καὶ τοῖς δένδροις ἐμπίπτει ὁ κεραυνός. σημειωτέον δὲ, ὅτι Πελοποννήσιοι ἀρσενικῶς λέγουσι τοὺς δρῦς.*

402. *οὐκ οἶδ᾽, ἀτὰρ*: *Ἐστενοχωρήθη ὑπὸ τῶν τοῦ Σωκράτους λόγων.*

403. *ξηρὸς*: *Εὔδιος καὶ θερμὸς καὶ μὴ ἔχων ὑγρασίαν. φησὶ δὲ, ὅτι ἄνεμος ἐμπεσὼν ταῖς Νεφέλαις, καὶ ὑπό τινος ἀνάγκης ἐλαυνόμενος, σφοδρότερον πνεύσας καὶ διαρρήξας ἀπορρήγνυσιν ἐξ*

14. *οὗτοι καὶ* R.V. *οὗτοι οὓς εἶπεν* Ald.

ib. *ὡς εἰς* R.V. Aberat *ὡς*.

16. Versui 400. Ald. addit *καὶ Σούνιον ἄκρον Ἀθηναίων*: *χάρις ἐστὶν ἐκ στίχου τοῦ ἀλλοτρίου, ὡς ἔφη Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τῷ περὶ ἑρμηνείας. οὐκέτι γὰρ ὁ Ζεὺς κωμωδεῖσθαι δοκεῖ, ἀλλ᾽ Ὅμηρος καὶ ὁ στίχος* (excidit *ὁ*) *Ὁμηρικός*. Quæ Musurus ex Demetrio *περὶ ἑρμηνείας* sect. 150. transscripsit, memoriæ errore Dionysium Halicarnassensem nominans.

ib. *Ἀτταλίδος*] *ἀτλαντίδος* R. Antiquitus Leontidis fuit, postmodum Attalidis.

18, 19. *Ἐπειδὴ—κεραυνός* om. R.V.

19. *δὲ* om. R.

21. *τοῦ* add. R.

23. *μὴ ἔχων ὑγρασίαν* R.V. *μηδεμίαν θερμασίαν ἔχων* Ald.

23–p. 458. l. 1. *φησὶ δὲ—στενοχωρηθῇ* om. R.V. *μετεωρισθεὶς δὲ καὶ ἐπαρθεὶς ἢ ἐμπεσών* habet V.

αὐτῶν τὸν κεραυνόν. κατακλεισθῇ δὲ ἀντὶ τοῦ στενοχωρηθῇ, συσχεθῇ καὶ μεῖζον καὶ σφοδρότερον πνεύσῃ. ἐντεῦθεν δὲ δῆλον ὡς πυκνότατόν ἐστι τὸ τῶν νεφῶν σῶμα. εἰ γὰρ ἦν ἀραιόν, διεφορεῖτ' ἂν ὁ ἄνεμος κατ' ὀλίγον.

404. ὥσπερ κύστιν: Τὴν κοιλίαν φησί, τὴν φῦσαν. εἴρηται δὲ φῦσα ἀφ' οὗ πάσχειν πέφυκε. ῥήξας δέ, διασκεδάσας, διασκορπίσας. [ὑπ' ἀνάγκης, ὑπὸ βίας στενοχωρούμενος διαρήξας αὐτάς. R.]

[405. σοβαρὸς: Αὐθάδης, ὑπερήφανος. Gl. Victor.]

[406. ῥοίβδου: Ψόφου. ῥύμης: Ὁρμῆς. Gl. Victor. ὑπὸ τῆς ὁρμῆς. αὐτὸς ἑαυτὸν θερμαίνων καὶ ἐκπυρῶν. R.]

407. Διασίοισιν: Ἑορτὴ Ἀθήνησι Μειλιχίου Διός. ἄγεται δὲ μηνὸς ἀνθεστηριῶνος ἢ φθίνοντος. Ἀπολλώνιος δὲ ὁ Ἀχαρνεὺς τὰ Διάσια διακρίνει ἀπὸ τῆς τοῦ Μειλιχίου ἑορτῆς, προσαγορεύεσθαι αὐτὰ λέγων, καθάπερ τινές φασιν, ἀπὸ τοῦ διαφυγεῖν αὐτοὺς εὐχαῖς τὰς ἄσας. Ἄλλως. ἑορτὴ Διὸς Ἀθήνησι τὰ Διάσια, ἐν ᾗ πανδημεὶ ἔξω τείχους συνόντες ἑορτάζουσιν. ἔστι δὲ τὰ Διάσια τὰ αὐτὰ τοῖς Διιπολίοις. [ἀτέχνως: Ἀμελῶς, ἀμαθῶς. Gl. Victor. ἀπείρως, ἀμαθῶς. V. ἀπείρως. R.]

408. κᾳτ' οὐκ ἔσχων: Οὐκ ἔσχαζον. Ἀττικῶς ἔκλινεν. οὐκ ἐκίνουν, οὐκ ἔσχισα. ποιοῦσι δὲ τοῦτο, ἵνα μὴ διαρραγῇ. Ἄλλως. οὐκ ἔσχαζον. εἰώθασι δὲ κεντεῖν καὶ σχίζειν, δίοδον παρέχοντες τῷ πνεύματι τῶν ἐγκειμένων, ὥστε μὴ ἀθρόως ἐξελθεῖν βουλόμενον διαρ-

1–4. συσχεθῇ—κατ' ὀλίγον om. V.
2–4. ἐντεῦθεν—κατ' ὀλίγον om. R.
5. Τὴν κ.] κύστιν τὴν κ. V.
ib. φησὶ add. R.
ib. φύσαν et φύσα libri.
6. Post πέφυκε Musurus addidit κύστις δὲ κοιλίας διενήνοχε. τὸ μὲν γὰρ τῆς ὑγρᾶς περιττώσεως δεκτικὸν μόριον ὀνομάζεται κύστις· τὸ δὲ τῆς ξηρᾶς, κοιλία· ὡς Ἀριστοτέλης περὶ ζώων ἱστορίας α'.
6, 7. ῥήξας—διασκορπίσας om. R.V.
11–15. ἑορτὴ Ἀθήνησι—τὰς ἄσας R. Ἀθήνησιν ἑορτὴ Μειλιχίου Διὸς μηνὸς ἀνθεστηριῶνος φθίνοντος. Ἀπολλώνιος δὲ ὁ Ἀχαρνεὺς διακρίνει τὰ Διάσια ἀπὸ τῆς τοῦ Μειλιχίου Διὸς ἑορτῆς ὠνομάσθαι λέγων. ὡς δέ τινες, ἀπὸ τοῦ φυγεῖν αὐτοὺς ταῖς εὐχαῖς τὰς ἄτας Ald. Totum scholion om. V.
14. λέγων] λέγει R.
15. διὸς ἀθήνησι V. Ἀθήνησιν post Διάσια V.
16. συνόντες] θύοντες V.
16, 17. ἔστι δὲ—Διιπολίοις addidi ex V.
19–22. Οὐκ ἔσχαζον–πνεύματι] κατ' οὐκ ἔσχον ἀμελήσας. οὐκ ἐκίνουν—διαρραγῇ R. οὐκ ἔσχον ἀντὶ τοῦ οὐ διεῖλον. οὕτως ἔκλινεν ἀττικῶς. εἰώθασι—διαρρῆξαι V.
21. παρέχοντες V. χαριζόμενοι Ald.
22–p. 459. l. 1. τῶν ἐγκειμένων—διαρρῆξαι add. V.

ῥῆξαι. ἔστι δὲ ἀπὸ τοῦ σχάω, σχῶ. ἐξ οὗ τὸ σχάζω· ὡς ἀπὸ τοῦ χλοῶ, χλοάζω, καὶ χνοῶ, χνοάζω. [ξυγγενέσιν: Ἤγουν τοῖς συμπεφυκόσι κοπρίοις. Gl. Victor. ἔσχων, ἔσχασα. Gl. D.]

409. ἡ δ' ἄρ' ἐφυσᾶτο: Ἡ δὲ ὠγκοῦτο ἐπαιρομένων τῶν ὄντων εἰς αὐτὴν ἀρτύσεων. διαλακήσασα δὲ, διαρραγεῖσα. λακὶς γὰρ τὸ σχίσμα. [διαλακήσασα: Ἠχήσασα. Gl. LB.]

410. προσετίλησε: Προσερράντισεν. οἰκείως δὲ νῦν τῷ προσετίλησε χρῆται ὡς ἐπὶ κοιλίας.

[413. ταλαίπωρον: Τὸ τλητικὸν, ἐπίπονον. Gl. R. Victor.]

415. [τὸ μὴ ἀντὶ τοῦ οὐ. V.] μήτε ῥιγῶν: Ἐν γὰρ μόνῳ τῷ τρίβωνι ἐχείμαζον οἱ φιλόσοφοι, μηδὲν ἐσθίοντες. [ἀριστᾶν: Εὐωχεῖσθαι, τρυφᾶν. Gl. Victor.]

416. Τῶν ἀφροδισίων λέγει καὶ τῆς τοιαύτης λαγνείας. τὰ γὰρ ἀνόητα ἀντὶ τοῦ μωρά. μωραίνειν δὲ τὸ ἀφροδισιάζειν. ταῦτα δὲ οὐκ ἐποίει Σωκράτης, ἀλλὰ πίνειν μὲν οἶνόν φασιν αὐτὸν πλεῖστον, νήφειν δὲ καὶ τὰ συνήθη πράττειν.

[ἀνοήτων: Ἀφροδισίων, καὶ πάντων τῶν ἐκ μωρίας γινομένων. Gl. E.]

[417. δεξιόν: Εὐφυῆ. Gl. Victor.]

418. [οὐκ αὐτῇ τῇ γλώττῃ πολεμῶν, ἀλλὰ γλώττῃ καθάπερ ὅπλῳ χρώμενος, τοῦτο γὰρ ὅπλον ῥήτορος, καὶ καταπολεμῶν ἐν αὐτῇ τοὺς ἐναντίους. φησὶν οὖν, εἰ δυνήσῃ πάντων ἀπέχεσθαι ὧν εἰρήκαμεν, δυνήσῃ ἀγωνίσασθαι πρὸς τοὺς ἀντιταττομένους. R.V.] τῇ

1, 2. ἔστι δὲ—χνοάζω om. R.V.

4. Ἡ δὲ add. R.V.

ib. ὄντων εἰς αὐτὴν addidi ex R. νοητῶν αὐτῆς V.

7, 8. Προσερράντισεν — κοιλίας] προσεράντισεν. ὡς ἐπὶ κοιλίας ἐχρήσατο τῇ λέξει R.

9. ἐπίπονον, τλητικὸν Victor.

10, 11. Ἐν γὰρ—ἐσθίοντες] οἱ γὰρ φιλόσοφοι ἐν τῷ τρίβωνι διεχείμαζον μόνῳ μηδὲν ἐσθίοντες V. om. R.

11. ἐσθίοντες] αἰσθάνοντες Victor.

13–16. τῶν—πράττειν V. οἴνου τ' ἀπέχει: τὸ αὐτὸ οὐκ εἶπε Σωκράτης—μὲν αὐτόν φησι πλεῖστον—πράττειν. ἀνοήτων: τῶν ἀφροδισίων, τῆς τοιαύτης λαγνείας. τὸ γὰρ ἀνοηταίνειν μωραίνειν διὰ τὸ ἀφροδισιάζειν ἔλεγον Ald. Nihil præter ἀνοήτων, τῶν ἀφροδισίων habet R.

13. τοιαύτης om. G.

14. τοῦ μωρὰ G. τοῦ τὰ μωρὰ V.

15. οἶνον—πλεῖστον] Vide Platon. Sympos. p. 220 A.

20. αὐτῇ τῇ] τῇ om. V.

21. ὅπλῳ] τῷ ὅπλῳ V.

ib. καὶ καταπ.] καὶ om. V.

23. πρὸς τοὺς] τοὺς om. V.

ib. ἀντιταττομένους V. ἀντιπραττομένους R.

γλώττῃ πολεμίζων: Τῇ γλώττῃ πολεμοῦσι τοὺς ἐναντίους οἱ ῥήτορες. ἐκ τούτων δὲ δείκνυσι τῶν τριῶν ὡς οὗτος ἄριστος ἐν ἀνθρώποις, ὃς ἔν τε πράξει καὶ βουλῇ καὶ λόγῳ τοὺς ἄλλους νικᾷ. τὸ δὲ δυσκολοκοίτου, δυσκόλως κεῖσθαι ἐώσης. τρυσιβίου δὲ, κεκολασμένης καὶ καταπονούσης τὸν βίον. [*γλώττῃ πολεμίζων*: Διαλεγόμενος. Gl. Victor.]

420. *θυμβρεπιδείπνου*: Τὰς θύμβρας δυναμένης δειπνεῖν· ἔστι δὲ βοτάνης εἶδος, ἀφ᾽ οὗ δηλοῖ ὅτι λάχανα μόνα τρωγούσης εὐτελῆ. [ἐκ δὲ τοῦ λαχάνου τούτου καλοῦμεν τὸν εὐτελῶς καὶ φειδωλῶς ζῶντα, θυμβρεπίδειπνον. Junt. εὐτελοῦς περὶ τὰς τροφάς. Gl. Br. *θρυμβεπιδείπνου*: Θρύμβον δειπνούσης. Gl. LB. *τρυσιβίου*: Τρύσις, νόσος, πόνος. Gl. Victor.]

421. *ἐπιχαλκεύειν*: Ἀντὶ τοῦ παιδεύεσθαι, οἱονεὶ ἄκμων.

423. *τὸ Χάος τουτὶ*: Χάος λέγει τὸν ἀέρα· παρὰ τὸ κεχύσθαι. ἐτίμων δὲ καὶ τὴν γλῶτταν καὶ ἤσκουν τὴν πολυλογίαν. [*γλῶτταν*, τὴν στωμυλίαν. Gl. E.]

424. *οὐδ᾽ ἂν διαλεχθείην*: Ἀντὶ τοῦ, οὐδ᾽ ἂν προσείποιμι ἄλλον θεὸν οὐδὲ συντυχών. [*ἀτεχνῶς*: Δι᾽ ὅλου. R. παντελῶς διόλου. V.]

426. *οὐκ ἀτυχήσεις*: Ἀντὶ τοῦ οὐκ ἀποτεύξῃ ὧν θέλεις. [δυστυχῶν. R.] δεξιὸς δὲ ἀντὶ τοῦ πεπαιδευμένος.

[427. *δεξιὸς*: Πεπαιδευμένος. Gl. Victor.]

[429. λείπει ποιήσατε. R.]

[430. ἀπὸ τούτου τοῦ χρόνου. R.]

431. *γνώμας* ἔλεγον τὰς δημηγορίας.

1–3. Τῇ γλώττῃ πολεμοῦσι—νικᾷ om. R.V.

3–5. τὸ δὲ—βίον] δυσκόλως κοιμωμένης, καταπονούσης τὸν βίον R. Postrema tantum κ. τ. β. habet V, pergitque θυμβρεπιδείπνου δὲ τὰς—

7, 8. τὰς θύμβρας—εὐτελῆ R.V. θύμβρα, εἶδος λαχάνου. ἀφ᾽ οὗ δῆλον ὅτι λάχανα μόνον ἤσθιον εὐτελῆ Ald. Veram scripturam habuit Suidas s. θυμβρεπιδείπνου.

8. βοτάνης εἶδος R. εἶδος βοτάνης V.

13. χαλκεύειν ἀντὶ τοῦ παιδεύεσθαι R, omisso οἱονεὶ ἄκμων. Solum παιδεύεσθαι habet V, om. G. παίεσθαι Hermannus.

ib. Ἀντὶ τοῦ addidi ex R.

14. Scholion v. 423. 424. om. V.

17. Ἀντὶ τοῦ om. R.

17, 18. ἄλλον—συντυχών add. R.

19. ἀντὶ—θέλεις R. οὐκ ἀποτεύξῃ. ἀντὶ τοῦ τεύξῃ ὧν ἐθέλεις Ald. om. V.

20. δεξιὸς δὲ ἀντὶ τοῦ om. R.V.

ib. πεπαιδευμένος om. G.

24. γνώμας ἔ. (καὶ addit V.) τ. δ. R.V. γνώμας μεγάλας: δημηγορίας Ald.

433. [ὅσ᾽ ἐμαυτῷ: Χάριν ἐμαυτοῦ. Gl. Br.]

στρεψοδικῆσαι: [Ἀντὶ τοῦ ἐκφυγεῖν. καὶ νῦν δὲ χρήστας τοὺς δανειστάς. R.] ἀντὶ τοῦ στρέψαι τὰς δίκας. πρὸς ταύτην δὲ τὴν λέξιν καὶ τὸ ὄνομα τῷ γέροντι πεποίηται Στρεψιάδης. τὸ δὲ τοὺς χρήστας διολισθεῖν, τοὺς δανειστὰς ἐκφυγεῖν. [διὰ στροφῆς καὶ ποικιλίας λόγων τὸ δίκαιον διαφθεῖραι. Gl. E. διὰ στροφῶν καὶ ποικιλίων λόγων τὸ δίκαιον διαφθεῖραι. διολισθεῖν: Ἐκφυγεῖν. Gl. Victor.]

435. προπόλοισι δὲ, πρόσφυξι καὶ θεράπουσι. λέγει δὲ τοῖς φιλοσόφοις. πιέζει δὲ, στενοχωρεῖ, ἀναγκάζει. [προπόλοισιν: Ὑπηρέταις, νεωκόροις. Gl. Victor.]

437. τοὺς κοππατίας: Μετὰ τοῦ χαράγματος καὶ τοὺς ἐκκεκοφότας αὐτοῦ τὴν οὐσίαν δηλοῖ.

ὅς μ᾽ ἐπέτριψεν: Ὅς αἴτιός μοι γέγονε πάντων τῶν συμβάντων κακῶν· ἢ δι᾽ ὃν ἐδυστύχησα. [ἐπέτριψεν: Ἠφάνησεν. Gl. Victor.]

438. νῦν οὖν χρήσθων: Ἡ ἔκθεσις τῆς διπλῆς κώλων ἐστὶν ὁμοίων ἀναπαιστικῶν ιη΄. ὧν τὸ πρῶτον τρίμετρον βραχυκατάληκτον· τὰ δὲ ἑξῆς δίμετρα ἀκατάληκτα, πλὴν τοῦ δωδεκάτου καὶ ἑπτακαιδεκάτου, ἀναπαιστικῶν βάσεων παρατελεύτων καλουμένων, καὶ τοῦ τελευταίου ἐφθημιμεροῦς ὄντος, καὶ παροιμιακοῦ, ὡς εἴρηται, καλουμένου. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι.

χρήσθων: Νῦν οὖν χρήσθωσαν. τὴν μὲν προφορὰν ὡς δυϊκὸν ἔχει τοῦ σχηματισμοῦ, πληθυντικῶς δὲ λέλεκται χρήσθωσαν. Ἀττικῶν

3. ἀντὶ τοῦ στρέψαι R.V. Aberat ἀντὶ τοῦ.

4. καὶ τὸ ὄνομα] καὶ τὸ νόημα V. τῷ νόημα G.

ib. τῷ γ. π. R. π. τῷ γ. Ald.

ib. πεποίηται om. V.

4, 5. τὸ δὲ—δανειστὰς] διολισθεῖν δὲ τὸ V.

9. προπόλοισι δὲ om. R. Totum scholion om. V, sed habet gl. πρόσφυξι, quod om. G.

10. πιέζει—ἀναγκάζει om. R.V.

12. Scholia v. 437. om. V.

14. γέγονε add. R.

15. ἢ δι᾽ ὃν] δι᾽ ὧν R.

16–21. Scholion metricum om. R.V.

17. τρίμετρον dicit νῦν οὖν χρήσθων ἀτεχνῶς ὅ τι βούλονται. De qua scriptura diximus in annotatione ad h. v.

22 – p. 462. l. 4. νῦν—φιλοσόφοις R.V. κατὰ δυϊκὴν προφοράν. ὡς δυϊκὸν ἔχον τὸν σχηματισμόν. πληθυντικῶς δὲ νῦν λέλεκται, χρήσθωσαν. Ἀττικὴ δὲ ἡ τοιαύτη σύνταξις· οἷον ποιούντων ἐκεῖνοι, ἀντὶ τοῦ ποιείτωσαν, φρονούντων ἀντὶ τοῦ φρονείτωσαν. ὡς καὶ ἐνταῦθα νῦν φησι, τὴν ἐξουσίαν αὐτοῖς παραδίδωμι τοῦ ἐμαυτοῦ σώματος Ald.

δὲ ἡ τοιαύτη σύνταξις, ποιούντων ἐκεῖνοι, φρονούντων ἐκεῖνοι ἀντὶ τοῦ ποιείτωσαν καὶ φρονείτωσαν, ὡς καὶ ἐνταῦθα. νῦν γὰρ, φησὶ, τὴν ἐξουσίαν αὐτοῖς ἐπιδίδωμι τοῦ ἐμαυτοῦ σώματος, τοῖς προπόλοις δηλονότι, ἤγουν τοῖς φιλοσόφοις.

440. κακοῦν, ξηραίνεσθαι καὶ τὸ δέρμα μου εἰς ἀσκὸν ἐκδερματίζειν. ὑπὲρ δὲ τοῦ πιστευθῆναι αὐτὸν ἐμμένειν τοῖς ὑποκειμένοις, προσέθηκε πλέον ἢ ἐκεῖνοι προσέταξαν, καὶ λέγει καταφρονεῖν ἐκδερομένου τοῦ δέρματος. ὁ γὰρ τὰ μείζω ἐπαγγελλόμενος ὑπομένειν, εὐχερῶς ἂν τὰ ἥττονα ὑπενέγκοι.

441. ἀσκὸν δέρειν: Ἀντὶ τοῦ τὸ σῶμα ἐκδέρειν, εἰ δέοι καταφρονήσειν ἐκδερομένου τοῦ σώματος. [αὐχμεῖν: Ξηραίνεσθαι, ἀλουτιᾷν. Gl. Victor.]

444. ἴτης: Ἀντὶ τοῦ ἰταμὸς, σκληρὸς, τολμηρὸς, καὶ δι' αὐτῶν χωρῶν τῶν πράγματων. [ὁρμητικός. Gl. Br.]

445. βδελυρὸς: Καὶ τὸν πόρνον οὕτως ἐκάλουν, ὡς ἐν τῷ κατὰ Τιμάρχου Αἰσχίνης, καὶ τὸν μίσους ἄξιον. καὶ τὸ μισῆσαι βδελύξασθαι. καὶ τὸν ἀνελεύθερον. τὸ δὲ ψευδῶν συγκολλητὴς ἀντὶ τοῦ ψευδοπλάστης. [ψευδολόγος. R.V. (non G.) μιαρός. Gl. Br. θρασὺς, ἰσχυρός. Gl. Victor. ξυγκολλητὴς: Συρραφεύς. Gl. Victor.]

[446. εὑρησιεπὴς: Ἐφευρετὴς λόγων. Gl. A. περίτριμμα δικῶν: Τετριμμένος περὶ τὰς δίκας. Gl. Br.]

1. ἡ σύνταξις αὕτη G.

2. γὰρ] μὲν γὰρ G.

3, 4. τοῖς — φιλοσόφοις om. Ald. Tum προσπόλοις R.

3. δηλονότι om. V.

4. ἤγουν τοῖς φιλοσόφοις om. R.

5. κακοῦν, ξηραίνεσθαι καὶ addidi ex V. ξηραίνεσθαι gl. habet R.

ib. τὸ δέρμα — ἐκδερματίζειν addidi ex R.V. et Suida s. ἀσκόν.

6. δὲ τοῦ πιστευθῆναι αὐτὸν ἐμμ. R.V. et Suidas. τοῦ πιστεύεσθαι ἐμμ. αὐτὸν Ald.

7, 8. ἢ ἐκεῖνοι—τοῦ δέρματος om. R.

7. ἐκεῖνοι] ἐκεῖνο V. ἐκείνω G.

7, 8. καὶ λέγει—δέρματος addidi ex V. et Suida.

8, 9. ὁ γὰρ—ὑπενέγκοι (ἐπενέγκοι R.) R.V. et Suidas. ὁ γὰρ τὸ μεῖζον ἐπαγγελλόμενος ὑπομένειν πῶς οὐκ ἂν τὸ ἧττον ἐνέγκοι ῥᾳδίως Ald.

10, 11. Ἀντὶ—σώματος om. R.V.

13. Ἀντὶ τοῦ add. R.

ib. σκληρὸς, τολμηρὸς R.V. ἀναιδὴς Ald.

15. ἐκάλουν] βδελλυρὸν addit V, βδελυρὸν G.

ib. ὡς καὶ αἰσχίνης ἐν τῷ κατὰ τιμάρχου V.

16. μισῆσαι βδελλύξασθαι (sic) R.V.

17. καὶ R.V. ἢ Ald.

17, 18. τὸ δὲ—ψευδοπλάστης om. R.V.

[447. *κύρβις*: Ὁ περίεργος, ὃν οὐκ ἔστι λαθεῖν· ἕνεκεν γὰρ μνήμης ἀνέγραφον εἰς τὰς κύρβιας. κύρβις δὲ σανὶς ἔνθα οἱ νόμοι γεγραμμένοι ἦσαν. ἢ οὕτως. ἡδέως ἂν ὁτιοῦν ὑπομείναιμι, ἵνα δόξω τοῖς πολλοῖς λόγων ἔμπειρος εἶναι καὶ νόμους εἰδέναι. R.V. *κύρβις*: Νόμων πλήρης. Gl. Br.]

τὸ δὲ κρόταλον ἀντὶ τοῦ εὔγλωττος καὶ εὔστομος ὡς τὰ κρόταλα. [πολυλόγος. Gl. Br.]

[κίναδος, ἀπατητικός. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῆς ἀλώπεκος. κοινῶς δὲ θηρίον τὸ κίναδος, οὐχ ὥς τινές φασιν πᾶν ἑρπετόν. R.] τὸ δὲ κίναδος εἶδός τι θηρίου, ὡς καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου "τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστιν." οἱ δὲ πᾶν μὲν θηρίον κίναδος ἀξιοῦσι καλεῖσθαι, ἰδίως δὲ τὴν ἀλώπεκα. κακοῦργος οὖν, φησίν, ὡς ἀλώπηξ. τινὲς δέ, κίναδος, ζῶον μικρόν, τὸ αἰδοῖον εἰσωθοῦν καὶ ἐξωθοῦν. [πανοῦργος. Gl. Br.]

1. *κύρβις*] Scholia ad h. v. sic interpolata sunt in Ald. *κύρβις*: Ἡ σανίς, ἔνθα ἦσαν οἱ νόμοι γεγραμμένοι. λέγει οὖν, εἰ τά τε ἄλλα δόξαιμι τοῖς πολλοῖς, καὶ ἔμπειρος εἶναι τῶν νόμων καὶ τῶν λόγων, ἡδέως ἂν ὑπομείναιμι πᾶν ὁτιοῦν παθεῖν. Ἄλλως. κύρβις, ὁ περίεργος, ὃν οὐκ ἔστι λαθεῖν. ἢ μνήμων. καὶ γὰρ αἱ κύρβεις πρὸς μνήμην εἰργάζοντο. Ἀπολλόδωρος δέ φησι, πᾶσαν δημοσίαν γραφὴν καὶ νόμους κύρβιν καλεῖσθαι· ὅτι οἱ ἀρχαῖοι λίθους ἱστάντες, τὸ δόξαν ἀναγράφοντες, οὓς μὲν ἀπὸ τῆς στάσεως στήλας· κύρβις δὲ ἀπὸ τῆς εἰς ὕψος ἀναβάσεως. ὕστερον δὲ τὰ ξύλα λελευκωμένα γράφοντες, ὁμοίως ἐκάλεσαν. κύρβις οὖν ἡ περιέχουσα τὰς ἱερὰς γραφὰς στήλη· ἢ ὡς Ἐρατοσθένης φησίν, ἄξων Ἀθήνησιν οὕτω καλούμενος, ἐν ᾧ οἱ νόμοι περιέχονται. Πλούταρχος δὲ ἐν τῷ Σόλωνος βίῳ περὶ αὐτοῦ λέγων, "ἰσχὺν δέ," φησι, "τοῖς νόμοις πᾶσιν "εἰς ἑκατὸν ἔδωκεν ἐνιαυτούς, καὶ κα"τεγράφησαν εἰς ξυλίνους ἄξονας ἐν "πλαισίοις περιέχουσι στρεφομένους, ὧν "ἔτι καθ' ἡμᾶς ἐν πρυτανείῳ λείψανά "τινα διεσώζετο." καὶ προσηγορεύθησαν, ὥς Ἀριστοτέλης φησί, κύρβεις. καὶ Κρατῖνος ὁ κωμικὸς εἴρηκέ που "πρὸς τοῦ "Σόλωνος καὶ Δράκοντος, οἷσι νῦν φρύ"γουσιν ἤδη τὰς κάγχρυς τοῖς κύρβεσιν." ἔνιοι δέ φασιν ἰδίως, ἐν οἷς ἱερὰ καὶ θυσίαι περιέχονται, κύρβεις, ἄξονας δὲ, τοὺς ἄλλους ὠνομάσθαι. Quorum illa Ἀπολλόδωρος—περιέχονται ex scholiasta Apollonii Rh. 4, 280., sequentia ex Plutarchi vita Solonis c. 25. vix ullo verbo mutato sumpsit Musurus.

ib. ὁ περίεργος Suidas s. *κύρβις*. ὁ om. R.V.

1, 2. ἕνεκεν—εἰς τὰς κύρβιας om. R.

2. κύρβις δὲ] κύρβιας δὲ V.

3. ὅτι οὖν post ὑπομείναιμι collocat V.

6. τὸ δὲ κρόταλον—κρόταλα V. κρόταλον δὲ εὔστομος καὶ εὔγλωττος, ὡς τὰ κρόταλα λάλος Ald. Totum scholion om. R.

9–14. τὸ δὲ κίναδος—ἐξωθοῦν om. R.

9. τὸ δὲ κίναδος V. Aberat τὸ δὲ.

10. ὡς καὶ V. et Suidas s. *κίναδος*. καὶ Ald.

ib. Δημοσθένης] P. 307, 23.

12. Post ἀλώπεκα addit Ald. καὶ Σοφοκλῆς (Aj. 103.), ἢ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου, quæ om. V. et Suidas.

13, 14. τινὲς δὲ—ἐξωθοῦν om. V.

14. εἰσωθῶν καὶ ἐξωθῶν Ald. Correxit Portus.

τρύμη: Ὁ τετρημένος σφόδρα καὶ πεπερονημένος ἐν τοῖς πράγμασιν, ὃν ἡμεῖς τρύπανόν φαμεν. τρῦμα δὲ καὶ τρῆμα τὴν ὀπήν φαμεν. θέλει δὲ εἰπεῖν εὔτονος ὡς τρύπανον. τρύμη οὖν τρύπανον, ὡς πάντων περιγενόμενος. ἢ τριὸς καὶ ταλαίπωρος. ἢ τρυμαλιά. [λεπτολόγος. Gl. Br.]

448. *μάσθλης* ἰδίως ὁ μεμαλαγμένος λῶρος καὶ ἔκλυτος. μάσθλης οὖν ἐνταῦθα ὁ πολυγνώμων καὶ μηδὲν βέβαιον μηδὲ σταθερὸν γινώσκων. ἢ ὁ ἱμαντώδης καὶ μαστιγίας, ἀπὸ μεταφορᾶς τοῦ μεμαλαγμένου ἱμάντος, ἢ οὕτως εὔτονος ὡς ἱμάς. λέγει οὖν τὸν ὀλισθηρὸν καὶ διαβατικόν. [μεμαλαγμένος. Gl. Br.]

εἴρων: Ὁ πάντα παίζων καὶ διαχλευάζων, εἰρωνευόμενος, ἀπατεών, ὑποκριτής.

γλοιός: Τὸ αὐτὸ δηλοῖ τῷ μάσθλης. εἴληπται δὲ ἡ μεταφορὰ ἀπὸ τοῦ ἐν τοῖς βαλανείοις ἐλαίου πεπηγότος, ὅπερ τοὺς ἐπιλαμβανομένους διολισθάνειν πέφυκε. τοιοῦτος οὖν καὶ ὁ πρεσβύτης εὔχεται γενέσθαι τοὺς τρόπους, ἵνα ὥσπερ διολισθάνειν καὶ φεύγειν δύνηται

1. ὁ τετρημένος (τετριμμένος V.) σφόδρα καὶ πεπερονημένος R.V. et Suidas s. τρύμη (cui τετρημένος pro τετρυμμένος ex codd. restituendum). ὁ περιτετριμμένος Ald.

2. τρύπανον] τρυπᾶν Suidas.

ib. φαμέν R.V. et Suidas. καλοῦμεν Ald.

ib. τρῦμα — φαμέν om. V. et Suidas.

ib. τρῦμα] τρύμην R.

ib. δὲ add. R.

ib. τρῆμα] τρίμμα R.

ib. φαμεν R. φασι Ald.

3. δὲ R.V. et Suidas. οὖν Ald.

ib. εὔτονος V. εὐτόνων R. εὐτόνως Suidas. λεπτολόγος καὶ εὔστομος Ald.

3, 4. τρύμη—τρυμαλιά om. R.V. et Suidas.

4. περιγενόμενος Hermannus. περιγενόμενον Ald.

ib. τριὸς] τρυσσὸς Hermannus, collata Hesychii glossa, τρυσσός: νοσερὸς, ἀσθενὴς, λεπτός. Quod τρυσός potius scribendum. Sed scholiasta fortasse τρυσίβιος scripserat, Aristophanis utens vocabulo v. 420.

6–9. μάσθλης ἰδίως—ὡς ἱμάς V. et Suidas s. μάσθλης. Verba ἰδίως—πολυγνώμων habet R. μάσθλης: ἰδίως καλεῖται ὁ ἱταμὸς, ὁ κατειργασμένος καὶ ἔκλυτος. μάσθλης οὖν, ὁ πολυγνώμων, καὶ μηδὲν βέβαιον, μηδὲ σταθερὸν γινώσκων, ἀλλ' ἄλλο μὲν νοῶν, ἄλλο δὲ ποιῶν, οἱονεὶ τοὺς τρόπους ἔκλυτος. μάσθλης οὖν, ὁ μεμαλαγμένος λῶρος Ald.

6. ἰδίως] κυρίως G.

11. εἴρων ὁ πάντα R. εἴρων, πάντα Ald. τὸ δὲ εἴρων ὁ πάντα V.

11, 12. παίζων—ὑποκριτής R.V. παίζων, ὑποκριτὴς, εἰρωνευόμενος Ald.

11. εἰρων.] καὶ εἰρων. V.

ib. ἀπατῶν καὶ ὑποκριτής R.

13. γλοιὸς] τὸ δὲ γλοιὸς V.

13 – p. 465. l. 8. Τὸ αὐτὸ—εὐμετάβολον om. R.

13. τῷ] τὸ V.

15. διολισθάνειν hic et infra præbuit Suidæ codex Paris. A. s. γλοιός. Scribebatur διολισθαίνειν.

ib. καὶ add. V. et Suidas.

ib. ὁ πρεσβύτης] οὗτος Suidas.

16. ἵνα ὥσπερ V. ἵν' ὥσπερ Suidas. Aberat ὥσπερ.

τοὺς δανειστάς. καὶ μέχρι δεῦρο τοὺς τῇ γνώμῃ σκάζοντας καὶ μηδὲν σταθερὸν φρονοῦντας, καὶ ἄλλο μὲν ἐπαγγελλομένους, ἄλλο δὲ φρονοῦντας καὶ πράσσοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιστον γλοιοὺς καλοῦμεν. ἢ γλοιὸς λέγεται ὁ ῥύπος τοῦ ἐλαίου. λέγει οὖν τὸν ῥυπαρὸν τοὺς τρόπους. Ἄλλως. γλοιὸς ἐπὶ τοῦ ῥυπαροῦ καὶ μιαροῦ καὶ μικρολόγου παραλαμβάνεται. καὶ γὰρ ὁ ῥυπαρὸς διὰ τὴν ἄσκησιν σύνεγγύς πώς ἐστι τῷ γλοιῷ. ἐπὶ δὲ τὸ ἦθος μετενεχθὲν τὸν μοχθηρὸν δηλοῖ καὶ ὀλισθηρὸν καὶ εὐμετάβολον. [γλοιὸς, μιαρὸς καὶ ῥυπαρὸς καὶ μικρολόγος. R. γλίσχρος. Gl. Br.]

449. κέντρων: Τουτέστι χαλεπὸς καὶ φρικτὸς, καθὸ καὶ τοὺς ἡνιόχους κεντροτύπους καλοῦμεν, τοὺς τοῖς κέντροις τοὺς ἵππους τύπτοντας. κέντρων λέγεται καὶ ὁ κλέπτης διὰ τὸ βασανιζομένοις τοῖς κλέπταις καὶ κέντρα προσφέρεσθαι. κέντρων δέ ἐστι τὸ ἐπισασσόμενον τοῖς ὄνοις ἐκ πολλῶν καὶ διαφόρων συρραφὲν σακκίων. καὶ ἐπίσαγμα τῶν ὄνων. Ἄλλως. οἱ ἐκ πολλῶν συνηθροισμένοι ἐπὶ τοιαῦτά τινα τοῖς ὑποζυγίοις ῥιπτούμενα καλοῦνται κέντρωνες. οἱ δὲ τὸν λοίδορον ἀκούουσιν· οἱονεὶ κεντροτύπος, ὁ κεκεντρωμένος καὶ φρικτός. [πλήττων. Gl. Br.]

στρόφις: Ἀπὸ τοῦ στροφέως ἡ μεταφορά. οἷον εὔστροφος καὶ εὐκίνητος ἐν τοῖς πράγμασι. [στρέφων τὰ πράγματα. ἀργαλέος: Λυπηρός. Gl. Br. ἀκαταγώνιστος. R.]

1. μέχρι δεῦρο V. et Suidas. μέχρι δὲ τῆς δεῦρο Ald.

2. καὶ ἄλλο V. καὶ ἄλλα Suidas. ἀλλὰ ἄλλα Ald.

ib. ἄλλο δὲ V. ἄλλα δὲ Ald. et Suidas.

3. φρονοῦντας καὶ add. V. et Suidas.

4. γλοιοὺς] τούτους γλοιοὺς G.

4–8. ἢ γλοιὸς—εὐμετάβολον om. V.

4, 5. ἢ γλοιὸς—τρόπους om. Suidas.

6. μιαροῦ Suidas. μικροῦ Ald. Ceterum μιαροῦ καὶ ῥυπαροῦ Suidas.

7. πώς ἐστι addidi ex Suida.

8. τὸν] τὸ Suidæ codex Paris.

10. τουτέστι R.V. φανερὸς κλέπτης. ὅτι βασανιζομένοις αὐτοῖς κέντρα προσφέρουσιν. ἢ κέντρων τουτέστι Ald.

11. τοὺς ἵππους add. R.V. et Suidas.

12, 13. κέντρων λέγεται—προσφέρεσθαι addidi ex V. Legit etiam Suidas.

13–18. κέντρων δέ ἐστι—καὶ φρικτός om. R.V. Apud Suidam hæc sic scribuntur, ἢ κέντρων ὁ ἐκ πολλῶν συνερραμμένος. ἐπεὶ τοιαῦτα τοῖς ὑποζυγίοις συρράπτοντες καλοῦσι κέντρωνας. ὡσαύτως καὶ λόγους ἐκ διαφόρων συνειλεγμένους καὶ ἕνα σκοπὸν ἀπαρτίζοντας, οἷά εἰσι τὰ Ὁμηρόκεντρα. οἱ δὲ τὸν λοίδορον ἀκούουσιν, οἷον κεντροτύπον.

15. ἐκ πολλῶν] ἐκ τῶν ἄλλων Ald. Correctum ex Suida.

19. στροφέως V. et Suidas s. στρόφις. στρέφω R. στρόφιγγος Ald.

ib. οἷον om. V.

20. πράγμασι] λέγεται δὲ στρόφιγξ τὸ τοῖς σωλῆσιν ἐμβαλλόμενον ὥστε τὴν τοῦ ὕδατος ἐπέχειν, ὅτε τις θελήσει, καὶ αὖ πάλιν ἀνιέναι φοράν addit Ald. quæ om. R.V. et Suidas.

450. *ματιολοιχός*: Οἱ μὲν τὸν λίχνον, οἱ δὲ τὸν μικρολόγον, ἐπεὶ μάτιον τὸ ἐλάχιστον εἰώθασι λέγειν. οἱ δὲ τὸν μάταια βουλευόμενον καὶ λοχῶντα. οἱ δὲ τὸν κρουσιμέτρην. μάτιον γὰρ εἶδος μέτρου. ὀξύνει δὲ Ἡρωδιανός. [σμικρολόγος, φειδωλὸς, καὶ οὐ προϊέμενός τι τῶν αὑτοῦ. Gl. Br. *ματτιολοιχός*: Ἐκ μεταφορᾶς τῶν μασσώντων. Gl. LB.]

[452. *δρώντων ἀτεχνῶς*: Ἀκριβῶς. οἱ φιλόσοφοι. R.]

[454. *ἀπ' ἐμοῦ χορδὴν τῆς φιλοσόφοις παραθέτωσαν.* χορδὴ δὲ τὸ λεπτὸν ἔντερον. ὑπερβολὴ δὲ τὸ τοιοῦτον. R.V.]

[455. *φροντισταῖς*: Φιλοσόφοις. V. (non G.) *εἰς ἑστίασιν*. Gl. Victor.]

456. *λῆμα μὲν πάρεστι*: Ἐπέκθεσις τῆς διπλῆς ἀμοιβαία, ἐκ κώλων κ', ὧν τὸ πρῶτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δεύτερον τροχαϊκὸν τρίμετρον καταληκτικόν. τὸ τρίτον δακτυλικὸν πενθημιμερές. τὸ τέταρτον ἀναπαιστικὸν πενθημιμερές. τὸ πέμπτον τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται Φερεκράτειον ἀτε-

1. ματιολοιχὸς δὲ V. ματαιολοιχὸς δὲ G.

1–4. οἱ μὲν—Ἡρωδιανός V. οἱ μὲν—λοχῶντα habet R. ἤτοι ὁ κρυσιμέτρης. μάτιον γὰρ, εἶδος μέτρου. ἢ ὁ φειδωλὸς καὶ σμικρολόγος, ἢ ὁ μυκτηριστής. ὀξύνει δὲ Ἡρωδιανός. ἢ μάταιον, τὸ ἐλάχιστον. ἤτοι τὸν μάταια βουλευόμενον καὶ λοχῶντα Ald. Cum V. fere consentit Suidas s. h. v.

1. μικρολόγον] μικροφάγον R.

2. μάτιον G. μάταιον R.V.

7, 8. χορδὴ—ἔντερον om. G.

8. ὑπερβολὴ—τοιοῦτον om. R.

13–p. 467. l. 10. Scholion metricum om. R. Habet V, sic scriptum, ἡ περίοδος ἐννεάκωλος, ὧν τὸ πρῶτον χοριαμβικὸν ποιεῖ συζυγίαν, τὸ β ἀνάπαιστον προσῳδιακὸν (scr. προσοδιακὸν) δωδεκάσημον. τὸ γ ἰαμβικὸν πενθημιμερές. συνῆπται δὲ καὶ τὸ ἑξῆς ἀναπαιστικὸν ἑφθημιμερές. καὶ γὰρ τὸ β (scrib. δ) ἔπος, τὸ καὶ δακτυλικὸν πενθημιμερές. καὶ τὸ ζ καὶ τὸ η. συνῆπται (scrib. πενθημιμερὲς τῷ ε, καὶ τὸ ϛ τῷ ζ. καὶ τὸ η συνῆπται) δὲ τῷ ἑξῆς ὄντι ἀναπαιστικῷ. καὶ γὰρ τὰ β (id est τὰ δύο, *ambo*) τῶν λεγομένων χοιριλείων. (Versum dicit ἄξια σῇ φρενὶ συμβουλευσομένους μετὰ σοῦ.) ἡ περίοδος ἑνδεκάκωλος, ὧν τὸ μὲν πρῶτον τροχαϊκὸν —— τὸ ϛ ἰαμβικὴ βάσις. τὸ ζ ἀναπαιστικὴ προσωδιακὴ (scr. προσοδιακὴ) περίοδος δωδεκάσημος καὶ τὸ η. ἀλλὰ συνῆπται τῷ ἑξῆς ἰαμβικῷ πενθημιμερεῖ. τὸ ι δακτυλικὸν (adde κατὰ) τροχαῖον. τὸ ια τρισύλλαβος κατὰ πόδα κρητικόν. Apparet hæc ita esse transponenda ut primum de periodo ἑνδεκακώλῳ agatur, quæ comprehenditur verbis λῆμμα μὲν —— ὄψομαι, deinde de ἐννεακώλῳ, ἆρά γε τοῦτ' —— μετὰ σοῦ. Metra quomodo descripserint metrici veteres, ex ipsis eorum verbis manifestum est. In scholio Veneto memorabile est quod κῶλα συνῆφθαι dicuntur: quo indicatur melior versuum descriptio, quæ prope abest ab ea quam in editione Oxoniensi exhibui. Ceterum V. per totum scholion scribit ἑφθημημερής et πενθημημερής.

15, 16. τὸ πέμπτον—ἀτελές] τὸ ε φερεκράτιον ἀτελές V.

λές. τὸ ἕκτον ἰαμβικὴ βάσις. τὸ ἕβδομον ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον ὅμοιον. τὸ ἔνατον ἰαμβικὸν πενθημιμερὲς, ὃ προῦχον καλεῖται. τὸ δέκατον ὅμοιον τῷ τρίτῳ. τὸ ἑνδέκατον ὅμοιον τῷ ἕκτῳ. τὸ δωδέκατον τροχαϊκὸν πενθημιμερές. τὸ τρισκαιδέκατον ἀναπαιστικὴ βάσις. τὸ τεσσαρεσκαιδέκατον ὅμοιον τῷ ἐνάτῳ. τὸ πεντεκαιδέκατον δακτυλικὸν ἑφθημιμερὲς, ὃ Ἀλκμάνειον καλεῖται. τὸ ἑκκαιδέκατον ὅμοιον τῷ τετάρτῳ. τὸ ἑπτακαιδέκατον ὅμοιον τῷ τρίτῳ. τὸ ὀκτωκαιδέκατον ὅμοιον τῷ ἐνάτῳ. τὸ ἐννεακαιδέκατον, ὃ παρατέλευτον ὀνομάζεται, δακτυλικὴ βάσις. τὸ εἰκοστὸν ὅμοιον τῷ πεντεκαιδεκάτῳ. [λῆμα: Φρόνημα, ἀξίωμα. Gl. Victor. ἀντὶ τοῦ φρόνημα. R.]

[457. ἀλλ' ἕτοιμον: Ἀλλὰ τολμηρόν. R.]

459. οὐρανόμηκες: Μέγιστον· παρὰ τὸ "ἐπουράνιον κλέος εἴη." πάλιν δὲ ὡς φιλόσοφος ἀπὸ τοῦ οὐρανοῦ τὴν λέξιν παρήγαγε, διὰ τὸ διδάσκειν τὰ οὐράνια.

[465. τοῦτο: Τὸ εὐδαιμονῆσαι δηλονότι. R. τὸ ζῆσαι βίον τοιοῦτον. Gl. Victor.]

[469. ἀνακοινοῦσθαι: Τὸ ἀνακοινοῦσθαι πρὸς τὸ πράγματα σύναπτε καὶ ἀντιγραφάς. εἰκότως δὲ εἶπε τῇ σῇ φρενὶ, δεικνὺς ἐντεῦθεν, ὡς ἄλλος μὲν ἄν τις οὐδενὸς ἄξια ταῦτα ἐλογίσατο, σὺ δὲ πλείστου ἄξια. Victor.]

471. πράγματα κἀντιγραφὰς: Οὕτως ἐκάλουν τὰς δίκας διὰ τὰς ἀντιθέσεις καὶ λύσεις τῶν ἐπιφερομένων. τὸ δὲ ἑξῆς, ἀνακοινοῦσθαι τὰ πράγματα καὶ τὰς ἀντιγραφάς.

473. ἄξια σῇ φρενὶ: Τὰ ἄξια πράγματα σὺν τῇ σῇ φρενὶ βουλευσομένους.

475. [νῦν ὁ Σωκράτης λέγει, μᾶλλον δὲ ὁ χορός· εἴωθε γὰρ μετὰ τὸ ᾆσαι ἐπάγειν δίστιχα· ὡς ἂν ᾄδῃ τὸ ἀλλ' ἐγχείρει. V.] ἀλλ' ἐγχείρει: Ἐν ἐκθέσει δίστιχον ἀναπαιστικὸν τετράμετρον κατα-

13–15. Scholion v. 459. om. R.V, gl. μέγιστον habet R.
13. παρὰ τὸ] Homeri Il. K, 212.
22. Scholia v. 471–475. om. R.
ib. οὕτως V. οὕτως γὰρ Ald.
ib. τὰς δίκας V. τὰς δίκας πάσας πράγματα κἀντιγραφὰς Ald.
23, 24. τὸ δὲ—ἀντιγραφάς om. V.
25, 26. σὺν τῇ σῇ φρενὶ βουλευομένους μετὰ σοῦ. οὐδέτερον (δὲ addit G.) ἐπεκράτησε V.
27. εἴωθε] εἶπε V. Totum scholion om. G.
29 – p. 468. l. 7. Ἐν ἐκθέσει—κορωνίς om. V.

ληκτικόν. εἰώθασι γὰρ μετὰ τὰς τοιαύτας περιόδους ἐπάγειν δίστιχον. ἐπὶ τῷ τέλει τῆς μὲν ἐπεκθέσεως δύο συνήθως διπλαῖ ἔξω νενευκυῖαι, τῆς δὲ διστιχίας παράγραφος. καλεῖται δὲ ταῦτα πολυσχημάτιστα, διὰ τὸ διάφορα δέχεσθαι μέτρα. τὰ δ' ἐφεξῆς λβ' ἰαμβικά εἰσιν ἀκατάληκτα τρίμετρα· ὧν τελευταῖον

χώρει, τί κυπτάζεις ἔχων περὶ τὴν θύραν.

ἐπὶ τῷ τέλει κορωνίς. [ἐγχείρει: Ἀρχὴν ποίει. Gl. Victor.]

[480. τειχομαχεῖν μοι διανοεῖ: Πρὸς τὰς μηχανὰς ὑπήντησε. R.V. (non G.) ἐντεῦθεν παρίστησι τὴν ἑαυτοῦ διάνοιαν. τὸ γὰρ μηχανὰς οὐχ ὡς ὁ Σωκράτης, οὕτω καὶ αὐτὸς ἐνόησεν, ἀλλ' εἰς τειχομαχικὰ ὄργανα. ἐξεπίτηδες καὶ ὁ ποιητὴς ταύτην τὴν λέξιν ἔθηκεν. Junt. ἐντεῦθεν παρίστησι τὴν ἑαυτοῦ ἄνοιαν· τὸ γὰρ μηχανὰς οὐχ ὡς Σωκράτης εἶπεν, αὐτὸς ἐνόησεν, ἀλλ' εἰς τειχομαχικὰ ὄργανα. ἐξεπίτηδες δὲ ὁ ποιητὴς ταῦτα ποιῶν διλημμάτους τίθησι λέξεις. Victor.]

[483. ὀφείλεται: Χρεωστεῖταί μοι δάνεισμα παρ' ἑτέρου. Gl. Br. κεχρεώστηται. R.]

[486. ἔχεις ἐπιτηδειότητα ἐν τῷ λέγειν. R.V. (non G.)]

486. ἀποστερεῖν δ' ἔνι: Πρὸς τὸ ὁμοιοκατάληκτον, καὶ πρὸς τὸ ἑαυτοῦ ὁ γέρων βούλευμα. τοῦτο γὰρ αὐτῷ σπουδάζεται τὸ ἀποστερεῖν τοὺς δανειστάς.

488. ἀμέλει: Παρέλκει. Ἀττικὴ δὲ ἡ φράσις. ἀντὶ τοῦ, μὴ ἀθύμει.

490. συναρπάσει: Ἀντὶ τοῦ συναρπάσῃ. πρὸς τὸ ὑφαρπάσαι ἔπαιξεν, ἐπειδὴ καὶ οἱ κύνες ἁρπάζοντες ἐσθίουσι.

[496. ἀκαρῆ: Ἀντὶ τοῦ ὀλίγου χρόνου. R.V. (non G.). δικάζομαι: εἰς δικαστήριον ἀπέρχομαι. Gl. Victor.]

497. ἴθι νῦν κατάθου: Ἀντὶ τοῦ ἄγε. ὅπερ δὲ ἐπὶ τῶν μυουμένων

19. πρὸς τὸ ὁ. R. πρὸς ὁ. Ald. Scholion om. V.

20. ἑαυτοῦ R. αὐτοῦ Ald.

22. παρέλκει τὸ ἀμέλει R, reliquis omissis. ἀντὶ τοῦ μὴ ἀθύμει. ἀττικὴ ἡ σύνταξις V, omisso παρέλκει. Scholion om. G.

24. Scholion v. 490. om. V.

ib. ἀντὶ R. Ἀττικοῦ δευτέρου προσώπου ἀντὶ Ald.

24, 25. πρὸς—ἐσθίουσι R. ἔπαιξε δὲ διὰ τοῦ ὑφαρπάσαι, αἰνιττόμενος τὴν κυνικὴν φιλοσοφίαν. ἴσως δὲ κἀκεῖνος ἐκ τῶν κυνικῶν φιλοσόφων ἔλαβε τὸ κυνηδόν Ald.

28. ἀντὶ τοῦ ἄγε add. R.V.

ib. ὅπερ δὲ R. ὅπερ καὶ V. ὅπερ ἐποίουν Ald.

ib. μυουμένων] νοουμένων R.

τὰ μυστήρια, ἀποδῦσαι αὐτὸν τὴν ἐσθῆτα βούλεται. ὡς μέλλων δὲ ἐκεῖνος τύπτεσθαι, φησὶν, ἠδικηκά τι; ὁ δὲ τερατευόμενος ὡς ἐπὶ τῶν μυουμένων, γυμνὸν εἰσάγει αὐτόν.

[ἴθι νῦν, κατάθου θοἰμάτιον: Ἔθος ἦν τοῖς τότε φιλοσόφοις ἐν χιτώνιον μόνον ἐνδεδυμένους καὶ ἡμιγύμνους καθημένους φιλοσοφεῖν. κατὰ τοῦτο οὖν τὸ ἔθος κατάθου, εἶπεν ὁ Σωκράτης τῷ Στρεψιάδῃ, τὸ ἱμάτιον, ἤγουν ἀπόδυσαι. ὁ Στρεψιάδης δὲ ὑπολαβὼν ὅτι ἀποδύσασθαι τοῦτο κελεύει, ἵνα τὸ ἱμάτιον αὐτοῦ δῆθεν ἀφέληται, ἢ γυμνωθέντα τούτου ἱμάσι τύψῃ, διὸ καὶ ἠδίκηκά τι, φησὶ, καὶ διὰ τοῦτο βούλει ἀφαιρεῖσθαί μου τὸ ἱμάτιον; Victor.]

[498. νομίζεται: Ἀντὶ τοῦ νόμιμόν ἐστιν. R.]

499. ἀλλ' οὐχὶ φωράσων: Ἔθος ἦν τοὺς εἰσιόντας εἰς οἰκίαν τινὸς ἐπὶ τῷ ἐρευνῆσαι γυμνοὺς εἰσιέναι, ἵνα μή τι ὑπὸ τὰ ἱμάτια κρύψαντες λάθωσιν, ἢ ἵνα μὴ ὑπὸ ἔχθρας λάθωσιν ὑποβαλόντες τὸ ζητούμενον καὶ ζημίας αἴτιοι τούτῳ γένωνται. οἱ γὰρ μέλλοντες εἰσιέναι, ἵνα ἐπιθεάσωνται χρήματα τοῦ δημοσίου γενόμενα, ἢ κατ' ἔρευναν, γυμνοὶ εἰσίασιν, ἵνα μή τι ὑπὸ τὰ ἱμάτια κρύψωσι. [εἰσέρχομαι: Καὶ δεῖμα ἐντεῦθεν γυμνὸν εἰσιέναι, μήπως κρατηθῶ. Gl. Victor. ὡς μέλλων τύπτεσθαι τοῦτό φησι. R.]

504. ἡμιθνὴς γενήσομαι: Ἐπεὶ ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν ὁ Χαιρεφῶν, ἅτε φιλοσοφίᾳ συντετηκώς· ὅθεν νυκτερὶς ἐκαλεῖτο καὶ πύξινος. [ἰστέον ὅτι ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν ὁ Χαιρεφῶν ἦν, ἅτε φιλοσοφίᾳ συζῶν, καὶ ἐκ ταύτης συντετηκὸς ἔχων τὸ σῶμα. διὸ καὶ νυκτερὶς ἐκαλεῖτο, διὰ τὸ ἰσχνόν. Schol. Br. ἡμιθνὴς: Ἡμιμαθής. Gl. Cant. 3. ὤφειλεν εἰπεῖν ἡμιμαθὴς γενήσομαι, ἐπεὶ περὶ

1. αὐτὸν τ. ἐ. β. R.V. δὲ αὐτὸν β. τ. ἐ. Ald.

1–3. ὡς μέλλων—εἰσάγει αὐτὸν om. R.V.

9. γυμνωθέντα τούτου Hermannus. γυμνασθέντα τοῦτο Victor.

ib. διὸ] Constructione excidit, quæ διὰ τοῦτο postulat.

12–17. Ἔθος—κρύψωσι] οἱ γὰρ μέλλοντες—κρύψωσι R. οἱ γὰρ μέλλοντες———ἵνα μή τι ὑπὸ τὰ ἱμάτια (adde κρύψωσι) ἢ ἵνα μὴ πολλάκις ἐχθροὶ ὄντες καὶ μὴ ἔχοντες ἀπόδειξιν αὐτοὶ παρεισενεγκόντες τὸ ζητούμενον ὑποβάλωσι V.

15. γὰρ R.V. γοῦν Ald.

16. ἐπιθεάσωνται] θεάσωνται R.V.

ib. γενόμενα add. V. γενομένου R.

17. ὑπὸ τὰ ἱμάτια add. V. πάντα ἱμάτια R.

ib. κρύψωσι R. ἀποκρύψωνται Ald.

21. συντετηκὼς R. ἐντετηκὼς V. συνεστηκὼς Ald.

ib. ὅθεν R.V. παρὸ Ald.

ib. νυκτερὶς ἐκ.] κυστερὶς ἐκ. R. νυκτερινὸς ἐκ. V. ἐκ. νυκτερὶς Ald.

μαθήσεως ὁ λόγος. ἀλλ' ἐπειδὴ τὸ μὲν τελείως μαθεῖν ἐστὶ τῷ Στρεψιάδῃ ζωὴ, διὰ τὸ ἐκ τούτων δυνήσεσθαι τοὺς δανειστὰς ἀποκρούσασθαι, τὸ μηδόλως μαθεῖν οἱονεὶ θάνατος, διὰ τὸ μέλλειν ἀποδοῦναι τὰ χρέα· ἀντὶ τοῦ εἰπεῖν ἡμιμαθὴς ἡμιθνὴς εἶπε. Schol. Cant. 3.]

[506. σπεύσας εἰς φροντιστήριον. R.]

507. μελιτοῦτταν: Πλακοῦντα μέλιτι δεδευμένον. ἔφερον δὲ, ὡς ἐδόκουν, τοῖς ὄφεσιν.

508. ὥσπερ ἐς Τροφωνίου: Ὁ Τροφώνιος ἐγένετο λιθοξόος ἄριστος, ὃς κατεσκεύασεν ἱερὸν ἐν τῇ Λεβαδείᾳ τῆς Βοιωτίας ὑπὸ γῆν, καὶ καλεῖται Τροφωνίου. ἐκεῖ οὖν οἱ μυούμενοι καθέζονται ἐπὶ τοῦ στόματος γυμνοὶ, καὶ ἁρπάζονται ὑπό τινων πνευμάτων, καὶ φέρονται ὑπὸ τὴν γῆν. ἐπειδὴ δὲ ἀπαντῶσι δαίμονες καὶ ὄφεις καὶ ἄλλα τινὰ ἑρπετὰ, βαστάζουσι πλακοῦντά τινα καὶ ῥίπτουσιν ἐπὶ τῷ ἐκφυγεῖν. καὶ μετὰ τὴν μύησιν δι' ἄλλου στόματος ἀναρριπτοῦνται. Ἄλλως. οὕτως ὁ Χάραξ ἐν τῷ δ' "Ἀγαμήδης ἄρχων Στυμφήλου τῆς Ἀρκα-" "δίας ἐγάμει Ἐπικάστην, ἧς παῖς ἦν Τροφώνιος σκότιος. οὗτοι" "τοὺς τότε πάντας ὑπερεβάλλοντο εὐτεχνίᾳ, τόν τε ἐν Δελφοῖς" "Ἀπόλλωνος ναὸν ἠργολάβησαν· ἐν Ἤλιδι δὲ ταμιεῖον χρυσοῦν" "κατεσκεύασαν Αὐγείᾳ· ᾧ καταλείψαντες ἁρμὸν λίθινον, νυκτὸς" "εἰσιόντες ἔκλεπτον τῶν χρημάτων ἅμα Κερκύονι, ὃς ἦν γνήσιος" "Ἀγαμήδους καὶ Ἐπικάστης υἱός. ὡς δὲ ἠπόρει λίαν Αὐγείας," "ἐπιδημήσαντα Δαίδαλον αὐτόσε κατὰ φυγὴν Μίνωος ἐλιτάνευσεν" "ἐξιχνεῦσαι τὸν φῶρα. ὁ δὲ παγίδας ἔστησεν, αἷς περιπεσὼν

7. πλακοῦντα—δεδευμένον V. μᾶζαν τῷ—δεδευμένην Ald. Scholion om. R.

9 – p. 472. l. 11. Ὁ Τροφώνιος— μεμάντευται om. R.

9–15. Ὁ Τροφώνιος—Ἄλλως om. V.

14. τῷ Kusterus. τὸ Ald.

15. δι' ἄλλου] Ernestius volebat δι' αὐτοῦ, (certe διὰ τοῦ αὐτοῦ,) quod sic Pausanias, qui ipse oraculum Trophonii adiit, 9, 39. At contra Philostratus Vit. Apollon. 8, 19. ἀναδίδωσι δ' ἡ γῆ τοὺς μὲν οὐ πόρρω, τοὺς δὲ πορρωτάτω. καὶ γὰρ ὑπὲρ Λοκροὺς ἀναπέμπονται, καὶ ὑπὲρ Φωκέας, οἱ δὲ πλεῖστοι περὶ τὰ Βοιωτῶν ὅρια. Vide ibi Olearium. HERM.

16. οὕτως] οὗτος V.

ib. ἐν τῷ δ' addidi ex V.

ib. στυμφήλου V. στυμφέλου Ald.

18. πάντας ὑ. V. ὑ. πάντας Ald.

19. Scribebatur ἐργολάβησαν.

20. λίθινον V. λίθου Ald. Vide de hac fabula Valckenar. ad Herodot. 2, 120.

21. κερκύονι V. hic et infra. Κερκύωνι Ald. καρκύονι G.

23. αὐτόσε Valckenar. l. c. ἐκτόσε Ald. αὐτόσε κατὰ φυγὴν om. V.

ib. Μίνωος] διὰ μίνωος V.

" Ἀγαμήδης ἀναιρεῖται. Τροφώνιος δὲ τὴν κεφαλὴν αὐτοῦ τεμὼν " πρὸς τὸ μὴ γνωρισθῆναι, ἅμα Κερκύονι φεύγει εἰς Ὀρχομενόν. " Αὐγείου δὲ κατὰ κέλευσιν Δαιδάλου πρὸς τὴν τῶν αἱμάτων ἔκλυ- " σιν ἐπιδιώκοντος, καταφεύγουσιν ὁ μὲν Κερκύων εἰς Ἀθήνας· ὡς " Καλλίμαχος

" ὅς ῥ' ἔφυγεν μὲν
" Ἀρκαδίην, ἡμῖν δὲ κακὸς παρενάσσατο γείτων.

" ὁ δὲ ἕτερος εἰς Λεβάδειαν τῆς Βοιωτίας, οὗ κατωρυχὴν ποιησάμε- " νος οἴκησιν διετέλει. τελευτήσαντος δὲ αὐτοῦ μαντεῖον ἀτρεκὲς " ἐφάνη αὐτόσε. καὶ θύουσιν αὐτῷ ὡς θεῷ. περιέλιπε δὲ υἱὸν Ἄλ- " κανδρον." Ἄλλως. ἐν μὲν τοῖς παλαιοῖς ἀντιγράφοις οὕτως εὗρον. πρῶτον μὲν ὅτι οἱ περὶ Ἀγαμήδην υἱοὶ Ἀπόλλωνος καὶ Ἐπικάστης· οἱ δὲ Διὸς καὶ Ἰοκάστης· οἱ δὲ Ἐργίνου. εἶτα ὡς Δαίδαλος μὲν τὸ τεχνίον ἐποίησεν, αὐτοὶ δὲ κεκλοφότες ἑάλωσαν· καὶ τῷ ἑτέρῳ φεύγοντι διέσχεν ἡ γῆ καὶ ἐδέξατο περὶ Λεβάδειαν. ὕστερον δὲ Βοιωτοῖς λιμώττουσιν ἔχρησεν ὁ θεὸς Τροφώνιον τιμᾶν. οἱ δὲ ἀγνοοῦντες ὅπη εἴη τὸ μνῆμα, σμήνει μελισσῶν περιέτυχον ἐξ ὑπορρῶγός τινος ἀνιουσῶν· καὶ στοχασάμενοι τοῦτον εἶναι τὸν τόπον ἔκριναν ἐκεῖσε δεῖν τινα κατελθεῖν θεασόμενον· ὃς εὑρὼν δύο δράκοντας, προσήνεγκε μελιτούττας καὶ οὐκ ἠδικήθη. ἐξ οὗ τὸ ἔθος ἐγένετο. οἱ δὲ βουλόμενοι χρηστηριασθῆναι, ἀγνεύσαντες ὡρισμένως καὶ στολῇ κεκοσμημένοι

2. εἰς V. εἰς τὸν Ald.
3. πρὸς V. ὑπὲρ Ald.
ib. ἔκλυσιν V. ἔκχυσιν Ald.
4. ὁ μὲν Κερκύων] ἅμα κερκύονι V.
ib. ὡς om. V.
5. Καλλίμαχος] Fragm. 143.
8. ὁ δὲ ἕτερος εἰς Λεβάδειαν] ὁ δὲ τροφώνιος ἐργεῖνος (ἐργεῖνος om. G.) εἰς λεβαδίαν V.
ib. τῆς βοιωτίας V. τῶν Βοιωτῶν Ald.
ib. οὗ] φεύγει, οὗ V.
ib. κατορυχὴν V.
9. τελευτήσαντος δὲ αὐτοῦ V. τελευτήσαντι δὲ αὐτῷ Ald.
10. αὐτόσε] αὐτοῖς V.
ib. περιέλιπε] περιελείπετο V.
12. μὲν et παλαιοῖς om. V. et omittere debuit, quum postrema scholii parte careat ἐν δὲ τοῖς νεωτέροις—μεμάντευται.
13. τὸ τεχνίον] τότε ναὸν V.
14. αὐτοὶ δὲ V. δὲ om. Ald.
16. ὅπη] ὁποῖον ἂν V.
17. σμήνη V.
ib. περιέτυχον V. προσέτυχον Ald.
ib. ἐξ om. V.
ib. ὑπορρῶγος Gelenius. ὑπορρῶγα Ald. ὑπωρυγμοῦ V. ὑπ' ὀρυγμοῦ G.
18. τοῦτον] τοῦτο V.
ib. ἐκεῖσε δεῖν] ἁρμάτιον (τινα addit G.) ἀφ' ἑαυτῶν V.
19. θεασόμενον om. V.
ib. προσήνεγκε] προήνεγκε V. προσήγαγε Ald.
ib. μελιττούτας Ald. μὲν μελιττούτας V.
21. ἀγνεύσαντες V. ἀγνεύοντες Ald.

θεοπρεπεῖ, κατίασι τοὺς πλακοῦντας ἔχοντες, πρὸς τὸ βάλλειν τοῖς ὄφεσι καὶ μὴ ἀδικηθῆναι ὑπ' αὐτῶν. καὶ πολλοὶ μὲν αὐθημερὸν ἀνεπέμφθησαν δι' αὐτοῦ τοῦ στομίου, οἱ δὲ καὶ διὰ πλειόνων ἡμερῶν. ἐν δὲ τοῖς νεωτέροις οὕτως· ὁ Τροφώνιος ἀνὴρ ἦν πάνυ φιλόδοξος. ποιήσας οὖν ἐν Λεβαδείᾳ τῆς Βοιωτίας ὑπόγειον οἴκημα, εἰσελθὼν ἐμαντεύετο, καὶ λιμαγχονηθεὶς ἀπέθανεν. ἐγκατοικῆσαν δὲ δαιμόνιόν τι τὰς μαντείας ἐτέλει. εἰσήρχοντο οὖν ἐντὸς οἱ χρησόμενοι, ἔχοντες ἐν ταῖν χεροῖν πόπανα, ἵνα τοῖς ἐκεῖ ἐμφιλοχωροῦσιν ὄφεσι διδόντες, μηδὲν ὑπ' αὐτῶν δυσχερὲς πάσχωσιν. ὁ δὲ εἰσιὼν ἐκεῖσε λοιπὸν οὐκ ἔτι ἐγέλα διὰ τὴν τῶν ὄφεων ἔκπληξιν. ὅθεν καὶ παροιμία ἐπὶ τῶν ἀγελάστων καὶ συνωφρυωμένων, ἐς Τροφωνίου μεμάντευται. [χρηστήριόν ἐστιν ἐν Λεβαδείᾳ, ὃ τινὲς Καταβάσιον καλοῦσιν. στόμιον γάρ τί ἐστιν, ὡς τὰ ἄκρα δύνασθαι μόνα τῶν ποδῶν χωρῆσαι. οἱ οὖν τῷ θεῷ χρώμενοι, ἁγνεύσαντες πρῶτον ὡρισμένας ἡμέρας καὶ κοσμήσαντες ἑαυτοὺς ἱερῷ τινι σχήματι καὶ ἀμφοτέραις ταῖς χερσὶ τοιαύτας μάζας λαβόντες οὕτω καθίζουσιν ἐπὶ τὸ στόμιον καὶ αἰφνίδιον ἁρπάζουσι καὶ καταδύνουσιν ὑπὸ τῆς γῆς. τὰς δὲ μάζας λαμβάνουσιν ὑπὲρ τοῦ μὴ ἀδικηθῆναι ὑπὸ τῶν συναντωμένων ὄφεων, ἀλλ' ἐκείνας αὐτοῖς παραβάλλειν τροφήν. ἐν Λεβαδείᾳ ἱερὸν ἐστὶ Τροφωνίου, ὅπου ὄφις ἦν ὁ μαντευόμενος, ᾧ οἱ κατοικοῦντες πλακοῦντας ἔβαλλον μέλιτι δεδευμένους. R.]

509. τί κυπτάζεις ἔχων: Ἀττικῶς περιττεύει τὸ ἔχων. τὸ δὲ κυπτάζεις ἀντὶ τοῦ στραγγεύει καὶ διατρίβεις οὕτως ἐνταῦθα. [κυπτάζεις: Χρονίζεις, διατρίβεις. Gl. Victor.]

περὶ τὴν θύραν: Βαρέως διακείμενος εἰς τὸ εἰσιέναι δι' αὐτῆς.

510. ἀλλ' ἴθι χαίρων: Τοῦτο διὰ τὸ εἰσάγεσθαι τὸν χορὸν ἐξιόν-

1. τοὺς πλακοῦντας V. λόγχας Ald.
ib. τοῖς ὄφεσι V. τοὺς ὄφεις Ald.
2. καὶ πολλοὶ] καὶ om. V.
3. ἀνεπέμφθησαν Suidas s. Τροφώνιος. ἐπέμφθησαν Ald.
ib. δι' αὐτοῦ τοῦ στομίου addidi ex V. δι' οὗ στομίου κατῆλθον Suidas.
ib. οἱ δὲ καὶ V. οἱ δὲ Ald. πολλοὶ δὲ καὶ Suidas.
ib. ἡμερῶν additum ex Suida.
11–19. χρηστήριον—τροφήν] Hoc scholion descripsit Suidas l. c. paucis verbis mutatis.
14. ὡρισμένας ἡμέρας] ὡρισμέναις ἡμέραις Suidas.
18. συναντωμένων] συναντώντων Suidas.
23. ἀντὶ τοῦ add. R.V.
ib. στραγγεύει R. στραγγεύῃ Ald. στραγεύῃ V.
ib. καὶ et οὕτως ἐνταῦθα add. R.V.
25. Βαρέως—αὐτῆς om. R.V.
26–p. 473. l. 9. Scholion metricum om. R.V.

των τῶν ὑποκριτῶν ὀνομάζεται κορωνίς. διὰ δὲ τὸ προτίθεσθαι τῆς παραβάσεως κατὰ τὸ ἔθος, ὀνομάζεται κομμάτιον, κώλων ὀκτώ. ὧν τὸ μὲν πρῶτον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, ἢ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐπιμεμιγμένον δισπονδείῳ. τὸ δεύτερον ἀναπαιστικὸν μονόμετρον. τὸ τρίτον καὶ τὸ ἑξῆς καὶ τὸ ἕβδομον καὶ τὸ μετ' αὐτὸ χοριαμβικὰ δίμετρα καταληκτικὰ εἰς ἀμφίβραχυν περαιούμενα, ἢ βακχεῖον, διὰ τὸ ἀδιάφορον, Ἀριστοφάνεια καὶ αὐτὰ καλούμενα. τὸ πέμπτον χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕκτον ἀπὸ ἰαμβικῆς βάσεως εἰς χοριαμβικὴν ὑπερκατάληκτον.

[τὸ συστηματικὸν τόδε ἐκ κώλων συνίσταται η'. τὸ α' χοριαμβικὸν δίμετρον ἐκ χοριάμβου, σπονδείου καὶ ἀμφιμάκρου. τὸ β' δακτυλικὸν μονόμετρον. τὸ γ' χοριαμβικὸν μονόμετρον ἐκ χοριάμβου καὶ βακχείου. τὸ δ' ὅμοιον τῷ γ'. τὸ ε' ἐκ β' χοριάμβων. τὸ ς' ἐκ διιάμβου, χοριάμβου καὶ συλλαβῆς. τὸ ζ' ἐκ χοριάμβου καὶ ἀμφιμάκρου. τὸ η' ἐκ χοριάμβου καὶ βακχειου. εἶτα ἡ παράβασις ἐκ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν με' συνισταμένη, ὧν τελευταῖος

ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσεται.

λέγεται δὲ τροχαϊκὸν τοῦτο τὸ μέτρον, οὐχ ὅτι μόνον τροχαίους ἔχει, ἀλλ' ἐκ τοῦ πλεονάζοντος καὶ μάλισθ' ὅτι ἐκ παντὸς τὸν ζ' πόδα τὸν πρὸ τῆς καταληκτικῆς συλλαβῆς τροχαῖον ἔχει. παράβασις δὲ λέγεται τοῦτο τὸ σύστημα, ὅτι οἱ ποιηταὶ ὡς ἐκ στόματος τοῦ χοροῦ ἐξέφαινον πρὸς τοὺς θεατὰς, ἃ ἐβούλοντο γενέσθαι αὐτοῖς ὡς οἰκείοις προσώποις τοῖς χοροῖς κεχρημένοι, ὅπερ καὶ νῦν οὗτος ποιεῖ δι' αἰτίαν τοιαύτην· νόμος ἦν Ἀθηναίοις μήπω τινὰ ἐτῶν λ' γεγονότα μήτε δρᾶμα ἀναγινώσκειν ἐν θεάτρῳ, μήτε δημηγορεῖν. τούτῳ τῷ νόμῳ καὶ ὁ κωμικὸς οὗτος εἰργόμενος πρότερον διὰ τὸ μὴ τριακονταετὴς ἔτι ὑπάρχειν, ποιῶν δράματα διὰ Φιλωνίδου καὶ Καλλιστράτου ἀνεγίνωσκεν εἰς τὸ θέατρον, ὧν ἐν ἦν τὸ τῶν Δαιταλέων λεγόμενον, ἐν ᾧ δύο εἰσήγαγε μειράκια διαλεγόμενα, σῶφρόν τε καὶ αἰσχρόν. καὶ πολλοῖς τῶν θεατῶν ἐπῃνέσθη, οὐ μέντοι καὶ νενίκηκεν ἐν τούτῳ ὁ ποιητής. ἐπιβὰς δὲ ἤδη τοῦ λ' ἔτους, καὶ τοῦτο δὴ τὸ τῶν Νεφελῶν ποιήσας δι' ἑαυτοῦ διδάσκει, καὶ αἰτεῖ παρὰ τῶν θεατῶν, ἃ δεῖ

5. τὸ ἕβδομον Hermannus. Aberat τό.

28. διὰ Φιλωνίδου Hermannus. καὶ Φιλωνίδου Victor.

γενέσθαι αὐτῷ, ἤτοι τὸ νικῆσαι τῷ δράματι. Victor. *ἴθι*: *Πορεύου, ἐλθέ.* Gl. Victor.]

[511. *κομμάτιον χοροῦ.* R.]

[514. *ἀντὶ τοῦ γηράσας.* R.]

[516. *χρωτίζεται*: *Ἀντὶ τοῦ χρωματίζεται. αὐτὸς δὲ ὁ χρωματισμὸς εἰς πρόσωπον γίνεται. αὐτὸς γὰρ κατὰ νοῦν ἐχρωματίζετο, διὰ τοῦτο ἐπήγαγε, τὴν αὐτοῦ φύσιν, ἵν' ᾖ ὅλον καὶ μέρος, διὰ μὲν τοῦ χρωματίζεται νοουμένου τοῦ ὅλου, διὰ δὲ τοῦ τὴν αὐτοῦ φύσιν, τοῦ μέρους.* Junt. Victor. *πλησιάζεται.* R.]

[517. *ἐπασκεῖ*: *Παιδεύεται.* Gl. Victor.]

518. *ὦ θεώμενοι*: *Ἡ παράβασις δοκεῖ μὲν ἐκ τοῦ χοροῦ λέγεσθαι. εἰσάγει δὲ τὸ ἑαυτοῦ πρόσωπον ὁ ποιητής. παράβασις δέ ἐστιν ὅταν ἐκ τῆς προτέρας στάσεως ὁ χορὸς μεταβὰς οὕτως ἀπαγγέλλῃ πρὸς τὸν δῆμον ἀφορῶν. εἴδη δὲ παραβάσεων ἑπτά· ἁπλᾶ μὲν τρία, κατὰ δὲ σχέσιν τέσσαρα. τὰ μὲν οὖν ἁπλᾶ ἐστι ταῦτα· κομμάτιον· παράβασις ὁμωνύμως, ἣ καὶ ἀνάπαιστος καλεῖται, ἐπεὶ πολλάκις ἐν ταύτῃ τῷ ἀναπαίστῳ χρῆται· πνῖγος, ὃ καὶ μακρόν. τὰ δὲ κατὰ σχέσιν, στροφή, ἀντίστροφος, ἐπίρρημα, ἀντεπίρρημα. ἡ μὲν οὖν στροφὴ καὶ ἀντίστροφος συνεμπίπτουσι κατὰ τὸ μέτρον καὶ τὰ κῶλα· πάλιν τὸ ἐπίρρημα καὶ τὸ ἀντεπίρρημα. (τινὲς δὲ προστιθέασι καὶ ᾠδὴν καὶ ἀντῳδήν. ἔχουσι γὰρ καὶ ταῦτα σχέσιν πρὸς ἄλληλα.) ἡ μὲν οὖν παράβασις ἡ ἐκ τούτων συγκειμένη τελεία ἐστί. εἰσὶ δὲ καὶ ἀτελεῖς παραβάσεις, ὧν ἐστι καὶ αὕτη. ἑπτὰ δὴ ὄντων τῶν τῆς παραβάσεως μερῶν, ἐφ' ἕκαστον τῶν ἀπολελυ-*

11, 12. *Ἡ παράβασις—λέγεσθαι*] *παράβασις τοῦ χοροῦ* R.V.

12. *εἰσάγει—ὁ ποιητής* om. R.V.

ib. *παράβασις* om. G.

13. *ἐκ τῆς*] *ἐκτὸς* R.

ib. *οὕτως* addit V. et, ut opinor, R, in quo literæ evanuerunt.

ib. *ἀπαγγέλλῃ*] *ἀπαγγέλῃ* R. Ald. *ἀπαγγείλῃ* V.

14 – p. 475. l. 19. *εἴδη—ὀνόματος* om. R.

14, 15. *εἴδη—σχέσιν*] *εἴδη δὲ τῆς παραβάσεως ἁπλᾶ γ καὶ κατὰ σχέσιν* V.

17. *τῷ*] *τῇ* V.

ib. *ὃ καὶ μακρόν*] *ὁ μακρός* V.

18–20. *ἡ μὲν—καὶ τὸ* (*τὸ* om. G.) *ἀντεπίρρημα* V. *συνεμπίπτουσι γὰρ ἀλλήλοις κατὰ τὸ μέτρον καὶ τὰ κῶλα. ἡ γὰρ στροφὴ ἔχει ὁμοίαν ἑαυτῇ τὴν ἀντίστροφον, καὶ τὸ ἐπίρρημα, ὡσαύτως τὸ ἀντεπίρρημα* Ald.

20–22. *τινὲς δὲ—πρὸς ἄλληλα* om. V.

23. *ὧν ἐστι καὶ αὕτη* addidi ex V. Sequentia om. V.

23 – p. 475. l. 6. *ἑπτὰ δὴ* (*δὲ* Kusterus)—*νενευκυῖα*] Ex Hephæstione p. 135.

μένων τριῶν τίθεται ἡ παράγραφος. οὐχ ἧττον δὲ καὶ ἐπὶ τοῦ μέλους καὶ τοῦ ἐπιρρήματος, ἂν μηδὲν ἀποδιδῶται. ἐὰν δὲ ἐνῇ τὰ ἀνακυκλούμενα, τό τε ἀντίστροφον τοῦ μέλους καὶ τὸ ἀντεπίρρημα, ἐπὶ τοῦ ἐπιρρήματος τίθεται ἡ ἔσω νενευκυῖα διπλῆ ὑπὲρ τοῦ δηλῶσαι ὅτι ἐστὶ τὰ ἀνταποδιδόμενα· ἐπὶ δὲ τοῦ ἀντεπιρρήματος ἡ ἔξω νενευκυῖα. ἐν δὲ τοῖς ἀποδιδομένοις πάλιν ἐφ' ἑκάστης στροφῆς παράγραφος. ἐπὶ δὲ τοῦ τελευταίου κώλου δύο διπλαῖ, ἡ μὲν κατ' ἀρχὰς, ἡ δὲ κατὰ τὸ τέλος. ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι, δηλοῦσαι ἡμῖν ὅτι ἀνταποδίδοται. τὸ δὲ μέτρον ἀσύστατον Εὐπολίδειον καλούμενον, στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν με', ὧν τελευταῖος

ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

τὸ δὲ τροχαϊκὸν μέτρον κατὰ πᾶσαν μὲν χώραν δέχεται τροχαῖον καὶ σπονδεῖον, πλὴν τῆς παρατελεύτου, μὴ ὄντος τοῦ μέτρου χωλοῦ. καὶ κατὰ μὲν τὰς περιττὰς τρίβραχυν καὶ δάκτυλον, εἰ τύχοι. τῶν δ' ἀρτίων τὰς μὲν ἑτέρας ἀνάπαιστον, καὶ οὓς ἔφην ἐγχωρεῖν πάσῃ χώρᾳ. ἰδίως δὲ τὴν τετάρτην ἐν τούτοις ἴαμβον. ἐπὶ τῷ τέλει παράγραφος. ἐχρῆν δὲ τὴν λέξιν ὑπὸ τοῦ χ σημειοῦσθαι. ἐχρήσατο γὰρ μετοχῇ ἀντὶ ὀνόματος.

[κατερῶ: Ἀργόν. ἐρῶ. ἐλεύθερος: Μετὰ παρρησίας. Gl. Victor.]

519. νὴ τὸν Διόνυσον: Ἐπεὶ ἐν Διονυσίοις παρῆλθε τὸ δρᾶμα. καὶ γὰρ ἐν τοῖς Διονυσιακοῖς ἀγῶσι τὰ δράματα ἤγετο καὶ ἐδιδάσκετο. [τὸν Διόνυσον: Συνίζησις. Gl. Victor.]

520. οὕτω νικήσαιμ' ἔγωγε: Διπλῆ εἴσθεσις εἰς τὴν παράβασιν. οὐχ ἡ αὐτὴ δέ ἐστιν, οὐδὲ τοῦ αὐτοῦ μέτρου τῇ ἐν ταῖς Νεφέλαις πρώταις, ἀλλ' ὡς ὀλίγῳ πρότερον εἴρηται, τοῦ καλουμένου Εὐπολιδείου.

523. ἀναγεῦσ' ὑμᾶς: Ἀντὶ τοῦ διδάξαι τὸ δρᾶμα. ὡς ἐπὶ βρωμάτων δὲ λέγει. [ἀναγεῦσαι: Δεῖξαι ὑμῖν ταύτην. Gl. LB.

2. ἀποδιδῶται Hephæstio. ἀποδίδοται Ald.
ib. ἐνῇ Hephæstio. Legebatur ᾖ.
20. Post ἀργόν interpunxit Hermannus. Abundare scholiasta dicit præpositionem.
22. Scholia v. 519. 520. om. R.V.
26. τῇ Dobræus. τοῦ Ald.
29. Ἀντὶ τοῦ add. R.V.
ib. διδάξαι R.V. διατάξαι Ald.
29, 30. διδάξαι — λέγει] διδάξαι θρέψαι τὸ δράμα ὡς ἐπὶ βρωμάτων V.
29. βρωμάτων δὲ λέγει R. βρώματος δὲ εἶπεν Ald.

ἠξίωσα: Ἀξίους ἔκρινα τῆς κωμῳδίας ἐκείνης. ἀναγεῦσαι: Φαγεῖν. ᾗ παρέσχε μοι: Εἰς ἣν πολλὰ ἐμόγησα. Gl. Victor. ἥτις. πόνον. Gl. R.]

524. ὑπ' ἀνδρῶν: Τῶν κριτῶν. τοῦτο ἐπὶ τῶν προτέρων Νεφελῶν. [ἀνδρῶν φορτικῶν: Βασκάνων, κριτῶν. Gl. Victor.]

525. ταῦτ' οὖν ὑμῖν μέμφομαι: Ἐπεὶ οὐ Κρατίνου, ἀλλ' Ἀμειψίου δεύτερος ὤφθη.

528. οἷς ἡδὺ καὶ λέγειν: Ἀντὶ τοῦ ἐλλογίμοις ἢ οἷς ἐπιδείκνυσθαι ἡδύ ἐστιν.

529. σώφρων τε χὠ: Πρῶτον δρᾶμα γράψας ἐξέθηκεν ὁ ποιητὴς τοὺς Δαιταλεῖς, ἐν ᾧ σῶφρον μειράκιον εἰσάγει καὶ ἕτερον ἄχρηστον. ηὐδοκίμησε δὲ σφόδρα ἐν τούτῳ τῷ δράματι. [καταπύγων: κίναιδος, ἀσελγής. δα . . . νος μαλακός. Gl. Victor.]

ἄριστ' ἠκουσάτην: Ἀντὶ τοῦ ηὐδοκίμησαν. οἱ γὰρ ἐνίκησαν, ἐπεὶ δεύτερος ἐκρίθη ἐν τῷ δράματι. διόπερ ἐστὶ μὲν αὐτὸ πρῶτον τῶν δραμάτων, ὑπὸ δὲ αἰδοῦς οὐ δι' ἑαυτοῦ ἐπεδείξατο αὐτό.

530. κοὐκ ἐξῆν πώ μοι: Οὔπω ἐπέτρεπον ἐμαυτῷ τὸ λέγειν διὰ τὴν αἰδῶ. οὐ γὰρ δι' ἑαυτοῦ ἐξ ἀρχῆς καθῆκε τὰ δράματα ὁ ποιητής, εὐλαβὴς ὤν. ἀπὸ δὲ τῶν Ἱππέων ἤρξατο δι' ἑαυτοῦ εἰσιέναι.

531. ἐξέθηκα: Ἀπὸ μεταφορᾶς τῶν λάθρα τικτουσῶν καὶ φοβουμένων γνωσθῆναι γυναικῶν, καὶ διὰ τοῦτο ἔξω ῥιπτουσῶν τὰ βρέφη, ἵν' ἰδών τις ἀνέλοιτο. Εὐριπίδης

4. Scholia v. 524. 525. 528. om. V. Scholion v. 525. om. R.

8, 9. ἀντὶ—ἐστι R. εἰς τὸ ἐμὲ ἐπιδείκνυσθαι ἡδύ ἐστιν ἢ ἐλλογίμοις Ald.

8. ἐλλογίμοις] ἐν λογίμοις R.

10. ἐξέθηκεν ὁ π. R. ὁ π. ἐξέθηκε Ald.

11. σῶφρον] σοφὸν V.

12. ηὐδοκίμησε R.V. εὐδοκίμησε Ald.

13. δα . . . νος] λάγνος Hermannus.

14–16. Ἀντὶ—αὐτό om. V.

14. ηὐδοκίμησαν] εὐδοκίμησαν R.

ib. οἱ γὰρ ἐνίκησαν R. οὐ γὰρ τότε ἐνίκησεν Ald.

15, 16. διόπερ—ἐπεδείξατο αὐτό om. R.

17. οὕτως ἐπέτρεπον V.

ib. τὸ om. R.

17–19. διὰ τὴν—εἰσιέναι R.V. δημοσίᾳ διὰ τὸ νέον τῆς ἡλικίας. οὐ γὰρ πρῶτον δι' ἑαυτοῦ καθίει τὰ δράματα ὁ ποιητὴς εὐλαβούμενος· ἀπὸ δὲ τῶν Ἱππέων ἤρξατο εἰσιέναι. νόμος δὲ ἦν μὴ εἰσελθεῖν τινα εἰπεῖν μήπω τεσσαράκοντα ἔτη γεγονότα· ὡς δέ τινες, τριάκοντα Ald. Ineptum commentum de ætate oratorum notavit Schoemann. de comitiis p. 106. Legem de choregis obversatam esse scholiastæ suspicatur Dobræus: de qua vid. Æschines c. Timarch. p. 2, 23.

18. δι' ἑαυτοῦ V. δι' αὐτοῦ R.

19. δι'] διὰ R.V.

20—p. 477. l. 3. Ἀπὸ—ἔρριψα om. R.V.

22. Εὐριπίδης] Phœniss. 25.

δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος.

λέγει οὖν Ἀριστοφάνης, ὡς ἐπειδὴ παρανόμως ταύτην τὴν κωμῳδίαν ἔτεκον, ὥσπερ τι βρέφος ἔξω ἔρριψα.

παῖς δ' ἑτέρα: Φιλωνίδης καὶ Καλλίστρατος. ἐπεὶ οὐ δι' ἑαυτοῦ ἐδίδαξε τοὺς Δαιταλεῖς, πρῶτον αὐτοῦ δρᾶμα. τὸ δὲ, ἀνείλετο λαβοῦσα, ἢ ἐκ παραλλήλου ὡς τὸ, "ἁγνεύσας ἐκάθηρεν·" ἢ τὸ μὲν λαβοῦσα, διὰ τὴν ἐκ τῆς γῆς ὑπὸ τῶν χειρῶν ἄρσιν, τὸ δὲ ἀνείλετο διὰ τὴν ἀναδοχὴν καὶ εἰσποίησιν. [δηλονότι ὁ Φιλωνίδης καὶ ὁ Καλλίστρατος, οἱ ὕστερον γενόμενοι ὑποκριταὶ τοῦ Ἀριστοφάνους. Schol. Br. ἀνείλετο: Ἀνεδέξατο. Gl. Victor.]

[532. ἐξεθρέψατε: Ἄριστον καὶ καλὸν ἐκρίνατε. κἀπαιδεύσατε: Ἐπῃνέσατε. Gl. Victor.]

[533. πιστὰ παρ' ὑμῖν: Ἐξ ἐκείνου τοῦ χρόνου φίλα μοί ἐστι τὰ πρὸς ὑμᾶς καὶ πισταὶ συνθῆκαι. R.V. ἤγουν μεγάλη πίστις ἐστί μοι πρὸς ὑμᾶς καὶ πληροφορία. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τὰς φιλίας δι' ὅρκου ποιούντων. Junt. Victor.]

534. νῦν οὖν Ἠλέκτραν: Παρ' Αἰσχύλῳ ἐν Χοηφόροις ἡ Ἠλέκτρα ἐκ τοῦ βοστρύχου ἐπιγινώσκει τὸν Ὀρέστην ἐληλυθότα. ὥσπερ ἡ Ἠλέκτρα, φησὶν, οὕτως καὶ ἡ κωμῳδία κατὰ ζήτησιν ἦλθεν τῶν θεατῶν τῶν τότε. ἐπιγνώσεται γὰρ ἐάν τι σύμβολον ἐκείνων ἴδῃ, καὶ τὸν ἔπαινον. Αἰσχύλου φέρεται δρᾶμα Χοηφόροι, ἐν ᾧ Ἠλέκτρα παραγενομένη εἰς τὸν τάφον τοῦ πατρὸς ἐκ τοῦ πλοκάμου τὸν ἀδελφὸν ἐγνώρισεν. καὶ ἡ κωμῳδία αὕτη τοὺς θεατὰς ἐκείνης τῆς κωμῳδίας, ἀδελφὴ αὐτῆς οὖσα, ἐπιγνώσεται, ἐὰν ἴδῃ.

4–8. Φιλωνίδης—εἰσποίησιν om. V.

4. Φιλωνίδης Kusterus. Κλεωνίδης Ald. Φιλωνίδης καὶ Καλλίστρατος om. R. Dixi de hoc loco ad Fragmenta p. 527.

ib. ἐπεὶ οὐ] ἐστὶν οὐ R. Legebatur οὐ γὰρ.

5–8. τὸ δὲ—εἰσποίησιν om. R.

14. Forte scholion hominis Christiani. Vid. Ep. ad Hebr. 10, 22. RUHNKEN.

17–24. παρ' Αἰσχύλῳ—ἐὰν ἴδῃ R. Αἰσχύλος ἐποίησε δρᾶμα Χοηφόρους· ἐν ᾧ Ἠλέκτρα παραγινομένη εἰς τὸν τάφον τοῦ πατρὸς, ἐκ τοῦ πλοκάμου τὸν ἀδελφὸν ἐγνώρισεν. αὕτη, φησὶν, ἡ κωμῳδία ἀδελφὴ οὖσα τῆς πρώτης (ὡς ἐν τοῖς Χοηφόροις Αἰσχύλου Ἠλέκτρα, ἐκ τοῦ πλοκάμου τὸν ἀδελφὸν ἐπιγνοῦσα καὶ παραγενόμενον, πρὸς τὸν τάφον, ὅπως αὐτὸν γνωρίσῃ, ἦλθεν) εἰς ζήτησιν ἦλθε τῶν τότε θεατῶν. ἐπιγνώσεται γὰρ, ἐάν τι ξύμβολον ἴδῃ ἐκείνων Ald. In V. illa tantum leguntur Αἰσχύλου φέρεται—οὖσα, ἐὰν ἴδῃ.

20. τῶν τότε] τῶν πότε R.

[ἡ Χρυσόθεμις ἀπελθοῦσα θῦσαι τῷ πατρὶ, καὶ τὸν Ὀρέστου πλόκαμον ἐνταῦθα εὑροῦσα, εἶπε τοῦτο τῇ Ἠλέκτρᾳ. ἡ δὲ ἀπελθοῦσα ἐγνώρισεν αὐτὸν ὄντα Ὀρέστου· εἰ καὶ Σοφοκλῆς τοῦτο οὐ λέγει. λέγει οὖν ὁ ποιητὴς, ὅτι, εἰ ἐπαινεθήσεται παρ' ὑμῶν ἡ νῦν κωμῳδία, γνώσεται ὅτι ὑμεῖς ἐστὲ οἱ καὶ τὴν πάλαι αὐτῆς ἀδελφὴν ἐπαινέσαντες. Junt.]

[535. *θεαταῖς οὕτω σοφοῖς*: Ἤγουν καθὼς εἰς τὸ δρᾶμα ἐκεῖνον ἐφάνητε. Gl. Victor.]

536. *τἀδελφοῦ τὸν βόστρυχον*: Ὅ ἐστι σύμβολον καὶ ἔπαινον ἐκείνων ἐπιγνώσεται, ἐὰν ἴδῃ.

538. *οὐδὲν ἦλθε*: Παρέλκει τὸ δεν· ὡς καὶ παρ' Ὁμήρῳ "οὐδὲν "ἔτισε." θέλει δὲ εἰπεῖν, οὐκ ἦλθε συνήθως.

σκύτινον: Εἰσῄεσαν γὰρ οἱ κωμικοὶ διεζωσμένοι δερμάτινα αἰδοῖα γελοίου χάριν. θέλει δὲ εἰπεῖν αὐτοὺς φορτικῶς χαριεντιζομένους. [*σκύτινον*: Δερμάτινον ἱμάτιον μακρὸν, καθώς τινες ἕτεροι κωμικοὶ ποιοῦσιν. Gl. Victor.]

539. *ἐρυθρὸν*: Διχῶς. ἔδει γὰρ εἰπεῖν ἢ ἐρυθρὸν ἐξ ἄκρου, ἢ ἐξ ἄκρου παχύ. τοιαῦτα γὰρ οἱ κωμικοὶ πρὸς γέλωτα ἐποίουν. [*ἵν' ᾖ γέλως*: Τοῦτο φησὶ διὰ τὸν Ἕρμιππον, καὶ τὸν Σιμέρμωνα τὸν τούτου ὑποκριτήν. Schol. Br.]

[540. *ἔσκωψα τοὺς φαλακροὺς*: Τοῦτο διὰ τὸν Εὔπολιν. Schol. Br.]

οὐ κόρδαχ' εἵλκυσε: Τρία εἴδη ὀρχήσεως· ἐμμέλεια μὲν τραγικὴ,

1. ἡ Χρυσόθεμις] Ineptum scholion. Vid. Stanlei. ad Æsch. Choeph. 166. p. 119. Butl.

9–12. Ὅ ἐστι—συνήθως om. R.V.

13, 14. εἰσῄεσαν—γελοίου χάριν R.V. διεζωσμένοι γὰρ δερμάτινα αἰδοῖα οἱ κωμικοὶ εἰσῄεσαν τοῦ γέλωτος χάριν Ald.

14. γελοίου χάριν] χάριν γελοίου V.

ib. θέλει—χαριεντιζομένους om. R.

ib. θέλει δὲ εἰπεῖν αὐτοὺς om. V.

ib. χαριεντιζόμενοι V.

17. Διχῶς—εἰπεῖν addidi ex R. Totum scholion om. V.

ib. ἢ ἐξ ἄκρου om. R.

18. τοιαῦτα R. ταῦτα Ald.

ib. πρὸς γέλωτα ἐποίουν R. εἰσῆγον διὰ γέλωτα Ald.

21. Ad v. 540. Ald. τοὺς φαλακροὺς: Εὔπολις, ἔσκωψα τοὺς φαλακροὺς, τοῦτο δ' ἀδωρησάμην, quæ om. R.V. ἔσκωψα τοὺς φαλακροὺς Aristophanis verba sunt, τοῦτο δ' scholiastæ est, corruptum ex τοῦτο διὰ, ut ex scholio codicis Brunckiani apparet, ἀδωρησάμην autem ex Eupolidis fragmento est quod ad v. 552 affertur, corruptum ex κἀδωρησάμην.

23–p. 479. l. 1. Τρία—ὀσφῦν om R.V.

σίκυνις σατυρικὴ, κόρδαξ κωμικὴ, ἥτις αἰσχρῶς κινεῖ τὴν ὀσφῦν. [ἔστι δὲ ὀρχήσεως κωμικῆς εἶδος ἀσχήμονος. εἰσὶ δὲ τρία εἴδη ὀρχήσεως· ἐμμέλεια μὲν τραγικῆς, σικιννὶς δὲ σατυρικῆς, κόρδαξ δὲ κωμικῆς. R.V. κόρδακα τὸ λεγόμενον ἰδιωτικῶς καρυδᾶν λέγει. τὸ δὲ εἵλκυσεν ἀντὶ τοῦ ἐσώτερον εἰσήγαγε νοεῖ. Schol. Br. τὸν λεγόμενον ἰδιωτικῶς καριδᾶν λέγει. τὸ δὲ εἵλκυσεν ἀντὶ τοῦ ἐν τῷ θεάτρῳ εἰσήγαγε νόει. Schol. Br. κόρδαχ' εἵλκυσεν: Ἀσεμνῶς ὠρχήσατο. Gl. Victor. τρία εἴδη ὀρχήσεως, ὡς καὶ Ἡσύχιος ὁ ἰλούστριος φησὶν, ἐμμέλεια, κ. τ. λ. Schol. Cant. 2.]

541. οὐδὲ πρεσβύτης ὁ λέγων: Ὡς Εὔπολις ἐν τοῖς Προσπαλτίοις. ἢ ὡς εἰς τοῦτο τὸ μέρος εὐεπίφορον ὄντα τὸν Ἕρμιππον.

542. τύπτει τὸν παρόντ' ἀφανίζων: Τοῦτο εἰς Ἕρμωνα λέγει τὸν ὑποκριτήν. καὶ γὰρ ἐκεῖνος τοῦ γελᾶν χάριν τοὺς ἐγγὺς ἑστῶτας ἔτυπτε τῇ βακτηρίᾳ. [ἀφανίζων πονηρὰ σκώμματα: Τὰ φαῦλα σκώμματα, ὅ ἐστι τὰς εὐτελῶς πεπλασμένας κωμῳδίας ἀφανεῖς ποιῶν, τουτέστι περικαλύπτων τῷ γέλωτι καὶ τῇ παιδιᾷ. ἢ οἷον ἐπιτρίβων τὰ σκώμματα καίπερ πονηρὰ ὄντα. R. ἐκτὸς δὲ ἑαυτοῦ ποιήσας τὰ πονηρὰ σκώμματα τούτοις τοῖς γελοίοις χρῆται. ἔδει δὲ εἰς τὸ χρήσιμον τῶν Ἀθηναίων τὰ πονηρὰ σκώμματα λέγειν, δι' ὧν ἐπαιδεύοντο οἱ κακῶς πράττοντες. V.] ἰστέον δὲ ὅτι πάντα ὅσα ἂν λέγῃ, εἰς ἑαυτὸν τείνει. τοὺς μὲν γὰρ φάλητας εἰσήγαγεν ἐν τῇ Λυσιστράτῃ, τὸν δὲ κόρδακα ἐν τοῖς Σφηξὶ, τοὺς δὲ φαλακροὺς ἐν

2. ἔστι—κωμικῆς] εἶδος ὀρχήσεως κωμικῆς ἀσχημοσύνης. ὅτι τρία εἰσὶ εἴδη ὀρχήσεως—σίκιννις δὲ σατυρικῆς καὶ κόρδαξ κωμικῆς V. Totum scholion om. G.

3. σικιννὶς] σίκιννις V. σικυννὶς R. Conf. grammaticum in Montefalc. Bibl. Coislin. p. 610. et annotationem ad Athenæum 14. p. 610 B.

10, 11. Ὡς Εὔπολις—Ἕρμιππον om. R.V.

10. Προσπαλτίοις Casaubonus ad Athen. 7, 22. Προσπαταλίοις Ald.

12. τοῦτο εἰς (τοῦτο εἰς om. R.) Ἕρμωνα (σέρμωνα V.) λέγει (λέγουσι G.) τὸν ὑποκριτήν addidi ex R.V. Pro his Ald. in præcedente scholio post Ἕρμιππον addit οἱ δὲ Σισέρμιον τὸν ὑποκριτήν, quæ om. R.V.

14–20. ἀφανιζων—οἱ κακῶς πράττοντες] τὸ δὲ ἀφανίζων, ὅ ἐστιν ἐκτοπίσας, καὶ ἀποφυγὼν τὰ σκώμματα, δι' ὧν ἔδει σωφρονίζειν τοὺς κακῶς πράττοντας· ἐκτὸς ἑαυτοῦ ποιῶν τὰ πονηρὰ σκώμματα, ἢ τὸ ἀφανίζων, ἀντὶ τοῦ ἀφανεῖς ποιῶν, τουτέστι περικαλύπτων τῷ γέλωτι τὰς εἰκῇ διεσκεμμένας αὐτοῦ κωμῳδίας καὶ εὐτελῶς πεπλασμένας Ald.

14–17. ἀφανίζων—πονηρὰ ὄντα] Hæc in R. scholio præcedenti sunt præposita.

20–p. 480. l. 2. ἰστέον—τοπρῶτον om. R.V. Est recentioris grammatici annotatio, non cogitantis Lysistratam Vespas Pacem Aves posteriores Nubibus fabulas esse.

Εἰρήνῃ, τὸν δὲ πρεσβύτην ἐν Ὄρνισι, τὰς δὲ δᾷδας καὶ τὸ ἰοὺ ἰοὺ ἐν Νεφέλαις τοπρῶτον. [οὐδὲ πρεσβύτης: Ὁ Σιμέρμων. Gl. Cant. 3. Σιμέρμων τις ἕτερος κωμικὸς ἔν τινι αὐτοῦ δράματι εἰσῆξε πρεσβύτην τινὰ βακτηρίαν κρατοῦντα. Schol. Cant. 3.]

543. οὐδ' εἰσῆξε δᾷδας: Οὐκ ἔστι δῆλος ἐνταῦθα τίνι παρονειδίζει· ἀλλ' ἴσως ἑαυτῷ, ἐπεὶ πεποίηκεν ἐν τῷ τέλει τοῦ δράματος καιομένην τὴν διατριβὴν Σωκράτους, καί τινας τῶν φιλοσόφων λέγοντας ἰοὺ ἰού. ἐν δὲ ταῖς πρώταις Νεφέλαις τοῦτο οὐ πεποίηκε. ποιεῖ δὲ αὐτὸ μετὰ λόγου, οὗτοι δὲ ἀκαίρως.

544. ἀλλ' αὐτῇ: Τῇ ἐπινοίᾳ τῆς ὑποθέσεως καὶ οἰκονομίᾳ καὶ τῇ χάριτι τῶν ἐπῶν θαρροῦσα. [τοῖς ἔπεσιν, τοῖς μέτροις. ὅτι καὶ τὰ μέτρα ἔπη καλοῦσι. R. πιστεύουσα: Θαρροῦσα. ἐλήλυθεν: Εἰς τὸ θέατρον. Gl. Victor.]

545. οὐ κομῶ: Ἀντὶ τοῦ οὐ μέγα φρονῶ οὐδὲ σεμνύνομαι. χαριέντως δὲ λέγει, ἐπεὶ φαλακρὸς ἦν. [κομῶ: Ἐπαίρομαι. Gl. Victor.]

546. δὶς καὶ τρὶς: Καίτοι καὶ αὕτη δευτέρα εἰσήχθη, ἀλλ' ἴσως διάφορος. δοκοῦσι δὲ οἱ πολλοὶ κωμικοὶ ἀπὸ τῶν αὐτῶν λημμάτων τὰ αὐτὰ εἰσάγειν δράματα.

[547. καινὰς: Ἀντὶ τοῦ νέας καὶ οὐ τὰς αὐτὰς πάλιν. R. νέας. σοφίζομαι: Σοφὸς φαίνομαι, ἢ μηχανῶμαι. Gl. Victor.]

549. ὃς μέγιστον ὄντα: Ὁ Κλέων ἀποθνήσκει ἐπὶ Ἀμεινίου.

2, 3. Σιμέρμων—Σιμέρμων] σιμέρμνων—σιμέρμνω codex. Simplex histrionis nomen Ἕρμων fuit ut in scholio codicum R.V. scribitur, compositum cum Σῖμος autem Σιμέρμων fuit. Si constaret scriptas ab eo comœdias fuisse, quod ex verbis Aristophanis temere collegit scholiasta codicis Cantabrigiensis, nomen ejus restituendum foret Epimerismis Homericis in Crameri Anecdotis vol. I. p. 102, 8. τὸ δὲ παρὰ μιμηερμῦ " ὦ Ζεῦ πολυτίμηθ' " ὡς καλαὶ νῷν αἱ γυναῖ" εἰ μὲν περισπάσεις, ἀποκοπὴ ἐκ τοῦ γυναῖκες etc.
5. Scholia v. 543–546. om. R.
ib. ἐνταῦθα add. V.
6. ἀλλ' ἴσως] ἀλλὰ καὶ V.
9. ποιεῖ V. ποιήσει Ald.
ib. μετὰ] ὡς μετὰ V.
ib. μετὰ λόγου] κατὰ λόγον G.
10, 11. Τῇ—θαρροῦσα om. V.
14. Ἀντὶ—φρονῶ add. V. Gl. οὐ μέγα φρονῶ habet R.
ib. οὐδὲ V. οὐ Ald.
15. λέγει] λείπει V, om. G.
17. δευτέρα V. δεύτερον Ald.
ib. ἴσως] ἴσος V, non G.
18. διάφορος V. διαφόρως Ald.
ib. οἱ πολλοὶ V. καὶ οἱ ἄλλοι Ald.
22–p. 481. l. 6. Ὁ Κλέων—καὶ κλοπῆς] Hoc scholion legebatur in fine scholii v. 552. Transposui cum R.V.
22. ἀμεινίου R.V. Ἀμινίου Ald.

πρὸ τούτου δέ ἐστιν Ἴσαρχος, ἐφ' οὗ αἱ πρῶται Νεφέλαι εἰσήχθησαν. ὁ μέντοι Ἀνδροτίων ἐπὶ Ἀλκαίου φησὶ τοῦ μετὰ Ἀμεινίαν τὸν Κλέωνα τελευτῆσαι δυσὶν ἔτεσιν ὕστερον τῆς τῶν Νεφελῶν διδασκαλίας. εἰκότως οὖν ὡς ἔτι περιόντι τῷ Κλέωνι λοιδορεῖται ὁ Ἀριστοφάνης οὐ μόνον ἐν τοῖς προκειμένοις, ἀλλὰ καὶ ἐν τοῖς ἑξῆς "ἣν Κλέωνα τὸν "λάρον δώρων ἑλόντες καὶ κλοπῆς." ὥσπερ ζῶντος αὐτοῦ διαλέγεται ἐν οἷς φησι "Κλέωνα τὸν λάρον." καὶ Ἀνδροτίων δέ φησιν αὐτὸν ἐπὶ Ἀλκαίου τεθνάναι δυσὶν ἔτεσιν ὕστερον Ἰσάρχου, ἐφ' οὗ αἱ πρῶται Νεφέλαι ἐδιδάχθησαν. πῶς οὖν δύναται καὶ τοῦ Μαρικοῦ μεμνῆσθαι, ὃς ἐδιδάχθη μὲν πρὸ τῶν Νεφελῶν, ὡς καὶ νῦν αὐτός φησιν; ἐκεῖ δὲ ὁ Εὔπολις ὡς τεθνηκότος Κλέωνος μέμνηται. ἢ ἐπεὶ οὐ φέρονται αἱ διδασκαλίαι τῶν δευτέρων Νεφελῶν, οὐδὲν δυνάμεθα διαρθρῶσαι, εἰ Εὔπολις ἐπλάσατο τὴν Κλέωνος τελευτὴν ἐν Μαρικᾷ.

ἔπαισ' ἐς τὴν γαστέρα: Ἔτυψα. ἔγραψε γὰρ κατ' αὐτοῦ τοὺς Ἱππέας. [ἔπαισα: Ἔτυψα, ἢ ὅτι γαστρίμαργος ἦν, ἢ διὰ τὸ σφετερίζεσθαι πολλὰ τῶν κοινῶν. Gl. Victor.]

550. κοὐκ ἐτόλμησ' αὖτις: Ἀντὶ τοῦ ἠρκέσθην τῇ μιᾷ κωμῳδίᾳ.

[ἐπεμπήδησα: Δεύτερον ἐκωμῴδησα. Gl. Victor.]

[551. λαβὴν: Ἀρχήν. R. ἀφορμὴν μέμψεως. Gl. Victor.]

552. κολετρῶσ' ἀεὶ: Ἀντὶ τοῦ κατὰ κόλου τύπτουσιν. ἀντὶ

1–3. πρὸ τούτου—διδασκαλίας om. R.

1. τούτου δὲ] δὲ τούτου V.

ib. ἐστιν V. ἦν G. omittit Ald.

ib. πρῶται add. V.

2. Ἀνδροτίων] ἀνδροτίων οὗτος V.

ib. ἀμεινίαν V. Ἀμινίαν Ald.

3. τελευτῆσαι—ὕστερον V. δυσὶν ὕστερον ἔτεσι τεθνάναι Ald. De morte Cleonis conf. schol. Paris v. 48.

5, 6. ἣν Κλέωνα—κλοπῆς om. V.

6. ἑλόντες καὶ κλοπῆς om. Ald.

6–13. ὥσπερ ζῶντος—τελευτὴν ἐν Μαρικᾷ] Recentioris scholiastæ annotatio, qua carent R.V.

8. ὕστερον Ἰσάρχου Kusterus. Legebatur ὕστερον. Ἴσαρχος δέ φησιν.

ib. ἐφ'] ἀφ' Ald. Correctum ex scholio superiore.

12. δευτέρων Elmsleius in Diario classico fasc. 11. p. 136. Legebatur δύο.

15. Ἱππέας] Delevi quod addebatur ἔτυψα ἐν τοῖς Ἱππεῦσιν. In principio scholii ponebat Ruhnkenius. Totum scholion om. R.V. Gl. ἐν τοῖς ἱππεῦσιν habet R.

17. κοὐκ ἐτόλμησ' αὖτις] Lemma addidit Ruhnkenius.

ib. ἠρκέσθην] ἀρκέσθαι V. ἠρκέσθαι G.

ib. μιᾷ R.V. πρώτῃ Ald.

21. Ἀντὶ τοῦ κατὰ κόλου τύπτουσι] Legebatur κατὰ τοῦ κόλου τύπτουσιν, quæ verba om. V, R. autem infra ponit post δευτέρων Νεφελῶν sic scripta, λέγει ὅτι ἀντὶ τοῦ κατὰ κόλου τύπτουσι.

ib. ἀντὶ τοῦ καταπατοῦσιν R. ἀντὶ τοῦ οἱ ἄλλοι κωμῳδοὶ καταπάττουσιν V. ἢ καταπατοῦσιν Ald.

τοῦ καταπατοῦσιν, ἀπὸ τῶν τὰς ἐλαίας καταπατούντων. οἱ δὲ τὸ ἐνάλλεσθαι τῇ κοιλίᾳ καὶ τύπτειν εἰς τὴν γαστέρα. κόλον γὰρ τὸ παχὺ ἔντερον. δῆλον δὲ ὅτι πρότερος ὁ Μαρικᾶς ἐδιδάχθη τῶν δευτέρων Νεφελῶν. Ἐρατοσθένης δέ φησι Καλλίμαχον ἐγκαλεῖν ταῖς διδασκαλίαις, ὅτι φέρουσιν ὕστερον τρίτῳ ἔτει τὸν Μαρικᾶν τῶν Νεφελῶν, σαφῶς ἐνταῦθα εἰρημένου ὅτι πρότερον καθεῖται. λανθάνει δ' αὐτὸν, φησὶν, ὅτι ἐν μὲν ταῖς διδαχθείσαις οὐδὲν τοιοῦτον εἴρηκεν, ἐν δὲ ταῖς ὕστερον διασκευασθείσαις εἰ λέγεται, οὐδὲν ἄτοπον. αἱ διδασκαλίαι δὲ δῆλον ὅτι τὰς διδαχθείσας φέρουσι. πῶς δ' οὐ συνεῖδεν ὅτι καὶ ἐν τῷ Μαρικᾷ προτετελεύτηκε Κλέων, ἐν δὲ ταῖς Νεφέλαις λέγεται

εἶτα τὸν θεοῖσιν ἐχθρὸν βυρσοδέψην.

[κολετρῶσ': Ὑβρίζουσι. Gl. Br. ὃ φασὶν ἰδιωτικῶς κλοτζοκοποῦσι (τζαλαπατοῦσι D. κλοτζοκουποῦσιν E.) Gl. C.]

[553. τὸ δρᾶμα ἐν ᾧ τὸν Ὑπέρβολον Εὔπολις ἐκωμῴδει Μαρικᾶς ἐκαλεῖτο. Schol. Cant. 2. παρείλκυσεν: Εἰς τὸ θέατρον εἰσήγαγεν. Gl. Br. Victor.]

554. ἐκστρέψας: Ἅπαντα τὰ ἐμὰ, φησὶν, ἔλαβε, προσθεὶς γραῦν μεθύσην, τὴν δοκοῦσαν μητέρα εἶναι τοῦ Ὑπερβόλου. Εὔπολις δὲ ἐν τοῖς Βάπταις τοὐναντίον φησὶν, ὅτι συνεποίησεν Ἀριστοφάνει τοὺς Ἱππεῖς. λέγει δὲ τὴν τελευταίαν παράβασιν. φησὶ δὲ " κἀκείνους

1. καταπατούντων R. καταπαττόντων V. πατούντων Ald. ὃ δὴ λέγουσι κοκέτρειν (i. e. κολετρᾶν) addit Victor.

ib. οἱ δὲ τὸ V, quæ verba in R. legi non possunt. ἢ τὸ Ald.

2, 3. καὶ τύπτειν—ἔντερον om. R.V.

3. πρότερος Hermannus. πρῶτος Ald.

ib. Μαρικᾶς] μακαρικᾶς V, non G.

ib. δευτέρων] β V.

4–12. Ἐρατοσθένης — βυρσοδέψην om. R.V.

11. λέγεται] 581.

12. εἶτα—ἐχθρὸν] εἰς—ἐχθρὸν τὸν Ald.

ib. Post βυρσοδέψην pergit Ald. Εὔπολις δὲ ἐν τοῖς—ἀδωρησάμην. Κλέων ἀποθνήσκει—λάρον δώρων. (Hæc Κλέων—δώρων ex scholio v. 549.) καὶ τὴν μητέρα: τὴν Ὑπερβόλου. τὴν δοκοῦσαν ἐν ταῖς Ἀρτοπώλισι. πολλὰ κατ' αὐτοῦ εἶπεν Ἕρμιππος. ἐκστρέψας: πάντα—ἔλαβεν. ἣν Φρύνιχος: φέρεται etc.

18. ἅπαντα V. πάντα Ald. ἅπαντα—μεθύσην om. R.

ib. προσθεὶς γραῦν μεθύσην addidi ex V.

19. τὴν δοκοῦσαν—Ὑπερβόλου] Sic scripturam Aldinam correxi ex R.V.

19–p. 483. l. 1. Εὔπολις δὲ—κἀδωρησάμην om. R.V.

20. Ἀριστοφάνει Kusterus. Ἀριστοφάνης Ald.

21. τὴν τελευταίαν παράβασιν] Conf. schol. Equit. 1288.

κἀκείνους Hermannus. κἀκεῖνος Ald.

"τοὺς Ἱππέας | ξυνεποίησα τῷ φαλακρῷ τούτῳ καδωρησάμην." [ἐκστρέψας—κακῶς: Συλήσας. Gl. V. (non G.). μεταβαλών. Gl. Victor.]

[555. γραῦν μεθύσην: Τὴν μητέρα Ὑπερβόλου. ἥν: Γραῦν. Gl. Victor.]

556. ἣν Φρύνιχος: Κωμῳδεῖται ποιητὴς ὁ Φρύνιχος, ὃς εἰσήγαγε γραῦν ἐσθιομένην ὑπὸ κήτους κατὰ μίμησιν Ἀνδρομέδας, διὰ γέλωτα τῶν θεωμένων. ἴσως δὲ νῦν ἐν ὑπερβολῇ, αὐτὴν τὸ κῆτος ἤσθιεν.

557. εἶθ' Ἕρμιππος: Ἕρμιππος μὲν δρᾶμα οὐκ ἐποίησεν εἰς Ὑπέρβολον. ἔοικε δὲ τὰ εἰς τὰς Ἀρτοπώλιδας λεχθέντα κατ' αὐτοῦ σημαίνειν.

[558. ἐρείδουσιν: Καὶ γὰρ Πλάτων ὅλον δρᾶμα ἔγραψεν εἰς Ὑπέρβολον. R.V. ἑδραιοῦσι τὰς ἑαυτῶν κωμῳδίας. Gl. Victor.]

559. τῶν ἐγχέλεων: Ἀντὶ τοῦ λέξεων εἰπεῖν, ἐγχέλεων ἔφη, παρόσον ἐν τοῖς Ἱππεῦσιν ἐμνήσθη τῶν ἐγχέλεων

ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.

τὸ δὲ διὰ παραβολῆς εἰκάζειν τῆς πόλεως τὰ πράγματα ἐξ αὐτοῦ φησιν εἰληφέναι τοὺς ἄλλους ὁ Ἀριστοφάνης.

560. τούτοισι γελᾷ: Οἷον, εἴ τις ἐκείνοις τέρπεται, καὶ ἡδέως ἀκούει, τοῖς ἐμοῖς μὴ προσίτω. [ἥδεται. Gl. Victor.]

1. ξυνεποίησα schol. Equit. Scribebatur συνεποίησα.

ib. τούτῳ addidit Hermannus.

ib. καδωρησάμην Hermannus. ἀδωρησάμην Ald. hic et in scholio v. 540.

6–8. κωμῳδεῖται—κῆτος ἤσθιεν R. φέρεται ὑπεύθυνος Φρυνίχου. μήποτε οὖν ἐκείνην φράζων ὡς γραῦν ἐκκειμένην τῷ κήτει. καὶ ἴσως ἐν Ὑπερβόλῳ ἂν λέγοι αὐτὸς, ὅτι τὸ κῆτος ἤσθιεν. Ἄλλως. εἰσῆγε γραῦν Φρύνιχος ὑπὸ κήτους ἐσθιομένην, κατὰ μίμησιν Ἀνδρομέδας, διὰ γέλωτα τῶν θεατῶν. ἦν δὲ καὶ αὐτὸς κωμῳδίας ποιητής Ald. Totum scholion om. V.

8. αὐτὴν] αὐτῇ R. Scribendum αὐτὴν, aut ὅτι αὐτὴν, aut τὸ ἥν.

10. τὰ εἰς τὰς ἀρτοπώλιδας λεχθέντα R.V. τὸ πλείστας ἀρτοπώλιδας λεχθὲν Ald.

ib. κατ' αὐτοῦ] καθ' αὐτοῦ R.

12. γὰρ om. V.

14–16. Ἀντὶ—ὅπερ γὰρ οἱ] ἀντὶ τοῦ εἰπεῖν λέξεων εἶπεν ἐγχέλεων. ἐμνημόνευσε γὰρ ἐγχέλεων ἐν ἱππεῦσι, ὅπερ οἱ V. Totum scholion om. R, sed habet gl. ἀντὶ τοῦ τῶν λέξεων.

15. Ἱππεῦσιν] 864.

16. πέπονθας] πεπόνθασι V. Ald.

17, 18. τὸ δὲ—ὁ Ἀριστοφάνης om. V. Addit Victor. gl. ἐγχέλεων, δρᾶμα οὕτω καλούμενον. et scholion non minus absurdum, ἐν τῷ τῶν Ἐγχέλεων δράματί φησιν ὁ Ἀριστοφάνης, ὅτι οἱ βουλόμενοι θηρεῦσαι ἐγχέλεις, εἰ μὴ ταράξωσι τὸ ὕδωρ, αὐτὰς οὐκ ἰσχύουσιν.

19, 20. Οἷον—προσίτω] ὅστις ἐκείνοις τέρπεται, τοῖς ἐμοῖς μὴ προσίτω R.

[561. *εὑρήμασι*: Νοήμασι *καὶ ποιήμασι*. Gl. Victor.]

562. *εὖ φρονεῖν*: Παρ' *ὑπόνοιαν. δέον γὰρ εἰπεῖν, ἐλεύσεσθε, ἐπήνεγκεν, ὅτι φρόνιμοι δόξετε εἶναι καὶ εὖνοί μοι καὶ εὖ φρονοῦντές μοι. διὸ ἐπισημειοῦσθαι τὴν λέξιν ἔδει τὸ χ.* [*ἐς τὰς ὥρας τὰς ἑτέρας*: Εἰς *τοὺς μετὰ ταῦτα ἐνιαυτούς*. Gl. Victor.]

563. *ὑψιμέδοντα μὲν*: Τοῦτο *ᾠδὴ καὶ στροφὴ ὀνομάζεται, διὰ τὸ στροφήν τινα ποιεῖσθαι τὸν χορὸν ἀπὸ τοῦ πρὸς τοὺς θεατὰς ὁρᾷν καὶ ᾄδειν, εἰς ἕτερον ἀφορῶντα μέρος. ἔστι δὲ ὡς ἐπιτοπλεῖστον εἰς θεοὺς ἡ ᾠδή. ἔστι δὲ ἡ παροῦσα στροφὴ κώλων ιβ'. ὧν τὸ πρῶτον χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐπιμεμιγμένον διιάμβῳ. τὸ β' ὅμοιον. τὸ τρίτον δίμετρον καταληκτικὸν, ἐπιμεμιγμένον βακχείῳ, ὃ καλεῖται ἑφθημιμερές. τὸ τέταρτον καὶ τὸ πέμπτον τῷ πρώτῳ ὅμοια. τὸ ἕκτον τρίμετρον ἐκ διιάμβου, χοριάμβου καὶ βακχείου. τὸ ἕβδομον δακτυλικὸν τετράμετρον. τὸ ὄγδοον δακτυλικὸν πεντάμετρον. τὸ ἔνατον δίμετρον, ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ δέκατον ὅμοιον, ἐκ δισπονδείου καὶ χοριάμβου, ἢ δακτυλικὸν ἑφθημιμερὲς, τῆς σι ἀντὶ μακρᾶς λογιζομένης. τὸ ἑνδέκατον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, τὸ καλούμενον* Γλυκώνειον, *ἐκ διτροχαίου καὶ διιάμβου, ὡς ἔχει τὰ* Γλύκωνος

κάπρος ἡνίχ' ὁ μαινόλης
Κύπριδος *θάλος ὤλεσε.*

τὸ δυοκαιδέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, τὸ καλούμενον Φερεκράτειον *ἑφθημιμερὲς, ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου, ὡς ἔχει τὰ* Φερεκράτους

ἄνδρες πρόσχετε τὸν νοῦν
ἐξευρήματι καινῷ,
συμπτύκτοις ἀναπαίστοις.

καλεῖται δὲ ταῦτα πολυσχημάτιστα, διὰ τὸ διάφορα δέχεσθαι μέτρα. ἐπὶ τῷ τέλει παράγραφος [*καὶ διπλῆ ἔσω νενευκυῖα* Junt.], *δηλοῦσα ἔχειν ἀνταπόδοσιν.* [*ὕμνος εἰς τοὺς θεοὺς ἀπὸ χοροῦ.* Victor.]

2–4. Παρ' *ὑπόνοιαν—τὸ χ*] *ἀντὶ τοῦ εἰπεῖν ἐλεύσεσθε τοῦτο* (*τοῦτο* om. V.) *παρ' ὑπόνοιαν ἐπήνεγκεν ὅτι φρόνιμοι δόξετε εἶναι* (*εἶναι* om. V.) R.V.

3. *εὖνοί μοι* Dobræus. *εὔνομοι* Ald.

4. *τὸ χ*] *τῷ χ* Hermannus.

6–30. Τοῦτο*–ἀνταπόδοσιν* om. R. V.

13. *χοριάμβου* Hermannus. *χοριαμβικοῦ* Ald.

21. *θάλος* Hephæstio p. 56. *θάλλος* Ald.

27. *συμπτύκτοις* Hephæstio. *συμπτύστοις* Ald.

564. Ἄλλως. τὸν Δία ἐπικαλοῦνται, ὃν οἱ φιλοσοφοι εἶναι οὐκ ἔφασκον, ἀλλὰ ταύτας εἶναι τὸ πᾶν διεβεβαιοῦντο. εἰκότως οὖν καὶ διὰ τούτων σκώπτει τοὺς φιλοσόφους. ὃν γὰρ εἶναι οὐκ ἐδόξαζον, αἱ νομιζόμεναι ὑπ' αὐτῶν Νεφέλαι τοῦτον ἐπικαλοῦνται. [Ζῆνα: Τὸν Δία. χορὸν: Ἤτοι εἰς ἡμᾶς ἐλθεῖν. Gl. Victor.]

[565. κικλήσκω: Ἀπὸ τοῦ κλῶ τοῦ σημαίνοντος τὸ καλῶ γέγονε κλήσω, ὁ μέλλων, καὶ πλεονασμῷ τοῦ κ καὶ ἀναδιπλασιασμῷ κικλήσκω, ὡς τρώσω, τιτρώσκω. Gl. Victor.]

566. τόν τε μεγασθενῆ: Ἔθος τοῖς ποιηταῖς τὴν ἀρχὴν τῶν ποιημάτων ἀπὸ τοῦ Διὸς ποιεῖν. ἐν πρώτοις οὖν, φησὶ, τὸν Δία ὑμνήσωμεν, μετὰ δὲ τοῦτον τὸν Ποσειδῶνα, καὶ αὐτὸς τὴν Ὁμηρικὴν τάξιν τῆς ἡλικίας δηλῶν.

[ταμίαν: Ἤγουν φύλακα. τὸν Ποσειδῶνα φησὶν, ὃς τούς τε σεισμοὺς καὶ τὰς ἐν θαλάσσῃ τρικυμίας ποιεῖ· τὰς μὲν, ὡς κύριος ὢν τῶν ἀνέμων· σείει δὲ τὴν γῆν διὰ τῶν αὐτῶν τούτων ἀνέμων, εἰσιόντων εἰς τοὺς ἀδήλους πόρους αὐτῆς. Schol. Br. ταμίαν: Φύλακα. Gl. Victor.]

567. γῆς τε καὶ ἁλμυρᾶς: Δοκεῖ γὰρ ὁ Ποσειδῶν οὐ τὴν θάλασσαν κινεῖν μόνον, ἀλλὰ καὶ τὴν γῆν. καλῶς δὲ μετὰ τὸν Δία τὸν Ποσειδῶνα πεποίηκεν ὑμνούσας τὰς Νεφέλας· ἔχει γὰρ καὶ οὗτος κοινωνίαν τινὰ πρὸς αὐτὰς, τῆς ὑγρᾶς οὐσίας δεσπόζων.

[568. ἄγριον: Ἰσχυρότατον. μοχλευτήν: Κινητήν. Gl. Victor.]

[569. μεγαλώνυμον: Μεγαλόδοξον. ἐν τούτῳ γὰρ αἱ νεφέλαι συνίστανται. Gl. Victor.]

570. Αἰθέρα: [τὸν ἀέρα λέγει· ὁ γὰρ αἰθὴρ ἀνέφελος καὶ βιοθρέμμων ὁ ἀὴρ, οὐχ ὁ αἰθήρ· καὶ τὰ ζῶα ἐν τῷ ἀέρι ἔχει τὸ ζῆν.

1–4. Ἄλλως — ἐπικαλοῦνται om. R.V.

9–11. ἔθος—μετὰ δὲ τοῦτον τὸν R.V. ὅτι ἔθος τοῖς ποιηταῖς ἀπὸ Διὸς ἄρχεσθαι. μετὰ δὲ τὸν Ald.

10. ποιεῖν] ποιεῖσθαι V.

11. δὲ τοῦτον τὸν] ταῦτα δὲ τὸν V.

11, 12. Ποσειδῶνα. καὶ — δηλῶν R.V. Ποσειδῶνα ὑμνεῖν. καὶ αὐτὸς δὲ τὴν Ὁ. τ. τ. ἡ. δηλοῖ Ald. Post δηλῶν pergit V, ἄλλως. εἰκότως δὲ—ἐξ ὧν αἱ νεφέλαι. Quæ post scholion v. 572. posui auctore R.

18. ὁ add. R.V.

19, 20. καλῶς—Νεφέλας addidi ex R.V.

20, 21. ἔχει—δεσπόζων (δεσπότης ὢν V.) R.V. ἔχει δὲ καὶ κοινωνίαν πρὸς αὐτὰς ὡς δεσπόζων ὑγρᾶς οὐσίας Ald. Sequitur in Ald. scholion illud εἰκότως οὖν etc. de quo modo dixi.

R.V.] ἀντὶ τοῦ ἀέρα· ὁ γὰρ αἰθὴρ διακαὴς ὢν ἀνέφελος ἐστι. καὶ ἐκ τοῦ βιοθρέμμονος δῆλον ὅτι ἀὴρ, οὐχὶ αἰθήρ. ἢ ἐπειδὴ τὰ ζῶα ἐν τῷ ἀέρι ἔχει τὴν ζωήν. βιοθρέμμονα δὲ, ἐπειδὴ ἀρδεύει τὴν γῆν.

[571. *βιοθρέμμονα*: Τὸν βίου καὶ ζωῆς παρεκτικόν. Gl. Victor.]

572. *τόν θ' ἱππονώμαν*: Τὸν ἥλιον, τὸν ἐλαύνοντα καὶ νωμῶντα τὸ ἅρμα, καὶ τοὺς ἵππους ἡνιοχοῦντα. εἰκότως δὲ τῶν θεῶν τούτων ἐμνημόνευσεν ἐπειδὴ αἱ νεφέλαι ἐξ αὐτῶν συνεστάναι δοκοῦσιν· ἀπὸ μὲν Διὸς ὅτι γενάρχης, ἀπὸ Ποσειδῶνος, ὅτι τῆς ὑγρᾶς οὐσίας δεσπότης, ἀπὸ δὲ Ἡλίου, ὅτι δοκεῖ διάπυρος ὢν ἕλκειν εἰς ἑαυτὸν τὴν τῆς θαλάσσης ὑγρότητα, ἐξ ἧς αἱ νεφέλαι. [τὸν ἵππους κινοῦντα ἥλιον. Gl. E. τὸν ἥλιον τὸν τοὺς ἵππους κινοῦντα. Gl. Victor.]

[574. *πέδον*: Ἔδαφος. Gl. Victor.]

576. *ὦ σοφώτατοι θεαταὶ*: Τοῦτο ἐπίρρημα ὀνομάζεται, διὰ τὸ ἐπιρρέπειν αὖθις τὸν χορὸν πρὸς τοὺς θεατὰς, καὶ χρηστά τινα συμβουλεύειν αὐτοῖς, ἢ σκώπτειν τοὺς πονηρούς. ἔστι δὲ ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν, ὧν τελευταῖος

ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει συνοίσεται.

ἐπὶ τῷ τέλει διπλῇ ἔσω νενευκυῖα, δηλοῦσα ἔχειν ἀνταπόδοσιν.

581. *μηδενὶ ξὺν νῷ*: Μηδεμιᾷ διανοίᾳ γινομένη καὶ κρίσει, ἀλλ' ἀσυμφόρως καὶ ἀκαίρως καὶ μετὰ μηδενὸς λογισμοῦ, οἷον προπετῶς. ἐκ τῶν πρώτων δὲ Νεφελῶν ἐστι ταῦτα. τεθνεὼς γὰρ ἦν νῦν ὁ Κλέων.

[*βροντῶμεν ἢ ψεκάζομεν*: Δῆλον ἐντεῦθεν ποιοῦσαι, ὡς οὐκ ἀποδεχόμεθα ταύτην, ὡς ἀλυσιτελῆ τῆς πόλεως. Gl. Br.]

[582. *βυρσοδέψην*: Σκυτοτόμον τὸν τὰς βύρσας θεραπεύοντα καὶ μαλάζοντα καὶ ἐμβρέχοντα. Gl. Victor.]

1–3. ἀντὶ τοῦ—ἀρδεύει τὴν γῆν om. R.V.

5, 6. τὸν ἐλαύνοντα—ἡνιοχοῦντα om. R. Post ἡνιοχοῦντα addit Ald. ἐξ αὐτοῦ δὲ δοκοῦσι συνεστάναι. διάπυρος γὰρ ὢν ἕλκει εἰς ἑαυτὸν τὴν τῆς θαλάσσης ὑγρότητα, ἐξ ἧς αἱ νεφέλαι, supra autem in fine scholii v. 567. ponit εἰκότως οὖν τῶν θεῶν τούτων ἐμνημόνευσε. τοῦ μὲν Διὸς, ὅτι γεννάρχης· τοῦ δὲ Ποσειδῶνος, ὅτι τῶν ὑγρῶν δεσπότης· Ἀέρος δὲ, ὅτι πατήρ· Ἡλίου δὲ, ἐπεὶ διάπυρος ὢν τὴν ἰκμάδα ἐπισπώμενος ἐργάζεται νεφέλην. Correxi ex R.V.

9. ἀπὸ δὲ Ἡλίου] δὲ om. R.

10. ἐξ ἧς] ἐξ ὧν R.V.

13–18. Τοῦτο—ἀνταπόδοσιν om. R.V.

19. μηδεμιᾷ διανοίᾳ γινομένη καὶ κρίσει V. μηδεμιᾷ διανοίᾳ καὶ κρίσει R. ξὺν μηδεμιᾷ κρίσει, μετ' οὐδενὸς νοῦ Ald.

20. καὶ μετὰ R.V. καὶ om. Ald.

21, 22. ἐκ τῶν—Κλέων om. R.V.

583. *τὰς ὀφρῦς συνήγομεν*: Συννέφειαν *ἐποιήσαμεν καὶ ἐχαλεπαίνομεν ἢ ἐστυγνάζομεν.* Ἄλλως. *ἐπεὶ ὁ* Κλέων *τοιοῦτος. εἶπε δὲ ἀνωτέρω, ὅτι πάντας μιμοῦνται.*

584. *βροντὴ δ' ἐρράγη*: Παρὰ τὰ ἐν Τεύκρῳ Σοφοκλέους

οὐρανοῦ δ' ἄπο
ἤστραψε, βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς.

585. *ἡ* Σελήνη *δ' ἐξέλιπεν*: Ἐπειδὴ *ἔκλειψις ἐγένετο σελήνης τῷ προτέρῳ ἔτει ἐπὶ* Στρατοκλέους *βοηδρομιῶνι.*

586. *τὴν θρυαλλίδα*: Τουτέστι *τὰς ἀκτῖνας εἰς ἑαυτὸν συνέστειλεν. ἔκλειψις γὰρ ἡλίου ἐγένετο κατά τινα τύχην,* Κλέωνος *χειροτονουμένου. ἀπὸ τῶν λύχνων ἡ μεταφορά. φησὶ δὲ οὐχ ὡς τοῦ ἡλίου ἐκλείψαντος, ἀλλ' ὡς ἀπειλοῦντος ἐκλείψειν, εἰ στρατηγήσει* Κλέων. *τοῦτο δὲ παρὰ τὸ* Ὁμηρικὸν

δύσομαι εἰς ἀΐδαο, καὶ ἐν νεκύεσσι φαείνω.

588. *δυσβουλίαν*: Τὴν *οὐκ ὀρθῶς βουλήν. ἀποτυχόντος φασὶ* Ποσειδῶνος *τῆς χώρας, τὸ κακῶς βουλεύεσθαι* Ἀθηναίοις *ἤσκητο· τὴν δὲ* Ἀθηνᾶν *παρασχεῖν δωρεὰν τὸ κακῶς βουλευθὲν ἀποκλῖναι καλῶς. καὶ ἦν τοῦτο λεγόμενον ἐπιχώριον. καὶ* Εὔπολις

1. *συννέφειαν*] *τὸ δὲ ψεκάζομεν ἀντὶ τοῦ συννέφειαν* V.
ib. *ἐχαλεπαίνομεν* V. *ἐχαλεπήνομεν* R. *ἐχαλεπήναμεν* Ald.
2. *ἐστυγνάζομεν* R.G. *ἐστυγμάζομεν* V. *ἐστυγνάσαμεν* Ald.
2, 3. *Ἄλλως—μιμοῦνται* om. R.V.
4. *τὰ*] *τῷ* V.
ib. *ἐν* V. *ἐκ* Ald.
ib. *Τεύκρῳ Σοφοκλέους*] *σοφοκλέους* (*σοφοκλεῖ* G.) *τεύκρῳ* V. *Τεύκρων Σοφοκλέους* Ald. Totum scholion om. R.
5, 6. *ἄπο ἤστραψε*] *ἀπήστραψε* V.
7. Scholion v. 585. om. R.
8. *βοηδρομιῶνι* Kusterus. *βοηδρομίῳ* Ald. In V. hoc scholion infra positum est post *χειροτονουμένου* sic scriptum, *ἔκλειψις δὲ καὶ σελήνης ἐγένετο τῷ β ἔτει ἐπὶ στρατοκλέους βοηδρομιῶνος.*
9, 14. *Τουτέστι—φαείνω*] *ἀπὸ τῶν λύχνων ἡ μεταφορὰ—φαείνω. ἄλλως τουτέστι—χειροτονουμένου* V. *τὴν ἀκτῖνα εἰς ἑαυτὸν συστείλας. ἀπὸ τοῦ λύχνου δὲ ἡ μεταφορά. οὐχ ὡς τοῦ ἡλίου ἐκλείψαντος, ἀλλ' ὡς ἀπειλοῦντος ἐκλείψειν, εἰ στρατηγήσει Κλέων. οἷον παρ' Ὁμήρῳ, δύσομαι—φαείνω. ἡλίου δὲ ἐγένετο κατά τινα τύχην ἔκλειψις Κλέωνος χειροτονουμένου* Ald. Emendavi ex V, qui utrumque scholion habet, et ex R, qui in altero verba *ἀπὸ τῶν λύχνων—τοῦτο δὲ* omittit.
12. *στρατηγήσει*] *στρατηγοίη* V, non G.
13. *Ὁμηρικὸν*] Od. M, 383.
15. Scholion v. 588. om. R.
ib. *Τὴν οὐκ ὀρθῶς βουλὴν* om. V.
15, 16. *ἀποτυχόντος — Ποσειδῶνος* V. *ἀποτυχόντα—Ποσειδῶνα* Ald.
15. *φασὶ* Kusterus. *φησὶ* V. Ald.
16. *ἀθηναίοις ἤσκητο* V. et Suidas s. *Ἀθηναίων δυσβουλία.* Legebatur *ἐνσκῆψαι αὐτοῖς.*
17. *δωρεὰν* add. V.
ib. *βουλευθὲν ἀποκλῖναι καλῶς* V. et Suidas. *βουλεύεσθαι μὲν, ἀποκλῖναι δὲ καλῶς* Ald.
18. *τοῦτο*] *τοῦτο τὸ* V.
ib. *καὶ* add. V. et Suidas.

ὦ πόλις πόλις,
ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς.

Ἄλλως. φασὶν ὅτι Ποσειδῶν ἡττηθεὶς τῇ Ἀθηνᾷ δυσβουλίαν ἐπέβαλεν Ἀθηναίοις, Ἀθηνᾶν δὲ τὰ βουλευόμενα καλῶς μεταβάλλειν.

590. ἅττ' ἂν ὑμεῖς: Ὅσα οἱ Ἀθηναῖοι κακῶς ἐβουλεύσαντο, δι' ὑπερβάλλουσαν εὐτυχίαν εἰς τὸ χρήσιμον ἀπέβαινε καὶ εἰς τὸ καλόν· αἰνίττεται δὲ εἰς Ἀθηνᾶν.

[591. ξυνοίσει: Λυσιτελήσει, ὠφελήσει. Gl. Br.]

592. τὸν λάρον: Τὸν ἁρπακτικὸν, ὅτι καὶ ὁ λάρος τοιοῦτος. καὶ ἐν Ἱππεῦσι

λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν.

ταῦτα δὲ ἀπὸ τῶν προτέρων Νεφελῶν. τότε γὰρ ἔζη ὁ Κλέων. ἐπὶ δὲ τούτων τέθνηκε. καὶ γὰρ Εὔπολις μετὰ θάνατον Κλέωνος τὸν Μαρικᾶν ἐποίησεν. καὶ μὴν ὡς μετὰ θάνατον Κλέωνος φαίνεται γεγραφὼς τὸ δρᾶμα, ὅπου γε τοῦ Μαρικᾶ Εὐπόλιδος μέμνηται, ὃς ἐδιδάχθη καθ' Ὑπερβόλου μετὰ τὸν Κλέωνος θάνατον. ταῦτα δὲ ὡς ἔτι ζῶντος Κλέωνος λέγεται. δῆλον οὖν ὅτι κατὰ πολλοὺς τοὺς χρόνους διεσκεύασε τὸ δρᾶμα· καὶ ταῦτα μὲν οὐ πολλῷ ὕστερον· ἐν οἷς δὲ Εὐπόλιδος μέμνηται καὶ τῶν εἰς Ὑπέρβολον κωμῳδιῶν, πολλῷ.

[595. ξυνοίσεται: Συνδραμεῖται. Gl. Br.]

596. [μετὰ τὸν Ἥλιον τὸν Ἀπόλλωνα ὑμνεῖ. ὁ αὐτὸς δὲ Ἥλιος καὶ Ἀπόλλων. δῆλον καὶ ἐκ τοῦ αὖτε ἀντὶ τοῦ πάλιν· ὥσπερ γὰρ ἀναλαμβάνων πρὸς τὸ ἄνω λέγει. τὸ δὲ ἀμφί μοι αὖτε ἐκ τῶν Τερπάνδρου προοιμίων. καὶ γὰρ ἐκεῖνος οὕτως ἤρξατο "ἀμφί μοι "αὖτις ἄνακτα." καὶ τὸ προοιμιάζεσθαι δὲ ἀμφιανακτίζειν ἔλεγον.

1. ὦ πόλις πόλις om. V. et Suidas.
2. εὐτυχὴς εἶ] εὐτυχήσει V. εὐτυχεῖς Ald. εὐτυχεῖν Suidas. Emendatum ex Athenæo 10. p. 425.
3, 4. Ἄλλως—μεταβάλλειν om. V.
3. τῇ Ἀθηνᾷ] τῆς Ἀθηνᾶς Kusterus.
5. Scholion v. 590. om. V.
6. ἀπέβαινε R. ἀπέφαινε Ald.
7. αἰνίττεται δὲ εἰς Ἀθηνᾶν om. R.
9. Τὸν ἁρπακτικὸν add. R.V.
ib. ὅτι—τοιοῦτος om. V.
ib. ὅτι καὶ ὁ R. ὅτι ὁ Ald.
10. Ἱππεῦσι] 956.
11. πέτρας] πέτραν R.
12–19. Scholion recentius, ex scholiis v. 549. 552. compositum ταῦτα—πολλῷ om. R.V.
15. ὃς Hermannus. ὃ Ald.
24. Τερπάνδρου] περὶ ἄνδρου R. Terpandri versum integrum servavit Suidas, ἀμφί μοι αὐτὸν (duo codd. αὖ τὸν. Corrigendum αὖτις ex scholio Ravennate) ἄναχθ' ἑκατηβόλον ᾀδέτω φρήν. ubi ἡ φρήν Ernestius, rectius Hermannus ἑκαταβόλον ᾀδέτω ἁ φρήν.

ἀντῳδὴ ἢ καὶ ἀντιστροφή. R.] *ἀμφί μοι ἄναξ*: Ἡ *ἀντῳδὴ αὕτη καὶ ἀντιστροφὴ ὁμοία ἐστὶ τῇ ᾠδῇ καὶ στροφῇ κατά τε τὰ κῶλα καὶ τὰ μέτρα. μιμεῖται δὲ τῶν διθυράμβων τὰ προοίμια. συνεχῶς γὰρ χρῶνται ταύτῃ τῇ λέξει· διὸ καὶ ἀμφιάνακτας αὐτοὺς ἐκάλουν. ἔστι δὲ* Τερπάνδρου "*ἀμφ᾽ ἐμοὶ ἄνακτα ἑκατηβόλον.*" *λείπει δὲ τὸ ἔσο, ἢ τὸ χόρευσον, ἤ τι τοιοῦτον· καὶ τὸ προοιμιάζεσθαι δὲ ἀμφιανακτίζειν ἔλεγον. εἰκότως δὲ μετὰ τὸν* Ἥλιον *ἀνυμνοῦσι τὸν* Ἀπόλλωνα. *ὅτι δὲ ὁ αὐτός ἐστιν* Ἥλιος *καὶ* Ἀπόλλων, *δῆλον. τὸ δὲ αὖτε, ἀντὶ τοῦ πάλιν. ὥσπερ γὰρ ἀναλαμβάνων πρὸς τὸ ἄνω λέγει ἀντίστροφον. ἔφαμεν γὰρ ἐν τοῖς χορικοῖς γίνεσθαι τὰς στροφὰς καὶ τὰς ἀντιστρόφους καὶ τὰς ἐπῳδούς, ἅ τινες καλοῦσιν ἐπιρρήματα. κἀνταῦθα οὖν τὴν ἀντίστροφον ἐπήγαγεν ὁ ποιητής, ὥσπερ ἀναστρέφων ἐπὶ τὸ ἐξ ἀρχῆς μέλος, ὅθενπερ ἐξετράπη εἰς τὸ ἐπίρρημα. ἀρξάμενος γὰρ ὑμνεῖν τοὺς θεοὺς καὶ παραγενόμενος μέχρι τοῦ* Ἡλίου, *ἐπήγαγε τὴν ἐκτροπὴν, τουτέστι τὸ ἐπίρρημα. ἀπὸ τοῦ* "*ὦ σοφώτατοι θεαταὶ, δεῦρο τὸν νοῦν προσέχετε.*" *οὔτε γὰρ ἡ διάνοια τοῖς προειρημένοις ἀκόλουθος οὔτε τὸ μέτρον τοῦ λόγου. πάλιν οὖν ἐπανατρέχων ἐπὶ τὸν ὕμνον, τῇ τῶν θεῶν χρῆται ἐπαναστροφῇ. εἰ οὖν τις τὰ ἐν μέσῳ ἅπαντα ὑφελὼν ἐπὶ ταῦτα ἔλθοι, οὐδὲν ἂν οὔτε ὁ λόγος οὔτε ὁ νοῦς ἐπιζητήσειεν, ἀλλὰ μᾶλλον ἡ ἀκολουθία οὕτω φυλάττοιτο, τόν θ᾽ ἱππονώμαν, ὃς ὑπερλάμπροις ἀκτῖσι, καὶ τὰ ἑξῆς, ἀμφί μοι αὖτε* Φοῖβ᾽ *ἄναξ. φησὶν οὖν, ἀλλά σου πάλιν, ὦ* Ἄπολλον, *ἕξομαι, καὶ τῶν σῶν ἐπαίνων. οὐ μὴν ἁπλῶς ἐπὶ τὴν ἀντίστροφον ἐλθὼν, θεοῦ τινος ἐμνημόνευσεν, ἀλλὰ μετὰ τὸν* Ἥλιον *ἑξῆς τὸν*

1 – p. 490. l. 8. Ἡ *ἀντῳδὴ—τὸ ἀντεπίρρημα* om. R.

1 – 10. Ἡ *ἀντῳδὴ — ἀντίστροφον* om. V.

3. *διθυράμβων*] *διθυραμβοποιῶν* Ernestius.

5. *ἀμφ᾽ ἐμοὶ*] Corrigendum *ἀμφί μοι αὖτις* ex scholio Ravennate.

10. *ἔφαμεν*] *ἀντίστροφος. ἔφαμεν* V.

11. *τὰς ἀντιστροφὰς καὶ τὰς ἐπῳδὰς, ἅστινας* V.

ib. *τὰς* ante *ἐπῳδοὺς* addidi ex V.

12. *κἀνταῦθα οὖν*] *καὶ ἐνταῦθα οὖν* Ald. *ὥσπερ οὖν κἀνταῦθα* V.

ib. *τὴν*] *τὸ* V.

ib. *ὥσπερ* om. V.

13. *ἐπὶ*] *καὶ ἐπὶ* V.

15. *ἡλίου* V. *ὅλου* Ald.

16. *δεῦρο—προσέχετε* addidi ex V.

ib. *δεῦρο*] *καὶ δεῦρο* V.

18. *ἐπανατρέχων* V. *ἐπαναστρέφων* Ald.

19. *οὖν* V. *γοῦν* Ald.

ib. *ὑφελὼν—ἔλθοι* V. *ἀφελὼν—ἔλθῃ* Ald.

ib. *οὐδὲν ἂν* addidi ex V.

20. *ἡ* et *οὕτω* om. V.

21. *ἱππονόμαν ὅσθ᾽* V.

ib. *τὰ* add. V.

22. *φοῖβε* V, omisso *ἄναξ*.

24. *ἑξῆς* V. *εὐθὺς* Ald.

Ἀπόλλωνά φησιν, ἐπεί φασί τινες τὸν Ἥλιον τὸν αὐτὸν εἶναι τῷ Ἀπόλλωνι. ὅτι δὲ τῷ λόγῳ τούτῳ καὶ ὁ ποιητὴς κατακολουθῶν μετὰ τὸν Ἥλιον ἐπὶ τὸν Ἀπόλλωνος ἔρχεται ὕμνον, φανερὸν ποιεῖ αὐτὸς, λέγων, ἀμφί μοι αὖτε Φοῖβ' ἄναξ· τουτέστι πάλιν. οὐδαμοῦ γὰρ νῦν τοῦ Ἀπόλλωνος μέμνηται. τί οὖν ἔδει μνημονεῦσαι αὐτοῦ αὖτε, εἰ μὴ τῆς προειρημένης διανοίας εἴχετο; τὸ δὲ μέτρον ἀντῳδὴ καὶ ἀντιστροφή. ἔστι δὲ τὸ μέτρον καὶ ἡ ποσότης ὁμοία τῇ στροφῇ. ὡμοίωται δὲ καὶ τὸ ἐπίρρημα καὶ τὸ ἀντεπίρρημα.

[αὖτε: Πάλιν. ἤγουν ἔσο ἢ χόρευσον. Gl. Victor.]

597. Κυνθίαν ἔχων: Περιφραστικῶς τὴν Κύνθον. ἔστι δὲ ὄνομα ὄρους. τὸ ὑψικέρατα ἀντὶ τοῦ ὑψηλήν. μεταπλασμὸς δέ ἐστιν ἀντὶ τοῦ ὑψικέρατον.

599. ἥ τ' Ἐφέσου: Μετὰ τὸν Ἀπόλλωνα εὐθὺς τὴν Ἄρτεμιν, ἧς ἱερὰ ἡ Ἔφεσος. [πάγχρυσον δὲ οἶκον λέγει, τὸν πολυτελέστατον ναόν· ὃς ἦν εἷς τῶν ἑπτὰ θεαμάτων. Junt. Victor.]

600. ἐν ᾧ κόραι: Ἔνθα σε αἱ Λυδῶν παρθένοι τιμῶσιν, ὦ Ἄρτεμι. τῆς γὰρ Λυδίας τοπαλαιὸν ἡ Ἔφεσος ἦν.

604. σὺν πεύκαις: Μετὰ δᾳδων. παρὰ τὸ Εὐριπίδειον

Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς
καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κάτα
πηδᾷ χορεύων παρθένοις σὺν Δελφίσιν.

σελαγεῖ: Μετὰ λαμπάδων καὶ πυρσῶν χορεύει. διάπυρος γὰρ ὁ

1. φησιν addidi ex V.
ib. ἐπεί φασί τινες V. ἐπεί τινες Ald.
ib. εἶναι τῷ V. εἶναί φασι τῷ Ald.
2–8. ὅτι—ἀντεπίρρημα om. V.
5. αὐτοῦ Ernestius. τοῦ Ald.
10. Scholia v. 597. 599. om. V.
10–12. ὄνομα—ἀντὶ τοῦ R. ὄρος Δήλου ἡ Κύνθος· τὸ δὲ ὑψικέρατα πέτραν ἐπῳδός ἐστι. τὸ αὐτὸ δὲ μέτρον τῷ μέλει τῷ πρώτῳ, καὶ ἑξῆς οὕτω. ἔστι δὲ παραγώγως ἀντὶ τοῦ Ald.
13. ἀπόλλωνα R. Ἥλιον Ald.
ib. τὴν ἄρτεμιν R. ἡ Ἄρτεμις Ald.
ib. ἧς ἱερὰ ἡ Ἔ.] ἧς ἱερὸς ἕ. R. ἧς ἡ Ἔ. Ald.
16, 17. Ἔνθα σε—ἦν] τῆς γὰρ—ἦν. ἔνθα σε κόραι αἱ τῶν λυδῶν παρθένοι ὦ ἄρτεμι τιμῶσιν V.
16. λυδῶν παρθένοι R. παρθένοι Λυδῶν Ald.
17. τῆς—ἦν om. R.
ib. τῆς γὰρ V. ὅτι τῆς Ald.
ib. ἦν addidi ex V.
18. μετὰ δᾳδων om. V. Totum scholion om. R.
ib. Εὐριπίδειον] In exordio Hypsipylæ: vid. schol. Ranar. 1244.
19. ὃς] ἐν V.
ib. θύρσοισι] πεύκαισι Ald. πεύκαις V. Correxi e loco Ranarum.
ib. νεβρῶν] νευρῶν V.
20, 21. καθαπτὸς—Δελφίσιν om. V.
ib. κάτα πηδᾷ] καταπηδᾷ Ald.
21. παρθένοις σὺν Δελφίσιν restitutum ex scholio Ranarum. σὺν παρθένοις Ald., omisso Δελφίσιν.
22. καὶ] δὲ καὶ V.
ib. πυρσῶν R.V. πυρὸς Ald.
ib. ὁ ante θεὸς om. V.

θεός. καὶ ὁ Ζεὺς διὰ πυρὸς τῇ Σεμέλῃ συνῆλθεν. οὐ γὰρ ἀργῶς ταῦτα ὁ ποιητὴς παρέλαβεν.

605. *Βάκχαις Δελφίσι*: *Ταῖς τὴν Δελφικὴν χώραν κατοικούσαις. κἀκεῖ γὰρ ἐτιμᾶτο ὁ Διόνυσος.* [*ἐμπρέπων*: *Διαπρέπων.* Gl. Victor.]

606. *κωμαστής*: *Ὅτι καὶ μεθύοντες βακχεύονται, καὶ ὥσπερ ἐκμαίνονται.* [*τρυφῶν μετ' ᾠδῆς.* Gl. Victor.]

607. *ἡνίχ' ἡμεῖς*: *Τὸ ἀντεπίρρημα τοῦτο ὅμοιόν ἐστι τῷ ἐπιρρήματι. καὶ τοῦτο γὰρ ἐκ στίχων ἐστὶ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν εἴκοσι. ἐνταῦθα μέντοι ὁ ἐπὶ τῆς τετάρτης χώρας ἴαμβος ἐξέλιπεν. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.*

[608. *ξυντυχοῦσα*: *Οὐκ ἔστιν ἐνταῦθα τὸ συντυχοῦσα ἀντὶ τοῦ συναντήσασα, ὥς τινες οἴονται, συντάσσοντες πρὸς τοῦτο τὸ ἡμῖν· ἀλλὰ τὸ συντυχοῦσα λέγε ἀντὶ τοῦ κατὰ τύχην φανεῖσα καὶ εὑρεθεῖσα, συντάσσων τὸ ἡμῖν πρὸς τὸ ἐπέστειλεν. ἐντυγχάνει γὰρ τῷδε ὁ δεῖνα, λέγε· συντυγχάνει δὲ, ἀντὶ τοῦ κατὰ τύχην συμβαίνει. καὶ Θουκυδίδης, "οὕτω ποι ξυντυχόν," ἤτοι συμβάν. οἱ δὲ ἄλλως λέγοντες ἁμαρτάνουσιν.* Schol. Br.]

609. *πρῶτα μὲν χαίρειν*: *Τὸν Κλέωνά φασιν ἀπὸ τῆς Πύλου καὶ Σφακτηρίας τοῖς Ἀθηναίοις ἐπιστέλλοντα, χαίρειν προθεῖναι· ὅθεν γέγονεν ἐν χρήσει. Πλάτων μέντοι ἐν ἀρχῇ τῶν ἐπιστολῶν τὸ εὖ πράττειν προὔθηκεν. οἱ δὲ Πυθαγόρειοι τὸ ὑγιαίνειν. "καὶ τό "γε τριπλοῦν τρίγωνον, τὸ δι' ἀλλήλων τὸ πεντάγραμμον, ᾧ συμ"βόλῳ πρὸς τοὺς ὁμοδόξους ἐχρῶντο, ὑγεία πρὸς αὐτῶν ὠνομάζετο." Ἄλλως. ἀρχαῖον ἦν ἔθος προτάσσειν ἐν ταῖς ἐπιστολαῖς χαίρειν. οὐ*

2. *ταῦτα* R.V. *τοῦτο* Ald.

ib. *ὁ π. παρέλαβεν* R.V. *παρέλαβεν ὁ π.* Ald. Pergit V. *τὸ δὲ βάκχαις δελφίσιν ἐμπρέπων, ὅτι καὶ ἐκεῖ ἐτιμᾶτο ὁ διόνυσος. δελφίσι καὶ* (scrib. *δὲ*) *ταῖς τὴν δελφικὴν χώραν κατοικούσαις.*

3, 4. *Ταῖς—κατοικούσαις* om. R.

6, 7. *Ὅτι—ἐκμαίνονται* om. R.V.

8. *τοῦτο* om. R. Totum scholion om. V.

9–11. *καὶ τοῦτο—νενευκυῖα* om. R.

19. *Τὸν Κλέωνα*] Conf. schol. Pluti 322.

ib. *φασιν*] *φησιν* R.V.

20. *προθεῖναι* Ernestius. *προσθεῖναι* Ald.

21. *ὅθεν* R. *ὅπερ* Ald.

ib. *ἐν χρήσει γέγονεν* V.

21–p. 492. l. 2. *Πλάτων—Σφακτηρίας* om R.

21–24. *Πλάτων—ὠνομάζετο* om. V.

22. *καὶ τό γε*—] Luciani verba vol. 1. p. 729.

25–p. 492. l. 2. *ἀρχαῖον—Σφακτηρίας*] *ἀρχαῖον ἔθος τὸ ταῖς ἐπιστολαῖς προστιθέναι τὸ χαίρειν καὶ οὐκ ἔστι Κλέων ὁ πρῶτος οὕτως ἐπιστείλας, ὥς φασι τινές* V.

γὰρ, ὥς τινες, Κλέων οὕτως πρῶτος ἐπέστειλεν Ἀθηναίοις ἐκ Σφακτηρίας.

[614. φῶς Σεληναίης: Τῆς σελήνης γὰρ φαινούσης οὐχ ἅπτουσι λύχνον. R. Ἀττικῶν ἐστιν κτητικὰ λαμβάνειν ἀντὶ πρωτοτύπων, ὡς καὶ παρθενικὴ ἡ παρθένος. Victor.]

615. ἄλλα τ' εὖ δρᾶν: Καὶ εἰς ἄλλα ὑμᾶς φησιν εὐεργετεῖν, οὐ παρατηρεῖν δὲ ὑμᾶς ἀκριβῶς τὰς κατὰ σελήνην ἡμέρας.

616. κυδοιδοπᾶν: Ἀντὶ τοῦ συνταράττειν, ἀπὸ τοῦ κυδοιμοῦ. γίνεται δὲ ἐξ ἑκατέρου. ἐὰν μὲν διὰ τοῦ κ, παρὰ τὸ κυκᾶν, ἐὰν δὲ διὰ τοῦ δ, παρὰ τὸν κυδοιμόν. [ταράσσειν, ἀνατρέπειν. καὶ γὰρ ἐν τῇ πρώτῃ ἡμέρᾳ τεταγμένον ἦν τὸν Δία τιμᾶν, ἐν δὲ τῇ δευτέρᾳ τὸν Ποσειδῶνα, καὶ τοὺς ἄλλους θεοὺς καθεξῆς. οὗτοι δὲ, ὅτε ἔδει τῷ Διὶ θύειν, τῷ Ποσειδῶνι ἔθυον· ὅτε δὲ τῷ Ποσειδῶνι, ἑτέρῳ θεῷ ἔθυον. καὶ διὰ τοῦτο λέγει τὸ κυδοιδοπᾷν. Schol. Br. κυδοιδοπᾶν γίνεται ἀπὸ τοῦ κύδος ἀρσενικῶς, ὃ σημαίνει τὴν λοιδορίαν, καὶ τοῦ ὄψ, ὀπὸς, ἡ φωνή. γίνεται οὖν κυδοπᾶν καὶ Ἀττικῷ διπλασιασμῷ μετὰ τῆς τοῦ ι προσθήκης κυδοιδοπᾶν. κύδος γὰρ ἀρσενικῶς τὴν λοιδορίαν, ἐξ οὗ καὶ τὸ κυδάζω, τὸ λοιδορῶ, ὡς παρὰ Σοφοκλεῖ

κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ.

κῦδος δὲ οὐδετέρως ἡ δόξα, ἐξ οὗ καὶ κύδιστος, ὁ ἐνδοξότατος. Victor.]

618. ψευσθῶσιν: Ἀποτύχωσιν, ἢ μὴ δέξωνται τὰς θυσίας εὐτάκτως.

619. κατὰ λόγον τῶν ἡμερῶν: Ἀντὶ τοῦ εὐτάκτως καὶ ὡρισμένως. διὰ γὰρ τὸ πλανᾶσθαι τὴν τάξιν τῶν ἡμερῶν, καὶ τὰς ἑορτὰς ὑπερβαίνειν δεήσει.

1. οὕτως V. οὗτος Ald.

6. Καὶ—εὐεργετεῖν in fine scholii collocat V, post scholion v. 618. habet R.

ib. ὑμᾶς φησιν R.V. φησὶν ἡμᾶς Ald.

7. δὲ ὑμᾶς om. R.V.

8. ἀντὶ τοῦ συνταράττειν ἀπὸ τοῦ κυδοιμοῦ R. Solum συντάραττειν habent V. Ald.

9, 10. γίνεται—κυδοιμόν om. R.

9. γίνεται] γράφεν V.

9, 10. ἑκατέρου—κυδοιμόν] ἑκατέρου τὸ ταράττειν, καὶ τὸ μὲν ἀπὸ τοῦ κυκᾶν, τὸ δὲ ἀπὸ τοῦ κυδοιμοῦ V.

18. Σοφοκλεῖ] Ajac. 722.

22. Ἀποτύχωσιν om. G.

ib. ἢ μὴ—εὐτάκτως om. R.V.

24. Ἀντὶ — ὡρισμένως addidi ex R.V.

24. Ἀντὶ τοῦ] κατὰ λόγον τὸ V.

25. τὸ] τοῦ V. om. R.

ib. τῶν ἡμερῶν om. R.V.

ib. καὶ τὰς ἑορτὰς (τὴν ἑορτὴν V.) ὑπερβαίνειν δεήσει R.V. ὑπερβαίνειν τὰς δεήσεις καὶ τὰς ἑορτὰς ἀνάγκη Ald.

621. *ἀπαστίαν*: Νηστείαν καὶ ἀγευστίαν, παρὰ τὸ πάσασθαι. [νηστείαν, ἀσιτίαν. Gl. Br. ἀπὸ δὲ τοῦ πενθεῖν διαβάλλει τοὺς ποιητάς. V.]

622. Μέμνων δὲ καὶ Σαρπηδὼν υἱοὶ ὄντες Διός, ἀποθανόντες ἐν Τροίᾳ, οὕτω παρὰ θεοῖς ἐτιμήθησαν, τοῦ πατρὸς νομοθετήσαντος, ὡς τὴν ἡμέραν, καθ' ἣν ἀπέθανον, ἐν πένθει καὶ νηστείᾳ τοὺς θεοὺς διάγειν κατ' ἔτος.

623. *λαχὼν Ὑπέρβολος*: Εἰς τὴν σύνοδον τῶν Ἀμφικτυόνων πεμφθῆναι εἰς τὴν Πυλαίαν. κατὰ πόλιν δ' ἔπεμπον τοὺς θύσοντας, καὶ συνεδρεύσοντας· καὶ ἦσαν οἱ πεμπόμενοι Πυλαγόραι καὶ ἱερομνήμονες. λέγουσι δὲ ὅτι Πυλάδης πρῶτος ἐκρίθη ἐπὶ τῷ Κλυταιμνήστρας φόνῳ, καὶ ἐξ αὐτοῦ τοὔνομα σχεῖν τὸν τόπον. ἀπῄεσαν δὲ εἰς Δελφοὺς ἐπίσκοποι τῶν ἀναλισκομένων ἐν ταῖς θυσίαις. ἱερομνήμονας ἔπεμπον εἰς Πυλαίαν καὶ Πυλαγόρας. Ἀριστοφάνης Θεσμοφοριαζούσαις

ἀγαθὰ μεγάλα τῇ πόλει
ἥκειν φέροντάς φασι τοὺς Πυλαγόρας
καὶ τὸν ἱερομνήμονα.

καὶ εἰσὶν οἷον ἱεροὶ γραμματεῖς. μνήμονας γὰρ τούτους ἐκάλουν.

φόρτου τε μνήμων καὶ ἐπίσκοπος ᾖσιν ὁδαίων.

624. [*τῆτες*: Ἐν ἐκείνῳ τῷ ἔτει. R. ἐν τῷδε τῷ ἔτει. οἱ δὲ Δωριεῖς σατές φασιν. ὅθεν σατανίους πυροὺς, τοὺς μὴ τελεσφοροῦντας, ἀλλὰ πρὸ ὥρας θεριζομένους. Junt. Victor.]

τῆτες ἱερομνημονεῖν: Ἐξέπεμπον γὰρ οἱ Ἀθηναῖοι εἰς Δελφοὺς ἱερομνήμονας, οἳ τῶν τοῦ θεοῦ ἱερῶν προεστήκεσαν. παρ' ἱστορίαν δὲ εἶπεν τὸ τῆτες. οὐδεὶς γὰρ ἱστορεῖ ἐν ἐκείνῳ τῷ ἔτει ἱερομνήμονα εἶναι Ὑπέρβολον, ἐν ᾧ αἱ Νεφέλαι ἐδιδάχθησαν. οὐδέπω γὰρ διέπρεπε Κλέωνος ἔτι ζῶντος. μετὰ γὰρ τὸν ἐκείνου θάνατον ἠξιώθη.

1. *Νηστείαν καὶ* addidi ex V. Gl. *νηστείαν* habet R. reliqua scholii parte omissa.

2. Verba *διαβάλλει τοὺς ποιητάς* habet R. ante scholion v. 618.

4. Scholion v. 622. om. R.V.

13–20. *ἱερομνήμονας—ὁδαίων* om. R.V.

14. *Ἀριστοφάνης*] Fragm. 306.

19. *ἱεροὶ* Ernestius. *ἱερεῖς* Ald.

20. *φόρτου*] Homer. Odyss. Θ,163.

24. *Ἐξέπεμπον*] *ἄλλως* præponit V. ib. *γὰρ* om. V.

25–28. *οἳ τῶν—ἠξιώθη* R.V. *οἳ πρὸ Πυλαγόρου προεστήκεσαν τῶν ἡμερῶν τοῦ θεοῦ. οὐδεὶς δ' ἱστόρησε κατ' ἐκεῖνον τὸν ἐνιαυτὸν ἱερομνήμονα εἶναι τὸν Ὑπέρβολον. οὐδέπω γὰρ διέπρεπε Κλέωνος ἔτι ζῶντος* Ald.

25. *ἱερῶν* R. *ἡμερῶν* V.

27. *Ὑπέρβολον*] *μόνον* V.

625. *μᾶλλον γὰρ οὕτως εἴσεται*: Τότε γὰρ μαθήσεται, ὅτι καλόν ἐστι ζῆν αὐτὸν, ὡς πρότερον, καὶ ὡς ἀνάξιος ἦν.

627. *μὰ τὴν ἀναπνοὴν*: Ὑποχωρήσαντος τοῦ χοροῦ εἰσίασιν αὖθις οἱ ὑποκριταί. ἔστιν οὖν ἡ παροῦσα εἴσθεσις τῆς διπλῆς ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ογ´, ὧν τελευταῖος,

οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερον.

ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. πάλιν εἰς ἀθεότητα τὸν Σωκράτην διαβάλλει διὰ τῆς πολυθεΐας. δυσφορεῖ δὲ ὁ Σωκράτης ἐπὶ τῇ τοῦ Στρεψιάδου ἀμαθίᾳ. ἐντεῦθέν φασι τὸν Ἀριστοφάνη χαριζόμενον τοῖς περὶ Ἄνυτον καὶ Μέλητον γεγραφέναι τὸ δρᾶμα, διαβάλλοντα εἰς ἀθεΐαν τὸν Σωκράτην διὰ τῆς πολυθεΐας. * * * ὅτι πολὺ λείπεται τοῖς χρόνοις εἴπομεν. διαβάλλει οὖν ἁπλοϊκῶς τοὺς φιλοσόφους, ἐπεὶ καὶ ὁ Σωκράτης προεῖπε μὴ ἡγεῖσθαι θεοὺς, πλὴν τὸ Χάος καὶ τὴν γλῶτταν καὶ τὸν Ἀέρα, τρία ταυτί. [ἀναπνοὴν λέγει τὴν τοῦ ἀέρος ἀνάπνευσιν, ἣν ἀναπνέουσιν ἄνθρωποι· χάος δὲ τὸν τόπον, ἐν ᾧ ὁ ἀήρ. Gl. Br.]

629. *σκαιὸν*: Ἀντὶ τοῦ μωρόν. ἢ οὕτως. σκαιοὺς ἔλεγον τοὺς ἀμαθεῖς καὶ δυσπαρακολουθήτους. [ἄπορον: Ἀφυῆ. σκαιὸν: Ἀπαίδευτον, φαυλόνουν. Gl. Br.]

630. *σκαλαθύρματ᾽ ἄττα*: Λεπτὰ καὶ μικρὰ παντάπασι νοήματα καὶ μαθήματα, σκαριφήματα. ἡ δὲ λέξις σύνθετος ἀπὸ τοῦ σκα-

1-7. Τότε γὰρ—νενευκυῖα om. R.V.
7, 8. πάλιν—πολυθεΐας addidi ex R.
7-9. πάλιν—ἀμαθίᾳ om. V.
8. ὁ σωκράτης R. Aberat ὁ.
9-14. ἐντεῦθεν—ταυτί om. R.
9. ἐντεῦθεν V. ἐντεῦθεν δέ Ald.
ib. χαριζόμενον V. χαριεντιζόμενον Ald.
10. Μέλητον] μέλιτον V. Ald.
ib. διαβάλλοντα εἰς ἀθεΐαν] διαβάλλει εἰς ἀθεότητα V.
11. σωκράτην V. Σωκράτη Ald.
ib. διὰ τῆς πολυθεΐας om. V.
ib. πολυθεΐας] πολυμαθίας Ald. Correxi ex scholio Ravennate.
11, 12. ὅτι—εἴπομεν addidi ex V, indicata lacuna. Fortasse τοῦτο δὲ excidit.
12. διαβάλλει οὖν ἁπλοικῶς τ. φ. V. καὶ τ. φ. ἁπλοϊκοὺς διαβάλλειν Ald.
13. ὁ σωκράτης V. οὔπω (sic) Ald.
ib. προεῖπε] v. 423.
14. γλῶτταν V. ἀναπνοὴν Ald.
ib. τρία ταυτί addidi ex V.
17. Scholion v. 629. om. V, habet gl. ἀπαίδευτον, quod est etiam in R, non G.
17, 18. ἀντὶ—δυσπαρακολουθήτους R. σκ. τοὺς ἀμ. καὶ δυσπ. ἔλεγον· ἢ τοὺς μωροὺς ἀπὸ τῆς σκαιᾶς Ald.
20. λεπτὰ καὶ μικρὰ R.V. σκαλεύματα σμικρὰ καὶ λεπτὰ Ald.
21. μαθήματα, σκ.] μικρὰ σκ. R. Sequentia om. R.
ib. σκαριφεύματα Suidas s. σκαλαθυρμάτια.
21 – p. 495. l. 1. ἡ δὲ—ἄξια V. ἔγκειται δὲ καὶ τὸ ἄθυρμα, οἱονεὶ

λεύματα καὶ ἀθύρματα, οἷον παίγνια καὶ μηδενὸς ἄξια. ἐκ τούτου δὲ διαβάλλει Σωκράτη, ὡς εὐτελῆ εἰσιν ἃ διδάσκει, καὶ οὐδενὸς ἄξια λόγου. [μικρὰ καὶ εὐτελῆ παίγνια. Gl. Br.]

633. ἔξει: Ἀντὶ τοῦ ἔξελθε. ἔστιν εἴω τὸ πορεύομαι. οὗ παράγωγον εἶμι. ὁ παρατατικὸς εἶν, εἶς, εἶ. καὶ ὥσπερ ἐν τοῖς εἰς ω τὸ τρίτον πρόσωπον τοῦ ὁριστικοῦ παρατατικοῦ δεύτερόν ἐστι προστακτικὸν, οὕτω καὶ ἐν τοῖς εἰς μι σχηματίζουσιν οἱ Αἰολεῖς καὶ οἱ Ἀθηναῖοι. οἷον, "ἵστη μέγα κῦμα" ἀντὶ τοῦ ἵσταθι. Ἀριστοφάνης

καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίμπλη πετρῶν.

ἀντὶ τοῦ ἐμπίμπληθι. οὕτως οὖν καὶ ἐκ τοῦ εἶ τρίτου προσώπου τοῦ ὁριστικοῦ παρατατικοῦ ἐν συνθέσει, ἔξει, προστακτικόν. ἢ ἀπὸ τοῦ εἴω. οὗ ὁ δεύτερος ἀόριστος ἴον, ἴες, ἴε· καὶ μετὰ τῆς ἐξ, ἔξιε, καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν, ἔξει. ὡσαύτως καὶ μετὰ τῶν λοιπῶν προθέσεων μέτει καὶ δίει· πλὴν τοῦ πάρει, καὶ σύνει. ἐνταῦθα γὰρ αἱ προθέσεις τῷ εἶ ἀντὶ τοῦ ὑπάρχεις συνδοιάζονται.

ἀσκάντην δὲ τὸν σκίμποδά φησιν, ἢ δίφρου τι εἶδος· οἱ δὲ τὸν κράβατον. [τὸν σκάμνον, τὸν σκίμποδα. Gl. Br.]

[635. ἀνύσας: Σπεύσας. Gl. V. (non G.)]

[636. ὥσπερ ἡμεῖς ἐρωτῶμεν τοὺς παῖδας. V. (non G.)]

638. πότερα περὶ μέτρων: Καλῶς διέστησεν. οὐ γὰρ εἴ τι μέτρον ἐστὶν, ἤδη καὶ ἔπος. εἴ τι δὲ ἔπος, ἤδη πάντως καὶ ῥυθμὸς καὶ μέτρον. σημειωτέον δ᾽ ὅτι καὶ ταῦτα τῶν κυκλικῶν μαθημάτων. διαφέρει δὲ μέτρον καὶ ῥυθμός. καὶ ὅτι πατὴρ μέτρου ὁ ῥυθμὸς, καὶ ὅτι ἀρχαία ἡ τῶν μέτρων καὶ ῥυθμῶν διδασκαλία.

παίγνια, καὶ οὐδὲν ἀξιόπιστα Ald. et similiter Suidas.

1–3. ἐκ τούτου—λόγου om. V.

4. Ἀντὶ τοῦ ἔξελθε] ἔξελθε φησί V.

4–15. ἔστιν εἴω — συνδοιάζονται] Scholion futile om. R.V. Legitur maximam partem apud Favorinum in Aldi Hortis Adon. fol. 54 recto.

8. οἷον] Homer. Il. Φ, 313.

ib. μέγα] μετὰ Ald.

ib. Ἀριστοφάνης] Av. 1310.

16, 17. ἀσκάντην—κράβατον R.V. τὸν ἀσκάντην: σκίμποδα. δίφρου τι εἶδος· ἢ τὸν κράβατον Ald.

16. ἀσκάντην δὲ] τὸν ἀσκάντην δὲ τὸν G.

20–22. Καλῶς—μαθημάτων om. R.V.

22. κυκλικῶν μαθημάτων] Quæ ἐγκύκλια potius dici solent.

22–24. διαφέρει—διδασκαλία in fine scholii v. 643. ponit R.

ib. διαφέρει δὲ] ὅτι διαφέρει V.

23. πατὴρ μέτρου ὁ ῥυθμὸς] Longini dictum fragm. 3, 1. Conf. Maximum Planudem in Walzii Rhetoribus vol. 5. p. 473.

ib. ὁ addidi ex V.

639. *περὶ τῶν μέτρων*: Λείπει τὸ θέλω μαθεῖν. διαβολὴ δὲ τὸ πᾶν, ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν. οὔτε γὰρ ποιητής ἐστιν οὔτε μουσικός. ὡς ἄγροικος δὲ ὁ πρεσβύτης ἀπεκρίνατο ὡς ἐπὶ τῶν γεωργικῶν δεξάμενος. [ἀκούσας περὶ μέτρων ὁ Στρεψιάδης, τὸ δημοτικὸν μέτρον, ᾧ μετροῦσι τὰ σπέρματα, σκαιῶς ὑπείληφεν, διὸ περὶ μέτρων, φησὶν, ἔγωγε. καὶ ἐκ τούτου διαβάλλει τὸν Σωκράτην, ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν. οὔτε γὰρ ποιητὴς ἦν οὔτε μουσοποιός. Schol. D.]

640. *ἀλφιταμοιβοῦ*: Τοῦ ἀντικαταλλάσσοντος καὶ πιπράσκοντος ἄλφιτα. ἢ τοῦ ἀμείβοντος ἀντὶ ἀργυρίου ἄλφιτα. οὕτω καὶ ἀργυραμοιβοὶ οἱ ἀντὶ ἀργυρίου κέρματα ἀμείβοντες.

παρεκόπην: Ἐζημιώθην· ἀντὶ τοῦ ἐπλάνησέ με τῇ μέτρων ποσότητι δύο χοίνικας. [ἠπατήθην. Gl. Victor.]

641. *κάλλιστον μέτρον*: Διαβάλλει Σωκράτη. οὐ γὰρ ποιητικὴν ἢ μουσικὴν ἐπηγγέλλετο διδάσκειν. ὁ δὲ τὰ πρόσοντα μὴ λέγων, χαριζόμενος δὲ τὰ μὴ πρόσοντα, ἀμφοτέρων ἐκεῖνος ἀποστερεῖται, ὁ τοὺς λόγους ἀμφοτέρων ἀποφαίνων ἀλλοτρίους καὶ ἀπείρους. [εἴδη μέτρων, οἷς καὶ Ἀρχίλοχος κέχρηται ἐν τριμέτροις καὶ τετραμέτροις. R.V.]

643. *ἡμιεκτέου*: [Πρὸς τὸ τετράμετρον ἀπήντησε. τὸ γὰρ ἡμίεκτον μέτρον ἐστὶ τεσσάρων. ὁ γὰρ μέδιμνος μέτρα ἔχει μη', ὁ δὲ ἑκτεὺς η', τὸ δὲ ἡμίεκτον δ'. R.V.] Τοῦ τετραχοινίκου. ὁ γὰρ μέδιμνος χοίνικας ἔχει μή. τούτων τὸ ἕκτον ὀκτώ. τὸ ἥμισυ τοῦ ἕκτου, τουτέστι τῶν ὀκτὼ, τὰ τέσσαρα. ὃ καλεῖται τετράμετρον. ὁ οὖν ἡμίεκτος τέσσαρας ἔχει χοίνικας. ἔπαιξε δὲ πάλιν εἰπὼν, οὐδὲν

1. Λείπει—μαθεῖν om. G.
1–3. Λείπει—μουσικός om. R.
ib. διαβολὴ μουσικός om. R.
3. μουσικός Ernestius. κωμικός Ald. Conf. schol. v. 641.
ib. δὲ] πάλιν V. om. R.
4–13. ὡς ἐπὶ τῶν—δύο χοίνικας] ὁ μὲν γὰρ τὰ τῶν ποιημάτων ἔλεγε μέτρα, ὁ δὲ ὡς ἐπὶ τῶν γεωργῶν (scr. γεωργικῶν) μέτρων ἐδέξατο. λέγει δὲ ὅτι ἐγὼ χθὲς ὑπὸ μετρητοῦ ἐζημιώθην δύο χοίνικας. ἀλφιταμοιβοὶ δὲ οἱ τὰ ἄλφιτα ἀμείβοντες ὡς (scr. καὶ) πιπράσκοντες (ὡς π. om. G.) V. Conf. schol. v. 643.
4. ὡς ἐπὶ R.V. περὶ Ald.
9. ἀλφιταμοιβοὶ οὖν οἱ τὰ ἄλφιτα ἀμείβοντες καὶ πιπράσκοντες R, reliqua scholii parte omissa.
12, 13. Ἐζημιώθην—χοίνικας om. R.
14–17. Διαβάλλει—ἀπείρους om. R.V.
22. ἑκτεὺς] ἑκτέης R.
ib. ἡμίεκτον] ἡμιεκτέον V.
22–p. 497. l. 4. Τοῦ τετραχοινίκου—τέσσαρες om. R.V.

κάλλιον ἡγοῦμαι ἡμιεκτέου μέτρου· τουτέστι τεσσάρων χοινίκων. τούτου οὖν τὸ ἕκτον ἐστὶν ὀκτὼ χοίνικες. τὸ δὲ ἡμίεκτον, τουτέστι τὸ δωδέκατον τῶν ὀκτὼ πρὸς τοῖς τεσσαράκοντα, χοίνικες τέσσαρες. παρατηρητέον δὲ ὅτι διὰ τοῦ ε δεῖ λέγειν ἡμιεκτέον, καὶ οὐ κατὰ τὴν κοινὴν χρῆσιν ἡμιακτέον.

644. περίδου νῦν ἐμοί: Ἀντὶ τοῦ συνθήκας ποίησον. παρὰ τὸ Ὁμηρικὸν

δεῦρό γε νῦν τρίποδος περιδώμεθα.

γίνεται δὲ οὕτω· δίδημι τὸ δεσμεύω. ὁ μέλλων διδήσω, ὁ δεύτερος ἀόριστος ἔδην, ὁ μέσος ἐδέμην ἔδεσο, καὶ ἀποβολῇ τοῦ σ ἔδεο καὶ ἔδου· καὶ τὸ προστακτικὸν δοῦ καὶ περίδου. καὶ Ὅμηρος "διδη "μόσχοισι λύγοισιν." ὡς ἄγροικος δὲ πάλιν ὁ πρεσβύτης ἀπεκρίνατο. ὁ μὲν γὰρ τὸ τῶν ποιημάτων ἔλεγε μέτρον, ὁ δὲ ὡς ἐπὶ τῶν γεωργικῶν ἐδέξατο.

645. εἰ μὴ τετράμετρον: Πρὸς τὸ τετράμετρον ἀπήντησε. τὸ ἡμιεκτέον μέτρον ἐστὶ τέσσαρα, ὡς πλεονάκις ἴσως τοῦ δέοντος εἴρηται.

647. ταχὺ δ' ἄν: Ἐν εἰρωνείᾳ. λέγει δὲ εἰς τὸ κιθαρίζειν. ταχὺ δυνηθείης, φησὶ, μεταλαμβάνειν τὸ κιθαρίζειν.

649. κομψόν: Πιθανὸν καὶ εὔχαριν ἐν συνόδῳ καὶ τῇ πρὸς ἑτέρους κοινωνίᾳ. πιθανὸν καὶ ἀστεῖον φαίνεσθαι τοῖς συνοῦσιν. [πιθανὸν καὶ ἡδύν. Gl. Br.]

[650. ἐπαΐειν: Αἰσθάνεσθαι καὶ νοεῖν. R.V.]

651. κατενόπλιον: Εἶδος ῥυθμοῦ πρὸς ὃν ὠρχοῦντο σείοντες τὰ ὅπλα. Ἄλλως. ἐνόπλιον, τὸν ἀμφίμακρον, ὃς καὶ Κουρητικὸς κα-

4, 5. παρατηρητέον—ἡμιακτέον om. R.

4. λέγειν ἡμιεκτέον καὶ οὐ V. γράφειν ἡμιεκτέου, οὐ Ald.

5. χρῆσιν ἡμιακτέον V. χρῆσιν διὰ διφθόγγου ἡμιεκταίου Ald.

6. Scholion v. 644. om. R.V. Gl. συνθήκας ποίησον habet R.

7. Ὁμηρικὸν] Il. Υ, 485. Inepte scholiasta περίδου, quod est a περιδιδόναι, ab verbo περιδεῖν derivat.

10. ὁ μέσος Hermannus. ὁ om. Ald.

11. Ὅμηρος] Il. Λ, 105.

ib. δίδη] δίδει Ald.

12–14. ὡς ἄγροικος—ἐδέξατο] Ex scholio v. 639.

15. Scholia v. 645. (conf. schol. v. 643.) et 647. om. R.V.

19. μεταλαμβάνειν Hermannus. αἰσθάνεσθαι καὶ μεταλαμβάνειν Ald. ex scholio v. 650.

20. πιθανὸν R.V. ἀντὶ τοῦ πιθανὸν Ald.

ib. ἑτέρους] ἑταίρους V.

21. πιθανὸν καὶ—συνοῦσιν om. R.V.

23. τὸ δὲ ἐπαΐειν ἀντὶ τοῦ αἰσθ. V.

25 – p. 499. l. 6. ὅπλα—χοριαμ-

λεῖται ἀπὸ τοῦ τὰ εἰς τοὺς Κούρητας μέλη τούτῳ τῷ μέτρῳ κεχρῆσθαι. Ἄλλως. ἀριθμητικὸν ἢ γεωμετρικόν. ἔστι δὲ ῥυθμοῦ καὶ

βικῇ] ὅπλα. ἔστι δὲ ὁ ἐν ἡμιολίῳ· ἡ γὰρ μακρὰ πρὸς τὰς δύο βραχείας ἴσόν τι ἔχει ῥυθμὸν ἐκ τριποδίας ἀναπαιστικὸν, ὃς δέχεται πάντας τοὺς δισυλλάβους πόδας. οἱ δὲ ἐνόπλιον, τὸν ἀμφίμακρον, ὃς καὶ Κρητικὸς καλεῖται ἀπὸ τοῦ εἰς τοὺς Κούρητας ἀναγομένου μέλους. τούτῳ γὰρ τῷ μέτρῳ προσωρχοῦντο σείοντες τὰ ὅπλα. καλεῖται δὲ ἐνόπλιον κατὰ δάκτυλον, ᾧ χρῶνται ζήτει τίνες. ἴσως δὲ λείπει τὸ, οἱ αὐληταί. (Hoc qui scripsit in codice suo post χρῶνται aliquot syllabarum lacunam invenit, quam ego ex V. explevi.) κατὰ δάκτυλον: ἀριθμητικόν ἐστι μέτρον. ἔστι δὲ ῥυθμὸς κρούματος εἶδος κατὰ δάκτυλον, ᾧ χρῶνται οἱ αὐληταί. ὁ κατὰ δάκτυλον ῥυθμός ἐστιν ὁ ἐν ἴσῳ λόγος· ὁ δὲ ἐνόπλιος, καὶ προσωδιακὸς καλούμενος ὑπό τινων, σύγκειται ἐκ σπονδείου καὶ πυρριχίου καὶ τροχαίου καὶ ἰάμβου. συνεμπίπτει δὲ οὗτος ἤτοι τριποδία ἀναπαιστικῇ, ἢ βάσεσι δυσὶν, ἀναπαιστικῇ καὶ Ἰωνικῇ Ald. Emendavi ex R.V. Ad illa scholii Aldini verba ἔστι δὲ ὁ ἐν ἡμιολίῳ hæc annotavit Hermannus "Hemiolium dicit e tribus pedibus "constantem, propterea quod bini "pedes dipodiam anapæsticam ef- "ficiunt. Sic versus ithyphallicus "τροχαϊκὸς ἡμιόλιος dicitur ab He- "phæstione p. 48. v. schol. ejus "p. 52. Quæ sequuntur, ita nos "emendavimus, ἡ γὰρ μακρὰ πρὸς "τὰς δύο βραχείας ἴσον· καὶ ἔχει—. "Hemiolium rhythmum dicit, qui "e duobus dactylis et spondeo "constat, ut recentior scholiastes, "et enarrator Hephæstionis p. 91. "de versu heroico: κατ' ἐνόπλιον "μὲν οὖν ἐστὶ τὸ ἔχον δύο δακτύλους "καὶ ἕνα σπονδεῖον, οἷον,

"ὣς φάτο δακρυχέων, τοῦ δ' ἔκλυε
"πότνια μήτηρ.

"Hunc rhythmum ne quis dubitet "hemiolium esse, addit hæc: ἡ "γὰρ μακρὰ πρὸς τὰς δύο βραχείας "ἴσον, quo ostendat spondeum pa- "rem esse dactylo, atque idcirco "etiam dimidiatam dipodiam ana- "pæsticam. Confundit enim nu- "merum κατ' ἐνόπλιον, qui in versu "heroico dicitur, cum eo, qui vo- "catur προσοδιακός. Propterea hæc "adjicit, καὶ ἔχει ῥυθμὸν ἐκ τριποδίας "ἀναπαιστικόν, dactylis scilicet in "prima et secunda sede anapæsti "vicem sustinentibus. Prosodiacus "enim versus spondeo constat et "duobus anapæstis, quem gram- "matici Ionico majore et chori- "ambo metiuntur:

"– – ∪ ∪ | – ∪ ∪ –
"αὐτὰ δὲ σὺ, Καλλιόπα.

"Vide Hephæstionem p. 49. et "scholiasten ejus p. 52. De eo- "dem prosodiaco κατ' ἐνόπλιον illa "sunt intelligenda: ὃς δέχεται πάν- "τας τοὺς δισυλλάβους πόδας. Sed "imperitus homo ita loquutus est, "quasi in eadem sede omnes pedes "bisyllabi admitterentur. Verum "nihil aliud vult quam reperiri in "isto versu pedes bisyllabos om- "nes, si binæ semper syllabæ con- "jungantur:

"– – | ∪ ∪ | – ∪ | ∪ –

"id quod alius scholiastes clarius "sic dixit: ὁ δὲ ἐνόπλιος, ὁ καὶ προσοδιακὸς καλούμενος ὑπό τινων, σύγκειται "ἐκ σπονδείου καὶ πυρριχίου καὶ τροχαίου "καὶ ἰάμβου. Vide Elem. doctr. "metr. p. 351. seq."

25. (p. 497.) κουρητικὸς R.V. et Suidas s. κατ' ἐνόπλιον. κρητικὸς G. κουρητικοῦ nomen pæoni tertio tribuit scholiasta Hephæstionis p. 161.

1. τοῦ τὰ] τούτου R.

ib. Κούρητας] κουρῆτας V. κρῆτας G.

2 – p. 499. l. 2. Ἄλλως—πρὸ τοῦ νόμου om. R.

2 – p. 499. l. 1. ἀριθμητικὸν—εἶδος] Suidas, κατὰ δάκτυλον: εἶδος

κρούματος εἶδος τὸ κατὰ δάκτυλον, ᾧ χρῶνται οἱ αὐληταὶ πρὸ τοῦ νόμου. ὁ κατὰ δάκτυλον, ῥυθμός ἐστιν ὁ ἐν ἴσῳ λόγῳ. ὁ δὲ ἐνόπλιος καὶ προσοδιακὸς λεγόμενος ὑπό τινων σύγκειται ἐκ σπονδείου καὶ πυρριχίου καὶ τροχαίου καὶ ἰάμβου. συνεμπίπτει δὲ οὗτος ἤτοι τριποδίᾳ ἀναπαιστικῇ, ἢ βάσεσι δυσὶν, Ἰωνικῇ καὶ χοριαμβικῇ.

653. *τίς ἄλλος*: Τὴν παρατροπὴν ἐατέον μεταξὺ τοῖν δυοῖν, ὡς ἐν τοῖς πλείστοις σχεδὸν φέρεται. ὁ πρότερος Σωκράτους

τίς ἄλλος ἀντὶ τουτουὶ τοῦ δακτύλου;

καὶ τάχα ἂν εἴη λέγων τῷ γέροντι, ἕτερόν τινα εἶναι δάκτυλον νομίζεις ἢ τοῦτον; δεικνὺς αὐτῷ ἕνα τῶν δακτύλων τῶν αὐτοῦ. ὅταν γὰρ περὶ ῥυθμῶν, οὐ περὶ τούτου τοῦ δακτύλου φησὶν, ἀλλὰ περὶ ἑτέρου. ὡς γὰρ ἄγροικος καὶ οὗτος ἐρεῖ οὐδὲν ἧττον δείξειν τὸν μέσον δάκτυλον ἀσελγαινόμενος. ἐὰν δὲ περιαίρηται, ἀμφότεροι ἔσονται τοῦ γέροντος ἀσυνδέτως εἰρημένοι. Ἄλλως. δείκνυσι τὸν μέσον δάκτυλον αἰσχρῶς. λέγει οὖν ὡς οὐκ ἔστιν οὐδεὶς ἀντὶ τούτου τοῦ δακτύλου.

ἀριθμητικὸν ἢ γεωμετρικὸν, ἢ ῥυθμοῦ καὶ κρούματος—.

2. (p. 498.) ῥυθμοῦ] ῥυθμὸς V. Correxi ex Suidæ l. c. et ex Hesychio, qui ita scribit, δάκτυλος: οὕτω καλεῖται ῥυθμοῦ εἶδος καὶ κρούματος. χρῶνται δὲ αὐτῷ μάλιστα οἱ αὐληταί.

2. ῥυθμός ἐστιν] ἐστι ῥυθμὸς R.

ib. ὁ ἐν ἴσῳ λόγῳ] ἴσον λόγον vocant, si altera pars pedis prioris mensuram æquiparat, quod est in dactylo et anapæsto. Vide schol. Hephæst. p. 11. HERM.

3. προσοδιακὸς] προσῳδιακὸς R.V.

5 ἤτοι] ἐν τῇ R.V.

ib. Ἰωνικῇ καὶ χοριαμβικῇ R. ἰαμβικῇ καὶ χορικῇ V.

6. In Junt. scholion est κατ' ἐνόπλιος (error typothetæ pro ἐνόπλιον) ὁ μετὰ δύο δακτύλους ἔχων σπονδεῖον κατὰ τὸ πάλιν καὶ πάλιν, οἷον "ὣς φάτο δακρυχέων, τοῦ δ' ἔκλυε "πότνια μήτηρ." λέγοιτο δ' ἂν ἴσως κατ' ἐνόπλιον, διὰ τὸ πρέπειν μὲν ῥυθμὸν τοιοῦτον καὶ τοῖς ἄλλοις κινουμένοις μετὰ συντονίας, ἐπὶ πλέον δὲ τοῖς μεθ' ὅπλων σεμνῶς πηδῶσι καὶ πυρριχίζουσι. Quæ transscripta sunt ex Eustathio p. 1899, 62.

7–15. Τὴν—Ἄλλως om. R.V.

7. παρατροπὴν] παραγραφὴν recte corrigere videtur Dobræus. Intelliguntur autem duo puncta (:), quibus ad personas distinguendas utebantur. Quo significatu παραγραφή dictum ex schol. Pac. 443. memorat Dobræus idemque scholio Ran. 1478. restituit.

10. ἂν addidi.

11. Verba ὅταν γὰρ περὶ ῥυθμῶν temere huc esse illata ipsum illud ὅταν ostendit, quod non habet quocum construatur. Proxima in hanc fere sententiam corrigenda videntur, ὁ δὲ Στρεψιάδης οὐ περὶ τούτου τοῦ δακτύλου φησὶν, ἀλλὰ περὶ ἑτέρου. ὡς γὰρ ἄγροικος "καὶ οὗτος (scil. ὁ δάκτυ-"λος)" ἐρεῖ "οὐδὲν ἧττον," δείξας τὸν μέσον etc.

15. δείκνυσι R.V. δεικνύει Ald.

16. λέγει—οὐδεὶς R.V. οὐδεὶς φήσει ὡς ἔστιν ἄλλος Ald.

καὶ γὰρ παιδίῳ μοι ὄντι ὁ αὐτὸς ἦν καὶ νῦν δὲ γεγηρακότι. [*τουτουὶ*: Τὴν *πόστην αὐτοῦ ἔδειξε.* Gl. Victor.]

[655. *ἀγρεῖος*: Ἄγροικος *καὶ ἀμαθής.* R. *ἄγροικος.* Gl. Victor. *ὦ οἴζυρὲ*: Ὀζυρὸς *καὶ οἰζυρὸς ὁ ταλαίπωρος καὶ ἄθλιος, καὶ οἰζὼ, ἡ ταλαιπωρία.* Schol. LB. *ὦ 'ζυρὲ*: Ὥσπερ *ἀπὸ τοῦ αἴ θρηνητικοῦ μορίου καὶ ἐπιρρήματος γίνεται ῥῆμα αἰάζω, τὸ θρηνῶ, καὶ ἐξ αὐτοῦ αἴας καὶ αἰανὸς, ὁ σκοτεινὸς, οὕτως καὶ ἀπὸ τοῦ οἴ θρηνητικοῦ ἐπιρρήματος γίνεται μὲν τὸ οἰμώζω, καὶ ἐξ αὐτοῦ οἰμωγὴ, ὁ θρῆνος, γίνεται δὲ καὶ τὸ οἴζω, ὃ σημαίνει τὸ θρηνῶ, κατὰ δὲ διάλυσιν καὶ μεταπλασμὸν ὀϊζύω, καὶ ἐξ αὐτοῦ ὀϊζυρὸς καὶ ὀϊζύς.* Victor.]

[657. *ὃν εἶπεν ἥττονα.* R.]

661. *κύων, ἀλεκτρυών*: Καὶ *ταῦτα γελοίου χάριν παρείληπται. ἢ καὶ πρὸς τὴν ἀθεότητα τοῦ Σωκράτους, ὅτι καὶ κατὰ τούτων ὤμνυεν. ἔπαιξε δὲ τὸν ἀλεκτρυόνα ὡς τετράπουν καταριθμήσας, ἵν' ἡ ἀφορμὴ τοῦ λοιποῦ παιγνίου ἐκ τούτου γενήσεται.*

663. *ἀλεκτρυόνα κατὰ ταυτὸν*: Οὐκ *ἂν ἄλλως λέγοιτο τοῦτο, εἰ μὴ ἐν ἔθει ἦν τότε καὶ τὴν θήλειαν ἀλεκτρυόνα λέγειν. σαφὲς δὲ γίνεται ἐν* Ἀμφιαράῳ

γύναι, τί τὸ ψοφῆσάν ἐσθ'; ἀλεκτρυὼν
τὴν κύλικα καταβέβληκεν. οἰμώζουσά γε.

καὶ ἐν τῷ Πλάτωνος Δαιδάλῳ

1. *ὄντι ὁ* R.V. *ὄντι πάλαι ὁ* Ald.
12. Καὶ om. V.
ib. *ταῦτα* R.V. *ταῦτα δὲ* Ald.
ib. *παρείληπται*] *προείληπται* V
13. *τοῦ* add. R.
ib. *ὅτι καὶ* (*καὶ* om. R.) *κατὰ τούτων* (*τοῦτον* R.) *ὤμνυεν* R.V. *ὅτι κατ' αὐτῶν ὄμνυσιν* Ald.
14, 15. *ἔπαιξε—γενήσεται* om. R. Verba *ἔπαιξε τὸν ἀλεκτρυόνα ὡς τετράπουν καταριθμήσας* ante *καὶ ταῦτα* ponit Ald. Transposui cum V. ex eoque addidi *ἵν' ἡ—γενήσεται.*
16–p. 501. l. 4. *Οὐκ ἂν—σοβεῖ* om. V. Totum scholion om. R.
18. Ἀμφιαράῳ] Fragm. 86. Personæ sic distinguendæ ut *ἀλεκτρυὼν — καταβέβληκεν* mulieris, reliqua viri verba sint.
19. *ἐσθ'; ἀλεκτρυὼν*] *ἐστιν. ἡ ἀλεκτρυὼν* Ald. Correxit Brunckius.
20. *οἰμώζουσα*] *οἰμώξουσα* Brunckius, recte, ut videtur, quamvis veteres Attici *οἰμώξομαι* dicere soleant.
21. Δαιδάλῳ] Hoc fragmentum afferunt Athenæus 9. p. 374 C. et Photius Suidasque s. *ὑπηνέμια*, verum non Platonis, sed Aristophanis Dædalo tribuentes, cujus inter fragmenta est 237. ed. meæ: unde Dobræus apud scholiastam corrigebat *καὶ πάλιν ἐν τῷ Δαιδάλῳ.*

ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ
ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις.

καὶ

ὁ δὲ παῖς ἔνδον τὰς ἀλεκτρυόνας σοβεῖ.

οἱ Ἀττικοὶ οὕτω καὶ τὰς θηλείας ἐκάλουν, ὡς καὶ Θεόπομπος. λέγουσι δ' αὐτὴν καὶ ἀλεκτρύαιναν. [τῷ αὐτῷ ὀνόματι. R.V. (non G.)]

667. νὴ τὸν Ἀέρα: Μιμεῖται καὶ αὐτὸς τοὺς φιλοσόφους, καὶ κατὰ τοῦ ἀέρος ὄμνυσιν.

[669. διαλφιτώσω: Πᾶσαν ἀλφίτων πληρώσω τὴν κάρδοπον. κάρδοπον δέ φησι μαγίδα, ἐν ᾗ τοὺς ἄρτους ἔματτον, ἢ σκαφίδιον ἐν ᾧ ἀναμάττειν καὶ ἀναφυρᾶν ἔθος τὰ ἄλφιτα. R.V.]

[670. ἰδού, φησί, διήμαρτες ἕτερον, τὴν καρδόπην εἰπὼν κάρδοπον· κοινῶς γὰρ κέκλιται. V.]

673. τῶν πολιτευομένων εἷς ἦν ὁ Κλεώνυμος. ὡς γυναικιζόμενον δὲ αὐτὸν οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ διαβάλλουσι. φησὶν οὖν, τὴν κάρδοπον ἀρσενικῶς καλεῖς, δέον θηλυκῶς· ὥσπερ Κλεώνυμον ἄρρενα καλοῦσί τινες, οὐδὲν διαφέροντα τὴν αἰσχύνην τῶν γυναικῶν.

1. ἐνίοτε om. Athenæus. Certis temporibus, inquit, multæ gallinæ perpetuo irrita pariunt ova. Verno tantum tempore hæc fieri auctor est Plinius 10, 80. HERM.

ib. βίᾳ additum ex Athenæo, Photio, Suida.

2. ὑπηνέμια] ὑπήνεμα Ald. Correctum ex iisdem grammaticis.

3. καὶ "ὁ δὲ] καὶ huc transposuit Hermannus. Legebatur ante ὑπήνεμα.

5. οὕτω V. δὲ οὕτω Ald.

ib. ὡς καὶ V. ὡς om. Ald.

ib. Θεόπομπος] Theopompi verba apposuit Athenæus, ἄχθομαι δ' ἀπολωλεκὼς | ἀλεκτρυόνα τίκτουσαν ᾠὰ πάγκαλα.

9. ὄμνυσιν] ὀμνύς V.

10. τὴν κάρδοπον. κάρδοπον δέ φησι om. R.

11. μαγίδα] παγίδα V. μαγὶς eadem quæ μάκτρα.

ib. σκαφίδιον ἐν ᾧ] σκάφην ἐν ᾗ R.

12. ἀναφυρᾶν] ἀναφύρειν R.

13. Prima hujus scholii verba habet R, ἰδού, φησί, διήμαρτες.

ib. τὴν καρδόπην] τὴν κάρδοπον V.

15 – p. 502. l. 5. τῶν—κατάληξιν R.V. ὥσπερ καὶ Κλεώνυμον: σύ, φησι, τὴν κάρδοπον καλεῖς ἀρσενικῶς, δέον θηλυκῶς· ὥσπερ Κλεώνυμον ἄρρενα καλοῦσί τινες, οὐδὲν διαφέροντα τῇ αἰσχύνῃ τῶν γυναικῶν. ταυτὸν δύναταί σοι: οἷον τὸ αὐτὸ γένος. σημαίνει δὲ τὴν κατάληξιν. ὅ ἐστι, δοκεῖ σοι ὁμοιοκατάληκτον εἶναι. ἅμα δὲ καὶ ὡς γυναικώδη σκώπτει τὸν Κλεώνυμον, καὶ ὡς ἀδηφάγον διασύρει, τῷ ἀλφίτων δεκτικῷ λέγων ὅμοιον. τῶν πολιτευομένων δὲ εἷς ἦν· καὶ ὡς γυναικιζόμενον αὐτὸν οἱ ποιηταὶ διαβάλλουσιν Ald.

16. αὐτὸν post ποιηταὶ ponit V.

18. τὴν αἰσχύνην] τῇ αἰσχύνῃ V, ut Ald.

[πῶς δὴ, φράσον: Ἢ πρὸς τὸ φράσον στῖξον καὶ τὸ λοιπὸν κατ' ἐρώτησιν λέγε, ἢ τὸ ὅλον ἓν ἔστω. Schol. Cant. 1.]

674. ταυτὸν δύναταί σοι: Ἀντὶ τοῦ ὁμοιοκατάληκτά ἐστι. ἅμα δὲ ὅτι καὶ γυναικώδης ὁ Κλεώνυμος, ἄλλως τε ὅτι καὶ ταυτὸν γένος σημαίνει διὰ τὴν κατάληξιν.

676. ἐπειδὴ πένης ἦν ὁ Κλεώνυμος καὶ παράσιτος, διασύρει αὐτὸν ὡς ἀποροῦντα μάκτρας καὶ θυείᾳ χρώμενον. μικρὰ γὰρ ἡ θυεία, ἡ δὲ κάρδοπος μεγάλη. ἔχει δὲ ἀδηφαγίας διαβολήν. τοῦτο κατὰ Κλεωνύμου. τρόπον γὰρ μάκτρας ἔστω σοι, φησὶ, Κλεώνυμος.

[678. τὴν Σωστράτην: Πάλιν ἐνταῦθα ὁ ποιητὴς σκώπτει τὸν Σώστρατον, Σωστράτην εἰπὼν, διότι λίαν ἀσελγὴς ἦν καὶ θηλυδρίας. Junt. Victor.]

680. καρδόπη, Κλεωνύμη: Τοῦτον ἤδη ὡς κίναιδον διασύρει, ἐπεὶ ῥίψασπις καὶ δειλός. ἐν ἐρωτήσει δὲ ὁ λόγος, καὶ λείπει τὸ ὡς· ἵν' ᾖ, ἐκεῖνο δ' ἦν ὀρθῶς ὡς καρδόπη καὶ Κλεωνύμη λέγειν. ὅμοιον δὲ ἦν τὸ λέγειν καρδόπην, ὡς Κλεωνύμην.

[684. αὗται πόρναι ἦσαν. V. (non G.)]

[686. οὗτοι ἐπὶ μαλακίᾳ διαβάλλονται. R.V. (non G.)]

[687. ὦ ἄθλιε· τὸ μὲν γὰρ κατηγορεῖ τύχης, τὸ δὲ φύσεως. V.]

[688. οὐκ ἄρρεν' ἐν ὑμῖν ἐστιν: Οὐκ ἄρρενα ταῦτα ὑμεῖς ἡγεῖσθε. Gl. E.]

691. γυναῖκα τὴν Ἀμυνίαν: Πρὸς τὴν κατάληξιν τοῦ ὀνόματος ἔπαιξεν εἰς διαβολὴν τοῦ ἀνδρός. ἐνταῦθα μὲν εἰς δειλίαν μόνον καὶ μαλακίαν. Κρατῖνος δὲ ἐν Σεριφίοις ὡς ἀλαζόνα καὶ κόλακα καὶ

3. Ἀντὶ] ἄλλως præponit V.
ib. Ἀντὶ τοῦ om. R.
ib. ἐστι] εἰσίν R.
4. ὅτι om. R.
4, 5. ἄλλως—κατάληξιν om. R.
6. Scholion v. 676. om. R.
6, 7. ἐπειδὴ—χρώμενον R.V. ἀδηφαγίας ὑπερβολή. ὡς πένητα δὲ καὶ παράσιτον διαβάλλει αὐτὸν καὶ ἀποροῦντα μάκτρας Ald.
6. ὁ Κλεώνυμος om. V.
ib. καὶ παράσιτος om. R.
7. θυεία] θυίᾳ V.
7–9. μικρὰ—Κλεώνυμος om. R.
7. μικρὰ γὰρ V. μάκτρα δὲ Ald.
8, 9. ἔχει δὲ—Κλεώνυμος V. ἀδηφαγίας δὲ ἔχει διαβολὴν κατὰ τοῦ Κλεωνύμου. τρόπον γὰρ μάκτρας ἔνδον ὁ Κλεώνυμος Ald.
13. Scholion v. 680. om. R.V.
22. Scholion v. 691. om. R.
ib. τὴν om. V.
23. ἔπαιξεν εἰς V. ἔπαιξε καὶ εἰς Ald.
ib. μόνον καὶ μαλακίαν] αὐτὸν κωμῳδεῖ V.
24. κρατῖνος V. Κράτης Ald.
ib. Σεριφίοις] σερίφοις V. δερίφοις Ald.
ib. ὡς] καὶ V.

συκοφάντην. Εὔπολις δὲ ὡς παραπρεσβευτὴν, ὅπερ καὶ ἐν τοῖς Σφηξὶ φαίνεται.

694. *κατακλινεὶς*: Τοῦτο *κοινόν. τὸ γὰρ κατακλιθεὶς* Ἀττικόν. [Ἰωνικῶς δὲ *κατακλινθείς*. Junt.]

695. *ἐκφρόντισόν τι*: Σκέψαι *τι τῶν σοι συμφερόντων καὶ ἐννοήθητι.*

696. *μὴ δῆθ᾽ ἱκετεύω*: Παρεπιγραφή· *ποιήσει γὰρ τὸ προσταχθέν. εἶτα καταβρωθεὶς ἀρνηθήσεται.*

698. *οὐκ ἔστι παρὰ ταῦτ᾽ ἄλλα*: Εἰ *μὴ ἐπὶ τοῦ ἀσκάντου σκέψῃ. τοῦτο, φησὶ, πάντως δέδοκται καὶ οὐκ ἂν ἐάσαιμί σε, φησὶν, ἕτερόν τι ποιῆσαι.*

699. *ἀντὶ τοῦ σήμερον. καὶ τήμερος ὁ σημερινός. καὶ ἔστι τεταγμένον ἐπὶ σώματος, τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. καὶ ἐν* Ὁλκάσιν " *ἰὼ* Λακεδαῖμον, *τί ἄρα πείσῃ τήμερα," ἀντὶ τοῦ σημερινή.*

700. *φρόντιζε δὴ καὶ διάθρει*: Ἐκάθισεν *αὐτὸν ἐπὶ τοῦ ἀσκάντου. τὸ δὲ δὴ ἰσοδυναμεῖ τῷ νῦν.* *ἔκθεσις τῆς διπλῆς ἀμοιβαία ἐκ στίχων καὶ κώλων δύο πρὸς τοῖς εἴκοσιν· ὧν τὸ πρῶτον δίμετρον ἐκ διιάμβου καὶ χοριάμβου. τὸ δεύτερον δίμετρον ἐκ χοριάμβου καὶ βακχείου. τὸ τρίτον ἰαμβικὸν πενθημιμερές. τὸ τέταρτον ἐκ διιάμβου καὶ χοριάμβου τρίμετρον βραχυκατάληκτον. τὸ πέμπτον ἐκ διιάμβου καὶ διτροχαίου ταυτοπαθές. τὸ ἕκτον τρίμετρον ἐκ διιάμβων καὶ κατὰ τὸ μέσον χοριάμβου. τὸ ἕβδομον ἰαμβικὸν δίμετρον*

1. *ὡς*] *καὶ* V.
ib. *παραπρεσβευτὴν* V. *παραπρεσβύτην* Ald. Conf. schol. Vesp. 1263.
2. *Σφηξὶ*] 1271.
3. *Τοῦτο*—*Ἀττικόν* om. R.V.
5. *σκέψαι*—*ἐννοήθητι* (*ἐννόησον* G.) R.V. *ἀντὶ τοῦ σκέψαι καὶ διανοήθητι περὶ τῶν ἰδίᾳ σοι συμφερόντων πραγμάτων* Ald.
7. Scholion v. 696. om. R.V.
9, 10. *Εἰ*—*σκέψῃ* om. V. Nihil præter verba *ἐπὶ τοῦ ἀσκάντου* habet R, reliqua scholii parte omissa.
10, 11. *καὶ οὐκ*—*ποιῆσαι* V. *οὐκ ἀνίημί σε ἑλόντα ποιῆσαί τι* Ald.
12–15. *ἀντὶ τοῦ*—*σημερινή* R.V. *τήμερα: ὡς ἐν Ὁλκάσιν, ἰὼ Λακεδαῖμον, τί ἄρα πείσῃ τήμερα; ὁσημερινός. καὶ ἔστι τεταγμένως ἐπὶ σώματος, τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται* Ald.
12. *ἀντὶ*—*τήμερος* om. R.
ib. *τήμερος*] *τήμερον* G.
14. *Ὁλκάσιν*] *τῇ εἰρήνῃ* R.V. et Suidas s. *τήμερος*. Recte Holcadas nominari ostendi ad fragm. 354.
ib. *ἄρα* om. V.
17. *ἰσοδυναμεῖ*] *εἰσοδυναμεῖ* R.
ib. *τῷ*] *τὸ* R.
17–p. 504. l. 10. *ἔκθεσις*—*κἀνταῦθα* om. R.V.
22. *διτροχαίου* Ernestius. *τροχαίου* Ald.
23. *χοριάμβου* Ernestius. *διτροχαίου* Ald.

ἀκατάληκτον. τὸ ὄγδοον δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον, ἢ ἐκ δυοῖν βακχείοιν ἀκατάληκτον. τὰ ἑξῆς δύο ἰαμβικὰ τρίμετρα. τὰ δὲ μετὰ ταῦτα ἀναπαιστικὰ δίμετρα καταληκτικὰ εἰς δισύλλαβον· πλὴν τοῦ πεντεκαιδεκάτου, μονομέτρου ὄντος. ὁμοίως καὶ τοῦ ἑπτακαιδεκάτου καὶ εἰκοστοῦ πρώτου (ἀναπαιστικαὶ γὰρ βάσεις) καὶ τοῦ τελευταίου ἀναπαιστικοῦ μὲν ὄντος ἐφθημιμεροῦς, παροιμιακοῦ δὲ, ὡς πολλάκις εἴρηται, καλουμένου. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα. ἐπὶ τῷ τέλει δύο διπλαῖ ὡς ἐν τοῖς προφθᾶσιν. ἰστέον δὲ ὅτι τὰς ἐκθέσεις τῶν διπλῶν οὐκ ἀεὶ διὰ τοῦ αὐτοῦ μέτρου ἐκφέρουσιν, ἀλλὰ καὶ δι' ἑτέρου· ἔστι δ' ὅτε καὶ διὰ διαφόρων, ὡς κἀνταῦθα. [ἀντὶ τοῦ βλέπε. R. βλέπε. V. (non G.)] ἀντὶ τοῦ ἀνάκρινε καὶ δοκίμαζε.

701. πάντα τρόπον: Τουτέστιν, ἐπὶ πολλὰ τὴν διάνοιάν σου τρέπε.

702. στρόβει: Περίφερε τῇδε κἀκεῖσε, πυκνόν τι καὶ συνετὸν ποιήσας φρόνημα καὶ σκεψάμενος.

[πυκνώσας: Συναγαγὼν πάντα τὸν νοῦν σου. Gl. E.]

703. εἰς ἄπορον πέσῃς: Ἐπειδὰν δὲ, φησὶν, εἴς τι ἄπορον πέσῃς, ταχέως ἐπ' ἄλλο νόημα φρενὸς πήδα. ἄπορον δὲ, οὗ πόρον καὶ λύσιν οὐκ ἔστιν εὑρεῖν. καθάπτεται δὲ τοῦ Σωκράτους, ὡς καὶ αὐτοῦ ἐπὶ ταῖς ζητήσεσιν οὕτω ποιοῦντος. ὅταν γὰρ στενοχωρῆται καὶ ἀπορῇ, μεθίσταται εἰς ἕτερον. ὁ γὰρ ὑποτιθέμενος ἄλλῳ δῆλον ὅτι αὐτὸς ἐν πείρᾳ γενόμενος τῶν ὅσα λέγει ὑποτίθεται. [Ἄλλως. οὗ πόρον οὐκ ἔστιν εὑρεῖν. φησὶ δὲ ὅτι, ἐὰν ἡ διάνοια εἰς ζήτημα ἄπορον ἐμπέσῃ, μετάβηθι ἐπὶ ἄλλο. σκώπτειν δὲ διὰ τούτων βούλεται τὸν Σωκρά-

11. ἀντὶ τοῦ ante ἀνάκρινε add. R.
ib. ἀνάκρινε καὶ (καὶ om. R.) δοκίμαζε huc retulit Ruhnkenius (ad διάθρει). Legebatur ad v. 702. ante περίφερε, consentientibus R.V.
13. πολλὰ] πολὺ V.
14. τρέπε V. τρέπει R. στρέφε Ald. Post τρέπε pergit V. καὶ ἀνάκρινε—: de quo modo dixi.
15. κἀκεῖσε R.V. κἀκεῖσε ἐπὶ πολλὰ Ald.
16. φρόνημα καὶ R.V. καὶ φρόνιμον Ald.
18–23. Ἐπειδὰν—ὑποτίθεται om. R. ἐὰν ἀπορήσῃς εἴς τι, ταχέως εἰς ἄλλο πήδημα καὶ διανόημα μετάβηθι. διαβάλλει δὲ τὸν σωκράτην ὡς καὶ αὐτὸν ἐν ταῖς συζητήσεσιν, ὅτ' ἂν στενοχωρῆται—ὑποτίθεται V.
19. ταχέως V. et Suidas s. μεταπήδα. ταχὺ Ald.
23. Ἄλλως om. R.
24. ἐὰν ἡ διάνοια εἰς Suidas. ἐὰν εἰς διάνοιαν R.V.
25. τὸν Σωκράτην] καὶ τὸν σωκράτην V.

την ὡς χλευαζόμενον ἐν ταις συζητήσεσι καὶ μεθιστάμενον ὑπὸ στενοχωρίας. R.V.]

706. ἰατταταί: Καταπονούμενος ὑπὸ τῶν κόρεων στενάζει ὁ Στρεψιάδης. ἔστι δὲ παρεπιγραφή. κατακλιθεὶς γὰρ καὶ μὴ δυνάμενος ὑπενεγκεῖν, παρεκάλει.

[707. βακχεῖον δίρυθμον. B.]

709. οἱ Κορίνθιοι: Ἴσως μὲν ὅτι κατ' ἐκεῖνον τὸν καιρὸν ἐπέκειντο αὐτοῖς οἱ Κορίνθιοι, ἅμα δὲ ὅτι παρὰ τὸ κόρις πεποίηνται οἱ Κορίνθιοι. παίζων οὖν παρονομάζει ἅμα μὲν πρὸς τὸ τῶν κόρεων ὄνομα, ἅμα δὲ διὰ τὸν πόλεμον καὶ ὅτι ἐχθροὶ ἦσαν Ἀθηναίων οἱ Κορίνθιοι. [δέον οἱ κόρεις εἰπεῖν, Κορίνθιοι εἶπεν· ἐπειδὴ οἱ Ἀθηναῖοι καὶ οἱ Κορίνθιοι κατ' ἐκεῖνο καιροῦ πόλεμον εἶχον καὶ οἱ Κορίνθιοι τὰ τῆς Ἀττικῆς ἐδῄουν. Schol. Br.]

[711. ψυχὴν ἐκπίνουσιν: Ἰστέον ὅτι τρεῖς ψυχάς φασι. τὴν αὐξητικὴν, ἥτις ἐστὶ κοινὴ τῶν ἀνθρώπων, τῶν ἀλόγων ζώων, καὶ τῶν φυτῶν· τὸ αἷμα, ὅπερ ἐστὶ μόνων τῶν ζώων· καὶ τὴν λογικὴν, ἥτις ἐστὶ μόνων τῶν ἀνθρώπων. Junt. αἷμα. Gl. Br.]

[716. πῶς δυνατὸν, φησὶ, μὴ ἀλγεῖν. R.]

717. φρούδη δ' ἐμβὰς: Μέχρι τοῦ εὐτελοῦς κτήματος. τοῦτο δὲ εἶπε διὰ τὸ ὑπολύσασθαι τὰς ἐμβάδας, ὅτε καὶ ἀπεδύσατο ὡς μέλλων εἰσιέναι εἰς τὸ φροντιστήριον. [Ἄλλως. οὐκ εἶπεν ὄπισθεν ὅτι τὰς ἐμβάδας ὑπελύσατο ὁ Στρεψιάδης, ὅτε εἰσῄει τὸ ὑπὲρ γῆν ἐκεῖνο φροντιστήριον, ἀλλὰ μόνον, ὅτι ἐξεδύσατο τὸ ἱμάτιον. καὶ οὐδὲν θαυμαστὸν, εἰ τὸ γεγονὸς μὲν τότε παρῆκε, νῦν δὲ λέγει· τουτέστι τὸ ὑπολύσασθαι τὰς ἐμβάδας. ὃ δὲ ἐκεῖ εἶπεν, ἤγουν τὸ ἀποδύσασθαι τὸ ἱμάτιον, νῦν οὐ λέγει. Junt.]

719. φρουρᾶς ᾄδων: Οἱ γὰρ φρουροῦντες πρὸς τὸ ἀποσοβεῖν τὸν

3–5. Καταπονούμενος — παρεκάλει om. V.

4, 5. ἔστι δὲ—παρεκάλει om. R.

7. ἴσως μὲν ὅτι κατ' ἐκεῖνον τὸν καιρὸν (χρόνον R.) ἐπέκειντο αὐτοῖς R.V. ἴσως αὐτοῖς ἐπέκειντο κατ' ἐκεῖνο καιροῦ (hac locutione κατ' ἐκεῖνο καιροῦ utitur scholiasta v. 6.) Ald.

8. ἅμα δὲ—πεποίηνται (πεποίηται R.) οἱ Κορίνθιοι addidi ex R.V.

9. παίζων οὖν παρονομάζει R.V. παρονομάζει δὲ παίζων Ald.

9, 10. πρὸς τὸ—διὰ R.V. πρὸς τὸ κόρεων, ἅμα δὲ καὶ διὰ Ald.

10. καὶ ὅτι R.V. καὶ om. Ald.

20. ὑπολύσασθαι—μέλλων R.V. ὑπολελύσθαι — ὅτε ἀπεδύετο μέλλων Ald.

20. ὅτε] ὅτι G.

27–p. 506. l. 1. οἱ γὰρ—ᾖδον R.V.

ὕπνον καὶ τὴν ἀγρυπνίαν αὐτῶν παραμυθεῖσθαι ᾖδον. καὶ οὕτως ἦν λεγόμενον ἐπὶ τῶν ἀγρυπνούντων, φρουρᾶς ᾄδειν. Ἄλλως. ἐκ τοῦ παρεπομένου τοῖς φρουροῖς. εἰώθασι γὰρ ἑαυτοῖς ᾄδειν ἀποπερισπῶντες τὸν ὕπνον. φρουρᾶς ᾄδων, οἷον διαγρυπνῶν περὶ τὴν φρουράν. δισσὴ δέ ἐστιν ἡ γραφὴ, φρουρὰς ᾄδων καὶ φρουρὰς ἰδών. καὶ τὸ μὲν φρουρὰς ᾄδων ἀντὶ τοῦ συνεχῶς ᾄδων φρουράς, τὸ δὲ φρουρὰς ἰδὼν ἀντὶ τοῦ φυλάττων, ἐπειδὴ φύλακες ἦσαν τῶν τοῦ φροντιστηρίου θυρῶν. [Ἄλλως. τὸ φρουρᾶς ᾄδειν παροιμία ἐστὶν ἐπὶ τῶν ἀγρυπνούντων καὶ φροντιζόντων πάνυ λεγομένη. οἱ γὰρ ἐπιτραπέντες ἐν νυκτὶ τινὰ φυλακὴν ᾄδουσιν, ἵνα μὴ ὑπὸ τοῦ ὕπνου καταμαλθακισθέντες ἐκλίπωσιν ὃ φυλάσσουσιν. εἰκότως δ' ἐνταῦθα ἡ παροιμία ἐλήφθη. καὶ γὰρ αὐτὸς ἐν τῇ κλίνῃ κείμενος οὐκ ἐκοιμᾶτο, ἀλλ' ἐφρόντιζεν. ἀστείως δὲ πάνυ καὶ τὸ φροῦδος εἴρηκεν ὁ ποιητής, ἐκ τῶν δύο λέξεων συνθήκης, τοῦ φρουρᾶς καὶ τοῦ ᾄδων, σχηματίσας αὐτό. Junt. ἕνεκα. παροιμία ἐπὶ τῶν ἀγρυπνούντων. Gl. Br.]

724. ἀπόλωλ' ἀρτίως: Ὑπὸ τῶν κόρεων δηλονότι. ἐπειδὴ Σωκράτης εἶπεν ἀπολεῖ, ὅ ἐστι, μέλλεις ἀπολέσθαι, οὗτος λέγει, ὅτι ἀπόλωλ' ἤδη.

[725. οὐ μαλθακιστέον πρὸς τὰ τῶν κόρεων δήγματα. R.V.]

727. κἀπαιόλημ': Κίνημα, ἀποπλάνημα καὶ ἀπάτην τινὰ, πανούργημα. ἢ οὕτως. δεῖ σε, φησὶ, καλύψασθαι καὶ σκέψασθαι. ἐπεὶ οἱ εἴς τι τείνοντες τὸν ὀφθαλμὸν ἀποπλανῶνται τὴν γνώμην. [ἀπαιό-

et Suidas s. φροῦδος. οἱ φρουροῦντες ἐν τῷ πολέμῳ διὰ τὸ παραμυθεῖσθαι αὐτῶν τὴν ἀγρυπνίαν ᾖδον Ald.

1. παραμυθεῖσθαι om. R.V. et Suidas.

ib. ἦν λ.] λ. ἦν G.

2. φρουρᾶς ᾄδειν] φρουρὰς ᾄδων V.

2–8. Ἄλλως—θυρῶν om. R.

2–4. Ἄλλως—οἷον om. V.

4. περὶ add. V. et Suidas.

5. Post φρουρὰν add. Ald. παρὰ δὲ τὴν λέξιν τὴν φρούδη τοῦτο πεποίηκε, quæ om. V. et Suidas.

ib. ἐστιν addidi ex V. διχῶς δὲ λέγεται ἡ γραφὴ Suidas.

5–8. φρουρὰς ᾄδων—θυρῶν V. φρουρὸς ᾄδων, ἀντὶ τοῦ συνεχῶς ᾄδων φρουρός. τὸ δὲ φρουρᾶς ᾄδων, ἀντὶ τοῦ φυλάττων· ἐπεὶ φύλακες ἦσαν τῶν φροντιστηρίων θυρῶν Ald.

6. καὶ τὸ μὲν—τὸ δὲ Suidas. τὸ δὲ—καὶ τὸ V.

7. ἐπειδὴ] καὶ addit G.

8. Post θυρῶν addit V. ἄλλως δὲ τὸ φρουρὰς ᾄδων ἀντὶ τοῦ διαγρυπνῶν, Suidas autem φρουρὰς δὲ ᾄδων ἀντὶ τοῦ ἀγρυπνῶν. Post διαγρυπνῶν in V. sequuntur illa οἱ γὰρ φρουροῦντες——φρουρὰς ἄδων. Sic etiam apud Suidam, omissis tamen postremis καὶ οὕτως—φρουρὰς ᾄδων.

17. οὗτος R.V. αὐτὸς Ald.

ib. ὅτι om. V.

20, 21. Κίνημα—ἢ οὕτως addidi ex R.V.

22. εἴς τι τείνοντες R.V. εἰστείνοντες Ald.

λημα γίνεται ἀπὸ τοῦ αἰόλλω, ὃ δηλοῖ τὸ ταχέως καὶ δίκην ἀέλλης κινῶ· ἀφ᾽ οὗ Ὅμηρος αἰολοπώλους τοὺς Φρύγας καλεῖ, ἤγουν ταχυίππους, ἢ ποικίλως ἱππαζομένους. Junt. ἀπάτη καὶ πανουργία. Gl. Br. κἀπαιόλημα: Αἴολος ποικίλος ἢ εὐκίνητος ἀπὸ τοῦ αἰολεῖν, ὅ ἐστι κινεῖν. Gl. Victor. ἐπιβάλοι: Ἀντὶ τοῦ καλύψειε. R.]

728. ἀρνακίδων: Ἀρνακὶς λέγεται τὸ τοῦ ἀρνοῦ κώδιον. ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι. δέον γὰρ εἰπεῖν, τίς ἄν με περιβάλοι ἀπὸ ἀρνακίδων γενόμενον περιβόλαιον, ἔπαιξε παρονομάσας ἀπὸ τοῦ ἀρνὸς καὶ τοῦ ἀρνεῖσθαι. τὸ δὲ ἀποστερητίδα ἅμα μὲν ἀπὸ τοῦ ἀποστερεῖν, ἅμα δὲ καὶ ἀντὶ τοῦ περιβόλαιον. [ἀρνακὶς, τὸ τοῦ ἀρνὸς κώδιον. παίζει δὲ ἐνταῦθα, γνώμην ἐξ ἀρνακίδων εἰπὼν ἀποστερητίδα, ἤγουν γνώμην ἐξ ἀρνήσεως καὶ ἀποστερήσεως. ὤφειλε δὲ εἰπεῖν· τίς ἂν δῆτ᾽ ἐπιβάλοι καὶ ἐπιθήσει σκέπασμα ἐξ ἀρνακίδων, ὡς ἂν γνώμην εὕροιμι ἀποστερητικήν; ὁ δὲ παίξας οὕτως ἐξήνεγκεν. Schol. Br.]

[729. ἔρχεται πάλιν ἐπ᾽ αὐτὸν ὁ Σωκράτης. R.]

731. ἔχεις τι: Ἐπειδὴ προεῖπεν αὐτῷ, ἀναρτήσας τὴν φροντίδα, ὡς ἐπὶ ὀρνιθοθήρου εἶπε τὸ ἔχεις. ὡς ἐπὶ τῶν ἀγρευόντων ἤτοι ὄρνιν, ἢ ἰχθῦν, εἶπε τὸ ἔχεις τι, ἀντὶ τοῦ συνείληφάς τι; ἀναρτῆσαι γὰρ αὐτῷ ἐκέλευσε τὴν διάνοιαν καὶ τὴν φροντίδα. Ἄλλως. χαρι-

6. ἀρνοῦ V. et Suidas s. ἀρνακίδα. ἀρνὸς Ald.
7. γὰρ addidi ex R. δὲ V.
ib. εἰπεῖν] εἰπεῖν ὅτι R.
ib. με R.V. μοι Ald.
ib. ἀπὸ R. ἐξ Ald.
8. ἀρνακίδων] ἀρνακιδῶν V. hic et infra.
ib. γενόμενον περιβόλαιον V. ἐν ᾗ μὲν ἐστὶ περιβόλαιον R. σισύραν Ald.
ib. ἔπαιξε R. ἔπαιξε δὲ V. ἔπαιζεν Ald.
ib. παρονομάσας Suidas. παρανομύσας R. παρανομήσας V. ὀνομάσας Ald.
ib. τοῦ ἀρνὸς R.V. τῶν ἀρνῶν Ald. et Suidas.
9. καὶ τοῦ R.V. et Suidas. τὸ Ald.
ib. Post ἀρνεῖσθαι addebatur τοὺς δανειστὰς τὸ (τὸ om. R.V.) ἐξ ἀρνακίδων. τὸ ἐξ ἀρνακίδων omittit Suidas, habet vero τοὺς δανειστὰς, quod delendum esse vidit Kusterus. Post ἀρνακίδων pergit R. καὶ ἀπὸ τοῦ ἀποστερεῖν, reliquis omissis.
ib. μὲν ἀπὸ V. et Suidas. μὲν καὶ πρὸς τὸ ἀπὸ Ald.
17. Scholion v. 731. om. R.
17. 18. Ἐπειδὴ—εἶπε τὸ ἔχεις om. V.
18. ἀγρευόντων V. et Suidas s. ἔχεις. ἀγρώντων Ald.
19. ἀντὶ τοῦ συνείληφάς (codex συνείληφέν) τι addidi ex V. ἀντὶ τοῦ εἴληφας (εἴληφε codex Leid.) τι Suidas.
ib. ἀναρτῆσαι] ἀναρτίσαι V. ἀναπτῆναι Suidas.

έντως τὸ ἔχεις τί, τῇ τῶν ἀγρευτῶν λέξει χρώμενος. τοῖς γὰρ ἁλιεῦσιν ἢ ὀρνιθαγρευταῖς οὕτω φασὶν, ἔχεις τί.

732. ἢ τὸ πέος: Παρεπιγραφή. δεῖ γὰρ αὐτὸν καθέζεσθαι ἔχοντα τὸ αἰδοῖον καὶ μιμεῖσθαι τὸν δερμύλλοντα ἑαυτόν.

733. τι φροντιεῖς: Φροντίζω, τὸ φροντίδα ἔχω, κοινῶς μὲν γενικῇ συντάσσεται· Ἀττικῶς δὲ μετὰ αἰτιατικῆς, ὡς ἐνταῦθα, ἢ ἐν τῷ "βολβοὺς ζητεῖτε; μὴ τοῦτο φροντίζετε." Junt.]

735. αὐτὸς ὅ τι βούλει: Διαβάλλει αὐτὸν, ὡς μὴ παρέχοντα εὕρημα τοῖς μαθηταῖς.

738. σχάσας: Ἀντὶ τοῦ καταπαύσας, στήσας, ἀτρεμίσας. καὶ Πίνδαρος "κώπην σχάσας" ἀντὶ τοῦ τὴν εἰρεσίαν καταπαύσας. ἔνιοι δὲ σχάσας ἀντὶ τοῦ ἁπλώσας. [ὄπισθεν μὲν ἔλεγε παθητικῶς σχασάμενος, νῦν δὲ σχάσας. ἔοικε δὲ ἀμφότερα ἐν χρήσει. ἔστι δὲ καὶ σχάζειν τὸ τέμνειν τὴν φλέβα, ὡς Ξενοφῶν "σχάζει τὴν "παρὰ τῷ σφυρῷ φλέβα." Schol. Cant. 3.]

739. λεπτὴν: Ἀντὶ τοῦ ἀκριβῆ. ἔνθεν καὶ λεπτολόγος. περιφρόνει δὲ ἀντὶ τοῦ ἐρεύνα.

740. διαιρῶν: Ἀντὶ τοῦ ἀναπτύσσων καὶ δοκιμάζων καὶ διακρίνων τὰ ποιήματα καὶ οἷον διαίρεσιν αὐτῶν ποιῶν. σκοπῶν δὲ ἀντὶ τοῦ ἀκριβῶς καὶ ἐπιμελῶς καταμερίζων περὶ οὗ ἂν τὴν σκέψιν ποιῇ.

3. Παρεπιγραφή om. R.
4. καὶ μιμεῖσθαι—ἑαυτόν om. R. habet Suidas.
ib. δερμύλλοντα] ἑρμύλοντα V.
6. ἐν τῷ] v. 190.
8, 9. Διαβάλλει—μαθηταῖς om. R.V.
10. Ἀντὶ τοῦ add. R.V.
ib. καταπαύσας R.V. κατασπάσας Ald. Conf. schol. v. 106.
ib. ἀτρεμίσας R. ἀτρεμήσας V. Ald.
11. Πίνδαρος] Pyth. 10, 79.
ib. τὴν εἰρεσίαν καταπαύσας R.V. ἀτρεμήσας Ald.
12. ὄπισθεν] 108.
14. Ξενοφῶν] Hist. Gr. 5, 4, 58.
15. σφυρῷ] μηρῷ Harlej. 5.
16. Ἀντὶ τοῦ add. R.V.
16, 17. ἔνθεν—ἐρεύνα R.V. ἔνθα καὶ λεπτολόγος ἔρευνα Ald. Veram scripturam habuit Suidas s. λεπτὴν πλέκει.
18–20. ἀντὶ τοῦ ἀναπτύσσων—ποιῇ R.V. ἀκριβῶς—ποιῇ. ἀναπτύσσων—ποιῶν Ald.
18. Ἀντὶ τοῦ add. V.
ib. καὶ δοκ. R.V. καὶ om. Ald.
19. ποιήματα] πράγματα Suidas s. διαιρῶν.
ib. καὶ οἷον R.V. et Suidas. καὶ om. Ald.
ib. σκοπῶν δὲ (τὸ δὲ σκοπῶν V.) ἀντὶ τοῦ addidi ex R.V.
20. οὗ ἂν R. et Suidas s. σκοπῶν. ἂν om. Ald.
ib. ποιῇ] ποιεῖ R.

῎Αλλως. ὡς ἐπὶ τῶν μίμων ἐχρήσατο. ὡσεὶ ἔλεγε κατὰ κεφάλαιον ἐκζητῶν. [ὁ γὰρ σκεπτόμενος οὕτω, διαιρεῖ τὴν βουλήν· οἷον, εἰ τόδε ποιήσω, τόδε ἀπαντήσει· καὶ εἰ τόδε, τόδε. Junt. Victor.]

741. ἔχ᾽ ἀτρέμα: Ἐφ᾽ ἡσυχίας μένε· ὡς αὐτοῦ κινουμένου διὰ τοὺς κόρεις. τὸ δὲ κἂν ἀπορῇς τι τῶν νοημάτων ἀντὶ τοῦ κἂν ἀπορῇς εἰς νόημά τι. [῎Αλλως. ἰστέον ὅτι οἱ Ἀττικοὶ πάντα τὰ ἑνικά τε καὶ πληθυντικὰ τρίτα πρόσωπα τῶν ῥημάτων καὶ τὰς τῶν ὀνομάτων δοτικὰς τῶν πληθυντικῶν συμφώνου καὶ φωνήεντος ἐπιφερομένου μετὰ τοῦ ν γράφουσιν, ὡς ἔστι σαφῶς συμβαλεῖν ταῖς τοῖς πάλαι σοφοῖς πεπονημέναις ἐντυγχάνοντα βίβλοις. οἱ δὲ Ἴωνες δίχα τοῦ ν. τούτοις οὖν καὶ ἀμφοτέροις οἱ ποιηταὶ παρακολουθοῦντες, καὶ δὴ καὶ τῇ ἀνάγκῃ τοῦ μέτρου ἑπόμενοι, πολλάκις συμφώνου μὲν ἐπιφερομένου μετὰ τοῦ ν γράφουσι· πολλάκις δὲ καὶ φωνήεντος ἐπιφερομένου δίχα τοῦ ν. τοιοῦτον δή τι τῇ τοῦ μέτρου ἀνάγκῃ καὶ ἐν τοῖς ν καὶ εἰς ς λήγουσιν ἐπιρρήμασι ποιεῖν εἰώθασιν, οἷον τὸ πρόσθεν, νέρθεν, ὑπένερθεν· τὸ οὕτως, αὖθις, πολλάκις, εὐθύς, ταχύς, ἀτρέμας, καὶ τοῖς ὁμοίοις. τοῦτο δὲ οὕτως ἔχον εὑρήσεις ἀκριβῶς σκοπῶν. Junt.]

742. ἀντὶ τοῦ καὶ δεύτερον ἐπίστησον περὶ τῶν αὐτῶν καὶ τρίτον. ζυγώθρισον δὲ ἀντὶ τοῦ ἴσωσον. ῎Αλλως. ἔασον τὸ ἀπορούμενον· ἔπειτα πάλιν ἀνασκοπεῖν καὶ οἷον ἀνοίγειν ἀποπειρῶ. τὸ γὰρ ἀναζυγοῦν ἐστι τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. ἔνιοι δὲ τὸ ζυγώθρισον, ἀντὶ τοῦ συνάρμοσον, σύμπηξον.

743. κίνησον αὖθις: Ὑποτίθεται πῶς δεῖ φροντίζειν, καὶ τίνα τρόπον. φησὶν οὖν ἐὰν ὑπεισέλθῃς, ἔτι μὴ ἀμελήσῃς, ἀλλὰ πολλάκις

1, 2. ῎Αλλως—ἐκζητῶν om. R.V.

1. μίμων] νομισμάτων Toupius Emendat. vol. 3. p. 52.

4. μένε ἐφ᾽ ἡσυχίας V.

5. τοὺς κόρεις] Addit V, τὸ δὲ ἀπορεῖς ἀντὶ τοῦ κἂν ἀπορῇς εἰς νόημά τι. Quæ correcta posui.

19–23. ἀντὶ τοῦ—σύμπηξον R.V. ἀφεὶς ἄπελθε: ἔασον τὸ ἀπορούμενον· ἔπειτα πάλιν ἀνασκοπεῖν καὶ οἷον ἀνοίγειν ἀποπειρῶ. τὸ γὰρ ἀναζυγοῦν ἐστὶ τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. ἔνιοι δὲ ζυγώθρισον, συνάρμοσον, σύμπλεξον. κίνησον δὲ αὖθις, ἀντὶ τοῦ καὶ δεύτερον καὶ τρίτον ἐπίστησον· περὶ τῶν αὐτῶν ζυγοστάτησον, ἴσωσον Ald.

20. ζυγώθρισον V. ζυγόθρησον G. ζυγώθρησον R.

22. τὴν θύραν post ἀναζυγοῦν collocat G.

ib. ζυγώθρισον] ζυγόθρησον G.

23. σύμπηξον etiam Suidas s. ζυγώθρισον.

24. Ὑποτίθεται] ἄλλως præfixum in V. Totum scholion om. R.

25. φησὶν οὖν V. φησὶ γὰρ Ald.

αὐτὸ μέτελθε· καὶ οὕτως εἰς ἓν συμφορήσας τὴν ἀρίστην γνώμην ἑλοῦ.

[ζυγώθρισον: Ἀπὸ τοῦ ζυγὸς γίνεται καὶ τοῦ ἀθερίζω, τὸ ἀποδοκιμάζω, ζυγοαθέρισον, καὶ κατὰ συγκοπὴν τοῦ ε, καὶ κρᾶσιν τοῦ ο καὶ α εἰς ω μέγα, ζυγώθρισον. Junt. σκόπησον, μελέτησον· μεταφορικῶς. Gl. Br.]

744. ὦ Σωκρατίδιον: Ὡς ἐνθυμηθείς τι ἀνίσταται καὶ βοᾷ.

747. γυναῖκα φαρμακίδ᾽: Διαβάλλονται οἱ Θετταλοὶ ὡς γόητες. καὶ μέχρι νῦν γε φαρμακίδες παρ᾽ ἡμῖν αἱ Θετταλαὶ καλοῦνται. φασὶ δὲ ὅτι Μήδεια φεύγουσα κίστην ἐξέβαλε φαρμάκων ἐκεῖ καὶ ἀνέφυσαν. τὸ δὲ Θεττάλην Ἀττικοὶ βαρύνουσιν οἱ κατὰ Μένανδρον, ὡς δαμάλην.

749. λοφεῖον στρογγύλον: Τὴν τοῦ κατόπτρου θήκην. ἢ τὴν θήκην τοῦ λόφου τῆς περικεφαλαίας. περιφερὴς δὲ αὕτη. [λοφεῖον: Ἀγγεῖον. Gl. Br.]

750. ὥσπερ κάτοπτρον: Ὁ γὰρ τῆς σελήνης κύκλος στρογγυλοειδής, καθάπερ τὰ ἔσοπτρα. καὶ φασὶ τοὺς περὶ τὰ τοιαῦτα δεινοὺς τούτῳ κατάγειν τὴν θεόν. ἔστι δὲ καὶ Πυθαγόρου παίγνιον διὰ κατόπτρου τοιοῦτον. πληροσελήνου τῆς σελήνης οὔσης, εἴ τις εἰς ἔσοπτρον ἐπιγράψειεν αἵματι ὅσα βούλεται, καὶ προειπὼν ἑτέρῳ στῆναι κατόπιν αὐτοῦ, δείκνυσι πρὸς τὴν σελήνην τὰ γράμματα,

7. ὡς—βοᾷ R.V. ἐνθυμηθεὶς ἐξανίσταται βοῶν Ald.

8. διαβάλλονται οἱ R. ὡς νῦν τὰς φαρμακίδας Θετταλὰς καλοῦσι. διαβάλλονται γὰρ οἱ Ald. διαβάλλονται δὲ οἱ V, in quo illa Ἀττικοὶ βαρύνουσιν οἱ κατὰ Μένανδρον ὡς δαμάλην in principio scholii posita sunt.

9. νῦν γε R.V. δὲ νῦν Ald. καὶ νῦν Suidas s. Θετταλὴ γυνή, ubi καὶ om. cod. Paris. A.

ib. αἱ Θετταλαὶ om. R. αἱ θεσσαλαὶ V.

10. ἡ Μήδεια Suidas.

ib. φεύγουσα V. et Suidas. φυγοῦσα Ald.

11. Μένανδρον] Cujus comœdia fuit Θεττάλη.

14. ἔστι δὲ αὕτη περιφερής V.

17. κ. τὰ ἔσ.] ὡς ἔσοπτρον Suidas.

ib. τὰ V. καὶ τὰ Ald.

ib. ἔσοπτρα R.V. ἔποπτα Ald.

ib. φασὶ] φησὶ R.V.

18. τούτῳ Suidas. τοῦτο V. οὕτω Ald.

ib. Πυθαγόρου] πυθαγόρα V, non G. πύθαγος corrupte Suidas. Vide Menag. ad Diog. Laert. 8, 36.

ib. διὰ R. διὰ τοῦ V. Ald.

ib. κατόπτρου τοιοῦτον R.V. et Suidas. τοιούτου κατόπτρου Ald.

19. πληροσελήνουR. V. et Suidas. προσελήνου Ald.

ib. εἰς addidit Dan. Heinsius.

21. στῆναι Suidæ ed. Mediol. et, ut videtur, codex Paris. A. Legebatur σταίῃ.

ib. δείκνυσι R.V. et Suidas. δεικνὺς Ald.

κἀκεῖνος ἀτενίσας ὁ πλησίον εἰς τὸν τῆς σελήνης κύκλον, ἀναγνοίη πάντα τὰ ἐν τῷ κατόπτρῳ γεγραμμένα ὡς ἐπὶ τῆς σελήνης γεγραμμένα.

752. μηκέτ' ἀντέλλοι: Πρὸς τὸ προειρημένον ὑπ' αὐτοῦ,

ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας,

[τελουμένης γὰρ σελήνης οἱ τόκοι ἐδίδοντο. εἰ γοῦν οὐκ ἀνατέλλοι, πῶς ἂν οἱ δανεισταὶ γνόντες τὸν μῆνα τελούμενον ἀπαιτήσαιεν τοὺς τόκους; Junt.]

753. τιητί δή: Παράλληλα. καὶ παρ' Ὁμήρῳ "τίη λείπεσθε "φέριστοι."

754. ἀργυρίων: Οὕτως ἡ γραφὴ ἀργυρίων παρὰ Φρυνίχῳ κεῖται· ὅτι οἱ κωμικοὶ πληθυντικῶς φασὶν, οἱ δὲ ῥήτορες ἑνικῶς. καὶ Σώφρων πληθυντικῶς "ἀργυρίων δεήσῃ."

[755. προβαλῶ: Προθήσω, εἰς ὃ δεῖ σε μηχανὴν εὑρεῖν. Junt.]

756. εἴ σοι γράφοιτο: Εἰ κατηγοροίη κατηγορίαν πέντε σε δυναμένην ζημιῶσαι τάλαντα. Ἀττικῶς δὲ τοῦ ἀριθμοῦ τὸ πέντε ἐφύλαξε. [Ἄλλως. ἰστέον ὅτι ἐν τοῖς δικασταῖς οἱ δανεισταὶ ἐρχόμενοι ἔλεγον, ὡς ὁ δεῖνα αὐτοῖς ὀφείλει. εἶτα ὁ τοῦ δικαστηρίου γραμματεὺς ἔγραφε τοῦτο. καὶ μετὰ ταῦτα ὁ ὀφείλων καλούμενος ἀπῃτεῖτο τὸ δάνειον. Junt.]

[757. ποίῳ τρόπῳ. R.]

[759. εἶλε τὴν γνώμην: Ἀπόκλειε, ἔφελκε. ὅθεν ἰλλάσιν. R.V. εἰλῶ, τὸ στρέφω παρὰ τοῖς κοινοῖς, περισπωμένως. εἴλω δὲ, βαρυτόνως, παρὰ τοῖς ποιηταῖς. Junt. στρέφε. Gl. D. E. εἶλλε: Ἀπόκλειε. Gl. A.]

1. κἀκεῖνος] κἀκεῖνον V. et Suidas.
ib. ἀτενίσας Suidæ ed. Mediol. Legebatur ἀτενίσαι, quod est in Suidæ codd.
ib. ὁ om. R.V. et Suidas.
2. ἐπὶ om. R.V. Apud Suidam vulgo ἐν τῇ σελήνῃ, sed ἐν om. tres codd., τῆς σελήνης habet Paris. A.
5. ὁρῶν] v. 17.
9. Scholion v. 753. om. R.
ib. Ὁμήρῳ] Il. Υ, 409.
ib. τίη λείπεσθε φέριστοι ex Homero correxi. τίη τιητί λείπεσθαι φέριστοι V. τιητί δὴ λείπεσθαι ἄριστοι Ald.
11. Scholion v. 754. om. R.V. Illatum videtur ex integriore codice Etymologici M. p. 137, 28. ubi nunc hæc tantum leguntur, ἰστέον ὅτι πᾶν νόμισμα—εἰώθασιν ἀργύριον καλεῖν, καὶ οἱ μὲν ῥήτορες ἑνικῶς, οἱ δὲ κωμικοὶ ἀργύρια πληθυντικῶς.
15. Addidi κατηγορίαν.
ib. δυναμένην R. δυναμένη Ald.
16. τὸ πέντε ἐφύλαξε] Id est πεντετάλαντος dixit, non πεντατάλαντος. Fortasse tamen scribendum τὸ ε ἐφύλαξε, cum Porsono.
22. ἰλλάσιν] Apud Homerum Il. N, 572.

[760. ὑποχάλα: Ὥσπερ ἀπὸ ὕψους τινὸς καταβίβαζε. Schol. Cant. 3.]

761. μηλολόνθην: Οὕτω γράφουσιν οἱ ἀκριβέστεροι. τινὲς δὲ λέγουσιν ὅτι ζωΰφιόν ἐστι χρυσίζον κανθάρῳ ὅμοιον, ὃ λαμβάνοντες οἱ παῖδες ἀποδεσμοῦσι λίνῳ καὶ ἐκπεταννύουσιν. Ἄλλως. τὸν χρυσοκάνθαρον. οὕτως οὖν, φησι, δῆσόν σου τὴν γνώμην, ἵν', ὅταν ἁρπάσῃς ἐκ τοῦ ἀέρος τὴν γνώμην, πάλιν ἐπισπάσῃ αὐτήν. [μηλολόνθην: Χρυσοκάνθαρον, ζίναν. Gl. Br. εἶδος ζωυφίου τινὸς παρὰ τὸν κάνθαρον, ὃ τοῖς ἄνθεσιν ἐπικαθέζεται. ταύταις οὖν εἰς παιδιὰν ἐχρῶντο Ἀθήνῃσι παῖδες, λίνον τοῦ ποδὸς ἐξαρτῶντες καὶ ξυλήφιον, ὅπερ οὐκ ἐξισχύουσιν ἀνακουφίσαι εἰς τὸν ἀέρα· ἔχοντες ἐξουσίαν πάλιν αὐτὰς κυνηγετῆσαι. λέγει δὲ τὸν χρυσοκάνθαρον. R.V.]

[762. ἀποφυγήν. R.]

[763. τὰ γὰρ καλὰ ἐπαινεῖ ὁ διδάσκαλος. V.]

[764. τοῖσι φαρμακοπώλαις: Φαρμακοπῶλαι κυρίως οἱ τὰ φάρμακα πιπράσκοντες, τά τε λυσιτελοῦντα καὶ τὰ θανάσιμα. παρὰ τοῖς παλαιοῖς δὲ καὶ οἱ τοὺς τιμαλφεῖς (τουτέστι πολυτίμους) λίθους πιπράσκοντες, φαρμακοπῶλαι ἐλέγοντο. οὐδεὶς γὰρ τῶν τοιούτων λίθων, ὃς οὐκ ἔχει καινοτέραν δύναμιν. Junt. τὸν κρύσταλλον. R.V. (non G.)]

766. τὴν ὕαλον λέγεις: Κατασκεύασμά ἐστιν ὑάλου τροχοειδὲς, εἰς τοῦτο τεχνασθὲν, ὅπερ ἐλαίῳ χρίοντες καὶ ἡλίῳ θερμαίνοντες, προσάγουσι θρυαλλίδα καὶ ἅπτουσι. τοῦτο οὖν, φησὶν, εἰ ὑφάψαιμι διὰ τῆς ὑέλου, καὶ προσαγάγοιμι τῇ δέλτῳ τὸ πῦρ τῇ τοῦ γραμματέως, ἀφανίσαιμι τὰ γράμματα τῆς δίκης. ὅτι δὲ ὕαλος θηλυκῶς, καὶ διὰ τοῦ α. διὸ τὸ χ. Ὅμηρος δὲ οὐκ εἶδε τὸ ὄνομα, ἀλλὰ παρ' αὐτῷ

3–7. Οὕτω—αὐτήν om. R.V.
12. τὸν χρυσοκ.] τὸν om. R.
16. τε Hermannus. γε Ald.
21. τροχοειδὲς] ἢ ἠλέκτρου addit Suidas s. ὑάλη.
22. εἰς τοῦτο R.V. et Suidas. παχὺ τοῦτο Ald.
ib. καὶ om. R.
ib. ἡλίῳ addidi ex R.V. χρίσαντες καὶ ἡλίῳ θερμήναντες Suidas.
23. ἅπτουσι R.V. et Suidas. οὕτως ἅπτουσι Ald.
ib. εἰ] ὅτι εἰ V.
24. ὑέλου] ἠλέκτρου Suidas.
ib. προσαγάγοιμι Suidas. προσάγοιμι Ald.
ib. τοῦ] τοῦ τε V.
25–p. 513. l. 1. ὅτι—οὔ om. R, in principio scholii collocat V. sic scripta, καὶ διὰ τοῦ κρυστάλλου δυναμένους ἐναύειν· παρὰ δὲ Ὁμήρῳ καὶ τοῖς ἀρχαίοις ἤλεκτρος μέν ἐστιν, ὕελος δ' οὔ. tum pergit, ἄλλως. κατασκεύασμα etc.

καὶ τοῖς ἀρχαίοις ἤλεκτρος μέν ἐστιν, ὕαλος δὲ οὔ. ["Αλλως. ὕαλον ἡμεῖς μὲν ἀρτίως τὸ ἐκ βοτάνης τινὸς κεκαυμένον καὶ διὰ πυρὸς τηκόμενον εἰς κατασκευὴν ἀγγείων τινῶν λέγομεν. οἱ παλαιοὶ δὲ τὴν διαφανῆ λίθον, τὸν ἰδιωτικῶς λεγόμενον κρύον, ἐοικότα δὲ ὑάλῳ. Junt.]

[768. ὁ γραμματεύς: Ὁ γράφων τὰ λεγόμενα ἐν ταῖς δίκαις, ὃν νῦν καλοῦμεν ἐκσκέπτορα. R.V.]

771. νὴ τὰς Χάριτας: [Πάλιν ἑτέρῳ ὅρκῳ κέχρηται ὁ Σωκράτης. V.] οὐχ ἁπλῶς ὄμνυσι κατὰ τῶν Χαρίτων. ὀπίσω γὰρ τῆς Ἀθηνᾶς ἦσαν γλυφεῖσαι αἱ Χάριτες ἐν τῷ τοίχῳ, ἃς ἐλέγετο ὁ Σωκράτης γλύψαι. τὸ γὰρ πρῶτον λιθογλύφος ἦν τὴν τέχνην. αἰνίττεται οὖν αὐτοῦ τοῦ Σωκράτους εἰς τὴν πρώτην τέχνην. ["Αλλως. τῷ μὲν φαινομένῳ ἀρεσκόμενος Σωκράτης δείκνυται τῷ τοῦ Στρεψιάδου νοήματι, καὶ ὄμνυσι τὰς Χάριτας, ὅτι σοφῶς τοῦτο τὸ νόημα ἐπενόησε τὸ τῆς τοῦ χάρτου τεφρώσεως. Χαρίτων γὰρ ἔργα καὶ δῶρα σοφία. ἐσχηματισμένως δὲ τοῦ Σωκράτους καθάπτεται ὁ ποιητής, κωμῳδῶν τοῦτον ὡς λιθοξόον. Σωφρονίσκου γὰρ λιθοξόου ἦν υἱὸς Σωκράτης, καὶ τῆς λαξευτικῆς μετέσχε τέχνης, καὶ ἀνδριάντας λιθίνους ἐλάξευε, καὶ ἀγάλματα δὲ τῶν τριῶν Χαρίτων εἰργάσατο, Πειθοῦς, Ἀγλαΐας, καὶ Θαλείας· καὶ ἦσαν ὄπισθεν τῆς Ἀθηνᾶς ἐγγεγλυμμένα τῷ τοίχῳ. Junt.]

[οἴμ' ὡς ἥδομαι: Ὁ ἄγροικος ὡς ἤδη νενικηκὼς διὰ τὸ τῆς εὑρέσεως τοῦτο λέγει. καὶ γὰρ καὶ ἐν τῇ συνηθείᾳ πολλάκις λέγομεν τὸ οἴμοι χαίροντός τινος. V. τὸ οἴμοι καὶ ὤμοι ποτὲ μὲν ἐπ' εὐφροσύνῃ κείμενον εὕρηται, ποτὲ δὲ ἐπὶ λύπης. καὶ ἐπ' εὐφροσύνῃ μέν, ὡς ἐνταῦθα, οἴμ' ὡς ἥδομαι· καὶ "ὤμοι σοφίας ἐμνήσθης." ἐπὶ δὲ λύπης ὡς τό, οἴμοι τάλας· καὶ

οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος.

καὶ

ὤμοι μανίας τῆς σῆς, πόλεώς τε.

Junt.]

2. κεκαυμένον Hermannus. κεκαυμένης Junt.

4. τὸν Hermannus. αὐτὸν Junt.

7. ἐκσκέπτορα] *Exceptorem* dicit. De quo vocabulo vide utrumque Glossarium Ducangii.

9–12. οὐχ ἁπλῶς—τέχνην om. R.V.

17. κωμῳδῶν Hermannus. ὁ κωμῳδῶν Junt.

19. εἰργάσατο Ernestius. τριηργάσατο Junt.

23. καὶ γὰρ καὶ G. ἔστι γὰρ καὶ V, recte, si λεγόμενον corrigatur.

26. ὤμοι] v. 926. ubi ἧς ἐμνήσθης.

28. οἴμοι] Pluti v. 850.

30. ὤμοι] Infra v. 928.

772. διαγέγραπται: Κατέξυσται, ἀνῄρηται. ἀπὸ τῆς τοῦ γραμματέως δέλτου, ὅπου αἱ δίκαι ἀνεγράφοντο, καὶ αἱ εἰσαγωγαὶ τῶν δικῶν. [ἀπήλειπται, ἠφάνισται. Gl. Br.]

774. ἀντιδικῶν: Κατηγορῶν καὶ ἐναντιούμενος. τοῖς γὰρ γραψαμένοις καὶ μὴ ἀποδείξασιν ἐπεβάλλετο χρηματικὴ ζημία, καὶ εἰ μὴ κατὰ τὸ ὡρισμένον ἐξέτισεν, ὑπερήμερος γενόμενος ἐξετίννυε τὸ τετραπλοῦν. οἱ δὲ μὴ ἔχοντες ἐκτῖσαι καθείργνυντο ἐν τῷ δικαστηρίῳ. πολλοὶ δὲ τοῦτο πεπόνθασιν, ὡς ὁ ῥήτωρ ἐν τῷ κατὰ Ἀριστογείτονος. [ἀποστρέψαις: Ἀποδιώξαις. ἀντιδικῶν: Ἀντεγκαλῶν, ἀντιλέγων. Gl. Br.]

[775. ὀφλήσειν: Καταδικασθῆναι. R.]

[776. εὐκολώτατα καὶ εὐχερῆ. V.]

[779. λείπει τὸ καλῶς λέγω. R.V.]

[781. ὑθλεῖς: Ἀντὶ τοῦ φλυαρεῖς· ὕθλος γὰρ ὁ φλύαρος. R.V. τὸ δὲ ἄπερρ' ἀντὶ τοῦ φθείρου. V. ληρεῖς, φλυαρεῖς. Gl. Br. ὑθλεῖς: Ὕθλος, φλυαρία, μωρία, ληρό . . . . ἄπερρ': Ἀποφθείρου, πορεύου μετὰ φθορᾶς. Gl. Victor. ἄπαιρε: Ἄπελθε. Gl. D.]

[782. ἀντὶ τοῦ διὰ τί. τὸ δὲ ὅτι περιττόν. R.V.]

[784. ἀνακρίνει αὐτὸν εἰ μέμνηται. R.V.]

786. τίς ἦν ἐν ῃ: Τὴν κάρδοπόν φησιν. ὥσπερ ἐπιλαθόμενος ταῦτα λέγει.

788. ἐπιλησμότατον: Ἰδίως ἐπιλησμονέστατον. Ἄλεξις δέ λέγει ἐπιλήσμη, Κρατῖνος ἐπιλήσμοσι.

1. Scholia v. 772. 774. om. R.

4. Κατηγορῶν καὶ ἐναντιούμενος om. V.

5. ἀποδεικνύουσιν V.

6. ἐξετίννυε τὸ τετραπλοῦν] ἐξετιννύετο τετραπλοῦν V. ἐξετίννυε τετραπλοῦν Suidas s. ὀφλήσειν. ἐξέτιε τετραπλῆ Ald. Quod in διπλῆ recte mutare videtur Dobræus. Scribendum igitur διπλοῦν.

7. ἐκτῖσαι V. et Suidas. τῖσαι Ald.

ib. ἐν τῷ δικαστηρίῳ V. et Suidas. εἰς τὸ δικαστήριον (δεσμωτήριον Ernestius) Ald.

8. ὡς—Ἀριστογ.] καὶ ὁ τοῦ ῥήτορος ἀριστογείτονος πατήρ V. et Suidas.

18. ὅτι περιττόν] ναὶ περισσόν V.

20, 21. τὴν—λέγει R.V. ὡς ἐπιλανθανόμενος. θέλει δὲ εἰπεῖν τὴν κάρδοπον Ald.

20. ὥσπερ ἐπιλαθόμενος R. ὡς ἐπιλανθανόμενος V.

22. ἰδίως R. et Suidas s. ἐπιλησμότατον. ἔδει εἰπεῖν Ald. Totum scholion om. V.

ib. Ἄλεξις δὲ λέγει ἐπιλήσμη, Κρατῖνος R. et Suidas. ἡ λέξις δὲ ἐπιλήσμη, φησὶ δὲ Κρατῖνος Ald.

23. ἐπιλήσμοσι Gaisfordius ex versu Cratini apud Hephæst. p. 14. ex quo corrigendus Chœroboscus

[790. *ὑπερβατόν· ἀπολοῦμαι γάρ.* V. (non G.) *γλωττοστροφεῖν*: *Τὴν γλῶτταν στρέφειν καὶ ποικίλον ἐν τῷ λέγειν καθεστηκέναι.* R.V. *τὴν γλῶτταν στρέφειν, δι' ἧς ἂν τοὺς δανειστὰς ἀποκρούσωμαι.* Junt. Victor.]

797. *εὐσωματεῖ*: *Ἐκ τοῦ ἐναντίου συγκατατίθεται. δέον γὰρ ἂν μανθάνειν τοιοῦτον ὑγιαίνοντα. εἰ μὴ ἄρα τοῦτο λέγει, ὅτι φοβοῦμαι αὐτόν.* [*ναί, ἄκων ἐπιτρέπω.* Gl. E. *ἀντὶ τοῦ ἰσχυρότερός μού ἐστι τὸ σῶμα.* R.V.]

798. *εὐπτέρων*: *Ἡ μεταφορὰ ἀπὸ τῶν ὀρνέων, τῶν μετεώρων καὶ ὑπερηφάνων. ἢ εὐπτέρων τῶν τιμίων καὶ εὐγενῶν. ἢ τῶν φρονουσῶν τὰ Κοίσυρας, ἀντὶ τοῦ μέγα φρονουσῶν. Ἄλλως. ἢ εὐγενῶν, ἀπὸ τῶν ὀρνέων, ἢ κούφων καὶ ὧν ὁ λογισμὸς ἵπταται. ἢ τὴν Κοισύραν τὴν Μεγακλέους ἀστεϊζόμενος ὡς δραπέτης αὐτῆς αὐτοὺς διασύρειν θέλει.* [*εὐπτέρων*: *Εὐγενῶν, ἐπηρμένων. τῶν Κοισύρας*: *Ἐκ ταύτης γὰρ ἡ τούτου γυνὴ κατήγετο.* Gl. Br. *ἐκ ταύτης τῆς Κοισύρας ἡ τούτου γυνή. καὶ διὰ τοῦτο εὐγένιζεν ἑαυτήν.* Gl. D.]

[799. *ἀτὰρ μέτειμι*: *Καὶ δὴ μετέλθω, μεταχειρίσομαι, εἴ πως δυνηθῶ πεῖσαι αὐτόν.* Junt. Victor. *μέτειμι*: *Μετελεύσομαι.* Gl. Victor.]

[800. *ἐξελῶ*: *Ἐξελάσω.* Gl. Br.]

[801. *πρὸς τὸν Σωκράτην τοῦτό φησι.* R.V.]

[802. *χορίαμβος δίμετρος ἀκατάληκτος. χορίαμβος δίμετρος δικατάληκτος. ἴαμβος πενθημιμερής. ἀπὸ χοριάμβου βάσεως εἰς χορίαμβον. ἴαμβος δίμετρος καταληκτικός. ἴαμβος δίμετρος ἀκατάληκτος. ἀπὸ χοριάμβου βάσεως εἰς ἴαμβον. χοριαμβικὸν τρίμε-*

in Bekkeri Anecd. vol. 3. p. 1176. *ἐπιλήσμονι* R. Ald. *ἐπιλησμοσύνη* Suidas.

2. *καθεστηκέναι*] *ἢ ἐκστρέφειν τὰ πράγματα καὶ εὐπορεῖν ἐν τῷ λέγειν* addit Suidas s. *γλωττοστροφεῖν*.

9–14. *ἡ μεταφορὰ—θέλει* R, qui priore scholio (*ἡ μεταφορὰ—μέγα φρονουσῶν. Ἄλλως*) caret, et V. *ἀντὶ τοῦ εὐγενῶν. ἀπὸ τῶν ὀρνέων· ἢ κούφων, ὧν ὁ λογισμὸς ἵπταται. φρονουσῶν τὰ Κοισύρας· ἀντὶ τοῦ, μεγάλα φρονουσῶν. εὐπτέρων δέ, τῶν εὐγενῶν. ἡ μεταφορὰ ἐκ τῶν ὀρνέων. ἢ τῶν μετεώρων καὶ ὑπερηφάνων. ἢ ἐπηρμένων. ὡς δραπέτας δὲ αὐτοὺς διαβάλλει* Ald. Nonnulla excerpsit Suidas s. *εὐπτέρων*.

10. *τῶν φρονουσῶν τὰ*] *τῶν φορούντων τὰς* V.

13. *τὴν Μεγακλέους*] *τοῦ μεγακλέους* G.

ib. *δραπέτης αὐτῆς αὐτοὺς*] *δραπέτις αὐτῆς ἡ μήτηρ* vel simile quid requiritur.

21. *πρὸς τ. Σ. τοῦτο*] *τοῦτο πρὸς τ. Σ.* V.

24. *ἴαμβος δ. ἀκατάληκτος* om. G.

25 – p. 516. l. 1. *χοριαμβικὸν—ἑφθημιμερής* om. G.

τρον ἀκατάληκτον. χορίαμβος ἑφθημιμερής. V.] κορωνὶς καὶ εἴσθεσις χοροῦ μεσῳδικὴ κώλων διαφόρων δέκα. τούτων τὸ μὲν πρῶτον δίμετρον ἀντισπαστικὸν ἐκ διτροχαίου καὶ παλιμβακχείου. τὸ δεύτερον ἐξ ἀντισπάστου καὶ ἀμφιβράχεος. τὸ τρίτον ἐξ ἐπιτρίτου τρίτου καὶ ἰάμβου δίμετρον βραχυκατάληκτον. τὸ τέταρτον δίμετρον ἐκ διτροχαίου καὶ ἀμφιβράχεος. τὸ πέμπτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον, ἀδιαφόρου τῆς τελευταίας οὔσης. τὸ ἕκτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕβδομον ἐκ χοριάμβου καὶ διιάμβου δίμετρον. τὸ ὄγδοον χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ ἔνατον ὅμοιον τῷ ἕκτῳ, ἐχούσης ἀνάπαιστον τῆς ἀρχούσης. τὸ δέκατον χοριαμβικὸν δίμετρον καταληκτικόν· εἴτ᾽ οὖν ἐκ χοριάμβου καὶ βακχείου.

[806. ἀντὶ τοῦ ἕτοιμός ἐστι μισθούς σοι χορηγεῖν οὓς ἂν θέλῃς. R.V.]

807. ἐκπεπληγμένου: Ἀντὶ τοῦ, ἐπαινοῦντος. λείπει δὲ τὸ σέ. οἱονεὶ ἐκπλήκτου καὶ μέγα φρονοῦντος. [ἐξεστηκότος καὶ ἄγαν προθυμουμένου. Gl. E.]

[808. ἐπῃρμένου: Μετεώρου καὶ ἑτοίμου πᾶν ποιήσειν, ὃ ἂν κελεύῃς. Gl. E.]

[809. γνοὺς ἀπολέψεις: Οἱ λέγοντες τὸ γνοὺς ἀντὶ τοῦ αἴσθησιν λαβὼν, ἵνα συντάσσωσι τὴν γενικὴν, οὐ καλῶς λέγουσιν. ἐστὶ γὰρ αὕτη ἡ γενικὴ πρὸς τὸ ἀπολάψεις, οὕτω· σὺ δὲ ἀπολάψεις (ἀντὶ τοῦ ἀποκέρδησον) ταχέως ὅ τι πλεῖστον δύνασαι ἀνδρὸς ἐκπεπληγμένου καὶ φανερῶς ἐπῃρμένου. εἶτα ὕστερον ἐπάξεις τὸ γνοὺς, ἀντὶ τοῦ, οὕτως ἔχοντα αὐτὸν νοήσας. ἔστι δὲ ἀπολάψεις ἐνταῦθα ἀντὶ τοῦ προστακτικοῦ. δείκνυται γὰρ ἐκ τῆς κατασκευῆς, ὅτι τοῦτο αἱ Νεφέλαι αὐτῷ ἐπιτάττουσιν. Junt. Schol. E. ἀπολάψεις: Ἀποκέρδησον, ἐμφορηθῇς. Gl. Br.]

ἀπολέψεις: Ἀπολεπίσεις. ἐὰν δὲ, ὡς ἐν τοῖς πολλοῖς, ἀπολάψεις,

1–11. κορωνὶς—βακχείου om. R.V.
5. καὶ ἰάμβου addidit Hermannus.
12. ἀντὶ τοῦ ἕτοιμός ἐστι om. R. ἀντὶ τοῦ om. G.
ib. ἂν θέλῃς G. ἐὰν θέλῃς V. ἐὰν βούλει R.
19. τὸ γνοὺς] τὸ om. Junt.
20. ἵνα τὴν γενικὴν συντάξωσι, ληροῦσιν MS. E.
21. ἀπολάψεις καὶ ἀποκέρδησον MS. E.
23. ἐπάξεις] ἐπαγάγῃς MS. E.
28–p. 517. l. 2. Ἀπολεπίσεις—εἰς τὸ om. R.V.
28. ἐν addidit Hermannus.
ib. ἀπολάψεις Suidæ codex Paris. Legebatur ἀπολάψῃς.

ἐκπίῃς· ἀπὸ τῶν κυνῶν ἡ μεταφορὰ, ἢ ὅσα λάπτοντα πίνει. καταστρέφει δὲ εἰς τὸ ἀποκερδανεῖς, ἢ ἀφαρπάσεις, ἀποσπάσεις. Ὅμηρος

λάψοντες γλώσσῃσιν ἀραιῇσι μέλαν ὕδωρ.

810. *φιλεῖ γάρ πως*: Ἔθος ἔχει, συμβαίνει γὰρ ἄλλως ἀποβαίνειν ἢ προσδοκᾷ τις. ἀντὶ τοῦ, εὐμετάβλητοί εἰσιν οἱ ἐξ ἐπιθυμίας ἀλόγου τινὶ συμβαλόντες. εὐμετάβολοι γὰρ αἱ τῶν τοιούτων ἀνδρῶν γνῶμαι. ἀσύμβουλοι δὲ, φησὶν, ὅτι καὶ ταχέως μεταβαλλόμενοι ἐπιθυμίας ἥττους ἁλίσκονται.

812. *οὔτοι μὰ τὴν Ὁμίχλην*: Κορωνὶς ἑτέρα ὁμοία, οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οέ. ὧν τελευταῖος

πρὸς πάντα τὰ δίκαι' ἀντιλέγειν δυνήσεται.

ἐπὶ τῷ τέλει κορωνὶς, καὶ ἑξῆς τὸ χοροῦ· ὤφειλε γὰρ κἀνταῦθα θεῖναι χορὸν, ἄχρις ἂν οἱ λόγοι ἐξέλθωσι. [ὡς μύστης γεγενημένος τῶν φιλοσόφων τὴν Ὁμίχλην ὄμνυσι, μιμούμενος αὐτούς. V.]

813. *κίονας*: [Ἀντὶ τοῦ τοὺς λίθους τῆς Μεγακλέους οἰκίας· οὗτοι γὰρ μόνοι κατελείφθησαν αὐτῷ πάντα καταφαγόντι. R.] ὡς ἅπαντα καταφαγόντος τοῦ Μεγακλέους. ὡς εἰ ἔλεγε τὸν πλοῦτον. ἐμφαίνει δὲ διὰ τούτων ὡς οὐδὲν αὐτῷ κατελείφθη, εἰ μὴ ἡ αὐλὴ Μεγακλέους. λέγει δὲ ὅτι πάντα κατηναλωκὼς καταλέλοιπε τοὺς λίθους τῆς οἰκίας· αἰνίττεται οὖν εἰς τὴν ἀσωτίαν τοῦ υἱοῦ, ὅτι πάντα κατηνάλωσεν αὐτοῦ, καὶ οὐδὲν ἔτι ὑπολείπεται. [Ἄλλως. ἐντεῦθεν δῆλον ὅτι ἐν κίοσιν ἵστατο ὁ οἶκος αὐτοῦ. δείκνυται δὲ ὅτι μόνοι οὗτοι ὑπελείφθησαν αὐτῷ τῶν ἄλλων καταναλωθέντων παρ' αὐτοῦ. Junt.]

1. ἐκπίῃς] Legebatur ἐκπίῃ. Correxi ex Suida.

2. ἀποκερδανεῖς ἢ ἀφαρπάσεις] ἀπολάψεις, ἀφαρπάσεις, ἀποκερδανεῖς V. et, omisso ἀπολάψεις, R.

3. Ὅμηρος] Il. Π, 161.

4. λάψοντες R.V. λάψαντες Ald. ib. ἀραιῇσι—ὕδωρ om. R.V.

5. τουτέστι συμβαίνει, ἔθος ἔχει ἄλλως ἀποβαίνειν ἢ ὡς προσδοκᾷ τις. εὐμετάβολοι γάρ εἰσιν οἱ ἐξ ἐπιθυμίας ἀλόγου ἐπί τι μάθημα ἐρχόμενοι Suidas s. φιλεῖ γάρ πως.

5–7. Ἔθος—συμβαλόντες om. R.V.

7. εὐμετάβολοι (sic G. εὐμετάβουλοι V. εὐμετάβλητοι Ald.) — γνῶμαι om. R.

8, 9. ἀσύμβουλοι — ἁλίσκονται in Ald. leguntur in fine scholii v. 798. om. R.V. Huc transposuit Ernestius.

10. Scholion metricum v. 812. om. R.V.

17. κατελείφθησαν Suidas s. ἀλλ' ἔσθιε. κατελείπησαν R.

17–22. ὡς ἅπαντα — ὑπολείπεται om. R.V.

815. *οὐκ εὖ φρονεῖς*: Εἴ γε καὶ αὐτὸς ἐπετιμήθη ἐπὶ τούτοις παρὰ Σωκράτους. ταὐτὰ δὲ πειρᾶται διδάσκειν τὸν υἱὸν, καταγελῶν αὐτοῦ ὡς μὴ δεόντως μήτε Δία ὀμνύντος μήτε νομίζοντος. τοῦ δὲ Δία τὸ α ἐκτείνεσθαί φησι Σύμμαχος Ἀττικῶς. ἐνδεῖ δὲ τὸ χ.

817. *τηλικουτονί*: Οἷον, τελείαν ἔχοντα τὴν ἡλικίαν, καὶ ὀφείλοντα πάντα εἰδέναι. [σὲ ἤδη τελείαν ἔχοντα ἡλικίαν. Gl. Victor.]

819. *ἀρχαϊκά*: Ἀντὶ τοῦ μωρὰ, εὐήθη, λῆρα. [ἀρχαῖοι οἱ μωροὶ ἐκαλοῦντο ἀπὸ τῶν ἐπὶ τοῦ Κρόνου ἐκείνων ἀρχαίων καὶ ἀπραγμόνων ἀνδρῶν. Junt.]

822. *ὅπως δὲ τοῦτο*: Ὡς ἐπὶ τούτῳ φθονούντων τῶν διδασκάλων. ἢ ὡς καὶ αὐτὸς παρηγγέλθη "νομίσαι δὲ ταῦτα χρὴ μυστήρια." [Ἄλλως. τηρεῖ τὰς παραινέσεις ἃς παρῄνεσεν αὐτῷ πρότερον μαθητὴς Σωκράτους. ὅρα. Gl. Br.]

823. *ἰδοὺ τί ἐστι*: Πλησιάσας αὐτῷ φησὶ τὸ ἰδού.

827. *αἰβοῖ*: Γελῶν λέγει τὸ αἰβοῖ. ἔστι δὲ ἐπίρρημα σχετλιαστικόν.

828. *ὁ Μήλιος*: Παρ' ἱστορίαν. Ἀθηναῖος γὰρ ὁ Σωκράτης· ἀλλ' ἐπεὶ Διαγόρας, Μήλιος ὤν, διεβάλλετο ὡς θεομάχος, καὶ τὸν Σωκράτη δὲ ὡς ἄθεον διαβάλλει, διὰ τοῦτο Μήλιον αὐτὸν εἶπεν. Ἄλλως. Ἀρισταγόρας ἐγένετο Μήλιος διθυραμβοποιὸς, ὃς τὰ ἐν Ἐλευ-

2. ταὐτὰ Hermannus. ταῦτα Ald.
ib. πειρᾶται] πειρᾶται καὶ V.
ib. δ. τὸν υἱὸν, καταγελῶν R.V. τὸν υἱὸν δ., καταγελᾷ δὲ Ald.
3. μὴ δὲ ὄντος μὴ δὲ διανομίζοντος V.
ib. Δία ante νομίζοντος collocat R.
3, 4. τοῦ δὲ—τὸ (τοῦ Ernestius) χ om. R.V.
7. ἀντὶ τοῦ addidi ex R. τὸ δὲ ἀρχαϊκὰ ἀντὶ τοῦ V.
ib. λῆρα om. V.
10. ὡς ἐπὶ τούτῳ φθονούντων τῶν δ. Hermannus. ὡς ἐπὶ τῶν φρονούντων (φθονούντων R.V.) δ. Ald. Fortasse ὡς ἐπιφθονούντων τῶν δ. Post μυστήρια hæc verba collocat R.
11. ἢ ὡς V. ἢ om. Ald.
ib. νομίσαι] v. 143.
14. Πλησιάσας—ἰδού om. R.V.
15. Γελῶν—σχετλιαστικὸν om. V.
ib. δὲ R. γὰρ Ald.
17–p. 519. l. 10. Παρ' ἱστορίαν—ἐκάκωσαν] τινὲς ἐδέξαντο—μῆλον ἐκάλεσαν. ἄλλως. ἀρισταγόρας—κωμῳδοῦσι. ἄλλως. τοῦτο παρ' ἱστορίαν—αὐτὸν εἶπεν V.
17. τοῦτο παρ' ἱστορίαν λέγει V.
18. ἐπεὶ] ἐπειδὴ V.
19. εἶπεν R.V. ἔφη Ald. Hic desinit R.
20–p. 519. l. 2. Ἀρισταγόρας—κωμῳδοῦσι V. ὁ Μήλιος, ἀντὶ τοῦ ὁ ἀσεβής. Ἀρισταγόρου γὰρ τοῦ Μηλίου μαθητὴς ὁ Σωκράτης. διεβέβληντο δὲ ἐπὶ ἀθεΐᾳ οἱ Μήλιοι ἀπὸ Διαγόρου, ὃς χρήματα παραθέμενός τινι καὶ ἀποστερηθεὶς, εἰς ἀθεΐαν ἐτράπη· ἢ διότι Μῆλον ἐπολέμησαν Ἀττικοί. οἱ δὲ, ἐπειδή τις Ἀρισταγόρας διθυραμβοποιὸς ἐξωρχήσατο τὰ Ἐλευσίνια Ald.
20. Ἀρισταγόρας ἐγένετο] ἐγένετο δὲ καὶ Ἀρισταγόρας Suidas s. Σωκράτης.

σῖνι μυστήρια ἐξορχησάμενος καὶ ἐξειπὼν ἀσεβέστατος ἐκρίθη. ἀπ' ἐκείνου οὖν τοὺς Μηλίους ἐπὶ ἀσεβείᾳ κωμῳδοῦσι. οἱ δὲ Μήλιον, τὸν καταπραΰνοντα τῇ διδαχῇ τὰς ψυχὰς τῶν Μηλίων. οἱ δὲ τὸν κομῶντα, τὸν δασύν. Ἄλλως. ὁ Μήλιος: Τινὲς ἐξεδέξαντο τὸν τὰς τῶν εἰσιόντων ψυχὰς ὀξύνοντα πρὶν εἰσελθεῖν ἠγριωμένας· ἀπὸ μεταφορᾶς τῶν ἀλόγων θηρίων. μῆλα γὰρ τὰ θρέμματα. οἱ δὲ εἰς τὸ δασὺ καὶ αὐχμηρὸν νοοῦσιν αὐτό. οἱ δὲ παρέλαβον οὕτως. Διαγόρας ὁ Μήλιος, ὃς τὸ μὲν πρότερον ἦν θεοσεβής, παρακαταθήκην δὲ ὑπό τινος ἀποστερηθεὶς, ἐπὶ τὸ ἄθεος εἶναι ἐξέδραμεν, ἐφ' ᾧ οἱ Ἀθηναῖοι ἀγανακτήσαντες, τὴν Μῆλον ἐκάκωσαν. Ἄλλως. Διαγόρας γέγονέ τις βλάσφημος εἰς τὸ θεῖον, Μήλιος. καί ποτε, φασὶν, ἐν πανδοκείῳ εὑρεθεὶς, καὶ μὴ εὑρὼν ξύλα, ἀλλ' ἄγαλμα Ἡρακλέους· ἄγε, φησὶ, τρισκαιδέκατον ἡμῖν ἐπιτέλει ἄεθλον, καὶ ἕψησον τὸν φακόν. [ἄλλοι δέ φασιν ὡς οὗτος ὁ Διαγόρας διδάσκαλος ἦν Σωκράτους. Schol. LB. Cant. 2. *ψυλλῶν δὲ ἴχνη λέγει γινώσκειν τὸν Χαιρεφῶντα διὰ τὴν ζήτησιν, ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὐτῆς πόδας.* R.V.]

[830. *Ἀττικῶς τὸ μανιῶν ἀντὶ τοῦ τῆς μανίας.* R.V. *τὸ δὲ χολῶσιν ἀντὶ τοῦ μαινομένοις.* V.]

[831. *πείθειν: Οὐκ ἔστι τὸ πείθειν ἀντὶ τοῦ πείθεσθαι, ὥς τινές φασιν, ἵνα τὴν δοτικὴν συντάξωσιν· ἀλλ' ἔστιν ἡ τοιαύτη δοτικὴ πρὸς τὸ ἐλήλυθας, οὕτω· σὺ δὲ εἰς τοσοῦτον τῶν μανιῶν ἐλήλυθας ἀνδράσι χολῶσιν, ὥστε πείθειν αὐτοὺς σέ. τουτέστιν, οὕτω τῆς αὐτῶν μανίας μετέσχες, ὥστε καὶ πείθειν σε περὶ τῶν ματαίων.* Schol. C.]

[832. *ἀντὶ τοῦ εὐφήμει καὶ μηδεμίαν εἴπῃς περὶ αὐτῶν ἁμαρτίαν. λείπει ἡ εἰς, ἵν' ᾖ εἰς ἄνδρας δεξίους.* V. *ἀντὶ τοῦ εὐφήμει καὶ*

2. *κωμῳδοῦσι*] *τάττεται δὲ καὶ ἐπὶ τῶν βλασφήμων* addit Suidas.
2–4. *οἱ δὲ—δασύν. Ἄλλως.* om. V. et Suidas.
3. *Μηλίων*] *μαθητῶν* Ernestius.
4. *ἐξεδέξαντο*] *ἐδέξαντο* V. et Suidæ ed. Mediol.
ib. *τὸν* om. V.
7. *οὕτως* om. V. *αὐτὸ* Suidas.
ib. *Διαγόρας*] *ἀντὶ τοῦ διαγόρας* V.
8. *μὲν* et *δὲ* addidi ex V. et Suida.
9. *ἄθεος εἶναι* V. et Suidas. *ἄθεον* Ald.
ib. *ἐξέδραμεν*] *ἔδραμεν* V. et Suidas.
ib. *ᾧ*] *οὗ* V.
10. *ἐκάκωσαν*] *ἐκάλεσαν* V.
10–14. *Ἄλλως—φακόν* om. V.
16. *διὰ* om. R.
ib. *ψύλλαν*] v. 145.
ib. *ἅλλοιτο*] *ἅλοιτο* V. *ἄλοιτο* R.
18. *Ἀττικῶς—μανίας*] *μανιῶν. ἀττικῶς τὸ μανιῶν ἀντὶ τοῦ μανίας* R.
26. *λείπει ἡ εἰς*] *λείπεται δὲ εἰς* V. Correxi ex R.
ib. *ἵν' ᾖ εἰς* om. R.

μηδὲν εἴπῃς περὶ αὐτῶν βλάσφημον. R. φλαῦρον: Ἀντὶ τοῦ κακόν. R.V. (non G.)]

833. ὑπὸ τῆς φειδωλίας: Ὡς κομῶντας διαβάλλει τοὺς φιλοσόφους. ταῦτα δὲ ἐποίουν οἱ φιλόσοφοι διὰ καρτερίαν. ὁ δέ φησιν ὅτι οὐ διὰ ἀρετὴν ταῦτ' ἐποίουν, ἀλλὰ διὰ σμικρολογίαν. ἃ γοῦν ὑπ' ἐγκρατείας ἐποίουν οὗτοι, οὗτος ὑπὸ φειδωλίας φησίν. δοκῶν ἐπαινεῖν, ψέγει. ἀντὶ γὰρ τοῦ εἰπεῖν καρτερίας εἶπε φειδωλίας.

836. καταλούει μου: Ἐντρυφᾷς, καταναλίσκεις τὴν περιουσίαν. τὸ δὲ καταλούει, καταναλίσκεις εἰς λουτρά. ἤδη γὰρ ὥσπερ τεθνεῶτός μου καταλούει. Ἄλλως. δαψιλῶς ἀναλίσκεις μου τὸν βίον. ἐκ μεταφορᾶς τῶν ἐκχυνομένων ὑδάτων ἐν τοῖς βαλανείοις. ἢ ἐντρυφᾷς, ὡς καὶ τοῦ βαλανείου διὰ τρυφὴν ὄντος. ἔθος ἦν μετὰ τὸ ἐκκομισθῆναι τὸ σῶμα καθαρμοῦ χάριν ἀπολούεσθαι τοὺς οἰκείους τοῦ τεθνεῶτος. λέγει δὲ ὅτι εἰς τρυφὴν καταναλίσκεις. τὴν δὲ κατὰ πρόθεσιν εἰς ἐπίτασιν παραλαμβάνουσιν, ὡς ἐπὶ τοῦ καταφαγεῖν. οὕτως δὲ ἐπὶ τοῦ καταλούει μου τὸν βίον. βίον δὲ τὴν περιουσίαν. ἢ εἰς λουτρὰ καταναλίσκεις. [καταλούει: Δαπανᾷς, ἀφανίζεις. Gl. Br.]

839. ἄληθες: Ἐὰν μὲν προπαροξυτόνως, αὐτὸ τὸ ἀληθὲς λέγει, ἐὰν δὲ ὀξυτόνως, τὸ πρᾶγμα δηλοῖ τὸ μετέχον τῆς ἀληθείας. [ἀντὶ τοῦ ἀληθῶς πάνυ. οὕτω λέγει ἐπὶ τοῦ ἐπιρρηματικοῦ. R.V.]

[840. ἀντὶ τοῦ ἀναίσθητος, ἀνόητος, παχὺς εἰς τὸ νοεῖν. R.V.]

842. οἴμοι τί δράσω: Πρὸς τὸν πατέρα δικάσομαι καὶ δείξας αὐτὸν μαινόμενον, οὕτω τὴν μανίαν παύσω.

3–6. Ὡς κομῶντας—φειδωλίας φησίν om. R.
3. Ὡς] ἄλλως. ὡς V, in quo hæc ὡς—σμικρολογίαν post εἶπε φειδωλίας posita sunt.
4. ταῦτα—οἱ φιλόσοφοι om. V.
5. ταῦτ' add. V.
5, 6. ἃ γοῦν—φησίν om. V.
6. δοκῶν R.V. ἅμα δὲ δοκῶν Ald.
8–12. Ἐντρυφᾷς—ὄντος om. R.V.
12. ἔθος R.V. ἐπεὶ ἔθος Ald.
12–17. τὸ εἰσκομισθῆναι—λουτρὰ καταναλίσκεις R.V. τὴν ἐκκομιδὴν τοῦ νεκροῦ λούεσθαι τοὺς κατ' οἶκον καθαρμοῦ χάριν Ald.
12. ἐκκομισθῆναι Suidas s. καταλούῃ. εἰσκομισθῆναι R.V.
14. εἰς τρυφὴν Suidas. εἰς τροφὰς R.V.
14–16. τὴν δὲ κατά—μου τὸν βίον om. R.
15. παραλαμβάνουσι] λαμβάνει G.
16. καταλούει G. καταλούειν V.
16, 17. βίον δὲ — καταναλίσκεις om. V.
17. εἰς λουτρὰ] εἰς τὰ λουτρὰ Suidas.
21. ἐπιρρηματικοῦ] ῥηματικοῦ R.
22. ἀντὶ τοῦ et παχὺς om. V.
23. Scholion v. 842. om. R.

843. *παρανοίας*: Ἀντὶ τοῦ *κατηγορήσω αὐτοῦ ὡς παραφρονοῦντος.* [*παρανοίας*: Παραφροσύνης. *εἰσαγαγὼν*: Εἰς *δικαστήριον.* *ἕλω*: Νικήσω, *λαβῶ.* Gl. Br.]

844. *σοροπηγοῖς*: Τουτέστι *τοῖς ποιοῦσι σοροὺς τοῖς νεκροῖς. χλευάζει δὲ τὸν πατέρα ὡς πρεσβύτην καὶ γειτονεύοντα τῷ θανάτῳ.* Ἄλλως. *τοῖς σοροποιοῖς, τοῖς τὰς σοροὺς τῶν ἀποθνησκόντων ποιοῦσι. τουτέστιν ἄλλην ἴασιν οὐκ ἔχει ἢ τὸν θάνατον· καὶ δέον αὐτῷ πρὸς τὴν ταφὴν τὰ ἐπιτήδεια κατασκευάζειν, ἵνα ποιήσωσιν αὐτῷ σορὸν δηλονότι ἐγγὺς ὄντι θανάτου.* [*τοῖς νεκροθάπταις· ἄξια γὰρ θανάτου πράττει.* Gl. Br.]

[848. *ἀντὶ τοῦ οὕτως καλέσῃς.* R.]

851. *τοὺς γηγενεῖς*: Διὰ *τὸ νεκρώδεις αὐτοὺς εἶναι καὶ ὠχρούς. ἢ ἀσεβεῖς καὶ θεομάχους, διὰ τοὺς γίγαντας.* [*γηγενεῖς αὐτοὺς καλεῖ, ὡς ὑπὸ γῆν διατρίβοντας, ὥσπερ μύας· ἢ ὡς ἀσεβεῖς καὶ θεομάχους. τοιοῦτοι γὰρ ἦσαν καὶ οἱ γίγαντες.* Schol. Br.]

[853. *ὑπὸ τοῦ πλήθους τῶν ἐτῶν, ἀντὶ τοῦ ὑπὸ τοῦ γήρως. προεῖπε* "*γὰρ πῶς οὖν γέρων ὢν κἀπιλήσμων καὶ βραδὺς λόγων ἀκριβῶν σκινδαλμοὺς μαθήσομαι;*" R.V.]

855. *καταπεφρόντικα*: Εἰς *τοὺς φροντιστὰς ἀνάλωσα. ὡς εἰ ἔλεγε, καταπεφρόνηκα. ἢ εἰς τὴν παίδευσιν καταδεδαπάνηκα.* [*τοῖς φροντισταῖς ἀφῆκα.* Gl. E.]

[856. *τέτροφας*: Κατέφαγες, *ἐτράφης.* Gl. Br.]

857. *ὥσπερ Περικλέης*: Περικλῆς *πολλῶν ὄντων χρημάτων ἐν τῇ ἀκροπόλει, εἰς τὸν πόλεμον τὰ πλεῖστα ἀνάλωσε. φασὶ δὲ ὅτι καὶ λογισμοὺς διδοὺς, τάλαντα εἴκοσιν ἁπλῶς εἶπεν εἰς τὸ δέον ἀνηλω-*

1. Ἀντὶ] *τὸ δὲ εἰσαγαγῶν ἕλω ἀντὶ* V.

ib. *τοῦ*] *εἰς τὸ δικαστήριον εἰσαγαγὼν* addit Ald. quæ om. R.V.

ib. *αὐτοῦ* add. R.V.

4–6. Τουτέστι—*τοῖς σοροποιοῖς* om. R.V.

6. *τὰς* R.V. *τοὺς* Ald.

7. *οὐκ ἔχει ἢ τὸν* V. *οὐχ ἕξει ἢ τὸν* Ald. *οὐκ ἔστιν ἐξιέναι τὸν* R.

ib. *πρὸς τὴν ταφὴν τὰ* R. *τὰ πρὸς τὴν ταφὴν* V. *πρὸς τὸ θανεῖν τὰ* Ald.

8, 9. *ἵνα—θανάτου* add. R.

12. *νεκρώδεις—ὠχρούς* V. *ὠχροὺς καὶ νεκρώδεις εἶναι* Ald.

16. *ὑπὸ—ἐτῶν* om. V.

ib. *γήρως*] *γήρους* G.

ib. *προεῖπε γὰρ*] v. 129.

17, 18. *καὶ βραδὺς — μαθήσομαι* om. R.

19. *ἀνάλωσα* V. et Suidas s. *καταπεφρόντικα. ἀνήλωσα* G.R. *ἠνάλωσα* Ald.

19, 20. *ὡς εἰ—ἢ* om. R.V.

23–p. 522. l. 18. Περικλῆς*—ἀναχωρῆσαι* om. R.V.

24. *ἀνάλωσε* Suidas s. *δέον. ἠνάλωσε* Ald.

25. *διδοὺς, τάλαντα εἴκοσιν*] *διδοὺς πεντήκοντα ταλάντων* Suidas. Decem

κέναι. φησὶ δὲ Ἔφορος ὅτι μετὰ ταῦτα μαθόντες οἱ Λακεδαιμόνιοι Κλεανδρίδην μὲν ἐδήμευσαν, Πλειστοάνακτα δὲ ιέ ταλάντοις ἐζημίωσαν, ὑπολαβόντες δωροδοκήσαντας αὐτοὺς, διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς, ὑπὸ τῶν περὶ τὸν Περικλέα, μὴ θελήσαντα γυμνῶς εἰπεῖν ὅτι δέδωκα τοῖς Λακεδαιμονίων βασιλεῦσι τὸ ἐνδεές. Ἄλλως. Περικλῆς, Ἀθηναίων στρατηγὸς, χρήματα τοῦ δημοσίου λαβὼν εἰς τὸ κατασκευάσαι ὁλόχρυσον ἄγαλμα τῇ Ἀθηνᾷ, ἐλεφάντινον ποιήσας, τὰ πολλὰ ἐσφετερίσατο, συμποιησάμενος μετὰ Φειδίου τοῦ πλάστου. ἐπεὶ δὲ κατακρινόμενος ὡς πλεῖστα ἀναλώσας ἠρωτᾶτο ποῦ ἀνηλώθη, ὑπὸ μεγαλονοίας ἔλεγεν, εἰς τὸ δέον ἀνήλωσα. Ἄλλως. Περικλῆς τοῖς ἐφόροις Λακεδαιμονίων Κλεανδρίδῃ καὶ Πλειστοάνακτι χρήματα δέδωκεν ὑπὲρ προδόσεως, καὶ τούτων ἀπαιτούμενος ὑπὸ τῆς πόλεως λόγον, οὐκ ἀξιῶν ἑαυτόν τε καὶ τοὺς Λακεδαιμονίους καταισχύνειν, ἔλεγεν, εἰς τὸ δέον ἀνήλωσα. τοῦτο δὲ γνόντες Λακεδαιμόνιοι τὸν μὲν Κλεανδρίδην ἐφόνευσαν, τὸν δὲ Πλειστοάνακτα δεκαπέντε ταλάντοις ἐζημίωσαν, οἰηθέντες αὐτοὺς, διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς, δωροδοκήσαντας ἐκ τῆς Ἀττικῆς ἀναχωρῆσαι. [Περικλῆς Ἀθηναίων στρατηγὸς λόγον ἀπαιτούμενος ὑπὲρ χρημάτων καὶ δεδωκὼς χρήματα Κλεανδρίδῃ τῷ ἁρμοστῇ Λακεδαιμονίων ἐπὶ προδοσίᾳ, τοῦτο οὐκ ἐδήλου, ἀλλ' εἰς τὸ δέον ἔλεγεν ἀναλῶσαι ταῦτα. R.V.]

858. εἶτα τῷ πατρὶ: [Προτρεπόμενος αὐτὸν τρίτον τὸ αὐτὸ λέγει. V.] ἀντὶ τοῦ, ἔχεις ἀπολογίαν ὅτι πατρὶ πειθόμενος ἥμαρτες. σφάληθι καὶ ἁμάρτανε δι' ἐμέ. [ἴθι βάδιζ': Πορεύου, παραγενοῦ. Gl. Victor.]

860. [Οὕτως Ἀττικοὶ βαρύνουσιν ἐξέτει. V.] τραυλίσαντι:

talenta numerat Plutarchus in vita Periclis c. 22. quindecim grammaticus in Montefalc. Bibl. Coislin. p. 608.

ib. εἶπεν] εἰπεῖν Ald. Correctum ex Suidæ ed. Mediolan.: nam codices εἰπεῖν.

2. Πλειστιάνακτα Ald. Correxi ex Suidæ cod. Paris. A. Et sic vocatur ab Thucydide 2, 21.

11–12. Κλεάνδρῳ — Πλειστάνακτι Ald. Correctum ut supra. Πλειστάνακτα iterum infra Ald. qui supra Πλειστιάνακτα dederat.

15. ἐφόνευσαν] Minus crudeliter scholiasta prior ἐδήμευσαν dicit. ἐφυγάδευσαν Dobræus.

19. Κλεανδρίδῃ] κλεάνδρῳ R.V.

23. ἀντὶ] τὸ δὲ πειθόμενος ἀντὶ V.

ib. πατρὶ—ἥμαρτες. σφάληθι R.V. τῷ πατρὶ — ἐξήμαρτες. ὠφελήθητι Ald.

26. ἐξέτει] ἐξέτι V. ἐξέτει σοι G.

Ἀντὶ τοῦ ψελλίζοντι, ἄσημον φωνὴν προϊέντι. ἡλιαστικὸν δὲ, ἀντὶ τοῦ ἐκκλησιαστικόν. ἡλιαία δὲ, τὸ δικαστήριον, διὰ τὸ ὑπαίθριον εἶναι καὶ τῷ ἡλίῳ βάλλεσθαι. οὐχ ἵστατο δὲ ὁ τῶν δικαστῶν μισθός.

862. Διασίοις: Ἑορτὴ τοῦ Διός. ἁμαξὶς δὲ, τὸ μικρὸν ἁμάξιον, ἢ πλακοῦντος εἶδος. [Διάσια, ἑορτὴ τοῦ Διὸς παρ' Ἀθηναίοις. ἁμαξὶς δὲ πλακοῦντος εἶδος, ἣν νῦν κοπτὴν φαμέν. Σύμμαχος δὲ τὸ μικρὸν ἁμάξιον. ταῦτα γὰρ τοῖς παιδίοις ἠγόραζον. R.V.]

863. ἦ μὴν σὺ τούτοις: Προαναφωνεῖ αὐτῷ ἃ μέλλει ποιήσειν. ἀντὶ τοῦ λυπηθήσῃ ποτὲ, ἐὰν μάθω δηλονότι. τοῦτο δὲ λέγει πεισθεὶς τῷ πατρί. διὸ καὶ ὁ πατὴρ ἐπιφέρει, εὖ γ' ὅτι ἐπείσθης.

866. νηπύτιος γάρ: Ἀντὶ τοῦ νήπιος. ἐπεκτείνει δὲ τὸ ὄνομα ὁ Σωκράτης, ἵνα καταπλήξῃ τὸν νεώτερον νῦν εἰσελθόντα. [νηπύτιος: Ἄφρων, ἀνόητος. Gl. Victor.]

868. ἐφ' ὧν κρέμανται οἱ φιλόσοφοι. Ἄλλως. τῶν ὀργάνων τῶν ἀστρονομικῶν καὶ γεωμετρικῶν. κρέμαται γὰρ ἐν τῷ φροντιστηρίῳ. οὕτω μὲν, εἰ κρεμαστῶν γράφεται. τῶν κρεμαστρῶν δηλονότι τετριμμένος εἴης ἀεὶ κρεμάμενος.

1. ἀντὶ τοῦ ψελλίζοντι R. τραυλίσαντι δὲ ψελλίζοντι V. ψελίσαντι, ἀντὶ τοῦ Ald.

ib. φωνὴν προϊέντι R.V. ἀφιέντι φωνήν Ald.

1–3. ἡλιαστικὸν—ὁ μισθὸς om. V, sed habet gl. ἐκκλησιαστικὸν, quo caret G.

1. ἡλιαστικὸν δὲ ἀντὶ τοῦ om. R.

2. ἐκκλησιαστικὸν dicit consueto grammaticis errore pro δικαστικόν. Conf. ad schol. Pluti v. 329.

2, 3. ἡλιαία—βάλλεσθαι om. R.

3. ὁ τῶν δικαστῶν R. τῶν δικαστικῶν ὁ Ald.

4, 5. Ἑορτὴ—εἶδος om. R.V.

5. ἑορτὴ παρ' ἀθηναίοις τὰ διάσια τοῦ διός. ἁμαξίδα δὲ πλακοῦντος εἶδός τί φησιν ἣν νῦν etc. V.

6. δὲ om. V.

8. Προαναφωνεῖ—ποιήσειν om. R.V.

9. ἀντὶ] τὸ δὲ ἀχθέσῃ ἀντὶ V, qui hæc τὸ δὲ—μάθω post ἐπείσθης collocat.

ib. ἐὰν R.V. ἂν Ald.

ib. δηλονότι add. R.

9, 10. τοῦτο—ἐπείσθης om. R.

9. δὲ om. V.

10. ἐπιφέρει ὁ πατὴρ V.

11. Ἀντὶ τοῦ νήπιος] νήπιος γάρ ἐστιν R.V.

12. νῦν εἰσελθόντα om. R.

14–17. ἐφ' ὧν—κρεμάμενος V. et inverso ordine (τῶν—κρεμάμενος. τὸ ὄργανον — γράφεται) R. ἀλλὰ σύ γ' αὐτός: ἐκ τῶν κρεμαστῶν δηλονότι τετριμμένος εἴης ἀεὶ κρεμάμενος. λέγει δὲ τῶν ὀργάνων — γεωμετρικῶν. κρεμάθρα γὰρ ἐν τῷ φροντιστηρίῳ γράφεται, ἐπεὶ αὐτὸς ἐπὶ κρεμάθρας ἦν Ald. Duplex in libris inventa fuit scriptura κρεμαστῶν et κρεμαστρῶν.

14. ἐφ' ὧν—φιλόσοφοι om. R.

ib. τῶν ὀργάνων] τὸ ὄργανον R.V.

15. κρέμαται] κρέμμαται V.

16. γράφεται om. V.

ib. τῶν κρεμαστρῶν R. τῶν κρεμαστῶν V. cum Ald.

870. ἰδοὺ κρέμαιό γε: Διώκων ὁ Σωκράτης τῇ φωνῇ ἐρεῖ μιμούμενος, ὅτι κακῶς τῷ στόματι εἶπε τὸ κρέμαιό γε.

871. καὶ τοῖσι χείλεσι διερρυηκόσι: Ὡς μωρὸν καὶ ἀπαίδευτον καὶ ἀνόητον διακεχηνόσι τοῖς χείλεσι τῇ φωνῇ μιμούμενος ὁ Σωκράτης φησί. [διακεχηνόσι. Gl. Br.]

873. κλῆσιν: Τὴν μαρτυρίαν. χαύνωσιν δὲ τὴν λύσιν τῶν δικῶν, οἷον ἀπάτην καὶ κενὰ ῥήματα ἀναπείθοντα τοὺς ἀκούοντας. Ἄλλως. χαύνωσιν ἀναπειστηρίαν, ὅταν τοῦ ἀντιδίκου προβάλλοντος λόγους πιθανοὺς, εἰς τοὐναντίον τις αὐτοὺς περιτρέψῃ, καὶ χαύνους καὶ ἀσθενεῖς ποιήσῃ, διὰ τῶν λόγων αὐτοῦ ἀναπείσας τοὺς δικαστὰς, ὡς ἄρ' ἀληθῆ λέγει.

874. καί τοι ταλάντου: Ἀξιοπιστεύονται οἱ διδάσκαλοι λέγοντες, ἔλαττον τοσοῦδε, οὐ λαμβάνω ἐπὶ τούτῳ τῷ ἀναγνώσματι. καὶ ἐπαγέλλονται προνοήσασθαι τῶν καινῶν μαθημάτων, ὅσων προνοοῦσι μάλιστα.

875. θυμόσοφός ἐστι: Ἀντὶ τοῦ εὐφυὴς, εὐμαθὴς, ἐκ τοῦ ἰδίου θυμοῦ σοφὸς καὶ οὐκ ἐκ μαθήσεως.

[876. δεικτικῶς ἀντὶ τοῦ μικρόν. R.V.]

[877. ἀντὶ τοῦ οἰκίας ἐποίει ἀπὸ πηλοῦ, οἷα εἰώθασιν οἱ παῖδες ποιεῖν. R.V.]

[878. σκυτίνας: Δερματίνας. R.V. (non G.)]

879. σιδίων: Ἐκ τῶν λεπύρων τῶν ῥοιῶν. τὰ παιδία ἐκ μὲν τῶν

1. ἐρεῖ Ernestius. ἔριν Ald. Totum scholion om. R.V.

3. ὡς μωρὸν καὶ ἀπαίδευτον καὶ ἀνόητον (καὶ ἀν. κ. ἀπ. R.) διακεχηνόσι (sic G: διακεχηνότι R.V.) τοῖς χείλεσι addidi ex R.V.

4, 5. τῇ φωνῇ—φησί om. R.

5. φησί V. φησὶ διακεχηνὼς τοῖς χείλεσι Ald.

6. δὲ om. R.

ib. τὴν add. V.

7. οἷον ἀπάτην καὶ κενὰ R.V. καὶ οἷον ἀπάτη τὰ κοινὰ Ald. Veram scripturam habuit Suidas s. ἀναπειστηρίαν et χαύνωσιν.

7–11. Ἄλλως—ἀληθῆ λέγει om. R.

12. Scholion v. 874. om. R.V.

ib. ἀξιοπιστεύονται Suidas s. ἀναπειστηρίαν: de quo verbo vide Lobeck. ad Phrynich. p. 567. ἀξιόπιστόν τι ἀεὶ Ald.

13. ἔλαττον τοσοῦδε Suidas. ἐλαττοῦνται τόνδε Ald.

14. καινῶν Suidas. κοινῶν Ald.

16. ἀντὶ—εὐμαθὴς R.V. ἐκ φύσεως ἔχει σοφίαν Ald.

22. τὰ παιδία add. R.V. et Suidas s. σίδια.

δερμάτων περιέτεμνε τροχοὺς καὶ ἁμάξια, ἐκ δὲ τῶν ῥοιῶν ὅταν καταφάγωσι τὰ ἐντὸς, ἐκ τῶν λεπύρων βατράχια ἔγλυφεν. εἶτα τὸ πῶς δοκεῖς, θαυμάζων προφέρεται καθ' ἑαυτόν. βούλεται δὲ αὐτὸν ὡς ἐκ παιδὸς ἀποδεῖξαι εὐφυᾶ, καὶ γλύφειν ἀστείως δυνάμενον. [τὸ δὲ πῶς δοκεῖς ὡς θαυμάζων λέγει. R.V.]

[880. μαθήσεται: Γνώσεται, ὅντινα δεῖ μαθεῖν. Gl. E.]

[881. τὸν ἥττονα: Ὃς τ' ἄδικα λέγων ἀνατρέπει τὸν κρείττονα. Gl. Victor.]

[882. ἐὰν δὲ μὴ οἷός τ' ᾖ τοὺς δύο μαθεῖν, παντὶ τρόπῳ τὸν ἄδικον μαθήσεται. R.V.]

[883. ἀντὶ τοῦ αὐτοὶ οἱ λόγοι διδάξουσιν αὐτόν. V.]

886. χώρει δευρί. δεῖξον σαυτὸν: Διπλῆ κορωνὶς ἀποχωρησάντων τῶν ὑποκριτῶν. μέλος δὲ τοῦ χοροῦ οὐ κεῖται, ἀλλὰ γέγραπται μὲν ἐν μέσῳ χοροῦ, καὶ ἕπεται εἴσθεσις ἀναπαιστικὴ τῶν ὑποκριτῶν· διὸ καὶ τὰ πρόσωπα οὐ τελείας ἔχει τὰς συζυγίας. ἔστι δὲ τὰ πάντα κῶλα οδ', ὧν τὰ πρῶτα δ' ἀναπαιστικά. ὑπόκεινται ἐπὶ τῆς σκηνῆς ἐν πλεκτοῖς οἰκίσκοις οἱ λόγοι δίκην ὀρνίθων μαχόμενοι. τὸ τοῦ χοροῦ πρόσωπον ἐκλέλοιπεν. ἐπιγραφὴ δὲ φέρεται χοροῦ. ὁ δὲ κρείττων λόγος καὶ ὁ ἥττων διαλέγονται. Ἄλλως. χώρει δευρὶ: Εἴσθεσις διπλῆς κατὰ σχῆμα δικανικὸν ἐκ κώλων ἀναπαιστικῶν μέ. ὧν τὸ κή τὸ λέ καὶ τὸ λθ' μονόμετρα ἀκατάληκτα. τὰ δὲ λοιπὰ πάντα

1. περιέτεμνε add. R.V. περιέτεμνον Suidas.
ib. ἐκ δὲ τῶν ῥοιῶν add. R.V. et Suidas. Iidem ὅταν pro ὅταν δὲ, quod est in Ald.
2. βατράχια R.V. et Suidas. βατράχους G. Ald.
ib. ἔγλυφε G. εἴλυφε V. γλύφουσι R. Ald. et Suidas.
2–4. εἶτα—δυνάμενον om. R.V.
4. δὲ om. R.
9. ἐὰν δὲ μὴ] δὲ om. R.
9, 10. μαθεῖν—μαθήσεται om. R.: sed habet gl. παντὶ τρόπῳ.
12–19. Διπλῆ—διαλέγονται] Τὸ τοῦ χοροῦ—διαλέγονται. ἄλλως. διπλῆ—ἀναπαιστικά. ὑπόκεινται—μαχόμενοι V. Totum scholion om. R.
12. διπλὴ καὶ κορωνὶς V.
13. τῶν add. V.
ib. χοροῦ V. ὁ χορὸς Ald.
14. εἴσθεσις ἀναπαιστικὴ Hermannus. εἰς θέσιν ἀναπαιστικὴν Ald. ἐν θέσει ἀναπαιστικῇ V.
ib. διὸ καὶ Ernestius. καὶ διὰ Ald.
15. οὐ] οὐδὲ V.
15, 16. ἔστι δὲ—ἀναπαιστικά add. V.
16, 17. ὑπόκεινται—μαχόμενοι om. V.
16. ἐπὶ V. δὲ ἐπὶ Ald.
17. ὀρνίθων μαχόμενοι V. ὀρνέων διαμαχόμενοι Ald.
ib. τὸ τοῦ χοροῦ V. τοῦ δὲ χοροῦ τὸ Ald.
18. ἐκλέλοιπεν] διαλέγεται V.
19–p. 526. l. 8. Ἄλλως—νενευκυῖα om. R.V.

δίμετρα ἀκατάληκτα, τῶν δύο προσώπων ὡς ἐπιτοπλεῖστον δίμετρον κῶλον ἀποτελούντων, ὧν τὸ τελευταῖον,

κλαύσει· τὴν χεῖρ' ἐπιβάλλεις,

ἑφθημιμερές. ἰστέον δὲ ὅτι τὸ κή κῶλον τετράβραχυν ἔχει, ἤτοι προκελευσματικὸν τὸν πρῶτον πόδα ἀντὶ ἀναπαίστου. διαλύεται γὰρ ἡ μακρὰ τοῦ ἀναπαίστου εἰς δύο βραχείας· ὡς καὶ τοῦ ἰάμβου καὶ τοῦ τροχαίου καὶ τῶν λοιπῶν τετρασυλλάβων ποδῶν. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. [ὁ κρείττων λόγος καὶ ὁ ἥττων διαλέγονται. R.]

888. ἴθ' ὅποι χρῄζεις: Ἴθι, πορεύου. πάντα δὲ ἐκ Τηλέφου Εὐριπίδου.

ἴθ' ὅποι χρῄζεις· οὐκ ἀπολοῦμαι
τῆς σῆς Ἑλένης οὕνεκα.

[889. ἐν τοῖς πολλοῖσι: Ἐνώπιον πολλῶν. Gl. Br. σ' ἐν τοῖς πολλοῖσι: Ἐνώπιον πολλῶν παρόντων. Gl. Victor.]

893. Γνώμας καινὰς: Ὡς παρορωμένου τοῦ δικαίου παρὰ Ἀθηναίοις. διὸ καὶ μωροὺς αὐτοὺς εἶπεν.

[894. διὰ τουτουσὶ: Διαβάλλει τοὺς Ἀθηναίους ὡς ἀδικίᾳ χαίροντας, τὸ δὲ δίκαιον παρορῶντας. Schol. E.]

[902. τὸν πατέρα οὐκ ἀπώλεσε δήσας: Ἐρωτηματικῶς, ὅτι παιδοκτόνος ἦν. R.V. τὸν πατέρα αὐτοῦ Κρόνον οὐκ ἔφθειρε δεσμεύσας. Gl. Harl. 5.]

[903. αἰβοῖ: Γελᾷ ὁ δίκαιος. R.V.]

904. δότε μοι λεκάνην: Ὡς ναυτιῶν ὑπὸ τῆς ἐκείνου ψυχρίας. λείπει τὸ ἵνα ἐμέσω. χολὴ γάρ μοι ἐπιπλέει διὰ τὰ αὐτοῦ ῥήματα. [χωρεῖ: Αὔξει, προβαίνει. δότε μοι λεκάνην: Ἵν' ἐμέσω. Gl. Br.]

[905. τυφογέρων: Ἐσχατόγηρως ἢ ὑπερήφανος. τὸ δὲ ἀνάρμοστος ἀνακόλουθος, μηδενὶ ἁρμοζόμενος. V. μάταιος γέρων, κενόδοξος. ἀνάρμοστος: Ἀηδής, ἀνεπιτήδειος. Gl. Br. ἄρρυθμος, ἀηδής, ἄμουσος. Gl. Victor.]

[906. ἀναίσχυντος: Ἀναιδής. Gl. Victor.]

9. Scholion v. 888. om. R.
ib. ἴθι, πορεύου addidi ex V.
ib. πάντα δὲ (τὰ addit V, om. G.) ἐκ V. τοῦτο ἐκ Ald.
12. σῆς om. V.
15, 16. Ὡς—εἶπεν om. R.V.
23. Ante ὡς habet Ald. ἵνα τὴν χολὴν ἐμέσω, quæ om. R.V.
ib. Ὡς—ψυχρίας (ψύχρας V.) om. R.
24. λείπει τὸ R. ἢ V. et Ald.
26. μηδενὶ ἁρμοζόμενος. ἐσχατόγηρος ἢ ὑπερίφανος R.

907. *ῥόδα μ' εἴρηκας*: Ἀντὶ τοῦ, ἐμοὶ τὰ ὑπὸ σοῦ εἰρημένα ῥόδα ἐστί.

βωμολόχος: Ἀντὶ τοῦ κακοῦργος καὶ ἀσεβής. παρὰ τοὺς λοχῶντας τὰ ἐν τοῖς βωμοῖς ἐπιτιθέμενα θύματα, ἢ τοὺς θύοντας, ἵνα αἰτήσαντες λάβωσί τι. βωμολοχία δὲ κυρίως ἡ περὶ τὸ ἐν παιδιᾷ ἡδὺ, ὡς Ἀριστοτέλης ἐν δευτέρῳ Ἠθικῶν, ὑπερβολή. βωμολόχοι τοίνυν οἱ ἐν τοῖς βωμοῖς ἐρχόμενοι, καὶ ἀντὶ τοῦ τὸ θεῖον εὐχαῖς ἐξιλεοῦν πολλοῖς τισι λόγοις χρώμενοι καὶ ματαίοις.

908. *κρίνεσιν*: Οὕτως ἔκλινεν ὡς ἀπὸ τοῦ τὸ κρίνος, ὡς τὸ τεῖχος. τινὲς δέ φασι μεταπλασμὸν εἶναι. [*κρίνεσι*: Κρίνον κοινῶς· κρίνος Ἀττικῶς, καὶ κλίνεται τοῦ κρίνεος, νους. ἡ δοτικὴ τῶν πληθ. τοῖς κρίνεσίν ἐστι. *πατραλοίας*: Πατροτύπτης. Gl. Victor.]

910. *πρὸ τοῦ γ'*: Πρὸ τοῦ χρυσῷ. μολίβδῳ δὲ, ἀτιμίᾳ· ὡς νυνὶ μᾶλλον τῶν κακῶν ἀνθούντων. διὸ καὶ ἐκεῖνος ἐπιφέρει

νῦν δέ γε κόσμος τοῦτ' ἔστιν ἐμοί.

[912. *ἀρχαῖος*: Λῆρος. R.V. (non G.)]

913. *διὰ σὲ δὲ φοιτᾶν*: Τοῦ αὐτοῦ δεῖ πάντα εἶναι τοῦ ἥττονος λόγου. οὐ θέλει γὰρ, φησὶ, τὰ μειράκια διὰ τὴν σὴν εὐήθειαν φοιτᾶν, ὡς μαθησόμενα τὰ χρήσιμα μαθήματα. [λείπει τὸ πρὸς ἐμέ. R.]

[917. *αὐχμεῖς*: Ῥυπαρὸς εἶναι δοκεῖς. ὡς τοῦ δικαίου παρορωμένου. R.V. *πτωχεύεις*. *αἰσχρῶς*: Ἀτίμως. Gl. Victor. *εὖ πράττεις*: Ἀντὶ τοῦ καλῶς λέγεις. R.V. (non G.)]

919. Τήλεφος εἶναι: Διαβάλλει Εὐριπίδην, ὡς πτωχὸν εἰσενεγ-

1. τὰ (ἐμοὶ τὰ V.) παρά (περί V.) σου εἰρημένα ῥόδα ἐστί R.V.
3. ἀντὶ τοῦ add. R.V. τὸ δὲ βωμολόχος ἀντὶ τοῦ V.
ib. καὶ add. R.V.
ib. παρὰ τὸ ἐν τῷ τοὺς λοχῶντας ἐν τοῖς βωμοῖς (τοῖς βωμοῖς λοχῶντας τὰ G.) V.
4. ἐπιτιθέμενα R.V. ἐπιθέμενα Ald.
4–8. ἢ τοὺς—ματαίοις om. R.
4. θύοντας V. θύσαντας Ald.
5–8. βωμολοχία—ματαίοις om. V.
6. δευτέρῳ] c. 7.
9, 10. οὕτως—εἶναι R.V. ὡς ἀπὸ τοῦ κρίνου, κατὰ μεταπλασμόν Ald. Integra lectione utitur Suidas s. κρίνεσι.
9. τὸ κρίνος] τὸ om. R.
10. εἶναι] αὐτὸν εἶναι V.
13. χρυσῷ Kusterus. χρυσοῦ Ald.
ib. δὲ] καὶ R.
17. δεῖ — εἶναι R.V. δεῖν — εἶναί φασι Ald.
19. ὡς om. V.
23. Ἀντὶ τοῦ om. V.

κόντα τὸν Τήλεφον, περὶ οὗ καὶ κωμῳδεῖται. Ἄλλως. ὁ Τήλεφος βασιλεὺς ἦν Μυσίας, ὃν πλανηθέντων, ὅτε εἰς Τροίαν ἀπήρχοντο, τῶν Ἑλλήνων καὶ δῃούντων τὴν αὐτοῦ γῆν ἀντὶ τῆς Τροίας, Ἀχιλλεὺς ἔτρωσεν· καὶ πάλιν ἀποροῦντα τοῦ θεραπεύσοντος, τῆς Πυθίας, ὁ τρώσας ἰάσεται, ἀνελούσης, παραγενόμενον εἰς Θετταλίαν τῷ χρησμῷ πεισθεὶς θεραπείας ἠξίωσε. δυστυχήσαντα δὲ ὕστερον πεποίηκεν Εὐριπίδης ἐν δράματι πήραν ἔχοντα καὶ προσαιτοῦντα. ἀντὶ δὲ τοῦ εἰπεῖν, ἄρτους καθαροὺς ἢ ξηροὺς τρώγων, Πανδελετείους γνώμας εἶπε, διαβάλλων αὐτὸν κατ᾽ ἄμφω, καὶ ὡς ἄτιμον καὶ ὡς πανοῦργον. ἐπὶ γὰρ πανουργίᾳ διεβεβόητο ὁ Πανδέλετος. συκοφάντης δὲ ἦν καὶ φιλόδικος γράφων ψηφίσματα. Πανδελετείους οὖν οὕτως εἶπεν ἀντὶ ἄρτων πανουργίαν σιτούμενος. μέμνηται τοῦ Πανδελέτου καὶ Κρατῖνος Χείρωσιν. οὗτος καὶ ψηφίσματα ἔγραψε. διαβάλλει δὲ τοὺς ῥήτορας ὡς ἐκ τῶν πτωχῶν πλουτοῦντας. [Πανδελετείους : Δυστρόπους. ὁ Πανδέλετος τῶν περὶ τὰ δικαστήρια ἐστὶ διατριβόντων δικαστῶν ἢ καὶ συκοφαντῶν. ἤγουν ὁ φιλοδίκαιος καὶ γράφων ψηφίσματα. ἀντὶ δὲ τοῦ εἰπεῖν ξηροὺς ἄρτους γνώμας καινὰς εἶπεν. R.V. *παρ᾽ ὑπόνοιαν ἀντὶ τοῦ ἄρτους.* Gl. Victor.]

925. *λυμαινόμενον: Ἀντὶ τοῦ ἐνυβρίζοντα. οὕτως δὲ αὐτοῖς σύνηθες συντάσσειν, οὐχὶ, τὰ μειράκια λυμαινόμενον· πρὸς ὃ καὶ τὸ χ.*

926. *ἀντὶ τοῦ οὐκ ἐῶ σε διδάξαι. τὸ δὲ Κρόνος ἀντὶ τοῦ ἀρχαῖος,*

1. *Τήλεφον] τοῦτον γὰρ Εὐριπίδης ὡς πτωχὸν εἰσήγαγε* addit Ald. quæ om. R.V.

1–14. *Ἄλλως — πλουτοῦντας* om. R.V.

2. *τῶν Ἑ. καὶ] καὶ τῶν Ἑ.* Ald. Correxit Ruhnkenius, qui *τῶν Ἑλλήνων* post *πλανηθέντων* transponebat.

8. *καθαροὺς] κραύρους* Ruhnkenius, qui de h. v. dixit ad Timæum p. 168.

11. *ψηφίσματα* Suidas s. *Πανδελετείους. ψήφων ψηφίσματα* Ald.

13. *Χείρωσιν* Suidas (*χειρωσίᾳ* cod. Paris. A.) *Χείροσιν* Ald.

14. *Δυστρόπους* om. V.

16. *δικαστῶν ἢ καὶ* om. R.

ib. *ἤγουν ὁ φιλοδίκαιος* (scrib. *φιλόδικος*)—*ψηφίσματα* om. R.

17. *δὲ* et *καινὰς* om. R.

19. *ἐνυβρίζοντα] ἐμβριμίζοντα καὶ ὑβρίζοντα* V.

19–21. *οὕτως—τὸ χ* om. R, sed habet gl. *τὰ μειράκια.*

20. *συντάσσειν* add. V.

ib. *λυμαινόμενα* V.

ib. *πρὸς ὃ καὶ τὸ χ* om. V.

22. *ἀντὶ τοῦ — διδάξαι* addidi ex R. (qui *διδάξαι* om.) et V.

ib. *τὸ δὲ Κρόνος* V. *Κρόνος* Ald. om. R.

ib. *ἀντὶ τοῦ* add. R.V.

λῆρος. [ἄφρων. Gl. Br. τοῦτον: Τὸν Φειδιππίδην. Κρόνος: Μωρὸς, ἀφυής. Gl. Victor.]

[927. διδάξω. R.]

[930. ταῦτά φησιν ἐπιλαβόμενος τοῦ μειρακίου. R.V. ἐπιβάλλεις: Αὐτῷ. Gl. Victor.]

931. παύσασθε μάχης: Ἔκθεσις τῆς διπλῆς συστηματικὴ, εἰς δύο περιόδους διῃρημένη ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν ιέ· ὧν τῆς πρώτης περιόδου κῶλα δίμετρα ἀκατάληκτα ἑ. καὶ ἐν ἐκθέσει ἕτερα δύο ὅμοια δίμετρα ἀκατάληκτα. τῆς δὲ δευτέρας περιόδου κῶλα ὀκτώ· ὧν τὸ πρῶτον μονόμετρον ἀκατάληκτον. τὰ ἑξῆς ἓξ δίμετρα ἀκατάληκτα· τὸ δὲ τελευταῖον ἐφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει τοῦ πρώτου συστήματος παράγραφος· ἐπὶ δὲ τῷ τέλει τοῦ δευτέρου δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.

[933. τῷ δικαίῳ φησί. R.]

[934. τῷ ἀδίκῳ. R.]

935. κρίνας φοιτᾷ: Ἀντὶ τοῦ φοιτήσει. ἐὰν δὲ ᾖ φοιτᾶν μετὰ τοῦ ν, λείπει ποιήσω τὸν παῖδα φοιτῆσαι τῷ ἐλλογιμωτέρῳ. [κρίνας: Ἐκλεξάμενος ἕνα ὑμῶν παρ' αὐτῷ. Gl. Victor.]

[936. ἀντὶ τοῦ ἄγε δή. R.]

[937. ἐκ τῶν αὐτοῦ. R.]

[938. ἀντὶ τοῦ μικροῖς. R.]

944. ὑπ' ἀνθρηνῶν: Οἱ ποιηταὶ τὰς μελίσσας οὕτως συνεχῶς λέγουσιν. ὁ δὲ Ἀριστοτέλης συγγενῆ τῇ μελίσσῃ τὴν ἀνθρήνην φησί. κοινότερον δὲ ἐπὶ τῶν μελισσῶν τὰς ἀνθρήνας λέγουσιν. ἔστι δὲ εἶδος μελίσσης, ὅμοιον σφηξί.

946. νῦν δείξετον: Εἴσθεσις μέλους χοροῦ προῳδικὴ, στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντιστροφὴν τὸ

6–13. Scholion metricum om. R.V.

8. ἐκθέσει Hermannus. εἰσθέσει Ald.

16. φοιτήσει R.V. φοιτήσῃ Ald.

ib. μετὰ τοῦ ν R.V. ἀπαρεμφάτως Ald.

17. ποιήσω R.V. πoήσω Ald.

ib. τὸν παῖδα—ἐλλογιμωτέρῳ (ἐνλογιμωτέρῳ R.) R.V. ὡς τὸ τὸν παῖδα φοιτήσω τῷ ἐλλογιμωτάτῳ Ald.

22–25. Οἱ ποιηταὶ—σφηξί] εἶδος σφηκὸς ἡ ἀθρήνη. καταχρῶνται δὲ οἱ ποιηταὶ καὶ ἐπὶ μελίττης συνεχῶς. ὁ δὲ—μελίττῃ τὴν ἀθρήνην φησί V.

22. οὕτως συνεχῶς R. οὕτως ante οἱ ποιηταὶ Ald.

23. Ἀριστοτέλης] Hist. anim. 9, 40. 42. ἀριστοφάνης R.

24, 25. κοινότερον—σφηξί om. R.

26. Scholion metricum om. R.V.

ὦ καλλίπυργον σοφίαν,

ἐκ κώλων χοριαμβικῶν διαφόρως κεκολλημένων δέκα. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ δεύτερον ἐκ χοριάμβου καὶ ἀμφιβράχεος. τὸ τρίτον ἐκ διιάμβου καὶ χοριάμβου. τὸ τέταρτον ἐκ χοριάμβου καὶ βακχείου. τὸ πέμπτον ἀντιστρόφως τῷ πρώτῳ ἐκ χοριάμβου καὶ ἐπιτρίτου τρίτου. τὸ ἕκτον ἐξ ἀντισπάστου καὶ κρητικοῦ εἴτ' οὖν ἀμφιμάκρου. τὸ ἕβδομον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον ἐξ ἀντισπάστου καὶ ἰάμβου, διὰ τὸ ἔχειν τὸν ὅλον πόδα τὸν τετρασύλλαβον καὶ τὸ ἥμισυ αὐτοῦ, τὰς δύο δηλαδὴ συλλαβάς, ἡμιόλιον καλούμενον. τὸ ἔνατον ἐκ χοριάμβου καὶ διιάμβου. τὸ δέκατον ἐκ χοριάμβου καὶ ἀμφιβράχεος.

[τῷ πισύνῳ: Οἱ πίσυνοι. R. οἱ θαρροῦντες. φροντίσι: Σκέψεσι. γνωμοτύποις: Ταῖς κατὰ νοῦν τυπουμέναις. Gl. Br.]

953. ἀνεῖται: Κεῖται, δέδοται· νῦν προκειται ἡμῖν ὑπὲρ ἁπάσης τῆς σοφίας κινδυνεῦσαι. ἤγουν παράστασις καταλέλειπται.

[956. στεφανώσας: Κοσμήσας. λέγει δὲ τοῦτο πρὸς τὸν δίκαιον. R.V.]

958. λέξω τοίνυν: Εἴσθεσις διπλῆς περιοδικῆς ἀμοιβαίας μονοστροφικῆς ὑφ' ἕν, διὰ τὸ εἰς μῆκος ἐκτείνεσθαι τὴν περίοδον ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν μζ', ὧν τελευταῖος

ἦρος ἐν ὥρᾳ χαίρων ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ.

τοῦτο δὲ τὸ μέτρον Ἀριστοφάνειον καλεῖται, αὐτὸ ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. [ταῦτα ἄγαν Ἀριστοφάνης ἀπεδέχετο ὡς εὖ πεποιημένα. V.]

959. λέγων ἤνθουν: Εὐδοκίμησα λέγων.

[960. γρύξαντος: Μουγγρίσαντος. Gl. Br.]

7. ἀντισπάστου Hermannus ἀντισπαστικοῦ Ald.

13. Gl. θαρροῦντες habet V, non G.

19–24. Εἴσθεσις — νενευκυῖα om. R.V.

23. Post καλεῖται legebatur ἐπεὶ εὐδοκίμησε λέγων ὡς ὅτ' ἐγὼ τὰ δίκαια ᾔσκουν καὶ σωφροσύνη νενόμιστο. τοῦτο οὖν ἄγαν Ἀριστοφάνης ἀπεδέχετο ὡς εὖ πεποιημένον. ἐπεὶ servari potest, si sententia sic redintegretur, ἐπεὶ καταχρώμενος αὐτῷ ἐχρήσατο ὁ Ἀριστοφάνης, ut loquitur scholiasta Pluti v. 487.

25. ἀπεδέχετο] ἐπεδέχετο G.

26. λέγων ἤνθουν: Εὐδοκίμησα λέγων] Hoc scholion Hermannus eruit ex verbis scholii Aldini modo allatis.

961. *εἰς κιθαριστοῦ*: Οὕτως Ἀττικοί. *ἐσπούδαζον γὰρ περὶ τὴν κιθάραν οἱ* Ἀθηναῖοι *τότε μὴ φροντίζοντες τοῦ καλύπτεσθαι.* [*ἀπὸ κοινοῦ τὸ ἔδει.* V. (non G.)]

962. *κωμήτας*: Τὸ χ, *ὅτι κωμήτας τοὺς ἐκ τοῦ αὐτοῦ ἀμφόδου καὶ τόπου ἔλεγεν.*

κριμνώδη: Ἀντὶ *τοῦ παχεῖαν σύστασιν ἔχοντα· παρὰ τοὺς κρίμνους. οὗτοι γὰρ παχύτεροι τῶν ἀλεύρων. κρίμνος γὰρ εἶδος ἀλεύρου.* [*κριμνώδη*: Ἀντὶ *τοῦ μεγάλα.* V. (non G.) *ψυχρότατα.* Gl. E.]

[*κριμνώδη*: Γράφεται *καὶ κριμνώδη καὶ κρυμώδη. καὶ κριμνώδη μὲν ἤγουν μέγιστα καὶ παχέα δίκην κρίμνων, ἤγουν κριθῶν. οἱ δὲ κρίμνον φασὶ τὸ παχύτερον τῶν ἀλεύρων· τὰ γὰρ παχύτερα τῶν ἀλεύρων καὶ πιτυρώδη καὶ κριθώδη. εἰ δὲ γράφεται κρυμώδη, ἀντὶ τοῦ ψυχρότερα.* Victor. *κριμνώδη*: Κρίμμα *εἶδος ἀλεύρου, ἐξ οὗ ἡ παιπάλη γίνεται, ὅ ἐστι τὸ ἄλευρον. καὶ τὸ λευκαίνειν παλύνειν.* Ὅμηρος, "*ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας.*" R.V.]

963. *τὼ μηρὼ μὴ ξυνέχοντας*: Ἀντὶ *τοῦ, μὴ σφίγγοντας, οἷον ἀνειμένως διάγοντας καὶ μὴ ἐκθλίβοντας τὰ αἰδοῖα ἐκ τοῦ συνέχειν τοὺς μηρούς.*

964. Παλλάδα: Ἀρχὴ *ᾄσματος* Φρυνίχου, *ὡς* Ἐρατοσθένης *φησί.* Φρύνιχος *δὲ αὐτοῦ τούτου τοῦ ᾄσματος μνημονεύει ὡς* Λαμπροκλέους *ὄντος,*

1. Scholion v. 961. om. R. Hæc tantum habet V, *ἐσπούδαζον δὲ εἰς κιθάραν μανθάνειν.*

2. *τότε* Ernestius. *τότε μανθάνειν* Ald.

4, 5. Τὸ χ—*ἔλεγεν* om. R.

4. Τὸ χ *ὅτι κωμήτας*] *κωμήτας δὲ ὅτι* V.

5. *ἔλεγεν*] *ἔλεγον* Ald.

6, 7. Ἀντὶ—*ἀλεύρου* om. R.V.

14. *ὅ ἐστι τὸ* V. *τοῦτο* R.

15. Ὅμηρος om. G. Est Il. K, 7.

16. Scholion v. 963. om. R.

ib. *μὴ σφίγγοντας, οἷον* addidi ex V.

17. *διάγοντας καὶ μὴ* V. *ἑστῶτας, πρὸς τὸ μὴ θλίβειν τὸ μόριον* Ald.

19–p. 532. l. 6. *ἀρχὴ — λύρας* R.V. *εἴδη ᾀσμάτων ἀμφότερα, τὸ,* Παλλάδα *περσέπτολιν θεάν, καὶ τὸ, τηλέπορόν τι βόαμα. τὸ μὲν οὖν πρότερον* Λαμπροκλέους *εἶναί φασιν* Ἀθηναίου, *τοῦ* Μίδωνος *υἱοῦ. ἔχει δὲ οὕτως·*

Παλλάδα *περσέπτολιν κληΐζω πολεμαδόκον ἁγνὸν,*
παῖδα Διὸς *μεγάλου δαμάσιππον.*

τὸ δὲ, τηλέπορόν τι βόημα, μὴ εὑρίσκεσθαι ὅτου πότ᾽ ἐστίν. ἐν γὰρ ἀποσπάσματι εὑρεῖν Ἀριστοφάνη *ἐν τῇ βιβλιοθήκῃ. τινὲς δέ φασιν αὐτὸ* Κυδίδου Ἑρμιονέως, *τηλέπορόν τι βόημα λύρας* Ald.

19. Φρυνίχου] *φησιν* V.

20. *φησί* om. V.

Παλλάδα περσέπολιν κλῄζω πολεμαδόκον ἁγνὰν,
παῖδα Διὸς μεγάλου δαμάσιππον.

τὸ δὲ, τηλέπορόν τι βόαμα, καὶ τοῦτο μέλους ἀρχή. φασὶ δὲ μὴ εὑρίσκεσθαι ὅτου πότ' ἐστίν. ἐν γὰρ ἀποσπάσματι ἐν τῇ βιβλιοθήκῃ εὑρεῖν Ἀριστοφάνη. τινὲς δέ φασι Κυδίου τινὸς Ἑρμιονέως, "τηλεπορόν τι βόημα λύρας." σημαίνει δὲ τηλέπορον ὀρθόν τι καὶ ὑψηλόν. Ἄλλως. οὕτως Ἐρατοσθένης. Φρύνιχος αὐτοῦ τούτου τοῦ ᾄσματος μέμνηται ὡς Λαμπροκλέους ὄντος, τοῦ Μίδωνος υἱοῦ ἢ μαθητοῦ. ἔχει δὲ οὕτως

Παλλάδα περσέπολιν κλῄζω, πολεμαδόκον ἁγνὰν,
παῖδα Διὸς μεγάλου δαμάσιππον.

καὶ κατὰ Λαμπροκλέα ὑποτίθησι κατὰ λέξιν. τὸ δὲ, τηλέπορον

1. περσέπτολιν R.V. περσέπολιν Suidæ codex Paris. A. s. τηλέπορον, ubi verba Παλλάδα περσέπολιν Ἀθάναν leguntur, sed Παλλάδα abest a codd. Paris. et Leid.

ib. κλῄζω] κληίζω R.V.

ib. πολεμοδόκον V.

ib. ἁγνὰν] ἁγνὴν G.

2. δαμάσιππον om. R.V. Addidi ex scholio Aldino. δαμνηπῶλον est apud scholiastam Aristidis vol. 3. p. 538. δαμόπωλον apud Tzetzam. Chil. 1, 683. Iidem finem hujus versus initiumque sequentis addunt ἄϊστον παρθένον. Suspectum tamen est ἄϊστον quum propter se ipsum tum propter unius dactyli defectum. Ceterum Lamprocli an Stesichoro hi versus tribuendi sint in medio relinquit scholiasta Aristidis, Stesichorum confidenter nominat Tzetza, qui sua ex scholiasta Aristidis sumpsit.

3. τὸ δὲ] ἢ R.

ib. βόαμα] βόημα V.

4. πότ'] ποτέ V.

5. Ἀριστοφάνη] ἀριστοφ^{α} R. ἀριστοφάνους V.

ib. Κυδίου Bernhardyus apud Buttmann. ad Platon. Dialog. ed. Heindorf. vol. 1. p. 67. κυδίδου R.V.

6. σημαίνει—ὑψηλόν addidi ex V.

7 – p. 533. l. 2. Ἄλλως — λύρας] Scholion recentius om. R.V.

10. περσέπολιν κλῄζω] Legebatur περσέπτολιν δεινὴν θεὸν ἐγρεκύδοιμον ποτικληίζω. Verba δεινὴν θεὸν ἐγρεκύδοιμον memoriæ errore aliunde sunt illata. δεινὴν, ἐγρεκύδοιμον Minervam vocat Hesiodus Theog. 925. Verbi autem ποτικλῄζω syllabæ ποτι ortæ sunt ex præcedenti περσέπολιν. Aristophanes autem quod Παλλάδα περσέπολιν δεινὰν scripsit, δεινὰν, usitatum illud Palladis epitheton, versus explendi caussa adjecit. Omisit qui hunc locum imitatur Dio Chrys. vol. 1. p. 427. καὶ νῦν ἐπὶ ταύταις ταῖς ἐλπίσιν οἰκεῖτε τὴν πόλιν καὶ τοὺς υἱέας παρασκευάζετε, ὡς δυνατοὺς ἐσομένους χρῆσθαι τοῖς τε αὐτῶν καὶ τοῖς δημοσίοις πράγμασιν, ὅταν ἱκανῶς καθαρίσωσιν ἢ Παλλάδα περσέπολιν, ἢ τῷ ποδὶ βῶσι πρὸς τὴν λύραν, ubi Παλλάδα περσέπτολιν Ἀθηνᾶν legitur, Ἀθηνᾶν ab interprete illato, ut in loco Suidæ s. τηλέπορον. Contra de verbis τηλέπορόν τι βόαμα λύρας, Aristophanes omisit incommodum metro vocabulum λύρας.

βόημα, Κυδίου τοῦ Ἑρμιονέως κιθαρῳδοῦ, ἀπό τινος τῶν ᾀσμάτων "τηλέπορόν τι βόαμα λύρας."

965. τὴν ἁρμονίαν: Τὴν κιθάραν, ὡς συντόνου οὔσης τῆς παλαιᾶς ἁρμονίας, οὐκ ἀνειμένης, ὡς οἱ νέοι ἐπενόησαν.

966. βωμολοχεύσαιτ᾽: Ἀγοραῖόν τι εἴποι ἢ εὐτελές. τὸ δὲ κάμψειέν τινα καμπὴν, οἱονεὶ κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν προενέγκοιτο. [βωμολοχεύσαιτ᾽: Φλυαρῆσαι. κάμψειεν: Ἐν κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν παραφέροι, παρηχήσειε παρήχησιν τοῦ μέλους. Gl. Br.]

967. κατὰ Φρῦνιν: Ὁ Φρῦνις κιθαρῳδὸς Μυτιληναῖος. οὗτος δὲ δοκεῖ πρῶτος κιθαρίσαι παρ᾽ Ἀθηναίοις καὶ νικῆσαι Παναθηναίοις ἐπὶ Καλλίου ἄρχοντος. ἦν δὲ Ἀριστοκλείδου μαθητής. ὁ δὲ Ἀριστοκλείδης κιθαρῳδὸς ἦν ἄριστος. τὸ γένος ἦν ἀπὸ Τερπάνδρου. ἤκμασε δ᾽ ἐν τῇ Ἑλλάδι κατὰ τὰ Μηδικά. παραλαβὼν δὲ τὸν Φρῦνιν αὐλῳδοῦντα κιθαρίζειν ἐδίδαξεν. ὁ δὲ Ἴστρος Ἱέρωνος αὐτόν φησι μάγειρον ὄντα σὺν ἄλλοις δοθῆναι τῷ Ἀριστοκλείδῃ. ταῦτα δὲ σχεδιάσαι ἔοικεν· εἰ γὰρ ἦν γεγονὼς δοῦλος καὶ μάγειρος Ἱέρωνος, οὐκ ἂν ἀπέκρυψαν οἱ κωμικοὶ, πολλάκις αὐτοῦ μεμνημένοι ἐφ᾽ οἷς ἐκαινούργησε κλάσας τὴν ᾠδὴν παρὰ τὸ ἀρχαῖον ἔθος, ὡς Ἀριστοφάνης φησὶ καὶ Ἀριστοκράτης. καθὸ πρῶτος τὴν ἁρμονίαν ἔκλασεν ἐπὶ τὸ μαλθακώτερον. ἦν δὲ γύννις καὶ ψυχρός.

1. Κυδίου] Hic quoque Κυδίδου legebatur.

5, 6. ἀγοραῖον—προενέγκοιτο V. (et qui hæc tantum οἱονεὶ—προενέγκοιτο habet) R. κάμψειεν: ἀντὶ τοῦ εἰ κακοηθεύσοιτο· κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν ἀνενέγκοιτο, οἷον καταισχύνων τῷ μαλθακῷ τῆς φωνῆς Ald.

6. προενέγκοιτο Suidas s. βωμολοχεύσαιτο. προσενέγκοιτο R.V.

9. Μυτιληναῖος] Scribebatur Μιτυληναῖος. μιτυλληναῖος V.

10. κιθαρίσαι παρ᾽ (παρὰ V.) ἀθηναίοις καὶ νικῆσαι R.V. παρὰ Ἀθηναίοις κιθαρῳδικῇ νικῆσαι Ald.

ib. Παναθηναίοις V. Παναθήναια Ald. et Suidas s. Φρῦνις.

11. Ἀριστοκλείδου —Ἀριστοκλείδης R.V. et Suidas. Ἀριστοκλείτου—Ἀριστόκλειτος Ald.

12. κιθαρῳδὸς ἦν ἄριστος addidi ex R.V.

12–20. τὸ γένος — ψυχρός om. R.V, fierique potest ut ex Suida intulerit Musurus.

15. Ἀριστοκλείδῃ Suidas. Ἀριστοκλείτῳ Ald.

ib. σχεδιάσαι] σχεδίοις Suidas s. Φρῦνις et sub σχέδιον, ubi ταῦτα δὲ σχεδίοις ἔοικε tanquam Aristophanis verba afferuntur. Conf. Kuster. ad schol. Ran. 78.

16. ἀπέκρυψαν] ἐσιώπων Suidas.

18. κλάσας] κατακλάσας Suidas.

18–20. ἔθος—ψυχρός om. Suidas.

19. Ἀριστοκράτης] Valckenarius apud Burgesium in diario classico fasc. 44. p. 280. Ἀριστόξενος. Burgesius ipse Φερεκράτης: quod probabilius. Phrynis memoratur in fragmento Pherecratis ex Chirone apud Plutarch. Moral. p. 1142. Fortasse tamen delendum καὶ Ἀριστοκράτης.

968. *πολλὰς*: Πληγὰς δηλονότι.

969. *ἐν παιδοτρίβου*: Εἰς τὸν τόπον ὅπου γυμνάζονται οἱ παῖδες καὶ διατρίβουσιν.

προβαλέσθαι: Τουτέστιν, εὐκόσμως καθεσθῆναι· ὡς μηδὲν τοῖς περιεστῶσιν ὑποδεῖξαι ἄκοσμον. [ἐνδύσθαι, περιβαλέσθαι. προαγαγεῖν, προτείνειν. Gl. Br.]

[970. *ἀπηνές*: Ἀναίσχυντον, ἀπαίδευτον. Gl. Br. σκληρὸν. Gl. Victor.]

971. *συμψῆσαι*: Ἀντὶ τοῦ συγχέαι τὴν κόνιν, ὡς μὴ σημεῖον ἢ τύπον ἀπολείπεσθαι ταῖς καθέδραις. ἐν γὰρ ψάμμῳ λεπτοτάτῃ ἐγυμνάζοντο. κατέψων τὸν τόπον ὅπου ἐκαθέζοντο, ἵνα μὴ σημεῖον τῆς ἥβης ἑαυτῶν καταλείψωσι τοῖς ἐρασταῖς. παρεγίνοντο γὰρ ὥστε γυμνοὺς ὁρᾶν τοὺς ἐρωμένους. [καθομαλίσαι τὴν κόνιν. Gl. Br.]

[972. *εἴδωλον*: Τύπον. *τῆς ἥβης*: Τῶν αἰδοίων. Gl. Br.]

[974. *χνοῦς*: Χνοῦς τὰ λεπτὰ τῶν ἀχύρων, καὶ χνοῦς λέγεται τοῦ γενειᾷν ἀρξαμένου. Victor. *μήλοισιν*: Κυδωνίοις. Gl. C. προβάτοις. Gl. Br.]

[975. *φυρασάμενος*: Μηκύνας τῇ μεταβολῇ. Gl. Br. μαλάξας, μολύνας. Gl. Victor.]

[976. *προαγωγεύων*: Μαυλίζων. προαγωγὸς γὰρ ἡ μαυλίστρια. V. μαστροπεύων. Gl. Br.]

977. *κεφάλαιον τῆς ῥαφανῖδος*: Ὡς θερμὸν καὶ διεγεῖρον πρὸς τὰ ἀφροδίσια, παρῃτοῦντο ταῦτα. κεφάλαιον δὲ τὸ πρὸς τοῖς φύλλοις καυλῶδες. ἀντὶ τοῦ κεφαλήν. οὐκ ἔτεμνον δὲ κατὰ μῆκος, ὡς νῦν, ἀλλὰ κατὰ κύκλον.

1. πληγὰς πολλὰς δηλονότι Ald. Omittunt R.V.

2. οἱ παῖδες hoc loco R.V.: post διατρίβουσιν Ald.

4. εὐκόσμως V. et Suidas. ἐν παιδοτρίβου. εὐκοσμίως Ald.

9–11. Ἀντὶ τοῦ—ἐγυμνάζοντο om. R.V.

11. κατέψων R.V. κατέψων δὲ Ald.

12. ἑαυτῶν] αὑτῶν R.V.

ib. καταλείψωσι R.V. καταλείψειαν Ald.

ib. τοὺς ἐραστάς V, non G. Sequentia om. R.V.

20. Gl. μαυλίζων habet R.

22–24. Ὡς θερμὸν—καυλῶδες om. R.V.

24. ἀντὶ τοῦ (τὴν R. τοῦ τὴν V.) κεφαλήν add. R.V.

ib. ἔτεμνον R.V. et Suidæ libri tres s. ῥαφανίς. ἔτεμον Ald.

ib. δὲ om. R.V.

25. κύκλον] Addit Ald. φησὶ διὰ τὴν κεφαλήν, quæ in V. sic scripta sunt φησὶ δὲ τὴν κεφαλὴν, ἤγουν τὸ πρὸς τοῖς φύλλοις καυλῶδες.

979. *κιχλίζειν*: Ἀντὶ τοῦ, λιπαροὺς ὄρτυγας τρώγειν, κίχλας ἐσθίειν. ἢ ἀτάκτως γελᾶν καὶ ἀμέτρως. [λιπαροὺς ὄρτυγας ἐσθίειν, ἤγουν κίχλας. ἄλλοι δὲ ἀτάκτως γελᾶν. R.V.]

980. *τεττίγων ἀνάμεστα*: Ἀρχαῖον τὸ τοὺς τέττιγας ἀναπλέκειν, τουτέστι τοὺς κρωβύλους. Ἄλλως. οἱ ἀρχαιότατοι τῶν Ἀθηναίων τέττιγας χρυσοῦς ἐν τοῖς τῶν τριχῶν πλέγμασιν εἶχον, διότι οἱ τέττιγες μουσικοὶ ὄντες, ἀνάκεινται τῷ Ἀπόλλωνι, ὃς ἦν πατρῷος τῇ πόλει. τὰ δὲ Διιπόλεια τῶν ἀρχαιοτάτων ἑορτῶν, τὰ καὶ Διάσια. [οὕτως δὲ ἐλέγετο ἃ τῷ πολιεῖ Διὶ ἐθύετο. R.V.] τοὺς δὲ τέττιγας παρέλαβεν, ἐπειδὴ οἱ παλαιοὶ κατὰ τὴν ἀναπλοκὴν τῶν τριχῶν χρυσῷ ἐχρῶντο τέττιγι, τεκμήριον τοῦ φαίνεσθαι ὅτι αὐτόχθονες εἶεν οἱ Ἀθηναῖοι, ὡς καὶ οἱ τέττιγες. καὶ Θουκυδίδης "καὶ οἱ πρεσβύτεροι "αὐτοῖς τῶν εὐδαιμόνων οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνάς τε λινοῦς "ἐπαύσαντο φοροῦντες, καὶ χρυσῶν τεττίγων ἐν ἔρσει κρωβύλων "ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν."

981. Κηκείδου: Διθυράμβων ποιητὴς πάνυ ἀρχαῖος. μέμνηται δὲ αὐτοῦ Κρατῖνος ἐν Πανόπταις. [Κυκήδου: Κυκήδης παλαιὸς ἦν ποιητής, ἀφελὴς καὶ ἄχαρις. Schol. L.B.] τὰ δὲ Βουφόνια παλαιὰ ἑορτή, ἥν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια, ὅτε καὶ βοῦν θύουσιν εἰς ὑπόμνησιν τοῦ πρώτου φονευθέντος βοὸς ἐν ἀκροπόλει, ἁψαμένου τοῦ πελάνου ἐν τῇ ἑορτῇ τῶν Διιπολίων. [ἑορτὴ ἔτι παρὰ Ἀθηναίοις ἐπιτελουμένη τῇ Ἀθηνᾷ. V.] Ἄλλως. ἑορτὴ Ἀθηναίων πάνυ

1, 2. Ἀντὶ—ἀμέτρως om. R.V.

3. ἤγουν—ἄλλοι] τουτέστι—ἕτεροι V.

4–8. Ἀρχαῖον—τῇ πόλει om. R.V.

5. κρωβύλους] κρωβανούς Ald. Correctum ex scholio Veneto statim afferendo.

8. τὰ δὲ—Διάσια] τὰ λεγόμενα διάσια ταῦτα καὶ διιπόλεια (διιπόλια V.) R.V.

9, 10. τοὺς δὲ—οἱ παλαιοὶ] τὸ δὲ τεττίγων ὅτι (adde ἀρχαῖον) τὸ τοὺς τέττιγας ἀναπλέκειν τουτέστι κρωβύλους· ἢ ὅτι οἱ παλαιοὶ V.

9. δὲ om. R.

11. τοῦ φαίνεσθαι addidi ex G. διὰ τὸ φαίνεσθαι R.V.

ib. εἶεν R.V. ἦσαν Ald. Sequentia om. R.

12. ὡς καὶ V. καὶ om. Ald.

ib. Θουκυδίδης] 1, 6.

16, 17. διθυράμβων (κυκίδης διθυράμβων V.)—Κρατῖνος R.V. ἀρχαῖος διθυραμβοποιός, οὗ μέμνηται Κρατῖνος Ald. Photius p. 160, 19. Κηδίδης: διθυραμβοποιητὴς ἀρχαῖος. Corruptum ex Κηκείδης.

18–21. τὰ δὲ—Διιπολίων om. R.V.

21. Διιπολίων Suidas s. Βουφόνια. Διονυσίων Ald.

22. Ἄλλως om. R.

ib. ἑορτὴ] βουφόνια ἑορτὴ R.

ἀρχαία. ἐν γὰρ τοῖς Διιπολείοις φασὶ βοῦν τὸ πόπανον καταφαγεῖν τὸ παρεσκευασμένον εἰς τὴν θυσίαν, καὶ τούτου χάριν βοῦν θύουσιν ἐν τοῖς Διιπολείοις, διὰ τὸν βοῦν τὸν φαγόντα τὸ πόπανον καὶ τυθέντα. Θαύλωνα δέ τινα, ὡς εἶχε, τῷ πελέκει ἀποκτεῖναι τὸν βοῦν, καθὰ καὶ Ἀνδροτίων μέμνηται διὰ τῆς τετάρτης.

982. Μαραθωνομάχους: Τοὺς ἐν Μαραθῶνι τρωπωσαμένους τὴν Δαρείου στρατιὰν, ἣν Δᾶτις ὁ τούτου στρατηγὸς ἤγαγεν οὖσαν περὶ πεντήκοντα μυριάδας. τὸ δὲ ἐντετυλίχθαι, τὸ ἐναντίον τῷ γυμνοῦσθαι. οὐκ ἐγκεκαλύφθαι.

984. [ὥστε μ' ἀπάγχεσθαι: Τότε δηλονότι. Gl. Br. πνίγεσθαι. Gl. D.]

ὀρχεῖσθαι: Ὠρχοῦντο τοῖς Παναθηναίοις ἐν ὅπλοις οἱ παῖδες. διὰ δὲ τὸ ἀπρεπὲς, φησὶ, προέχοντες τῶν αἰδοίων τὴν ἀσπίδα. ὡσανεὶ τούτων ἐν τῇ πομπῇ ἀσπιδοφορούντων δέον περικαλύπτεσθαι τὴν αἰσχύνην. ηὔξησε δὲ τὴν διαβολὴν εἰς τὴν ἀσπίδα τῆς θεοῦ.

985. [τῆς κωλῆς: Τοῦ ποδός· ἕτεροι δέ φασι τοῦ αἰδοίου. Gl. Br.]

Τριτογενείης: Εἶδος ὀρχήσεως, ἣ καλεῖται ἐνόπλιος. διὰ δὲ τὸ εἰς Ἀθηνᾶν ταύτην τελεῖσθαι Τριτογένεια κέκληται· τριτὼ γὰρ ἡ κεφαλὴ παρ' Αἰολεῦσιν. ἐγεννήθη δὲ Ἀθηνᾶ ἐκ τῆς κεφαλῆς τοῦ Διός. ἐτέλουν δὲ ταύτην τὴν ὄρχησιν οἱ πρότερον μὲν ὡπλισμένοι καὶ τὴν ἀσπίδα ἐν πλαγίῳ φέροντες· οἱ ὕστερον δὲ ἔμπροσθεν τῶν ποδῶν ἔφερον. σημειωτέον δὲ, φασὶ, τὴν σύνταξιν. πρῶτον γὰρ πληθυντικῶς εἰπὼν, εἰς ἑνικὸν ἀποδέδωκεν. ἐν δὲ τοῖς παλαιοῖς τῶν ἀντιγράφων, ἀμέλει τῆς Τριτογενείης, εὕρηται.

[987. μισεῖν ἀγορὰν: Ἀντὶ τοῦ μαθήσῃ μισεῖν τὴν ἐκκλη-

1. διιπολίοις V.
ib. φασὶ] φησὶ R.V.
2. εἰς R.V. πρὸς Ald.
2, 3. καὶ τούτου—τυθέντα addidi ex R. Prima tantum verba καὶ τούτου χάριν βοῦν θύουσιν habet V.
4, 5. Θαύλωνα — τετάρτης om. R.V.
4. Θαύλωνα Suidas s. Βουφόνια et Θαύλων. Βαύλωνα Ald.
12. ὠρχοῦντο τοῖς παναθηναίοις ἐν ὅπλοις V. ὠρχοῦντο γὰρ ἐν ὅπλοις ἐν τοῖς Π. Ald.
13. δὲ om. V.
ib. Post ἀσπίδα pergit V, τὸ ἑξῆς τὴν ἀσπίδα τῆς τριτογενείας. καὶ (scr. ὡς) ἐν τῇ πομπῇ ἀσπιδηφορούντων αὐτῶν, δέον περικαλύπτεσθαι τὴν αἰσχύνην. unde correxi vulgatum διὰ τὸ ἐπικαλύπτεσθαι.
13–15. ὡσανεὶ—θεοῦ om. R.
18–25. Εἶδος—εὕρηται om. R.V.

σίαν. R. *ἐνταῦθα γὰρ οἱ πανοῦργοι διατρίβουσιν.* *βαλανείων ἀπέχεσθαι*: Πάνυ γὰρ οἱ πόρνοι λουτροῖς ἐχρῶντο. Gl. E.]

[989. *ὑπανίστασθαι*: Ὑπαναχωρεῖν. Gl. Br. *προϊοῦσι*: Προερχομένοις. Gl. D. *θάκων*: Ἀττικῶς ἀντὶ τοῦ θώκων. λέγει δὲ ὅτι τοὺς πρεσβυτέρους προτιμᾶν, καὶ τὸ μὴ ἀπαίδευτα ποιεῖν εἰς τοὺς σαυτοῦ γονέας. V.]

990. *μὴ παρὰ τοὺς σεαυτοῦ*: Ἀντὶ τοῦ, μὴ παρὰ γνώμην τῶν σῶν γονέων. [*ἀπαίδευτα ποιεῖν παρὰ τοὺς αὐτοῦ γονέας.* R.]

991. *ὅτι τῆς αἰδοῦς*: Ὅπερ μέλλει τῆς αἰδοῦς τὰ ἀγάλματα πληρώσειν. τὸ δὲ ἀναπλήσειν ἀντὶ τοῦ ἀφανίζειν. [*τῆς αἰδοῦς ἄγαλμα, ἡ αἰδὼ περιφραστικῶς.* *ἄγαλμ᾽ ἀναπλάσσειν*: Τύπον ἐργάσεσθαι. Gl. E. *ἀφανίσειν.* R. *ἀναπλήσειν*: Τυπώσειν, ἐργάσασθαι. Gl. C. *ἀναπλάσσειν*: Ποιήσειν τύπωσιν. Gl. LB. *ἀναπλήσειν*: Πληρώσειν. Gl. Victor. *ἀναπλάσειν*: Ἤγουν τυπώσειν, ἐργάζεσθαι. Victorius, ex vetusto codice.]

[*ὅτι μ. τῆς αἰδοῦς τἄγ. ἀναπλήσειν*: Ἐμὲ τὸν κρείττω λόγον αἱροῦ φησί· καὶ ἐπιστήσῃ τὸ καὶ τό· τὸ δ᾽ αἴτιον τῆς ἐπιστήμης ταύτης, ὅτι μέλλεις ἐπιμελήσεσθαι καὶ τιμήσειν τὴν αἰδῶ, εἰ ἐμὲ αἱρῇ καὶ τὸ ἄγαλμα αὐτῆς ἀναλαβὼν ὡς ἀμελούμενον τελειώσειν ἐν σεαυτῷ δηλονότι, ὥσπερ εἰ καὶ ἄλλου οὑτινοσοῦν θεοῦ ἄγαλμα ἐν τῇ σῇ καρδίᾳ ἔστησας ὥστε σέβειν αὐτό· τούτῳ ὅμοιον καὶ Δημοσθένης φησὶν ἐν τούτοις "δίκης καὶ εὐνομίας καὶ αἰδοῦς εἰσὶ πᾶσιν ἀνθρώ-" "ποις βωμοί· οἱ μὲν κάλλιστοι καὶ ἁγιώτατοι ἐν αὐτῇ τῇ ψυχῇ" "ἑκάστου καὶ τῇ φύσει· οἱ δὲ καὶ κοινοὶ τοῖς πᾶσι τιμᾷν ἱδρυμέ-" "νοι." Manuel Moschopulus.]

[992. *εἰσάγειν*: Ἑαυτόν. Gl. E.]

993. *μήλῳ βληθεὶς*: Ἀντὶ τοῦ ἔρωτι. [*οὕτως γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ πτοῆσαι καὶ εἰς ἔρωτα ἀγαγεῖν, μήλῳ βάλλειν.* R.V.] *μηλοβολεῖν γὰρ ἔλεγον τὸ εἰς ἀφροδίσια δελεάζειν· ἐπεὶ καὶ τὸ*

7. Scholion v. 990. om. R.V.
8. *γονέων*] Addebatur *ὅπερ μέλλει μολύνειν τὴν αἰδῶ.* Quæ e proximo scholio sunt illata.
9. *ὅπερ μέλλει* V. *εἴπερ μέλλεις* Ald. Totum scholion om. R.
10. *πληρώσειν*] *πληρῶσαι* V.
ib. *τὸ δὲ ἀναπλήσειν ἀντὶ τοῦ* V. *γράφεται δὲ καὶ* Ald.
16. Moschopuli scholion editum a Creuzero ad Plotin. de pulcritudine p. 370.
21. *Δημοσθένης*] P. 780, 22.
27. *γὰρ* om. R.
29 – p. 538. l. 1. *μηλοβολεῖν*—*ἱερόν* om. R.V.

μῆλον Ἀφροδίτης ἐστὶν ἱερόν. [τὸ δὲ ἀποθραυσθῇς ἀντὶ τοῦ ἐκπέσῃς. V. ἀποθραυσθῇς: Ἀποπέσῃς. Gl. Br. Victor.]

[994. Ἰαπετὸν: Λῆρον, μωρόν. R.V. ὁ δὲ Ἰαπετὸς εἷς τῶν Τιτάνων. V. ἀρχαῖον, μωρόν. Gl. Br. ἀρχαῖον, μωρὸν καὶ ὑπέργηρων. ὁ γὰρ Ἰαπετὸς θεὸς ἦν πρὸ τοῦ Κρόνου. Gl. Victor.]

[995. τὴν ἡλικίαν, τοῦ πατρὸς δηλονότι. τὸ δὲ ἐνεοττοτροφήθης, ἀντὶ τοῦ ἐτράφης. V. μνησικακῆσαι: Εἰς μνησικακίαν ἐμβαλεῖν. Gl. Victor. ἐνεοττοτροφήθης: Ὥσπερ νεοσσὸς ἐτράφης. Gl. Br. ἐτράφης δίκην νεοττῶν. Gl. Victor.]

997. τοῖς Ἱπποκράτους: Ὑώδεις τινὲς καὶ ἀπαίδευτοι κωμῳδοῦνται, καὶ τάχα ἂν εἴησαν προκέφαλοί τινες, ὡς ἐν Γεωργοῖς καὶ ἐν Τριφάλητι. καὶ Εὔπολις ἐν Δήμοις

Ἱπποκράτους τε παῖδες ἐκβόλιμοί τινες,
βληχητὰ τέκνα κοὐδαμῶς τοῦ νῦν τρόπου.

τὰ δὲ ὀνόματα αὐτῶν Τελέσιππος, Δημοφῶν, Περικλῆς.

βλιτομάμαν: Μωρόν. καὶ γὰρ τὸ βλίτον μωρὸν εἶναι δοκεῖ λάχανον. εἰκότως δὲ εἶπε καλοῦσι, καὶ οὐ καλέσουσι, πρὸς τὸ εἴξεις. διότι μὲν γὰρ ἅπαξ ἔμελλεν ὅμοια πείσεσθαι, εἴξεις εἶπε· διότι δὲ

1. Gl. ἐκπέσῃς habet R.

6. Gl. τοῦ πατρός habet R.

10. Ὑώδεις—κωμῳδοῦνται addidi ex R.V. et Suida s. τοῖς Ἱπποκράτους.

11, 12. καὶ τάχα (τάχ' Suidas)—Τριφάλητι addidi ex V. et Suida.

11. προκέφαλοι Suidas. προσκέφαλοι V.

ib. Γεωργοῖς] φησι addit Suidas.

12–15. καὶ Εὔπολις—Περικλῆς V. et Suidas. οὗτοί εἰσι Τελέσιππος Δημοφῶν Περικλῆς, διαβαλλόμενοι εἰς ὑωδίαν. καὶ Εὔπολίς φησιν ἐν Δήμοις—τρόπου Ald.

12–14. καὶ Εὔπολις—τρόπου om. R.

12. Δήμοις] δήμῳ V. δήμοις G. om. Suidas s. ὑώδεις.

13. Ἱπποκράτους] εἰς ἱπποκράτους (ἱπποκράτου G.) V. εἷς Ἱπποκράτους Suidas s. ὑώδεις.

ib. τε om. Suidas s. ἐμβόλιμοι et ὑώδεις. δὲ Suidæ ed. Mediol. s. τοῖς Ἱπποκράτους.

ib. παῖδες] πόδας G.

ib. ἐκβόλιμοι L. Dindorfius in Thesauro Stephani s. ἐμβόλιμος. Legebatur ἐμβόλιμοι.

14. βληχητὰ] βλιχητὰ V. βληχὴ τὰ Suidas s. βληχή.

ib. κοὐδαμῶς τοῦ νῦν τρόπου Kusterus et Bentleius. καὶ οὐδαμῶς τοῦ τρόπου V. Ald. et Suidas s. βληχή et τοῖς Ἱπποκράτους: nam s. ἐμβόλιμοι et ὑώδεις hæc verba omisit. Minus probabiliter Toupius κοὐδαμῶς τοὐμοῦ τρόπου. Ceterum de filiis Hippocratis Kusterus comparat Athenæum 3. p. 96 F. Galen. vol. 1. p. 346, 32. ed. Basil.

15. Δημοφῶν] καὶ δημοφῶν V.

16. τὸ δὲ κλιτομάμμαν (β above κ) (βλιτομάμμαν G.) ἀντὶ τοῦ μωρόν V. Totum scholion om. R.

ib. καὶ γὰρ τὸ V. τὸ γὰρ Ald.

ib. βλίτον] κλιτὸν (β above κ) V. βλιτὸν G.

17–p. 539. l. 1. εἰκότως—εἴρηκε om. V.

μετὰ τὴν ὁμοίωσιν οὕτως ἀεὶ ἔμελλε καλεῖσθαι, καλοῦσιν εἴρηκε. [*βλιτομάμμαν*: Μαλακογνώμονα. Gl. Victor.]

999. [*στωμύλλων*: Φλυαρῶν. R.] *τριβολεκτράπελα*: Ἐκ τοῦ *τρίβειν καὶ ἐκτράπελος σύγκειται. ἀντὶ τοῦ σκληρὰ καὶ ἀπαίδευτα, καὶ ἀπόβλητα καὶ ἀνώμαλα.* [*οὐδαμινά, φευκτά.* Gl. Br.]

1000. *γλισχραντιλογεξεπιτρίπτου*: Ἐκ *τοῦ γλίσχρου καὶ ἀντιλογίαν ἔχοντος καὶ ἐπιτρίπτου σύγκειται, οἷον τοῦ δυναμένου ἐπιτρῖψαι.* [*γλίσχρου καὶ ἀντιλογίαν ἔχοντος κατατετριμμένην.* Gl. Br.]

1001. *ἀλλ' εἰς* Ἀκαδημίαν: Ἐνταῦθα *διέτριβον οἱ φιλόσοφοι. ἦν δὲ γυμνάσιον, ἀπὸ* Ἑκαδήμου *τινος, καταλείψαντος τὴν κτῆσιν ἑαυτοῦ πρὸς ἐπισκευὴν τοῦ τόπου. περὶ αὐτὸν δ' ἦσαν αἱ ὄντως ἱεραὶ ἐλαῖαι τῆς θεοῦ, αἳ καλοῦνται μορίαι· ἐξ ὧν τὸ ἔλαιον τῶν* Παναθηναίων. *τὸν δὲ στέφανον τοῦ καλάμου προέκρινεν, ὡς ἁπλούστερον ὄντα καὶ ἀπερίεργον· ἢ ὅτι αὐτῷ στέφονται οἱ* Διόσκουροι.

ὑπὸ ταῖς μορίαις: Αἱ *ἱεραὶ ἐλαῖαι τῆς* Ἀθηνᾶς *ἐν τῇ ἀκροπόλει μορίαι ἐκαλοῦντο. λέγουσι γὰρ ὅτι* Ἁλιρρόθιος, *ὁ παῖς* Ποσειδῶνος, *ἠθέλησεν ἐκκόψαι αὐτάς, διὰ τὸ τῆς ἐλαίας εὑρεθείσης κριθῆναι τῆς* Ἀθηνᾶς *τὴν πόλιν. ὁ δὲ ἀνατείνας τὸν πέλεκυν καὶ ταύτης ἀποτυχὼν ἔπληξεν ἑαυτὸν καὶ ἀπέθανε. καὶ διὰ τοῦτο μορίαι αἱ ἐλαῖαι ἐκλήθησαν. ἢ διὰ τὸ πάντα ἄνθρωπον κεκτημένον ἐλαίας ἀναγκάζεσθαι μέρος τι παρέχειν εἰς τὰ* Παναθήναια. *κέραμον γὰρ ἐλαίου ἐλάμβανον οἱ νικῶντες. κυρίως μορία λέγεται ἡ ἱερὰ ἐλαία τῆς θεοῦ. ἐπεφύτευτο δὲ ἐν τῷ γυμνασίῳ δένδρα. ἔθος δὲ τοῖς ἀσκουμένοις ἀλειψαμένοις ἐν τῷ ἡλίῳ τρέχειν.* [Ἄλλως. *ἡττηθεὶς τῆς* Ἀθηνᾶς

4. *τρίβειν*] *τριβόλου* R.V.
ib. *ἐκτράπελος*] *ἐκτραπέλου* R.V.
ib. *σκληρὰ*] *σκηρὰ* V. *ὀγκηρὰ* G.
5. *καὶ ἀπόβλητα* post *σκληρὰ* ponit R.
ib. *καὶ ἀνώμαλα* om. R.V.
6, 7. *ἀντιλογίαν—δυναμένου* R.V. *ἀντιλογίας πεποιημένου τοῦ καὶ δυναμένου* Ald.
10–23. Ἐνταῦθα—*οἱ νικῶντες* om. R.
10. *ἐνταῦθα γὰρ* Ald. *γὰρ* om. V.
11. *δὲ* V. *γὰρ καὶ* Ald.
11–23. *ἀπὸ* Ἑκαδήμου—*οἱ νικῶντες* om. V.
20. *αἱ ἐλαῖαι* Hermannus. Aberat *αἱ*.
22. *κέραμον*] Vide Meursii Lect. Att. 4, 6. KUST.
23. *κυρίως—τῆς θεοῦ* add. R.V.
ib. *κ. μ. λ.*] *μ. δὲ κ. λ.* V.
ib. *ἡ* om. R.
24. *δένδρα* R.V. *δένδρη* Suidas s. *μορίαι* (in codd.: *δένδρα* in ed. Mediol.) *δένδρον* Ald.
ib. *δὲ* R.V. et Suidas. *δὲ ἦν* Ald.
ib. *ἀσκουμένοις*] *ἀσκομένοις* R.V, non G.

ὁ Ποσειδῶν ἐπὶ τῇ τῆς ἐλαίας ἐπιδείξει, ἔπεμψε τὸν υἱὸν αὐτοῦ Ἁλιρρόθιον ταύτην τεμοῦντα. ὁ δὲ ἀνατείνας τὸν πέλεκυν, ταύτης μὲν ἠστόχησε· τὸν δὲ πόδα αὐτοῦ πλήξας ἐτελεύτησε, καὶ οὕτω μορία ἡ ἐλαία ἐκλήθη, ὡς μόρου παρεκτική. ἦν δὲ ἡ Ἀκαδημία σχολεῖόν τι ἐν Ἀθήναις, ἐλαίαις καὶ ἄλλοις τισὶ δένδρεσι κατάσκιον. Junt. Victor.]

1002. *καλάμῳ λευκῷ*: Λιτὸς γὰρ καὶ ἀπερίεργος ὁ τοιοῦτος στέφανος. ἦν δὲ τῶν Διοσκούρων ἴδιον στεφανοῦσθαι καλάμῳ. [τὸ δὲ ἡλικιώτου ἀντὶ τοῦ συμπράκτορος. V.]

1003. *μίλακος*: Εἶδος βοτάνης. παρέμιξε τὸ ἀπραγμοσύνης. ἀπραγμοσύνη δὲ φυτὸν, ὡς Ἀριστοφάνης ὁ γραμματικὸς, ἐν Ἀκαδημίᾳ φυόμενον. ἡ λεύκη δὲ ὁμοία πλατάνῳ. Ἄλλως. ἀπραγμοσύνη εἶδος ἄνθους· οἷον πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας. ἢ ἀπραγμοσύνης, ἀντὶ τοῦ πολυπραγμοσύνης. τὸ δὲ ψιθυρίζει, ἀντὶ τοῦ πνέοντος ἀνέμου μαλακοῦ καὶ ἠρέμα διὰ τῶν φύλλων εἰσιόντος. ὥσπερ προσλαλεῖ τὰ δένδρα, ὅπερ ψιθυρίζειν λέγεται. καὶ Θεόκριτος "ἁδύ τι "τὸ ψιθύρισμα." [*φυλλοβολούσης*: Τὰ φύλλα ῥιπτούσης. Gl. Victor.]

1005. *ἢν ταῦτα ποιῇς*: Ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν δεκαπέντε· ὧν τὰ μὲν ιγʹ δίμετρα ἀκατάληκτα· τὸ τεσσαρακαιδέκατον μονόμετρον, ὃ παρατέλευτον ὀνομάζεται. τὸ τελευταῖον ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακὸν, ὡς εἴρηται. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος τοῦ κώλου, ἔξω νενευκυῖαι.

[1006. *οἷς λέγω*. R.]

1009. *γλῶτταν βαιὰν*: Μικρὰν, ὥστε μὴ φλυαρεῖν. τὸ δὲ πυγὴν μεγάλην, ἢ γέλωτος χάριν, ἢ διὰ τὴν τρυφὴν ἕξεις πυγὴν μεγάλην.

10–12. Εἶδος—Ἄλλως om. R.
ib. παρέμιξε—Ἄλλως om. V.
12. ἀπραγμοσύνη] ὁμοίως καὶ ἡ ἀπραγμοσύνη V.
13, 14. ἢ—πολυπραγμοσύνης] ἢ ἀπραγμοσύνη ἀντὶ τοῦ οὐ (οὐ om. V.) πολυπράγμων ἦν R.V.
14. τὸ δὲ ψιθυρίζει, ἀντὶ τοῦ om. R.V.
ib. πνέοντος ἀνέμου R.V. ἀνέμου πνέοντος Ald.
15. ἠρέμα] ἠρέμα V. Ald.
ib. προσλαλεῖ] προλαλεῖ V.
19. Scholion metricum om. R.V.
26, 27. Μικρὰν—τὸ δὲ πυγὴν μεγάλην om. R.
26. μικρὰν, ὥστε μὴ φλυαρεῖν V. σωφροσύνης ξύμβολον. οἷον μὴ φλυαρολογεῖν Ald.
26, 27. τὸ δὲ et μεγάλην om. V.
27. τρυφὴν Ruhnkenius. Libri τροφήν.

πόσθην δὲ τὸ αἰδοῖον. αἰνίττεται δὲ εἰς τοὺς Ἀθηναίους. τοῦτο δὲ σωφροσύνης σύμβολον. [*πόσθην*: *Ψωλήν*. Gl. Br.]

1012. *χροιὰν ὠχρὰν*: *Διὰ τὴν ἀταξίαν.* [*ὠχρὰν*: Κίτρινον. Gl. Br.]

1013. *ὤμους μικροὺς*: Γράφεται *καὶ λεπτοὺς, καὶ λευκούς. οἷοι τῶν ἀγυμνάστων καὶ ἀργῶν.*

[1014. *κωλῆν*: Μηρόν. Gl. Br.]

1015. *ψήφισμα μακρόν*: Τὸ *ἐκ πολυλογίας συγκείμενον. ἀντὶ τοῦ μεγάλῳ ψηφίσματι γράψεις.* [*δικορραφίαν*. Gl. Br.]

1018. *τῆς Ἀντιμάχου*: Οὗτος *εἰς θηλύτητα κωμῳδεῖται καὶ εὐμορφίαν. ἔστι δὲ καὶ ἕτερος ἐπὶ πονηρίᾳ κωμῳδούμενος. τρίτος ὁ* Ψακάδος *λεγόμενος· τέταρτος ὁ τραπεζίτης, οὗ μέμνηται* Εὔπολις *ἐν* Δήμοις· *πέμπτος ἱστοριογράφος. τάχα δὲ ὁ αὐτός ἐστι τῷ εὐμόρφῳ.* [*οὗτος λίαν πόρνος ἦν*. Gl. Br. *τῆς μαλακίας*. V.]

1020. *ὦ καλλίπυργον*: Ἑτέρα *εἴσθεσις μέλους χοροῦ μεσῳδικὴ ἀντίστροφος, ὁμοία τῇ προρρηθείσῃ στροφῇ, ἐκ κώλων χοριαμβικῶν ἐπιμεμιγμένων, ὡς τὰ τῆς στροφῆς καθ' ἕκαστον ἐχόντων δέκα· πλὴν τοῦ πέμπτου ἐξ ἐπιτρίτου καὶ διιάμβου συγκειμένου, καὶ τοῦ ἑβδόμου ἐκ χοριάμβου, ἰάμβου καὶ ἀντισπάστου. ἐν ἐκθέσει δὲ στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ, ὅμοιοι τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος.* [*ὑψηλοτάτην, μεγάλην*. R.V.]

[1026. *πρὸς ταῦτα οὖν ὦ πανοῦργον ἔχων μοῦσαν. λέγει πρὸς τὸν ἄδικον.* V. *ἀντὶ τοῦ πανοῦργον.* R.]

[1029. *ἀνήρ*: Ὁ *δίκαιος δηλονότι. ἐν ἀνδρῶν γὰρ σχήματι εἰσήχθησαν.* R.V. *οὗτος, ἤγουν ὁ δίκαιος.* Gl. Victor.]

1, 2. *πόσθην—σύμβολον* om. R.
1. *πόσθην δὲ τὸ αἰδοῖον* V. *πόσθη δὲ τὸ μόριον τοῦ ἀνδρός* Ald.
ib. *αἰνίττεται—Ἀθηναίους* om. V.
1, 2. *τοῦτο—σύμβολον* addidi ex V.
3–5. *Διὰ—λευκούς* om. R.V.
6. *οἷοι*] *οἷον* V.
8, 9. *ἀντὶ—γράψεις* om. R.V.
10, 11. *οὗτος—ἕτερος* R.V. *οὗτος ὡς κίναιδος καὶ εὔμορφος καὶ θηλυμανὴς κωμῳδεῖται. δεύτερος ὁ* Ald.
10. *κωμῳδεῖται* post *εὐμορφίαν* ponunt R. et Suidas s. *Ἀντιμάχου*.
11–14. *τρίτος—εὐμόρφῳ* om. R.V.
12. *Ψακάδος*] *Ψαδακὸς* Ald. Correctum ex Suida, qui *Ψεκάδος*. Conf. schol. Acharn. 1149.
13. *τάχα—εὐμόρφῳ*] Additamentum ineptum, quod om. Suidas.
ib. Addidi *ὁ*.
15. Scholia metrica ad v. 1020.
1032. om. R.V.
25. *Ὁ δίκαιος δηλονότι* om. G. *δηλονότι* om. V.

[1030. δεῖν: Χρείαν εἶναι. Gl. Victor. ἀντὶ τοῦ μεγάλων. R.V. (non G.)]

1032. καὶ μὴν πάλ' ἔγωγ' ἐπνιγόμην: Εἴσθεσις ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν μθ'. ὧν τελευταῖος,

ἕξει τίνα γνώμην λέγειν τὸ μὴ εὐρύπρωκτος εἶναι.

τὸ δὲ μέτρον Ἱππωνάκτειον. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.

[1033. συνταράξαι: Ἀνατρέψαι. Gl. Victor.]

1034. ἐγὼ γὰρ ἥττων: Ὅτι ποιῶ αὐτοὺς ἡττηθῆναι. ἢ ὅτι τὰ ἥττονα λέγω ἐπὶ τὸ πάντας ἡττᾶσθαι.

[1035. τοῖς φιλοσόφοις. R.]

1037. καὶ τοῦτο: Τὸ τινὰ λαβόντα δίκην τῷ ἀδίκῳ λόγῳ νικᾶν. τὸ δὲ σκέψαι πρὸς τὸν Φειδιππίδην. [οὐδέποτε οἱ Ἀττικοὶ τὸ πλεῖν ἀντὶ τοῦ πλέον μόνον ἐκφέρουσιν, εἰ μὴ παραθήσουσι καὶ τὸ ἢ ἀντὶ τοῦ παρό. Schol. Harl. 5. στατήρων: Εἶδος νομίσματος. R.]

[1038. αἱρούμενον: Προκρίνοντα. Gl. Victor. πρὸς τὸν παῖδά φησιν ὅτι ἀπὸ τῶν αὐτοῦ ἐλέγξω αὐτόν. R.V.]

1042. κάκιστόν ἐστι: Ἐψοῖ γὰρ καὶ χαυνοῖ τὰ σώματα. δειλότατον δὲ εἶπεν. ἐκλύει γάρ. [δειλὸν ποιεῖ τὸν ἄνδρα: Μαλακίας γὰρ αἴτιον. Gl. E.]

1043. μέσον ἔχω λαβών σε ἄφυκτον: Ἔχω εὐθὺς μέσον λαβών. ἡ μεταφορὰ ἀπὸ τῶν παλαιστῶν τῶν λαμβανομένων εἰς τὸ μέσον καὶ ἡττωμένων. τὸ δὲ εὐθὺς ἀντὶ τοῦ ἐν ἀρχῇ. [ἐπίσχες: Σαυτὸν δηλονότι, ἤτοι καρτέρησον. μέσον: Κατά. ἄφυκτον: Οὐ φυγεῖν δυνάμενον. Gl. Victor.]

1047. Ἡράκλεια λουτρά: Ἴβυκός φησι τὸν Ἥφαιστον κατὰ δωρεὰν ἀναδοῦναι τῷ Ἡρακλεῖ λουτρὰ θερμῶν ὑδάτων· ἐξ ὧν τὰ

9. Ὅτι—ἡττηθῆναι] ἥττων λόγος (hoc. om. V.) ἀντὶ τοῦ ἄδικος, ἢ ποιῶ (καὶ ποιῶν V.) αὐτοὺς ἡττηθῆναι R.V.

9, 10. ἢ ὅτι—ἡττᾶσθαι om. R.V.

12. λαβόντα] λαχόντα Hermannus.

13. τὸ δὲ—Φειδιππίδην om. R.V.

17. αὐτοῦ] αὐτῶν V.

ib. ἐλέγξω αὐτόν om. V.

21. Ἔχω] τὸ μέσον λαβών σε ἄφυκτον ἔχω R. τὸ ἑξῆς λαβών σε ἄφυκτον ἔχω V.

22. ἡ μεταφορὰ R. ἡ μεταφορὰ δὲ Ald. ἡ δὲ μεταφορὰ V. λαμβάνει δὲ τὴν μεταφορὰν G.

ib. Alterum τῶν add. R.V.

26–p. 543. l. 1. Ἴβυκος (ἴβικος G.)—λέγεσθαι om. R.

26. κατὰ δωρεὰν ἀναδοῦναι] καταδοῦναι δωρεὰν V.

27. τῷ add. V. et Suidas s. Ἡράκλεια λουτρά.

θερμά τινές φασιν Ἡράκλεια λέγεσθαι. οἱ δέ φασιν ὅτι τῷ Ἡρακλεῖ μογήσαντι ἡ Ἀθηνᾶ θερμὰ λουτρὰ ἐπαφῆκεν· ὡς Πείσανδρος

τῷ δ' ἐν Θερμοπύλῃσι θεὰ γλαυκῶπις Ἀθήνη
ποίει θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης.

[Ἡρακλεῖ πολλὰ καμόντι περὶ Θερμοπύλας Ἀθηνᾶ θερμὰ λουτρὰ ἀναδέδωκεν. Πείσανδρος· τῷ δ' ἐν — θαλάσσης. R.]

1049. ἃ τῶν νεανίσκων: Ὡς ταῦτα τῶν ἀγυμνάστων νεανίσκων λαλούντων· τῶν εὐγενῶν δηλονότι.

[1053. ὅτι τὸ ἂν περισσόν ἐστιν Ἀττικῶς. R.V.]

[1055. χρῆναι δηλονότι. R.]

1059. ὁ γοῦν Πηλεὺς: Ὅτε ἀφῆκεν αὐτὸν Ἄκαστος μεταξὺ θηρίων, οἱ θεοὶ δεδώκασιν αὐτῷ ξίφος πρὸς ἄμυναν τῶν θηρίων. τινὲς δὲ ἐπὶ τῷ Πελίου ἀγῶνί φασι τὸν Πηλέα λαβεῖν διὰ σωφροσύνην Ἡφαιστότευκτον μάχαιραν. Ἄλλως. ὁ Πηλεὺς ἐγένετο σωφρονέστατος. καί ποτε Ἱππολύτης τῆς γυναικὸς Ἀκάστου ἐρασθείσης αὐτοῦ καὶ μὴ δυνηθείσης πεῖσαι, ἀλλὰ διαβολῇ χρησαμένης, ὡς ἄρα ἐπεχείρησε βιάσασθαι αὐτὴν, ὁ Ἄκαστος μαθὼν καὶ λαβὼν αὐτὸν εἰς ἐρημίαν, καὶ τῶν ὅπλων γυμνώσας, ἀφῆκεν αὐτὸν καὶ ἀνεχώρησεν, εἰπών· εἰ δίκαιος εἶ, σωθήσῃ· ὡς δὲ ἔμελλεν ὑπὸ θηρίων διαφθείρεσθαι, οἱ θεοὶ μάχαιραν αὐτῷ ἐχαρίσαντο Ἡφαιστότευκτον δι' Ἑρμοῦ, καὶ οὕτως ἔφυγε τὸν κίνδυνον. Ἄλλως. Πηλεὺς Φῶκον τὸν ἀδελφὸν κατὰ πατέρα σὺν Τελαμῶνι δολοφονήσας, φεύγει εἰς Φθῖαν πρὸς Εὔρυτον τὸν Ἄκτορος, ὑφ' οὗ καὶ καθαίρεται. ἐκεῖθεν ἐπὶ τὴν

1. φασιν om. V.
ib. λέγεσθαι V. γίνεσθαι Ald.
1–4. οἱ δέ φασιν—θαλάσσης] Horum loco R. habet quæ inferius posui. In V. est οἱ δέ φασι τὴν ἀθηνᾶν χαρίσασθαι τῷ ἡρακλεῖ θερμὰ λουτρὰ, ὡς πείσανδρος etc.
2. Ἀθηνᾶ] Ἥρα nominatur ab schol. Soph. Trach. 633.
ib. ἐπαφῆκεν] ἐξανῆκεν Ernestius.
7. ταῦτα] τὰ αὐτὰ V.
ib. τῶν add. R.V.
8. τῶν εὐγ. δ. om. V.
9. ὅτι τὸ ἂν] τὸ ἄνω R.
ib. ἐστιν om. G.R.
11–21. Ὅτε—Ἄλλως om. R.V.
12–14. τινὲς—μάχαιραν] Hæc infra post ἀπαλέξειν τὰ θηρία habet V. paullo aliter expressa, ἄλλως. ἐν τοῖς ἐν Πελίᾳ ἄθλοις διὰ τὴν σωφροσύνην ἔλαβεν ἡφαιστότευκτον μάχαιραν ὁ πηλεύς.
13. ἐπὶ τῷ Πελίου] ἐν τῷ ἐπὶ Πελίᾳ Valckenarius.—De omnibus his fabulis videndi Apollodorus p. 255. seq. et Heynius ad eum p. 785. schol. Apollonii ad 1, 224. Verheyk. ad Anton. Liber. p. 257. Suidas in Ἀταλάντη. HERM.
22. πατέρα R. (in quo est πρα). πατρίδα Ald.
ib. δολοφονήσας σὺν τελαμῶνι V.
ib. Φθῖαν] φθίαν libri.
23. καθαιρεῖται R.

θήραν τοῦ Καλυδωνίου κάπρου ἐλθὼν, Εὐρύτῳ ἐντυγχάνει καὶ κτείνει τοῦτον ἄκων. πάλιν οὖν ὁ Πηλεὺς ἐκ Φθίας φυγὼν ἐς Ἰωλκὸν πρὸς Ἄκαστον ἀφικνεῖται, καὶ καθαίρεται ὑπ' αὐτοῦ. Ἀστυδάμεια δὲ, ἡ Ἀκάστου γυνὴ, ἐρασθεῖσα Πηλέως καὶ μὴ πείσασα αὐτὸν διὰ σωφροσύνην συνελθεῖν αὐτῇ, καταψεύδεται αὐτοῦ πρὸς Ἄκαστον ὡς ἀποπειραθέντος αὐτῆς. ὁ δὲ κτεῖναι μὲν, ὃν καθῆρεν, οὐκ ἠβουλήθη, [ἐκβάλλει δὲ αὐτὸν εἰς τὸ Πήλιον, ὅπως ὑπὸ θηρῶν βρωθείη. οἱ δὲ θεοὶ διὰ τὴν σωφροσύνην δεδώκασιν αὐτῷ μάχαιραν πρὸς τὸ ἀπαλέξειν τὰ θηρία. R.V.] ἄγει δὲ αὐτὸν εἰς θήραν εἰς τὸ Πήλιον. ἀποκοιμηθέντα δὲ αὐτὸν Ἄκαστος καταλιπὼν, καὶ τὴν μάχαιραν ὑπὸ τὴν κόπρον τῶν βοῶν κρύψας ἐπανέρχεται. ὁ δὲ ἐξαναστὰς καὶ μὴ εὑρὼν τὴν μάχαιραν ἤμελλεν ἀπόλλυσθαι καταλειφθεὶς ὑπὸ τῶν Κενταύρων. σώζεται δὲ ὑπὸ Χείρωνος· ὃς καὶ τὴν μάχαιραν ἐκζητήσας δίδωσιν αὐτῷ.

1061. Ὑπέρβολος: [Ὡς λυχνοπώλης γὰρ κωμῳδεῖται ἐν πολλοῖς. τὸ δὲ πλεῖν ἀντὶ τοῦ πλέον, ὡς δέον δεῖν. ἡ συναίρεσις Ἀττική. V.] οὗτος λυχνοποιὸς ὢν, πάνυ πανοῦργος ἦν. οὐ γὰρ χαλκῷ μόνον ἐχρῆτο πρὸς τὴν τῶν λύχνων κατασκευὴν, ἀλλὰ καὶ μόλιβδον ἐνετίθει, ἵνα πολὺ βάρος ἔχοντες πλείονος ἄξιοι ὦσι· καὶ οὕτως ἠπάτα τοὺς πριαμένους.

1064. κᾆτ' ἀπολιποῦσά γ' αὐτὸν: Φασὶν ὅτι τοὺς γινομένους παῖδας ἐκ τοῦ Πηλέως ἡ Θέτις λαμβάνουσα περιέκαιε τὸ θνητὸν αὐτῶν σῶμα, βουλομένη αὐτοὺς ἀθανάτους ποιεῖν· καὶ πολλοὺς ἔκαυσε· καὶ τὸν Ἀχιλλέα οὖν τεκοῦσα ἐπέθηκεν εἰς τὸ πῦρ· καὶ γνοὺς ὁ Πηλεὺς ἐβόησεν. ἡ δὲ λυπηθεῖσα ἐχωρίσθη.

2. ἰολκὸν R. ἰαωλκὸν V.

6. ἐβουλήθη V.

8. τὴν σωφροσύνην] τὴν om. R.

ib. ἀπαλέξειν] ἀπαλλάξειν V.

9–14. ἄγει δὲ—δίδωσιν αὐτῷ om. R.V.

16. συναίρεσις] διαίρεσις V.

17–20. οὗτος—πριαμένους om. R.V.

21–25. Φασὶν ὅτι—ἐχωρίσθη om. R.V.

24. ἐπέθηκεν] ἐνέθηκεν Ernestius.

25. ἐχωρίσθη] Addit Ald. ἄλλως. ἡ Θέτις εἰς λέβητα ὕδατος ἐνέβαλλε τοὺς ἐκ Πηλέως γεννωμένους, γνῶναι βουλομένη εἰ θνητοί εἰσιν· ἑτέρους δὲ εἰς πῦρ, ὡς Ἀπολλώνιός φησι. καὶ δὴ πολλῶν διαφθαρέντων, ἀγανακτῆσαι τὸν Πηλέα καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖς φησιν ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν καταλιπεῖν αὐτόν. Στάφυλος δὲ ἐν τῷ περὶ Θεσσαλίας φησὶ Χείρωνα σοφὸν ὄντα καὶ ἀστρονομίας ἔμπειρον βουλόμενον τὸν Πηλέα ἔνδοξον γενέσθαι, μεταπέμψαι τὴν Ἄκτορος θυγατέρα, τοῦ Μυρμηδόνος, καὶ λόγους διασπεῖραι ὅτι μέλλει γαμεῖν τὴν

[1064. *τρυφητὴς, γαμητής.* R.]

1066. *σιναμωρουμένη*: [Ἀντὶ τοῦ *συνεχῶς ἀνδρὶ συνουσιάζουσα πρὸς μίξιν, τουτέστι γαμουμένη. σινάμωρον γὰρ τὸ πορνικόν.* R.V. *κρόνιππος δὲ ἀντὶ τοῦ ἀρχαῖος, παρ' ὅσον ὁ* Κρόνος *ἀρχαῖος.* V.] *ἀνδρὶ συνουσιάζουσα πρὸς μίξιν. σινάμωρος δὲ, ἡ μεμορημένη. σίνος δὲ, τὸ αἰδοῖον· ὅθεν καὶ Σιληνός. σινάμωρον οὖν τὸ πορνικόν. κρόνιππος δὲ, ὁ μέγας λῆρος· κατ' ἐπίτασιν λαμβανομένου τοῦ ἵππου.* [*συνουσιαζομένη.* Gl. Br.]

[1068. *λείπει τὰ κακά. ἐὰν σωφρονῇς.* R.V.]

1069. *κοττάβων*: [Ἀντὶ τοῦ *τῶν συμποσίων.* R.V.] *ἐν συμποσίῳ παίγνιον. ἦν δὲ τοιοῦτον· ἐτίθεσαν λέβητα, καὶ τὸ λείψανον τοῦ πόματος ἐνέβαλον, καὶ κτύπον μέγαν ἀπετέλουν ἐν τούτοις.* [*κιχλισμῶν*: Κιχλισμῶν *δὲ ἀντὶ τοῦ γελώτων ἀδιαφόρων.* R.V.]

[1071. *τὸ εἶεν λέγεται ἀπόθεσις λόγου.* R.V.]

1073. *ἀδύνατος γάρ*: Οὐ *γὰρ δυνατὸς εἶ λόγοις νικῆσαι αὐτοὺς ἐναντίον.*

[1074. *σπατάλα. τὸ αἰσχρὸν νόμιζε μὴ αἰσχρὸν εἶναι.* R.]

[1076. *ἐπανενεγκεῖν*: Τὴν *αἰτίαν.* Gl. Victor.]

[1077. *ἀντὶ τοῦ ἡττᾶται.* R.]

1079. *ἢν ῥαφανιδωθῇ*: Οὕτω *γὰρ τοὺς ἁλόντας μοιχοὺς ἤκιζον. ῥαφανῖδας λαμβάνοντες ἔβαλλον εἰς τοὺς πρωκτοὺς αὐτῶν, καὶ παρατίλλοντες αὐτοὺς θερμὴν τέφραν ἐπέπασσον, βασάνους ἱκανὰς ἐργαζόμενοι.*

Θέτιν Πηλεὺς, Διὸς διδόντος αὐτῷ, οἱ δὲ θεοὶ μετ' ὄμβρου καὶ χειμῶνος ἥξουσιν. ταῦτα φημίσας παρετήρει τὸν χρόνον, ἐν ᾧ ὕδατα πολλὰ καὶ πνεύματα ἐξαίσια, καὶ δίδωσι Πηλεῖ Φιλομήλαν. καὶ οὕτως ἐπεκράτησεν ἡ φήμη. Quæ Musurus ex scholiis Apoll. Rh. 4, 816. intulit uno alterove verbo mutato.

2. Scholion Aldinum v. 1066. om. R.V.

9. *λείπει* om. V. Gl. prius ad *ἄνεστιν*, alterum ad *μέλλεις ἀποστερεῖσθαι* refertur.

ib. *ἐὰν σ.*] *τὸ ἐὰν σ.* V.

10. *Ἀντὶ τοῦ* om. V.

10–12. *ἐν συμποσίῳ—ἐν τούτοις* om. R.V.

13. *ἀντὶ τοῦ* om. V.

14. *τὸ εἶεν λέγεται*] *τοῦτο καλεῖται* V.

15. Scholion v. 1073. om. R.

20. *ἁλόντας*] *ἁλῶντας* R.V, non G.

ib. *ἤκιζον* R. *ἠκίζοντο* V. Ald. et Suidas s. *ῥαφανίς.*

21. *ἔβαλλον* R.V. *καθίεσαν* Ald. et Suidas.

ib. *αὐτῶν* R.V. *τούτων* Ald. et Suidas.

22. *θερμὴν τέφραν* Suidas. *τέφραν θερμὴν* Ald. *λεπτὴν τέφραν* R.V, errore veteris librarii, qui in memoria habuisse videtur v. 178. *καταπάσας λεπτὴν τέφραν.*

ib. *ἐργαζόμενοι*] Addit V. *ὅτι καὶ*

1080. *τίνα γνώμην*: Ἀντὶ τοῦ, ποίαν ἕξει γνώμην μὴ εὐρύπρωκτος εἶναι.

1081. *ἦν δ' εὐρύπρωκτος*: Ἔκθεσις τῆς διπλῆς ἀμοιβαία· ἧς προτίθενται στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι τέσσαρες. τὰ δὲ λοιπὰ κῶλά εἰσιν ἰαμβικὰ ὀκτωκαίδεκα δίμετρα ἀκατάληκτα. τὸ μέντοι ὄγδοον καὶ δυοκαιδέκατον τρίμετρα, καὶ τὸ ἑνδέκατον πενθημιμερές. τὸ πεντεκαιδέκατον καὶ ἑπτακαιδέκατον μονόμετρα. τὸ δὲ τελευταῖον ἑφθημιμερές. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι· ἡ μὲν ἐν τῇ ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος. [ἀντὶ τοῦ οὐδέν. R.]

[1082. *τοῦ εἶναι εὐρύπρωκτος*. R.]

1083. *ἦν τοῦτο*: Εἰς τοῦτο. ἐὰν εἰς τοῦτο νικηθῇς παρ' ἐμοῦ, ὅτι οὐδέν ἐστι κακὸν τὸ εἶναι εὐρύπρωκτος, τί εἴπῃς; [τοῦτο: Εἰς τοῦτο. ἐμοῦ: Ὑπό. Gl. Victor.]

[1085. *συνηγοροῦσιν ἐκ τίνων*: Ἀντὶ τοῦ τίνες εἰσὶν οἱ ῥήτορες; R.V.]

1087. *τραγῳδοῦσιν*: Εἰς Φρύνιχόν φασιν αὐτὸν ἀποτείνειν τὸν τραγικὸν χορευτήν· ἐπεὶ διεβάλλετο ἐπὶ μαλακίᾳ διὰ ποικιλίαν σχημάτων.

[1092. *τῶν σωφρόνων καὶ τῶν εὐρυπρώκτων θεατῶν σκόπει πότεροι πλείους*. R.V.]

1099. *ὦ κινούμενοι*: Τοῦτο ἄδηλον πότερον ὁ κρείττων λόγος φησὶν, ὁμολογῶν ἡττᾶσθαι, ἢ ὁ νεανίσκος, ὁ τῶν λόγων κριτής· ὃ καὶ μᾶλλον. ἔτι γὰρ ἐν τοῖς ἑξῆς ὁ κρείττων λόγος φαίνεται αὐτῷ

παρετίλλοντο τέφραν αὐτοῖς ἐπιπραττομένοις (scr. ἐπιπαττόμενοι) εἰς τὸν πρωκτόν.

1, 2. Ἀντὶ—εἶναι] τοῦ εἶναι εὐρύπρωκτος R.

1. εὐρ. εἶναι] εἶναι εὐρ. V.

3. Scholion metricum om. R.V.

5. τὸ μέντοι ἕβδομον καὶ ἑνδέκατον τρίμετρα καὶ τὸ δέκατον πενθημιμερὲς Ald. Correxit Hermannus. Octavum versum dicit καὶ τῶν θεατῶν ὁπότεροι πλείους σκόπει, undecimum καὶ τουτονὶ γοῦν οἶδ' ἐγὼ κἀκεινονί, decimum τοὺς εὐρυπρώκτους. Nam sic versus sunt descripti in Ald.

11, 12. εἰς τοῦτο (hoc om. V.). ἐὰν εἰς—εἴπῃς R.V. λείπει ἡ εἰς, ἵνα ᾖ εἰς τοῦτο. δύο προθέσεων ἐλλείψεις. ἀντὶ τοῦ εἰς τοῦτο νικηθῇς ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κακὸν εὐρύπρωκτον εἶναι Ald.

11. παρ' ἐμοῦ V. ἐμοὶ R.

12. εἶναι εὐρ. V. εὐρ. εἶναι R.

ib. τί εἴπῃς om. R.

17. ἐπεὶ] ἐπειδὴ V.

ib. διὰ] καὶ διὰ V.

21. φησὶν om. R.

23. μᾶλλον. ἔτι γὰρ—φαίνεται R. V. μᾶλλον φαίνεται ἐν τοῖς ἑξῆς ὁ κρείττων λόγος Ald.

ib. αὐτῷ συνάχθεσθαι] ἄχθεσθαι σὺν αὐτῷ V.

συνάχθεσθαι, παραδόθεντι μανθάνειν τῷ ἑτέρῳ. [συνουσιαζόμενοι. Gl. E. ὦ εὐρύπρωκτοι. Gl. Victor.]

1101. θοιμάτιον: Τὸ ἱμάτιον δίδωσιν, ἵνα ἐξ ἑτοίμου καὶ εὐχερῶς αὐτομολήσῃ πρὸς αὐτοὺς, καὶ μὴ ἐμποδίζοιτο τῷ δρόμῳ.

1103. τί δῆτα; πότερον: Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ὀκτώ. ἐν ἐκθέσει δὲ κῶλα ἰαμβικὰ δίμετρα καταληκτικὰ ἤτοι ἐφθημιμερῆ. ἔχει δὲ τὸ δεύτερον κῶλον τὸν δεύτερον πόδα τρίβραχυν ἤτοι χορεῖον. ἐπὶ τῷ τέλει παράγραφος. [ἐπάγεσθαι: Ἀπελθεῖν. Gl. D.]

[1105. δίδασκε: Ἀντὶ τοῦ παίδευε· οἱ γὰρ διδασκόμενοι ἐκολάζοντο. R.V. (non G.)]

1106. στομώσεις: Ἀντὶ τοῦ ὀξυνεῖς, ὡς ἐπὶ σιδήρου φησὶ μεταφορικῶς ἀντὶ τοῦ ἀκονήσεις. ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν. θατέρα δὲ ἀντὶ τοῦ τὸ μὲν ἕτερον μέρος τῆς γνάθου οἵαν δικιδίοις, τουτέστι δυνατὴν καὶ ἔμπειρον δικῶν. ὑποκοριστικῶς δὲ τὸ δικιδίοις.

[1108. εἰς τὰ ἄδικα, εἰς τὰ ἐμφιλόσοφα. V.]

[1109. τὸ ἀμέλει παρέλκει. δεξιὸν: Οὕτως ἔλεγον πάντας τοὺς πεπαιδευμένους. R.V. κομιεῖ: Λήψῃ. Gl. Victor.]

[1110. ἀπὸ κοινοῦ τὸ κομιεῖ. R.]

1113. τοὺς κριτὰς ἃ κερδανοῦσιν: Κἀνταῦθα παράβασίς ἐστιν. ἔχει δὲ οὐ πάντα τὰ μέρη τῆς παραβάσεως, ἀλλὰ μόνον τὸ ἐπίρρημα, ἐν ᾧ ἔθος ἢ χρηστὰ συμβουλεύειν τῇ πόλει, ἢ σκώπτειν τοὺς πονηρούς. τίθενται γὰρ οὐ μόνον τέλειαι παραβάσεις, ἀλλὰ καὶ

3. Τὸ ἱμάτιον δίδωσιν add. R.V.
ib. ἐξ ἑτοίμου καὶ om. R.V.
4. αὐτομολήσῃ R.V. χωρίσῃ (id est χωρήσῃ) Ald.
ib. αὐτοὺς R.V. αὐτὸν Ald.
ib. καὶ μὴ—δρόμῳ om. R.V.
ib. τῷ] ἐν τῷ Hermannus.
5. Scholion metricum om. R.V.
10. διδασκόμενοι ἐκολάζοντο] κολαζόμενοι παιδεύονται V.
12, 13. ἀντὶ τοῦ—μαχαιρῶν R.V. ὀξύνεις, ἢ εὔστομον ποιήσεις. ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν Ald.
12. φησὶ] φαμὲν V. om. Suidas s. στομώσῃς.
13. ἀντὶ τοῦ addidi ex Suida.
ib. θατέρα δὲ ἀντὶ τοῦ R. ἐπὶ θάτερα Ald. om. V.
14. τὸ μὲν ἕτερον] τὸ ἡμέτερον V.
ib. γνάθου—δικιδίοις] γνάθου. τουτέστι δυνατὴν καὶ ἔμπειρον εἰς τὸ λέγειν δίκας. ἀντὶ τοῦ ἔμπειρον εἰς τὸ λέγειν δίκας. ὑποκοριστικὸν δὲ τὸ δικηδίοις V.
ib. οἵαν δικιδίοις om. R.
15. Post δικιδίοις addit R. ἀντὶ τοῦ δυνατὴν καὶ ἔμπειρον εἰς τὸ λέγειν δίκας.
17, 18. τὸ ἀμέλει—πεπαιδευμένους] παρέλκει τὸ ἀμέλει. πάντως δὲ τοὺς πεπαιδευμένους δεξιοὺς ἔλεγον V.
20. Scholion metricum om. R.V.
21. ἐπίρρημα Hermannus. ἐπίρρημα τῆς παραβάσεως Ald.

μέρη τινὰ αὐτῶν. ἔστι δὲ τὸ παρὸν ἐπίρρημα ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ιϛ'· ὧν τελευταῖος

κᾂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον ἢ κρῖναι κακῶς.

τόνδε τὸν χορόν: Τὸν τῶν Νεφελῶν. τοὺς κριτὰς ἀντὶ τοῦ οἱ κριταί. Ὅμηρος "μητέρα δ' εἴ οἱ θυμὸς ἐποτρύνει γαμέεσθαι" ἀντὶ τοῦ ἡ μήτηρ.

1114. ὠφελῶσ' ἐκ τῶν δικαίων: Συναγωνίζωνται καὶ συλλαμβάνωνταί τι κατὰ τὸ δίκαιον. ἵνα δὲ μὴ χάριτι δοκῇ νικᾶν, καὶ τὴν ψῆφον φέρειν, ἀλλὰ ταῖς ἀληθείαις, προσέθηκε τοῦτο.

[1115. νεᾶν: Ἀροτριᾶν. ἐν ὥρᾳ: Εὐκαίρως. Gl. Br. ἀντὶ τοῦ ἀροτριᾶν καὶ σπείρειν. R.V. ἐν ὥρᾳ: Ἀντὶ τοῦ ἐν καιρῷ. V.]

1117. τεκούσας: Χαριέντως εἶπε τὸ τεκούσας καὶ φυλάξαι ἐπὶ τῆς βλαστήσεως τῆς ἀμπέλου. λίαν γάρ εἰσιν εὐχερεῖς. αὐχμὸν τὴν ξηρασίαν. τὸ δὲ πιέζειν ἀντὶ τοῦ καταπονεῖν, ἀφανίζειν.

1123. σφενδόναις: Ὅτι ἡ χάλαζα ὡς λίθος ἐστίν. ἡ μεταφορὰ ἀπὸ τῶν λίθων καὶ τῶν σφενδονῶν. θέλει δὲ τὴν χιόνα εἰπεῖν.

4–6. τὸν τῶν—μήτηρ R. αἰτιατικὴ δὲ ἀντὶ εὐθείας, ἀντὶ τοῦ οἱ κριταί. Ὅμηρος, μητέρα δ' εἴ τοι θυμὸς ἐποτρύνει γαμέεσθαι, ἀντὶ τοῦ ἡ μήτηρ Ald. In V. est ἀντὶ εὐθείας αἰτιατικὴ ἀντὶ τοῦ οἱ κριταί. Ὅμηρος, μητέρα δήτοι θυμὸς ἐποτρύνει, ἀντὶ τοῦ ἡ μήτηρ.

5. Ὅμηρος] Od. Α, 275.

ib. εἴ οἱ] ἤτοι R.

ib. ἐποτρύνει] ἐφορμᾶται apud Homerum.

ib. γαμέεσθαι om. R.V.

12, 13. Χαριέντως—εὐχερεῖς om. R. Est recentioris grammatici annotatio, quem vitiosa decepit scriptura τεκούσας, de qua in annotatione ad hunc versum dixi.

12. τὸ add. V.

13. εἰσιν εὐχερεῖς V. ἐστιν εὐχερές Ald.

ib. ἐστιν εὐχερές] Sic etiam Aldina: sed hæc infra in ea pagina, quæ v. 1381–1411. Br. continet, fragmentum habet scholii in vulgatis edd. omissum. Id sic scriptum est: τεκούσας καὶ φυλάξαι ἐπὶ τῆς βλαστήσεως τῆς ἀμπέλου· λίαν γὰρ ἐστιν εὐχερὲς ῥεῖν ἀλλὰ ταῖς ἀληθείαις, προσέθηκε τοῦτο. Inde ῥεῖν addidimus, quod de fructibus dicitur. Postrema verba e scholio ad v. 1114. petita sunt. HERM. Mirum est quod de editione Aldina narrat Hermannus. Neque enim in meo neque in quinque aliis quæ inspicere licuit editionis Aldinæ exemplaribus ullum alterius quod Hermannus dicit scholii vestigium vidi. Judicet igitur de hac re qui F. A. Wolfii exemplar Aldinum possidet, quo usus est Hermannus quum scholia ederet. Illud autem εὐχερὲς ῥεῖν, quod etiam Schneidero fraudem fecit ad Theophrast. vol. 3. p. 398, ex εὐχερεῖς esse corruptum docet codicis Veneti scriptura.

13, 14. αὐχμὸν—καταπονεῖν R.V. τὸ γὰρ αὐχμὸν πιέζειν ἀντὶ τοῦ ξηρασίαν καταπονεῖν Ald.

ib. αὐχμὸν et τὸ δὲ et ἀντὶ τοῦ om. R.

15. Ὅτι—ἐστίν om. R.V.

16. ἀπὸ R.V. ἐκ Ald.

οὐκ ἀκύρως δὲ τὸ παιήσομεν, ἐπειδὴ ἀνθούντων τῶν καρπῶν ἡ χιὼν γίνεται. [ἀποκεκόψονται: 'Αφ' ἡμῶν. Gl. E.]

[1124. ζημία γὰρ τοῖς πλινθεύουσιν, ἐπειδὰν ὑετὸς γένηται. R.V.]

[1125. τὰς ἐν τῇ στέγῃ κεραμίδας. V.]

1127. τὴν νύκτα: Ὅτε ἀνάγκη ἐστὶ μετελθεῖν τὴν νύμφην.

1128. ἐν Αἰγύπτῳ: [Ὡς ἐπὶ κατάρας, ἐπεὶ ὡς λῃστευομένη διεβάλλετο ἡ Αἴγυπτος. ἢ βουλήσεται πορρωτάτω εἶναι, ὅπου αὐτὸν οὐ βλάψει ὁ ὑετός· ἐπεὶ ἐν Αἰγύπτῳ δοκεῖ μὴ ὕειν, ὥς φησιν Ἡρόδοτος "ὕσθησαν γὰρ τότε αἱ Θῆβαι, οὐδαμὰ πρότερον ὑσθεῖσαι." R.V.] ἐπεὶ μὴ ὕειν δοκεῖ αὐτόθι, ὡς Ἡρόδοτος. ἐκεῖ οὖν θελήσει τυχεῖν, ἔνθα μὴ βλαβήσεται ἐκ τῶν Νεφελῶν, ὡς πορρωτάτω τῆς πατρίδος. ἢ ὡς ἐπὶ κατάραν. ἐπεὶ καταρᾶται. ἐλέγετο γὰρ λῃστεύεσθαι ἡ Αἴγυπτος. Αἰσχύλος

δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.

καὶ Θεόκριτος ἐν Ἀδωνιαζούσαις

οὐδεὶς κακοεργὸς
δαλεῖται τὸν ἰόντα παρέρπων Αἰγυπτιστί.

καὶ αἰγυπτιάζειν τὸ ὕπουλα πράττειν.

1129. πέμπτη: Κορωνὶς εἰσιόντων τῶν ὑποκριτῶν καὶ ἔκθεσις παρὰ τοὺς τετραμέτρους. ἔστι γὰρ τὰ ἑξῆς ἰαμβικὰ τρίμετρα κγ'. ἐξέρχεται δὲ ὁ Στρεψιάδης ἀριθμῶν τὰς ἡμέρας. οὕτω δὲ ἠρίθμουν Ἀθηναῖοι· [ἀπὸ τῆς νουμηνίας ὁμοίως ἡμῖν ἀριθμοῦσιν, α' β' γ' δ' ἕως ι'· εἶτα ια' ιβ', τρίτη ἐπὶ δέκα, τετάρτη ἐπὶ δέκα ἕως εἰκάδος· εἶτα ἣν ἡμεῖς εἰκάδα πρώτην, ἐνάτην φθίνοντος αὐτοί φασιν, εἶτα

1. ἐπειδὴ] ἐπειδὴ γὰρ V. ἐπειδὰν γὰρ R.
2. γίνεται] γένηται R.
6. Ὅτε—νύμφην om. R.V.
7. Ὡς ἐπὶ κατάρας om. V.
ib. διεβάλλετο V. et Suidas s. βουλήσεται. διαβάλλεται R.
9. ὥς φησιν] φησιν om. R.
ib. Ἡρόδοτος] 3, 10. Herodoti verba, quæ om. R, sic scripta sunt apud ipsum, ὕσθησαν γὰρ Θῆβαι αἱ Αἰγύπτιαι οὔτε πρότερον οὐδαμὰ ὑσθεῖσαι—.
10. τότε Suidas. πρότερον V.
ib. οὐδαμὰ] οὐ θαμὰ V. οὐδαμᾶ Suidas.
11–19. Scholion Aldinum ἐπεὶ μὴ—ὕπουλα πράττειν om. R.V.
16. Ἀδωνιαζούσαις] 47.
20, 21. Κορωνὶς—κγ' om. V.
20. ἔκθεσις] εἴσθεσις R.
21. ἔστι] εἰσὶ R.
22. δὲ om. V.
ib. ἠρίθμουν] τὰς ἡμέρας addit V.
24. ἕως ι] ἕως ι τρίτης V.
25. εἰκάδα πρώτην] κα V.
ib. ἐνάτην] ἑνάτην V. ἐννάτην R.G.
ib. φθίνοντος om. V.

ὀγδόην ἕως ἕνης τε καὶ νέας. τὴν δευτέραν καὶ εἰκάδα ἐνάτην φθίνοντος Ἀθηναῖοι ἐκάλουν καὶ τὴν τρίτην ὀγδόην καὶ τὴν τετάρτην ἑβδόμην καὶ τὴν πέμπτην ἕκτην καὶ τὴν ἕκτην πέμπτην καὶ τὴν ἑβδόμην τετάρτην καὶ τὴν ὀγδόην τρίτην καὶ τὴν ἐνάτην εἰκάδα δευτέραν φθίνοντος, εἶτα τὴν τριακάδα ἕνην τε καὶ νέαν, ἐν ᾗ οἱ τόκοι ἀπῃτοῦντο. R.V.] τὰς μὲν ἀπὸ νουμηνίας ὁμοίως ἡμῖν, λέγοντες πρώτη ἱσταμένου, δευτέρα ἱσταμένου, μέχρι τῶν δέκα· μεθ' ἣν πρώτην ἐπὶ δέκα, εἶτα δευτέραν ἐπὶ δέκα. καὶ ἑξῆς ἄχρι εἰκοστῆς· ἡ αὐτὴ δὲ καὶ εἰκάς· μεθ' ἣν ἑνδεκάτην φθίνοντος, ἢ δεκάτην, ἢ ἐνάτην, ἢ ὀγδόην, ὡς ἔτυχεν ἔχων ὁ μήν· καὶ ἑξῆς ἀναλύοντι ἄχρι δευτέρας. οὕτω γὰρ Ἀθηναῖοι ἠρίθμουν, οὐ προστιθέντες, ἀλλ' ἀφαιροῦντες καὶ ἀναλύοντες μέχρι τριακάδος, Σόλωνος ἡγησαμένου, πρὸς τὰ τῆς σελήνης φῶτα οὕτω μειούμενα. μετὰ δὲ δευτέραν ἀκτέον ἕνην, τουτέστι τὴν τελευταίαν τοῦ μηνὸς ἡμέραν. Ἄλλως. πέμπτη, τετράς· οὐ προσέθηκε τὸ φθίνοντος. οὕτω γάρ, φασιν, Ἀθηναῖοι μετροῦσιν· ἀπὸ πρώτης ἕως δευτέρας προστιθέασι τὸ ἱσταμένου· ἀπὸ τρισκαιδεκάτης ἕως ἐννεακαιδεκάτης τὸ ἐπὶ δέκα. εἶτα ἡ μεγάλη εἰκάς. ἀπὸ εἰκοστῆς πρώτης ἕως εἰκοστῆς ἐνάτης τὸ φθίνοντος. τὴν δὲ τριακοστήν, ἕνην τε καὶ νέαν. ἐπεὶ μετέχει τοῦ τε παλαιοῦ καὶ τοῦ νέου φωτός. ταυτὸν δὲ καὶ Δημητριάδας προσηγόρευσαν. τὴν οὖν εἰκοστὴν δευτέραν ἐκάλουν ἐνάτην φθίνοντος· τὴν εἰκοστὴν τρίτην ὀγδόην. τὴν εἰκοστὴν τετάρτην ζ'· τὴν εἰκοστὴν πέμπτην ϛ'· τὴν εἰκοστὴν ἕκτην ε'· τὴν εἰκοστὴν ἑβδόμην δ'· τὴν εἰκοστὴν ὀγδόην γ'· τὴν εἰκοστὴν ἐνά-

ib. αὐτοί φασιν] αὐτός φησιν R.

5. τριακάδα] λ V.

ib. Quæ post ἕνην τε καὶ sequuntur in R. legi non possunt.

6 – p. 551. l. 4. τὰς μὲν—τετρὰς λέγεται om. R.V. In Θ. scholion hoc est, οἱ ἀττικοὶ οὕτω διῄρουν τὸν μῆνα, πρώτη ἱσταμένου, δευτέρα ἱσταμένου μέχρι τὸν δέκα. εἶτα μία ἐπιδέκα, δύο ἐπιδέκα μέχρι τῆς ἐννεακεδεκάτης. τὴν δὲ εἰκοστὴν ἔλεγον μεγάλην εἰκάδα. εἶτα ἀναποδίζοντες τὸν ἀριθμὸν τὴν μὲν κα δεκάτην ἔλεγον φθείνοντος, τὴν δὲ εἰκοστὴν δευτέραν θ', τὴν δὲ κγ' ή. καὶ καθεξῆς οὕτω τὸ φθείνοντος περιτιθέντες, ἤγουν ζ' ϛ' ε' δ' καὶ τρίτη καὶ β' ἤγουν κθ'. εἶτα τὴν τριακοστὴν ἕνην καὶ νέαν ἔλεγον, ἐπεὶ ἐν αὐτῇ τέλος τε καὶ ἀρχὴ ἐκ τῆς σελήνης ἀριθμούμενος μὴν ἔχει. τὴν κα' ι', τὴν κβ' θ', τὴν κγ' ή, τὴν κδ' ζ', τὴν κε' ϛ', τὴν κϛ' ε', τὴν κζ' δ', τὴν κή γ', τὴν κθ' β' καὶ τριακοστὴν ἕνην καὶ νέαν. Conf. Lexicon rhetor. in Dobræi appendice ad Photium p. 668.

12. Post ἡγησαμένου Hermannus posuit quæ in fine proximi scholii leguntur ὥστε ἡ μὲν—τετρὰς λέγεται.

20. ταυτὸν] ταύτην Hermannus.

ib. Δημητριάδα] Vid. Harpocrat. s. ἕνη καὶ νεά.

21. ἐνάτην] ἐννάτη Ald.

την β'· εἶτα τὴν τριακοστὴν ἕνην τε καὶ νέαν, ἐν ᾗ οἱ τόκοι ἀπητοῦντο, ἐπεὶ ἐν αὐτῇ συντελεῖται ὁ μὴν, καὶ ἀρχὴν ἔχει τοῦ ἑτέρου μηνὸς τῆς σελήνης. ὥστε ἡ μὲν εἰκοστὴ ἕκτη παρ' αὐτοῖς πέμπτη ἀκούει, ἡ δὲ εἰκοστὴ ἑβδόμη τετρὰς λέγεται.

1132. *ἕνη καὶ νέα*: Οὕτω παρ' Ἀθηναίοις ἡ παρ' ἡμῖν τριακὰς, ἡ νεομηνία· ἐπειδὴ συμβαίνει ἐν αὐταῖς καὶ λήγειν τὴν σελήνην καὶ γεννᾶσθαι. τότε δὲ μὴ ταχέως ἀποδιδόντας τοὺς τόκους ἢ τὰ δάνεια ἀπῄτουν, ὡς ὑπερώρους γενομένους. διὸ λυπεῖσθαί φησιν ὁρῶν ἐνισταμένην ἕνην καὶ νέαν. πέμπτη δὲ αὕτη ἐστὶ κϛ' φθίνοντος. ἕνη καὶ νέα, ἡ νουμηνία. διὰ μὲν οὖν τὸ παρελθεῖν τὸν μῆνα, ἕνη, διὰ δὲ τὴν ἀρχὴν, νέα. Ἄλλως. ἡ καλουμένη νουμηνία, διὰ τὸ τοῦ μὲν παρελθόντος μηνὸς εἶναι τέλος, ἀρχὴν δὲ τοῦ ἐνισταμένου. τὰς δὲ τριάκοντα ἡμέρας τῆς σελήνης εἰς τρεῖς δεκάδας Ἀθηναῖοι διαιροῦσι· καὶ τὴν μὲν πρώτην ὡς ἡμεῖς ἀπαριθμοῦνται, τὴν δὲ δευτέραν οὕτως· πρώτη ἐπὶ δέκα, δευτέρα ἐπὶ δέκα, ἄχρι τοῦ θ'. τὴν γὰρ εἰκάδα οὕτω καλοῦσι. [τὴν δὲ εἰκάδα πρώτην ὑστέραν δεκάδα·] καὶ τὴν μετ' αὐτὴν θ' φθίνοντος, ἕως β' φθίνοντος, ἥτις ἐστὶν κθ'. τὴν δὲ τριακάδα ἕνην τε καὶ νέαν φασί.

1134. *θείς μοι πρυτανεῖα*: Τὰς γὰρ δεκάτας τοῦ χρέους κατα-

5, 6. οὕτω—τριακὰς, ἡ νεομηνία R.V. et Suidas s. ἕνη καὶ νέα. ἡ νουμηνία· οὕτω—τριακὰς Ald.

6, 7. αὐταῖς καὶ λήγειν—γεννᾶσθαι R.V. et Suidas. αὐτῇ καταλήγειν—γενέσθαι Ald.

7. μὴ R.V. et Suidas. τοὺς μὴ Ald.

8. ὑπερώρους] ὑπερόρους R.V. Ald. et Suidas. Correctum in editione Londinensi Thesauri Steph. p. 6957. ὑπερημέρους Ernestius.

ib. γενομένους addidi ex R.V. et Suida.

ib. φησιν] φασιν V.

ib. ὁρῶν Suidas. ὡς ὁρῶν Ald. quæ om. V. In R. literæ evanuerunt inter φησὶ et ἕνην positæ.

9. πέμπτη δὲ (δὲ om. R.) αὕτη ἐστὶ κϛ' (κγ' V.) φθίνοντος R.V. ἡ δὲ πέμπτη ἐστὶ κϛ' φθίνοντος Suidas. ἡ δέ ἐστιν ἡ καλουμένη εἰκὰς φθίνοντος Ald. Sequentia om. R.V.

9–12. ἕνη καὶ—ἐνισταμένου om. Suidas.

12. τὰς δὲ] τὰς γὰρ Suidas.

13. διῄρουν Ἀθηναῖοι Suidas.

14. ἀπαριθμοῦντες Suidas.

15. τοῦ θ'] τῆς ιθ' Suidas.

16. τὴν δὲ εἰκάδα πρώτην ὑστέραν δεκάδα] τὴν δὲ κα' ὑστέραν δεκάδα Suidas. Seclusi hæc verba.

ib. μετ' αὐτὴν Suidas. μετὰ ταύτην Ald.

18. τε om. Suidas.

19. δεκάτας V. et Suidas s. πρυτανεῖον. δεκάδας R. Ald. Conf. Polluc. 8, 38.

ib. καταβάλλοντες] καταβάλοντες (hoc accentu) G. ἀποβάλλοντες R.

βάλλοντες τοῖς πρυτάνεσιν εἰσῆγον τοὺς χρεώστας. πρυτανεῖα δὲ τὰ νῦν καλούμενα παρὰ Ῥωμαίοις σπόρτουλα.

1140. *ὀλίγον γάρ μοι μέλει*: Ἀντὶ τοῦ, *οὐδὲ ὀλίγον φροντίζω λοιπὸν τῶν δανειστῶν διὰ τὸ μεμαθηκέναι δηλαδὴ τὸν υἱὸν τὸν ἥττω λόγον, ᾧ περιεγένετο τῶν δίκαια λεγόντων.* [*δικαζέσθων*: Ἀντὶ τοῦ *δικαζέσθωσαν κατὰ ἀποκοπήν.* Victor.]

[1144. *ἠμὶ*: Φημὶ, *ἐνίημι.* Gl. Victor.]

1145. *πρῶτον λαβέ*: Θύλακον *αὐτῷ ἐπιδίδωσιν ἀλφίτων. καὶ γὰρ ἄνω εἶπε*

διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον.

[*τουτονὶ*: Τὸν *θύλακον, ὅς ἐστι μεστὸς ἀλφίτων.* Gl. C. *τὸν πλακοῦντα.* Gl. D.]

[1146. *ἐπιθαυμάζειν*: Ἀντὶ *τοῦ δώροις τιμᾶν.* R. *θαυμαστῶς τιμᾶν καὶ δεξιοῦσθαι.* Junt. Gl. Br. *θαυμάζειν*: Θαυμαστῶς *τιμᾶν καὶ ἀξιοῦσθαι.* Gl. Victor.]

1148. *ἀρτίως*: Ὅτι *διαφέρει τὸ ἄρτι τοῦ ἀρτίως παρὰ* Ἀττικοῖς. *ἄρτι μὲν γὰρ ἀντὶ τοῦ νῦν, ἀρτίως δὲ ἀντὶ τοῦ πρὸ ὀλίγου.*

1. *πρυτάνεσιν* Suidas. Legebatur *πρυτανεῦσιν.*

ib. *χρεώστας* R.V. et Suidas. *χρεωστοῦντας* Ald.

1, 2. *πρυτανεῖα—σπόρτουλα* om. R.

1. *πρυτανεῖα δὲ* om. V.

2. *τὰ νῦν καλούμενα* (*λεγόμενα* G.) —*σπόρτουλα* in principio scholii collocat V.

ib. *τὰ νῦν καλούμενα παρὰ Ῥωμαίοις σπόρτουλα*] Aliud erant apud Romanos *sportulæ*, et aliud *πρυτανεῖα* apud Athenienses: quæ proinde male scholiastes hic confundit. Nam *sportulæ* apud Romanos judicibus cedebant: *πρυτανεῖα* vero apud Athenienses ad fiscum, sive ærarium redibant. Vide præter alios Henr. Valesium in notas Maussaci ad Harpocrat. p. 252. et nos paulo inferius ad v. 1182. ubi rem hanc clarius exponimus. KUST. Vid. Casaubon. ad Athen. vol. 3. p. 395. ed. Schweigh., Schneiderum ad Xenoph. de republ. Athen. p. 107, Buttmannum in bibliotheca critica quæ Hildesiæ edebatur, a. 1821. fasc. 5. p. 394.

ib. Post *σπόρτουλα* addit Ald. *μέμνηται τῆς λέξεως καὶ Ἰσοκράτης ἐν τῇ πρὸς Καλλίμαχον παραγραφῇ. ἔστι δὲ καὶ παρὰ τοῖς ἄλλοις Ἀττικοῖς τὰ πρυτανεῖα. ἦν δὲ ἀργύριόν τι ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων καὶ ὁ διώκων. ἄλλως. δίκας, ἐκταγάς· αὗται γὰρ εἰς τὸ πρυτανεῖον συνήγοντο. τὸ δὲ ἦν δημόσιόν τι θησαυροφυλάκιον.* quæ om. R.V. Priora *μέμνηται—ὁ διώκων* illata ex Harpocratione s. *πρυτανεῖα.*

3. *ὀλίγον*] *ὀλίγον ἧττον* R.V.

5. *ᾧ*] *ὃς* V.

8. *αὐτῷ ἐπιδίδωσιν ἀλφ.* R.V. *ἀλφ. δίδωσιν αὐτῷ* Ald.

9. *ἄνω*] 669.

13. *θαυμαστῶς*] *θαυμαστῇ* Junt.

16. *Ὅτι* add. V. Totum scholion om. R.

17. *δὲ ἀντὶ τοῦ πρὸ* V. *δὲ πρὸ* Ald.

1149. Ἀπαιόλη: Πέπλακεν ὄνομα δαίμονος, σωματοποιήσας αὐτήν, παρὰ τὸ ἀπαιολεῖν καὶ κινεῖν καὶ στερεῖν· ἤ τινα τοιαύτην, ὥς ἂν εἴποι τις, ὦ Ἀδικία. Ἀριστοφάνης δὲ ὀξύνεσθαί φησι τὴν ἐσχάτην, Ἀπαιολή. τὸ δὲ ὥστε πρὸς τὸ μεμάθηκε. τὸ γὰρ ὦ παμβασίλεια διὰ μέσου. [ἀποστέρησις. R.]

[1151. ἐρωτηματικῶς. R.]

1153. βοάσομ᾽ ἄρα: Διπλῆ καὶ εἴσθεσις εἰς μέλος ἀμοιβαῖον τῶν ὑποκριτῶν εἰκοσάκωλος. τὸ μὲν πρῶτον ἐξ ἰαμβικῆς βάσεως, τῶν ἄρα δύο βραχειῶν ἀντὶ μιᾶς μακρᾶς λογιζομένων, καὶ τροχαϊκοῦ πενθημιμεροῦς. τὸ δεύτερον ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ ἐφθημιμεροῦς. τὰ δὲ ἑξῆς δύο ἰαμβικὰ τρίμετρα ἀκατάληκτα. μεθ᾽ ἃ δακτυλικὰ πενθημιμερῆ τρία. τὸ ὄγδοον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χορείου δίμετρον. τὸ ἔνατον ἐξ ἐπιτρίτων τρίτων δίμετρον ὑπερκατάληκτον· τὸ δέκατον ἐκ διτροχαίου καὶ ἀντισπάστου, εἴτε ἐπιτρίτου τετάρτου καὶ διιάμβου. τὰ ἑξῆς δύο χοριαμβικὰ δίμετρα βραχυκατάληκτα. τὸ τρισκαιδέκατον ἐκ χοριάμβου καὶ σπονδείου. τὸ ιδ′ σπονδειακὴ ταυτοποδία. τὸ ιε′ ἐκ παίωνος τετάρτου καὶ ἰάμβου. τὸ ις′ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ιζ′ δακτυλικὸν δίμετρον ἀκατάληκτον. τὸ ιη′ ὅμοιον τῷ ιε′. τὰ ἑξῆς δῆλα. ζητητέον δὲ περὶ πάντων ἀκριβέστερον. παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου. ἐπιφέρει γὰρ

ἰώ, πύλαισιν ἤ τις ἐν δόμοις;

καὶ Φρύνιχος Σατύροις

βοάσομαί τἄρα τὰν ὑπέρτονον
βοάν.

ὑπέρτονον δὲ, μεγάλην, ὑπέροχον. φησὶ δὲ, εἰ οὕτως ὁ παῖς ἐκπε-

1. Scholion v. 1149. om. R.V.

5. ἀποστέρησις] ἀποστερήσεις R.

7–20. Διπλῆ—ἀκριβέστερον om. R.V.

7. καὶ εἴσθεσις] Aberat καὶ.

14. καὶ ἀντισπάστου Hermannus. ἀντισπαστικοῦ Ald.

19. ιε′] Legebatur ις′, quod falsum est. Scholiastes videtur legisse ut nos emendavimus, ἄπιθι σοι λαβών. Atque ita hæc verba eodem metro sunt, quo illa, ἄϊε σου πατρός, in quibus scholiastes primam in ἄϊε corripuit. HERM.

20. παρὰ] ἄλλως. παρὰ Ald.

ib. παρὰ τὰ] ταῦτα V.

ib. Πηλέως Εὐριπίδου] τοῦ πηλέως σοφοκλέους V.

20–24. ἐπιφέρει—βοάν om. V.

21. ἤ τις Hermannus. Scribebatur ἦτις.

ib. ἐν om. R.

22–24. καὶ Φρύνιχος—βοάν om. R.

23. τἄρα Hermannus. γὰρ ἄρα Ald.

25–p. 554, 2. ὑπέρτονον — Δωρίδι V, nisi quod ὑπέρτονον δὲ omittit. χορικῇ περιπλοκῇ εἴρηται καὶ δια-

παίδευται, μέγιστον ὑπὸ χαρᾶς ἐκβοήσομαι. εἴρηται δὲ διαλέκτῳ Δωρίδι.

[1154. ὦ 'βολοστάται: Δανεισταί. Gl. Victor.]

[1155. τἀρχαῖα: Τὰ κεφάλαια. Gl. C. D. τ' ἀρχεῖα: Οἱ γὰρ πρῶτοι τόκοι παρατεθέντος τοῦ δανείου κεφάλαια γιγνόμενοι τόκους ἄλλους γεννῶσι. Gl. Victor.]

1159. ἀμφήκει γλώττῃ: Ὡς ἀπὸ εὐθείας τῆς ἀμφήκης. ἀκολούθως τῷ

εὖ μοι στομώσεις αὐτόν.

[ἀμφήκει: Ἀμφοτέρωθεν ἠκονημένῃ. Gl. Victor.]

[1160. πρόβολος: Προβαλλόμενος, προστάτης, τεῖχος, ἀσφάλεια. R.V.]

[1161. ἀνιαρὸς: Βλαβερός. Gl. D.]

1162. λυσανίας: Λύων τὰς τοῦ πατρὸς ἀνίας. ἐκτεταμένως δὲ προενεκτέον τὴν πρώτην καὶ τὴν τρίτην συλλαβήν. πρὸς δὲ τὴν ὀνοματοποιίαν τὸν Σοφοκλέα μυκτηρίζει λέγοντα

Ζεὺς νόστον ἄγοι τὸν νικομάχαν,
καὶ πανσανίαν κατ' Ἀτρειδᾶν.

[1165. ὁ Εὐριπίδης ἐν τῷ τῆς Ἑκάβης δράματι δι' αὐτῆς φησιν· ὦ παῖ παῖ, Πολυξένη δηλονότι, ἔξελθ', ἔξελθ' οἴκων. Schol. LB.]

[1172. τὸ ἰοῦ ἰοῦ ἐπὶ χαρᾶς περισπᾶται. Ἄλλως. ἰοῦ ἰοῦ. διπλῆ, εἶτα καὶ εἴσθεσις. εἰς προαναφώνησιν τὸ ἰοῦ ἰοῦ, καὶ ἴαμβοι τρίμετροι ε' ἐν εἰσθέσει. R.V.]

1173. χροίαν: Ὡς ἐκ τῆς ἀσκήσεως ὠχριάσαντος. οἱ Ἀττικοὶ δὲ παροξύνουσι τὴν χρόαν.

λέκτῳ Δωρίδι. ὑπέρτονον—ἐκβοήσομαι Ald. Totum scholion om. R.

25. (p. 553.) οὕτως V. οὗτος Ald.

7–9. Ὡς—αὐτόν] παρὰ τὰ εἰρημένα ὑπ' αὐτοῦ, εὖ μοι στομώσεις αὐτόν. ἀπὸ εὐθείας τῆς ἀμφήκης V.

7. ἀκολούθως τῷ] ἀκολούθως τὸ R. ἀκόλουθον δὲ τὸ Ald.

9. αὐτόν R.V. αὐτὸν ἐπὶ μὲν θάτερα οἷαν δικιδίοις Ald.

11. Προβαλλόμενος om. V. Idem τὸ δὲ πρόβολος.

15. προενεκτέον] προενεγκτέον V. προσενεκτέον R. προσενεγκτέον Ald.

15–18. πρὸς—Ἀτρειδᾶν om. R.V.

17. Ζεὺς νόστον ἄγοι τὸν Suidas s. λυσανίας. Ζεῦ ἄνοτος ἄγοιτο Ald.

18. κατ' Ἀτρειδᾶν Bentleius. Legebatur καὶ Ἀτρείδαν.

21. ἰοῦ ἰοῦ] ἰοὺ ἰοὺ R. ἰῶ καὶ τὸ ἰοῦ Harlei. 5.

21, 22. Ἄλλως—εἶτα καὶ om. R.

22. εἰς προαναφώνησιν] εἰ πρὸς ἀναφώνησιν R.

24. Ὡς om. V.

ib. ὠχριάσαντα V.

ib. οἱ om. V.

25. χρόαν V. χροιάν Ald.

1174. *ἰδεῖν εἰ*: λείπει ἡ εἰς· ἵν' ᾖ, εἰς τὸ ἰδεῖν. ἐξαρνητικὸς δὲ ἀρνεῖσθαι δυνάμενος. [*ἰδεῖν*: Εἰς τὸ ἰδεῖν. Gl. Victor.]

1175. *ἀτεχνῶς*: Ἄγαν ἀκριβῶς. ἐπανθεῖ δὲ, πλεονάζει, ἀκμάζει. [*ἐπανθεῖ*: Ἀκμάζει. Gl. Victor.]

τί λέγεις σύ: Τῷ περὶ τὴν συνήθειαν καὶ ἀνὰ χεῖρα ἐχρήσατο. εἰώθαμεν γὰρ ἐν ταῖς τῶν ἐναντίων διαλέξεσι λέγειν, τί λέγεις σύ. ὅτε γὰρ τοὺς ἐναντίους καταπλῆξαι βουλοίμεθα, τῇ τοιαύτῃ φωνῇ χρώμεθα· οἵ τε ἀναισχυντοῦντες παρὰ Ἀθηναίοις ἀνθιστάμενοι ἔλεγον, τί λέγεις σύ.

1178. *βλέπος*: Ἀντὶ τοῦ πανοῦργον τὸ βλέμμα. οἱ γὰρ Ἀθηναῖοι ἐπὶ πανουργίᾳ καὶ ἀναιδείᾳ διεβάλλοντο. τὸ δὲ χ πρὸς τὸν σχηματισμὸν τῆς λέξεως. [*Ἀττικὸν βλέπος*: Ἤγουν βλέμμα καὶ ἦθος, οἷον οἱ Ἀθηναῖοι ἔχουσι, δριμὺ καὶ τιτανῶδες. διαβάλλει δὲ αὐτοὺς ὡς θρασεῖς καὶ ἑτοίμους προδήλως εἰς τὸ ἀδικεῖν. Schol. LB.]

[1179. *διὰ τὰ χρέα*. R.]

1181. *ἕνη γάρ ἐστιν*: Ἀντιλέγει τῷ ὁμολογουμένῳ, ὅτι οὐκ ἔστιν ἕνη καὶ νέα μία ἡμέρα, ἀλλὰ δύο, ἕνη μὲν ἡ τριακὰς, νέα δὲ ἡ νου-

1. Scholion v. 1174. om. V.
ib. *εἰς, ἵν' ᾖ* om. R.
1, 2. *ἐξαρνητικὸς—δυνάμενος* om. R.
3–9. *Ἄγαν—ἔλεγον, τί λέγεις σύ*] *εἰώθασι—λέγειν τί λέγεις σύ; καταπλῆξαι αὐτοὺς βουλόμενοι. ἀκριβῶς πάνυ. πλεονάζει* R. *τὸ παρὰ τὴν συνήθειαν—λέγειν τί, καταπλῆξαι αὐτοὺς βουλόμενοι. τὸ δὲ ἀτεχνῶς ἀντὶ τοῦ ἄγαν ἀκριβῶς πάνυ. τὸ δὲ ἐπανθεῖ ἀντὶ τοῦ πλεονάζει, ἀκμάζει* V.
5. *τὸ παρὰ τὴν συνήθειαν κἀνὰ χεῖρα* Suidas s. *τί λέγεις σύ*, omisso *ἐχρήσατο*.
10. *Ἀντὶ τοῦ* om. V.
ib. *πανοῦργον*] *κακοῦργον* Suidas l. c. et s. *βλέπος*.
ib. *τὸ* om. R.V.
10, 11. *οἱ γὰρ—διεβάλλοντο* addidi ex R. In V. est *οἱ γὰρ ἀθηναῖοι διαβάλλονται ἐπὶ ἀναιδείᾳ*. Apud Suidam (s. *βλέπος*) *οἱ γὰρ Ἀ. ἐ. ἀ. διεβάλλοντο*.
11, 12. *τὸ δὲ—λέξεως* om. R. In scholio v. 1181. post *ὁμολογουμένῳ* habet V.
12. Post *λέξεως* addit Ald. *τοὺς μὲν γὰρ Ἀττικοὺς ἐπὶ ἀναιδείᾳ διέβαλλον, τοὺς δὲ Ἀθηναίους ἐπὶ ἀναιδείᾳ καὶ τῷ ἱκανοὺς εἶναι λέγειν*. Apud Suidam (s. *τί λέγεις σύ*) *τοὺς γὰρ Ἀθηναίους ἐπὶ ἀναιδείᾳ καὶ τῷ δραστικοὺς εἶναι διέβαλλον*.
17. Post *ὁμολογουμένῳ* addit V. *τὸ δὲ χ πρὸς τὸν σχηματισμὸν τῆς λέξεως* (hæc ex superiore scholio) *ἕνην τε καὶ νέαν*.
18. *ἕνη καὶ νέα μία ἡμέρα* R.V. *ἡμέρα μία ἕνη καὶ νέα* Ald.
18 – p. 556. l. 4. *ἕνη μὲν ἡ—δημοσίῳ* R.V. Legebatur cum Ald. *ὅτι οὐ δυνατὸν τὰς δύο ἡμέρας μίαν γενέσθαι· καὶ δείκνυσιν ὅτι οὐ τῆς μιᾶς ἡμέρας ἐστὶ τὰ ὀνόματα, ἀλλὰ τὸ μὲν τῆς λ' ἕνη, τὸ δὲ τῆς νουμηνίας ἡ νέα. Ἄλλως. παίζει ἐνταῦθα ἐρωτῶν, ἕνη*

μηνία. καὶ οὕτως ὁ Σόλων τὰς μὲν κλήσεις τῶν δικῶν τῇ τριακάδι φησὶ γίνεσθαι, ὅπως ὁ κληθεὶς εἰς δίκην ἔχῃ ὅλην τὴν τριακάδα εἰς τὸ σκέψασθαι τὰ περὶ ἑαυτοῦ, ὥστε ἐν ταυτῷ καὶ τὰ πρυτανεῖα θεῖναι ἐν τῷ δημοσίῳ.

1183. *ἀπολοῦντ' ἄρ'*: *Ζημιώσονται ταῦτα ἅπερ ἀναλώσουσι. σοφίζεται δὲ ὅτι οὐ δύναται εἶναί τις ἡμέρα ἡ αὐτὴ ἕνη καὶ νέα.*

οὐ γάρ ἐσθ' ὅπως: *Ἀδύνατον τὰς δύο ἡμέρας μίαν γενέσθαι, καὶ δείκνυσιν ὅτι οὐ τῆς μιᾶς ἡμέρας τὰ δύο ὀνόματα, ἀλλὰ τὸ μὲν τῆς τριακάδος ἡ ἕνη, τὸ δὲ τῆς νουμηνίας ἡ νέα.*

1186. *γραῦς τε καὶ νέα*: *Διὰ τοῦτο τὸ παράδειγμα τῆς γυναικὸς*

γάρ ἐστι καὶ νέα τίς ἡμέρα. ὥσπερ καὶ εἰς τὸ ἀλεκτρύαινα καὶ ἀλεκτρυών. ἡ αὐτὴ γάρ ἐστιν ἕνη καὶ νέα. ἡ γὰρ τοῦ μηνὸς πρώτη ἀρχή τέ ἐστι τῶν ἐπιλοίπων καὶ νέα. ἐκ ταύτης γὰρ τὰ τῆς σελήνης χωρεῖ πρὸς αὔξησιν. et ad v. 1191. *εἰς δύ' ἡμέρας*: *ἐγχειρεῖ λέγειν ὅτι οὐκ ἔστι μία ἡμέρα ἕνη καὶ νέα, ἀλλ' ὅτι δύο· ἕνη μὲν ἡ λ΄, νέα δὲ ἡ νουμηνία. τὰς οὖν κλήσεις τῶν δικῶν τῇ λ΄ φασὶ γενέσθαι, ὅπως ὁ κληθεὶς εἰς τὴν δίκην ἔχῃ τὴν τριακοστὴν ὅλην εἰς τὸ σκέψασθαι περὶ αὐτοῦ καὶ μὴ ἀποτομίᾳ ζημιωθῇ. ὥστε καλεῖσθαι καὶ τὰ πρυτανεῖα θεῖναι ἐν τῷ δήμῳ. οὐ χεῖρον δὲ καὶ τὰ παρὰ Πλουτάρχῳ περὶ Σόλωνος* (c. 25.) *παραθέσθαι· "συνιδὼν γάρ," φησι, "τοῦ μηνὸς τὴν ἀνωμαλίαν καὶ τὴν "κίνησιν τῆς σελήνης οὔτε δυομένῳ τῷ "ἡλίῳ πάντως, οὔτε ἀνίσχοντι συμ-"φερομένην, ἀλλὰ πολλάκις τῆς αὐτῆς "ἡμέρας καὶ καταλαμβάνουσαν καὶ "παρερχομένην τὸν ἥλιον, αὐτὴν μὲν "ἔταξε ταύτην ἕνην καὶ νέαν καλεῖ-"σθαι· τὸ μὲν πρὸ συνόδου μόριον αὐτῆς "τῷ παυομένῳ μηνὶ, τὸ δὲ λοιπὸν ἤδη "τῷ ἀρχομένῳ προσήκειν ἡγούμενος· "πρῶτος, ὡς ἔοικεν, ὀρθῶς ἀκούσας "Ὁμήρου λέγοντος,*

> *"τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ'*
> *"ἱσταμένοιο.*

"τὴν δ' ἐφεξῆς ἡμέραν νουμηνίαν ἐκά-"λεσεν· τὰς ἀπ' εἰκάδος οὐ προστιθεὶς, "ἀλλ' ἀφαιρῶν, καὶ ἀναλύων, ὥσπερ "τὰ φῶτα τῆς σελήνης ἑώρα, μέχρι "τριακάδος ἠρίθμησεν." Plutarchi locum quemadmodum hic de suo adjecit Musurus, ita priori scholio post *αὔξησιν* hæc addidit Francinus in ed. Junt. *Πλάτων* (scrib. *Πλούταρχος*) *περὶ τοῦ μὴ δεῖν δανείζεσθαι* (p. 827.), *τὴν δὲ τράπεζαν ἡ καλὴ Αὐλίς, ἢ Τένεδος ἀντικοσμήσει τοῖς κεραμέοις καθαρωτέροις οὖσι τῶν ἀργύρων. οὐκ ὄζει τόκου βαρὺ καὶ δυσχερὲς, ὡσπερεὶ οὐ καθ' ἡμέραν ἐπιρρυπαίνοντος τὴν πολυτέλειαν· οὐδὲ ἀναμνήσει τῶν καλανδῶν καὶ τῆς νεομηνίας, ἣν ἱερωτάτην ἡμερῶν οὖσαν ἀποφράδα ποιοῦσιν οἱ δανεισταὶ καὶ στύγιον.*

1. *οὕτως*] $\overset{\text{τ}}{\text{αὖ}}$ R.
ib. *τριακάδι*] λ V.
2. *τριακάδα*] λ V.
3. *ἑαυτοῦ*] *αὐτοῦ* V.
ib. *ταὐτῷ* V. *αὐτῷ* R.
5. *ζημιώσονται* R.V. *ζημιωθήσονται* Ald.
ib. *ταῦτα* add. R.V.
ib. *ἅπερ ἂν* R.
5, 6. *σοφίζεται—ἕνη καὶ νέα* om. R.V.
7–9. *Ἀδύνατον—ἡ νέα* hoc loco posui cum R.V. In scholio ad v. 1181. legi in Ald. supra dixi.
8. *μιᾶς ἡμέρας*] *μιᾶς εἰσι* G.
ib. *ἀλλὰ* om. G.
ib. *τῆς τριακάδος*] *τῆς* om. R.V.
10. Scholion v. 1186. om. R.V.

ἔθηκε, διὰ τὸ τὴν ἕνην ἀρχαίαν καὶ παλαιὰν καὶ ὥσπερ τέλος τοῦ ὄπισθεν μηνὸς ἡγεῖσθαι, νέαν δὲ τὴν πρώτην, ἀφ' ἧς ὁ μὴν ἄρχεται.

1189. *ὁ Σόλων ὁ παλαιός*: *Ἀρχὴ ἐστὶν αὕτη τῆς τοῦ νόμου διηγήσεως. Σόλων δὲ ὁ νομοθέτης. ἀπομιμεῖται δὲ τοὺς ῥήτορας τοὺς τὰ μὲν ὀνόματα τῶν νομοθετῶν λέγοντας, μὴ μέντοι τοὺς νόμους εἰδότας.*

1190. *τουτὶ μὲν*: *Οὐκ ἀνασχόμενος ὁ Στρεψιάδης ἀκοῦσαι πάντα τὸν λόγον ἐκ περικοπῆς τοῦτό φησι, τὸ, οὐδέν ἐστι τοῦτο πρὸς τὴν ἕνην τε καὶ νέαν.*

1191. *τὴν κλῆσιν*: *Τὴν ἐν ταῖς δίκαις εἰσαγωγήν. καλοῦνται γὰρ εἰς τὸ δικαστήριον.*

1193. *ἵν' αἱ θέσεις*: *Αἱ καταβολαὶ τῶν πρυτανείων· ὅπερ μισθὸς ἦν τῆς εἰσαγωγῆς τῆς δίκης. ἐδίδοτο γὰρ δραχμὴ τῷ δημοσίῳ.*

1194. *ἵν' ὦ μέλε*: *Ἵνα, φησὶ, παρόντες οἱ ἐναγόμενοι, εἰ συνίδοιεν ἑαυτοῖς ἀδικοῦσι καὶ ὀφείλουσι, τοῦ δικάζεσθαι ἀπαλλάττοιντο, διαλυσάμενοι πρὸς τοὺς δανειστὰς διὰ τῆς τῶν τόκων ἀποδόσεως· εἰ δὲ μὴ οἰκείᾳ ἀποδοῖεν γνώμῃ, ὑπὸ τοῦ δικαστηρίου λυποῖντο. εἰς σκέψιν οὖν αὐτοῖς, φησὶν, ἐδίδοτο ἡ τριακοστή. Ἄλλως. ἵνα πρὸ μιᾶς ἡμέρας παραστάντες οἱ κατηγορούμενοι διαλυθῶσιν· εἰ δὲ μὴ, τῇ νουμηνίᾳ δικάζοιντο. εἰς σκέψιν οὖν αὐτοῖς, φησὶν, ἐδίδοτο ἡ τριακάς.*

2. *πρώτην* Reizius. *τριακοστὴν πρώτην* Ald.

3. *ἐστὶν* add. R.V.

4. *Σόλων δὲ ὁ νομοθέτης* add. R.V.

ib. *ἀπομιμεῖται* R.V. *ἐκμιμεῖται* Ald.

ib. *δὲ* om. R.

ib. *τοὺς* R.V. *οἳ* Ald.

5, 6. *νομοθετῶν—εἰδότας* R.V. *νομοθετῶν ἴσασιν, οὐ μέντοι τοὺς νόμους* Ald.

10. *εἰσαγωγὴν*] *κλῆσιν δηλονότι* V. om. R.

ib. *καλοῦνται*] *καλεῖται* G.

11. *τὸ δικαστήριον* R.V. *τὰ δικαστήρια* Ald.

12. *αἱ καταβολαὶ* V. et Suidas s. *θέσεις*. *αἱ δίκαι καὶ αἱ μεταβολαὶ* Ald. In R. literæ supersunt *ταβολαὶ*, præcedentes evanuerunt.

ib. *ὅπερ* R.V. et Suidas. *ἅπερ* Ald. *ὅσπερ* Suidæ ed. Mediol.

13. *ἐδίδοτο γὰρ δραχμὴ* (*δραγμὴ* R.) *τῷ δημοσίῳ* R.V. (In R. evanuerunt verba *τῆς δίκης. ἐδίδοτο γάρ.*) *Ἄλλως. θέσεις τὰ δικαστήρια, παρὰ τὸ τοὺς δικαζομένους δραχμὴν τῷ δημοσίῳ διδόναι* Ald.

ib. *δραχμὴ*] Confudit cum *παραστάσει*. BOECKH. de œcon. civ. vol. I. p. 372.

14–18. *Ἵνα—Ἄλλως* om. R.V. Sed gl. *οἱ ἐναγόμενοι* habet R, *οἱ ἐναγόμενοι καὶ κατηγορούμενοι* V.

19. *ἡμέρας*] *ὅτε* V.

ib. *διαλυθῶσιν*] *καταλυθῶσιν* V.

20. *οὖν* om. V.

20, 21. *αὐτοῖς—τριακάς* R.V. *αὐτοῖς ἡ τριακοστὴ συνεχωρεῖτο, ἵνα παρόντες τῇ κλήσει συνίδοιεν τὰς ἡμέρας,*

[1196. ἀντὶ τοῦ ἄνευ δίκης. R.V.]

1197. ὑπανιῷντο: Ἀντὶ τοῦ μετὰ βίας ἀπαιτοῖντο, μαστίζοιντο.

1198. διὰ τί οὐκ ἔμεινε τὸ ἔθος, ἀλλὰ τῇ τριακάδι καταβάλλουσι, δέον τῇ νουμηνίᾳ;

1199. ἕνῃ τε καὶ νέᾳ: Ἀποδεικτικὸς ὁ τόπος, ὅτι ἕνη καὶ νέα λέγεται ἡ τριακάς. ἀντιδιέσταλκε γὰρ πρὸς νουμηνίαν. ἀρχαὶ δὲ, οἱ ἄρχοντες. πρυτανεῖα δὲ, τὰ διδόμενα ὑπὸ τῶν δικαζομένων τῷ δημοσίῳ ἀργύρια.

1200. ὅπερ οἱ προτένθαι: Οὐκέτι γὰρ δίδοται αὐτοῖς ἡ σκέψις ἡ πρὸ μιᾶς, ἀλλ' εὐθὺς ἐπὶ τὸ καταβαλεῖν ὁρμῶσιν. εἰκὸς γὰρ αὐτοὺς ἀποσκεπτομένους τῇ ἐνδοσίμῳ τριακοστῇ, καταβάλλειν χωρὶς δίκης τὸ χρέος, καὶ μηκέτι τούτους λαμβάνειν τὰ πρυτανεῖα. διὰ τοῦτο τοίνυν προέλαβον τὴν προθεσμίαν ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν, ὑπὸ τοῦ κερδαίνειν ἡττώμενοι. προτένθαι δὲ οἱ προλαμβάνοντες τὰ ὄψα, πρὶν εἰς τὴν ἀγορὰν κομισθῆναι, καὶ μεταπιπράσκοντες πλείονος· οἱ νῦν μετάβολοι καλούμενοι· ἢ λίχνοι, ἢ ἀκρατεῖς. [οἱ πρὸ καιροῦ τῶν σφαγίων ἀπογευόμενοι. R.V. λαίμαργοι. Gl. Br. προτένθαι: Τένθης, λίχνος καὶ γαστρίμαργος. Αἰλιανός· τένθης καὶ ὀψοφάγος· τένθειν δὲ τὸ ἐσθίειν. Victor.]

1201. [ὅπως τάχιστα: Τοῦτο οὕτω συντάξεις· ὅπως τάχιστα ὑφελοίατο καὶ λάβοιεν τὰ πρυτανεῖα, διὰ τοῦτο προὐτένθευσαν καὶ προὔλαβον ἡμέρᾳ μιᾷ. δοκοῦσι γάρ μοι παθεῖν ὅπερ οἱ προτένθαι. ἐποίησε δὲ τὴν σύνταξιν ἀσαφῆ τῷ προτάξαι τὴν κατασκευήν. Schol. E.]

ὑφελοίατο: Λάβοιεν.

ἐν αἷς μετὰ τῶν ἐχθρῶν δικάζοιντο Ald.

2. Ἀντὶ τοῦ om. R.V.

ib. ἀπαιτούμενοι V.

ib. μαστίζοιντο add. R.V.

3, 4. διὰ τί—νουμηνίᾳ R.V. ἔθος γὰρ ἦν καταβάλλειν τῇ νουμηνίᾳ.

5–7. ἕνῃ τε καὶ νέᾳ—ἄρχοντες om. R.V. sed inferius habent gl. οἱ ἄρχοντες.

7, 8. πρυτανεῖα δὲ (δὲ om. V.)—ἀργύρια om. R.

7. ὑπὸ Ernestius. ἀπὸ V. Ald.

ib. δικαζομένων] δικαζόντων V.

9–14. Οὐκέτι—ἡττώμενοι om. R.V.

10. καταβαλεῖν] καταβάλλειν Ald. Mutavi ex scholio de quo dicam ad v. 1201.

13. ὑπὸ τοῦ ἐπ.] ἀπὸ τοῦ ἐπ. Ald. Correxi ex scholio v. 1202.

14–16. προτένθαι—ἀκρατεῖς om. R.

14. προλαμβάνοντες] καὶ προεσθίοντες addit Ald. om. V. et Suidas.

ib. τὰ om. V.

15. τὴν add. V. et Suidas.

15, 16. καὶ μεταπιπράσκοντες—ἀκρατεῖς om. V.

17. σφαγίων] προσφαγίων Suidas.

25. Post λάβοιεν (quod om. R.G.) addit Ald. οὐκέτι γὰρ δίδοται

1202. *προύτένθευσαν*: Προελιχνεύσαντο. *προέλαβον τὴν προθεσμίαν ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν, ἢ ὑπὸ τοῦ κερδαίνειν ἡττώμενοι. προὐθέσμευσαν ἡμέραν μιάν.* [*ἐλαιμάργησαν, προέλαβον.* Gl. Br.]

1203. *ἀβέλτεροι*: Ἀντὶ τοῦ ἀνόητοι. *βέλτερος γὰρ ὁ φρόνιμος· ἢ ἀπαίδευτοι. πρὸς δὲ τοὺς θεατὰς ποιεῖται τὸν λόγον. διὰ γὰρ τοῦ μωροῦ δοκιμάζεται ὁ φρόνιμος.* [*ἀμαθεῖς.* Gl. Br.]

[1204. *κέρδη*: Τρυφὴ, γέλως, ἀπάτη. *λίθοι*: Ἀναίσθητοι. Gl. Br.]

[1205. *ἀριθμὸς*: Μάταιον πλῆθος. *πρόβατ᾽ ἄλλως*: Ἁπλούστατοι μάτην. *ἀμφορῆς*: Μεγαρικὰ σεσωρευμένα. Gl. Br. *ἀμφορεῖς νενοισμένοι*: Ἐστερημένοι οἴνου ἢ φρονήσεως. Gl. LB. *νενασμένοι*: Ναίω, νήω ἢ νάσσω· μέλλων νάσω, νένακα, νένασμαι, νενακὸς ἡ μετοχή. Gl. Victor. *ματαίως κέραμοι σεσωρευμένοι. νῆσαι γὰρ τὸ σωρεῦσαι.* R.V.]

[1207. *τὸ τέλειον ἀστέον μοι ἐγκώμιον.* R.]

1208. *μάκαρ ὦ Στρεψίαδες*: Ὡς ἄγροικος περὶ τὴν κλητικὴν ἐσφάλη· ἔδει γὰρ εἰπεῖν ὦ Στρεψιάδη. *ἔπαιξεν οὖν παρὰ τὴν ἀναλογίαν. ἔκθεσις δὲ τῆς διπλῆς περιοδικὴ εἰς μέλος μονοστροφικὸν τοῦ ὑποκριτοῦ ὀκτάκωλος· ὧν τὸ πρῶτον Ἰωνικὸν ἀπ᾽ ἐλάσσονος δίμετρον καταληκτικόν· εἰ δὲ βούλει, ἀναπαιστικὸν πενθημιμερές. τὸ δεύτερον Ἰωνικὸν ἀπὸ μείζονος ἐφθημιμερὲς ἀντὶ Ἰωνικοῦ ἔχον ἐπίτριτον τρίτον. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τέταρ-*

αὐτοῖς ἡ σκέψις ἡ πρὸ μιᾶς, ἀλλ᾽ εὐθὺς ἐπὶ τὸ καταλαβεῖν ὁρμῶσι. Quæ ex scholio superiore repetita om. R.V.

1. *προύτένθευσαν δὲ* V

ib. *προελιχνεύσαντο* V. et Suidas. *προελιμβεύσαντο προελιχνεύσαντο* Ald. Nihil de hoc scholio habet R. præter *προὐθέσμευσαν εἰς ἡμέραν μίαν.* Quæ verba vulgo post *προελιχνεύσαντο* lecta, omissa autem in V. et apud Suidam, ego post *ἡττώμενοι* posui.

2. *ὑπὸ τοῦ ἐπ.*] *ἀπὸ τοῦ ἐπ.* V. ut Ald. in scholio v. 1200.

ib. *ἢ* addidi ex Suida.

ib. *ὑπὸ τοῦ κερδαίνειν ἡττώμενοι* V. et Suidas. *τοῦ κέρδους* Ald. omisso *ὑπὸ* et *ἡττώμενοι.* Veram scripturam præbet scholion Ald. 1200.

4. *Ἀντὶ τοῦ* add. R.V.

5, 6. *ἢ—δοκιμάζεται ὁ φρόνιμος* om. R.V.

5. *θεατὰς* Suidas s. *νενημένην.* Legebatur *δανειστάς.*

14. *νῆσαι* R. et Suidas. *νοῆσαι* V. *νῆσαι* G. et Suidæ ed. Mediol.

16, 17. *ὡς—ἀναλογίαν* R. *τοῦτό μοι εἴπουσι* (*εἴπωσι* G.) *καὶ οἱ φίλοι καὶ οἱ δημόται, τὸ ὦ μάκαρ ὦ στρεψιάδες. ὡς δὲ ἄγροικος ἐσφάλη περὶ τὴν κλίσιν· ἔδει γὰρ—ἀναλογίαν* V. *Στρεψιάδη μὲν ἡ κλητική· ἀλλ᾽ ἵνα παίξῃ εἰς τὸ ὄνομα, διέστρεψε τὴν κλητικὴν καὶ ὡς ἄγροικος ἔπταισεν* Ald.

16–p. 560. l. 14. Scholion metricum om. R.V.

21. *ἐπίτριτον τρίτον* Hermannus. Aberat *τρίτον.*

τον ὅμοιον τῷ δευτέρῳ. τινὲς δὲ ταῦτα τὰ τρία ἀπὸ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς κατακλεῖδος. τὸ πέμπτον ἰαμβικὸν ἐφθημιμερές. τὸ ϛʹ Ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐκ διτροχαίου καὶ ἐπιτρίτου τρίτου καὶ Κρητικοῦ· εἰ δὲ βούλει, τροχαϊκὸν τρίμετρον καταληκτικὸν ἰάμβου κατὰ τὴν τετάρτην χώραν, ὡς ἐπὶ τῆς παραβάσεως, τιθεμένου. ἢ τὸ μὲν πέμπτον Ἰωνικὸν δίμετρον ἀκατάληκτον, τὸ δ' ἕκτον ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ δοχμίου συζυγίας. συνῆψε τῇ λέξει καὶ ἑτέραν διαίρεσιν τὴν εἰς ἰαμβικὸν τρίμετρον ὑπερκαταληκτικὸν καὶ δόχμιον. τὸ ἕβδομον Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ Ἰωνικοῦ καὶ διτροχαίου· ἢ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ὄγδοον Ἰωνικὸν ἡμιόλιον, ἐκ διτροχαίου καὶ σπονδείου· ἢ τροχαϊκὸν ἰθυφαλλικόν. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι· ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα κατὰ τὸν εἰρημένον τρόπον.

[1211. φήσουσι τοῦτο τὸ μάκαρ ὦ Στρεψιάδες καὶ οἱ φίλοι καὶ οἱ δημόται. R.]

1216. κορωνὶς ὁμοία ταῖς ῥηθείσαις. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μεʹ, ὧν τελευταῖος

ὅτιὴ 'κάλεσας εὐηθικῶς τὴν κάρδοπον.

ἐπὶ τῷ τέλει κορωνίς.

οὗτος δανειστὴς Στρεψιάδου Πασίας, ἄγων σὺν ἑαυτῷ μάρτυρα, ᾧ διαλέγεται ἀσχάλλων ἐπὶ τῷ μὴ κεκομίσθαι ἅπερ ἐδάνεισε

4. τρίτου addidit Reizius.

8. ἰαμβικὴν τρίμετρον ὥσπερ καταληκτικὴν καὶ δόχμιον Ald. Correxit Reizius. Triplicem rationem distinguendorum versuum commemorat scholiastes: primam, ut vulgo,

χοἰ δημόται ζηλοῦντες,
ἡνίκ' ἂν σὺ νικᾷς λέγων τὰς δίκας,

alteram,

χοἰ δημόται ζηλοῦντες, ἡ-
νίκ ἂν σὺ νικᾷς λέγων τὰς δίκας,

tertiam,

χοἰ δημόται ζηλοῦντες, ἡνίκ' ἂν σὺ νικᾷς λέγων τὰς δίκας.

HERM.

17–20. κορωνὶς—κορωνίς om. R.V.

21–p. 561. l. 5. οὗτος δανειστὴς—σκορπιζειν ἔχον R.V. et partim Suidas s. προϊέναι. ἔρχεται δὲ δανειστὴς τοῦ Στρεψιάδου Πασίας, ἄγων μεθ' ἑαυτοῦ καὶ μάρτυρα· πρὸς ὃν διαλέγεται. προϊέναι δὲ, ἀντὶ τοῦ προδιδόναι καὶ κιχρᾶν. ἀσχάλλει δὲ ἐπὶ τῷ μὴ κεκομίσθαι ἅπερ ἐδανείσατο χρήματα. φησὶν οὖν, οὐ χρὴ ῥᾳδίως ἄλλοις προΐεσθαι τὰ ἑαυτοῦ χρήματα. ἐμφαντικῇ δὲ λέξει ἐχρήσατο, εἰπὼν, μὴ διδόναι. ὁ γὰρ δῶρον λαβὼν τάχα τὴν χάριν οἶδε τῷ δεδωκότι, ἀλλ' οὔτε δανεῖσαι. ὁ γὰρ δανείζων ἐπὶ μείζονι ὠφελείᾳ δίδωσί τινι. ἀλλὰ προϊέναι ἐμφαντικῶς, ἀντὶ τοῦ ῥιπτεῖν καὶ ἀπολέσαι καὶ σκορπίζειν Ald.

21. ἑαυτῷ] αὐτῷ R.

22. τῷ] τὸ R.

χρήματα. φησὶν οὖν, οὐ χρὴ ῥᾳδίως ἄλλοις προΐεσθαι τὰ ἑαυτοῦ χρήματα. ἐμφαντικῇ δὲ λέξει ἐχρήσατο, οὔτε δίδοναι φήσας· ὁ γὰρ δῶρόν τι λαβὼν οἶδε τάχα τῷ διδόντι χάριν· οὔτε χρῆσαι εἰπών· ὁ γὰρ δανείσας ἐπ' ὠφελείᾳ δίδωσί τινι, ἀλλ' εὗρεν ὄνομα τὸ προϊέναι, μόνον οὐχὶ τὴν δύναμιν τοῦ ῥίπτειν καὶ σκορπίζειν ἔχον. [τὸ δὲ προιέναι, προδιδόναι καὶ κιχρᾶν. οὔτε δὲ χαρίσασθαι ἔφη· οὐδὲ γὰρ ἐχαρίσατο· οὔτε δανεῖσαι, ἀλλὰ προϊέναι, ὃ τὸ ῥίψαι καὶ ἀπολέσαι. V.]

1218. ἀπερυθριᾶσαι: Ἀντὶ τοῦ, ἀρνησάμενον μὴ χρῆσαι, ἢ χρήσαντα πράγματα ἔχειν. ἀπαναισχυντῆσαι εἰπόντα ὅτι οὐκ ἔχω. [ἀπερυθριάσαι ἐκ τοῦ μὴ διδόναι δάνειον, μᾶλλον ἢ λαβεῖν ὕστερον ὀχλήσεις ἐν τῇ ἀπαιτήσει. Gl. Br.]

[1219. ὅτε: Ἐπεί. Gl. Br.]

[1220. τῷ μάρτυρί φησιν ὅτι καλῶ σε εἰς δικαστήριον μαρτυρήσοντα. R.V.]

[1221. ὅτι ἀπαιτεῖ φίλον, ὃ συμβαίνειν εἴωθεν. V. δημότῃ: Ἀπὸ τοῦ αὐτοῦ δήμου τῷ μάρτυρι δηλονότι. R.]

[1222. κατηγορεῖ Ἀθηναίων, ὡς περὶ τὰς δίκας ἀεὶ διατριβόντων. Gl. Br. ὅτι φιλοπράγμονες οἱ Ἀθηναῖοι. R.V.]

1224. ἐς τὴν ἕνην τε καὶ νέαν: Εἰς δικαστήριον δηλονότι. ὑπερβατὸν δέ· ἀλλὰ καλοῦμαι Στρεψιάδην εἰς τὴν ἕνην τε καὶ νέαν. ἀπὸ κοινοῦ δὲ τὸ καλοῦμαι.

1225. τοῦ χρήματος: Λείπει χάριν, ἢ περὶ, Ἀττικῶς. ἕνεκεν τοῦ χρήματος, οἷον τοῦ πράγματος, ἐρωτηματικῶς. εἶτα ἀποκρίνεται ὁ δανειστὴς, τῶν δώδεκα μνῶν, καὶ τὰ ἑξῆς.

1. φησὶν] φασὶν V, non G.
4. ὁ γὰρ δανείσας om. V.
ib. ὄνομα τὸ] τὸ om. V.
5. ῥίπτειν] ῥιπτεῖν R.
6. οὐδὲ γὰρ] οὔτε γὰρ V.
9, 10. Ἀντὶ—ἔχειν om. R.V.
10. ἀπαναισχυντῆσαι R. et Suidas s. ἀπερυθριᾶσθαι. ἀπαναισχυντίσαι G. ἀναισχυντῆσαι V. Ald.
ib. ὅτι οὐκ ἔχω R.V. μὴ ἔχειν Ald.
14. τῷ μάρτυρι — μαρτυρήσοντα] μαρτυρήσοντα φησὶν ὅτι καλῶ αὐτὸν εἰς δικαστήριον R.
17. Addidi αὐτοῦ.
20–22. Εἰς—καλοῦμαι] ὑπερβατόν. καλοῦμαι—νέαν. ἔστι δὲ ἀπὸ κοινοῦ καλοῦμαι R. ὑπερβατόν. ἀλλὰ—νέαν. τοῦτο δὲ ἀντὶ τοῦ εἰς τὸ δικαστήριον V.
21. τὴν ἕνην R.V. τὴν om. Ald.
23. ἢ περὶ] ἡ περὶ R. ἵν' ᾖ V.
ib. ἕνεκεν R.V. ἕνεκα Ald.
24, 25. ἐρωτηματικῶς—ἑξῆς om. R.V.

1227. τὸν ψαρὸν: Τὸν τὸ χρῶμα τοιοῦτον, ἢ τὸν ταχὺν, ἀπὸ τοῦ ψαίρειν· ὅθεν καὶ αἰψηρός. [ποικίλον. Gl. Br. λευκόν. Gl. D.]

[οὐκ ἀκούετε: Αὐτοῦ διαβάλλοντός με. Gl. C. αὐτὸν διαβάλλοντά με. Gl. D.]

[1228. ἱππικήν: Ταῦτα λέγει ὡς συκοφαντούμενος ὑπ' αὐτοῦ. R.V.]

[1230. νὴ τὸν Δί': Ναὶ ὤμνυον δηλονότι. Gl. Victor. ἐξηπίστατο: Ἦν μαθών. Gl. Harl.]

1231. τὸν ἀκατάβλητον: Τὸν ἀήττητον· τὸν μηδὲν καταβάλλοντα. πρὸ δὲ τοῦ, μὰ τὸν Δία, τὸ ναὶ ληπτέον ἔξωθεν, οὕτως· ναὶ ὤμνυον· οὐ γὰρ ἠπίστατο μὰ τὸν Δία ὁ Φειδιππίδης· καὶ τὰ ἑξῆς.

[1232. ἔξαρνος: Ἐξαρνούμενος. Gl. Victor.]

[1233. τῆς μαθήσεως· διὰ τοῦτο γὰρ ἔμαθον. V.]

[1235. ἵν' ἂν: Ἀντὶ τοῦ ὅπου ἄν σε κελεύσω ἐγώ. V. ὅπου τὸ ἵνα μεθερμηνευτικόν ἐστι. Gl. Br.]

1237. προσκαταθείην: Τουτέστι καὶ ζημιωθείην ἂν τρεῖς ὀβολοὺς, ἵνα ἐπιτρέψῃς μοι ὀμόσαι τοὺς θεούς· οὕτω καταφρονῶ τοῦ ὅρκου. θεοὶ γὰρ οὐκ εἰσί. τὸ δὲ ἑξῆς, καὶ προσκαταθείην ἂν τριώβολον, ὥστε ὀμόσαι νὴ Δία. [κἂν προσκαταθείην: Μὰ τὸν Δία καὶ προκαταθείην ἂν ἤτοι προκαταβάλοιμι τρ. Schol. Cant. 3.]

1239. διασμηχθεὶς: Ὡς ἐπὶ κεράμου ἢ ἀσκοῦ τὸν λόγον ποιεῖται, οἵτινες σμηχόμενοι ἁλσὶ βελτίονες γίνονται· ἅμα δὲ ὅτι τοὺς παραφρονοῦντας διαβρέχομεν ἁλσὶ καὶ ἐλαίῳ καὶ ὠφελοῦνται. Ἄλ-

1. τὸν—ἢ hoc loco R.V. ἢ τὸν χρῶμα τοιοῦτον post αἰψηρὸς Ald.

9. Scholion v. 1231. om. R.V, sed gl. τὸν ἀήττητον habet R, τὸν μηδὲν καταβαλόντα V. Suidas, ἀκατάβλητον: ἀήττητον, παρὰ τὸ μὴ καταβάλλειν. τουτέστι τὸν μηδὲν καταβάλλοντα. Ex his correxi quod legebatur τὸν μηδενὶ καταβαλλόμενον. Qui τὸν μηδὲν καταβάλλοντα interpretatus est grammaticus, eo sensu dictum accepit quo τὸν μηδὲν ἀποδιδόντα λόγον dixit Aristophanes v. 245.

15. μεθερμηνευτέον Hermannus.

16. τουτέστι καὶ R.V. ἀντὶ τοῦ Ald.

ib. ζημιωθείην ἂν] ζημιωθῆναι R.

17. οὕτω] οὕτω γὰρ V.

18. γὰρ οὐκ R.V. γὰρ ὥς φασιν οὐκ Ald.

18, 19. τὸ δὲ—νὴ Δία om. R.V.

21. Ὡς—ποιεῖται add. R.V.

ib. κεράμῳ ἢ ἀσκῷ V. Genitivum ἀσκοῦ ponit Suidas s. ἁλσί.

22. οἵτινες R.V. et Suidas. οἳ Ald.

22 – p. 563. l. 6. οἱ σμηχόμενοι—τρέπονται habet Θ.

22. ἅμα δὲ V. ἅμα καὶ R. Ald. ἅμα δὲ καὶ Suidas.

23. διαβρέχομεν ἁ. κ. ἐ. R.V.Θ.

λως. ὡς παχύδερμον αὐτὸν χλευάζει. τὰ γὰρ παχέα ὑπὸ πιμελῆς τῶν δερμάτων ἁλσὶ μαλαττόμενα εὐρύτερα γίνεται. ὄναιτο οὖν, φησὶν, ἀποκαθαρθεὶς τὴν παχύτητα. ἡ μεταφορὰ ἀπὸ τῶν βυρσῶν. ταῦτα δὲ λέγει ἤτοι ἀσκὸν ἢ ἀγγεῖον χαλκοῦν βαστάζων. ὡς ἐπ' ἀγγείου ἢ ἀσκοῦ· τινὲς δὲ, ὡς ἐπὶ οἴνου. οἱ γὰρ δεχόμενοι ἅλας οὐ τρέπονται. Ἄλλως. τὴν μεταφορὰν εἴληφεν ἀπὸ τῶν κεράμων καὶ τοῦ οἴνου, οἷς ἅλες βάλλονται ὑπὲρ τοῦ μὴ ἐξίστασθαι μηδὲ ὀξίζειν εὐχερῶς. ἢ ἐπεὶ τοὺς ὑπὸ μέθης ὥσπερ παραφρονοῦντας ὑποβρέχειν εἰώθαμεν ἐλαίῳ ἁλσὶ μεμιγμένῳ. ὡς οὖν τοῦ δανειστοῦ μὴ καθεστηκότος, ἀλλὰ καὶ παραφρονοῦντος, ὡς ἐπὶ ὡμολογημένοις ἔξαρνός ἐστιν, οὕτω τῇ μεταφορᾷ ἐχρήσατο. φησὶν οὖν, οὐ τὰ τυχόντα οὗτος ὠφεληθείη διαβρεχθεὶς ἁλσίν. [καθαρθείς· τὰ γὰρ πασσόμενα κρέα δυσωδίας καὶ σκωλήκων καθαίρεται. Θ.]

1240. [ἐξ χοᾶς χωρήσεται ὁ ἐγκέφαλος αὐτοῦ. ἅμα δὲ ἐπὶ κεράμου ἢ ἀσκοῦ ἔμεινε μεταφορᾶς, ὃς ἐὰν σμηχθῇ, πλέον χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβλημένων. R.V.] ἐξ χοὰς: Πάλιν χλευάζει ὡς ἐπὶ ἀμφορέως καὶ οἴνου. ἢ πρὸς τὰ ἀνωτέρω, ἂν σμηχθῇ, πλέον χωρήσει. ὥσπερ λήκυθος, ἢ ἀσκὸς, ἢ ἄλλο τι τῶν τοιούτων. πλέον γὰρ χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβλημένων. χοεὺς δέ ἐστιν εἶδος

ἁ. κ. ἑ. διέβρεχον Ald. βρέχομεν posuit Suidas.

ib. ὠφελοῦνται R.V.Θ. et Suidas. ὠφελοῦντο Ald. Hic desinit R.

ib. Ἄλλως addidi ex V.

1. αὐτὸν V. δὲ αὐτὸν Ald.

ib. χλευάζει] διαβάλλει Θ.

2. μαλαττόμενα] ματτόμενα V. Illud Suidas.

ib. γίνεται Suidas. γίνονται V. Ald. Tum addit Ald. ὡς πλέον χωρεῖν μέτρον (μέτρου Θ.), quæ om. V. et Suidas.

2, 3. ὄναιτο—ἀποκαθαρθεὶς V. et Suidas. ὄναιτο δὲ, διὰ τὸ βάρος τοῦ δέρματος, οἷον ἀποκαθαρθεὶς Ald.

3. ἡ—βυρσῶν om. V.

4. ἤτοι G. ἤτοι ὅτι V. ἢ Ald. ἢ δι' ἀσκὸν ἢ δι' ἀγγεῖον Θ.

4–12. ὡς ἐπ'—ἁλσίν om. V.

5. ἢ ἀσκοῦ] καὶ ἀσκοῦ Θ.

8. ὥσπερ Suidas. καὶ ὡς Ald. Quod ex καὶ ἄλλως corruptum videri potest.

9. δανειστοῦ] Στρεψιάδου Suidas.

10. ὡς] ὃς Suidas.

ib. ὁμολογουμένοις Suidas.

14. ἐξ χοᾶς (χοὰς V.) χωρήσεται om. R. καὶ παροιμία ἐξ χ. χ. ἐπὶ τῶν παραληρούντων. τουτέστιν ὁ ἐγκέφαλος etc. Suidas s. χοᾶ.

14–16. ἅμα δὲ—ἐμπεφρακότων Suidas. ἅμα δὲ ὡς ἐπὶ κεράμου . . . . . τοῦ κεράμου ἢ ἀσκοῦ μεταφορᾶς, ἢ ἀγγείου· ὡς ἐὰν . . . . ἐνπεφρακότων R. ἅμα δὲ ὡς ἐπὶ κεράμου ἢ ἀσκοῦ μεταφορᾶς, ἢ ἀγγείου, ὃς ἐὰν σμηχθῇ, πλέον χωρεῖ τῶν ἐκπεφρακότων V.

16–p. 564. l. 9. Πάλιν—ἐπεγχανῇ μοι om. R.V.

17. πρὸς τὰ ἀνωτέρω Kusterus. πρὸς τῷ ἀνωτέρῳ Ald.

ib. πλέον χωρήσει] τέλεον χωρήσει Ald. Correctum ex scholio proximo.

μέτρου, ᾧ μετροῦσι τὸν οἶνον. ὃ καὶ κλίνεται χοέως, ὡς Πηλέως· ὡς καὶ ἐν Ἱππεῦσί φησιν

ἀλλ' ἐξένεγκέ μοι ταχέως οἴνου χοᾶ.

ἐνταῦθα δὲ τὸ χοᾶς, εἰ μὲν περισπᾶται, ἐκ τούτου τοῦ χοεύς ἐστι, κατὰ ποιητικὴν ἄδειαν. χοῆς γὰρ ὤφειλεν εἰπεῖν· ὡς ἱππῆς. εἰ δὲ βαρύνεται, ἐξ ἑτέρας ἐστὶν εὐθείας, ἥτις ἐστὶν ἡ χοὴ θηλυκῶς, καὶ κλίνεται τῆς χοῆς.

1242. *καταπροΐξει*: Καταφρονήσεις· παρὰ τὴν προῖκα. δωρεὰν ἐπεγχανῇ μοι.

ἥσθην: Παρεπιγραφή ἐστι. γελῶν γὰρ τοῦτό φησιν. ἐκκαχάζει γὰρ τῆς προσηγορίας ἀκούσας τοῦ Διὸς, γέλωτα τὸν ἐκείνου τιθέμενος ὅρκον. ταῦτα δέ φησιν, ἐπεὶ δεδίδακται μήτε τὸν Δία μήτε τοὺς ἄλλους ἡγεῖσθαι θεοὺς, ἀλλὰ ἢ τὰς Νεφέλας καὶ τὸν Δῖνον, ὡς ἔφησεν ὁ Σωκράτης.

1243. *τοῖς εἰδόσιν*: Ἀντὶ τοῦ, ἐμοὶ τῷ εἰδότι. ἢ τοῖς ἐπιστήμοσι καὶ εἰδόσιν, ὅτι ὁ Ζεὺς οὐδείς ἐστι. διὸ καὶ γέλωτος ποιητικὸς ὁ Ζεὺς ὁ παρὰ σοί.

[1244. ἀντὶ τοῦ ὑπὲρ ὧν ἐβλασφήμησεν. V.]

1248. [εἰπὲ μόνον τὸ δοκοῦν σοι. R.V.] *ἀποδώσειν σοι*: Τινὲς τοῦτο τοῦ κλητῆρος εἶναι λέγουσιν. ἢ εἰσελθόντος τοῦ Στρεψιάδου ὁ δανειστής φησι πρὸς τὸν μάρτυρα. [τῷ μάρτυρί φησιν ὁ δανειστὴς εἰσελθόντος τοῦ Στρεψιάδου. R. ὁ μάρτυς φησὶ τῷ Πασίᾳ εἰσελθόντος τοῦ Στρεψιάδου ὅτι τί σοι δοκεῖ δράσειν ὁ Στρεψιάδης. εἰσέρχεται δὲ ἐκβάλλειν κάρδοπον, ἵνα αὐτῷ διαλεχθῇ καθὼς ἐδιδάχθη ὑπὸ τοῦ Σωκράτους. V.]

1250. *τουτὶ τί ἐστιν*: Εἰσελθὼν ὁ Στρεψιάδης προῆλθε πάλιν τῆς οἰκίας, σφαγίδιον ἢ μαγίδιον ἐξαγαγών. ἀνερωτᾷ οὖν αὐτὸν καὶ

2. Ἱππεῦσι] 95.
8. καταπροΐξει] Conf. schol. Equit. 433.
10. ἐστι add. R.V.
ib. ἐκκαχάζει R. ἐκκαγχάζει Ald.
11. ἀκούσας om. V.
ib. τοῦ Hermannus. καὶ τοῦ Ald.
12. φησιν R.V. φασιν Ald.
13. ἀλλὰ Hermannus. ἀλλ' ἢ Ald. ἀλλ' om. R.V, recte, si τοὺς ante ἄλλους deleatur.
15. Ἀντὶ τοῦ om. V.
ib. Ἀντὶ—εἰδότι om. G.
15–17. ἢ τοῖς—παρὰ σοί om. R.V.
19–21. Τινὲς—μάρτυρα om. R.V.
24. ἐκβάλλειν] ἐκβάλειν V. Verbum non aptum. Expectes ἐκφέρειν.
26. Scholion v. 1250. om. R.
27. σφαγίδιον Ernestius. σφραγίδιον Ald.

πυνθάνεται, ὅ τί ποτε αὐτὸ προσαγορεύοι. ὁ δὲ συνήθως τοῦτό φησιν ἀρσενικῶς, κάρδοπος. οὗτος δὲ ὑπὸ τοῦ Σωκράτους καρδόπην αὐτὸ δεδίδακται λέγειν. ἵνα οὖν ἀμαθῆ καὶ ἀπαίδευτον ἀπὸ τοῦ πρώτου ἀποδείξῃ τὸν δανειστὴν, οὕτω φησίν. [*ἐξ ὧν ἔμαθε παρὰ Σωκράτους.* R.]

1254. *οὐχ ὅσον γέ μ' εἰδέναι*: Ἀντὶ τοῦ *ὡς νομίζω, ἐν ὅσῳ ἐν ἐμαυτῷ εἰμι καὶ οἶδά τι.*

1255. *ἀπολιταργιεῖς*: Ἀντὶ τοῦ *ἀποδραμεῖ, ἀποσκιρτήσεις ἀπὸ τῆς θύρας. ἔνεστι δὲ ἐν τῇ λέξει τὸ ἀργὸν, ὅπερ ἐστὶ τὸ ταχὺ, καὶ τὸ λίαν. οὐ ταχέως οὖν, φησὶν, ἀποδραμεῖ. λιταργισμοὺς δὲ ἐκάλουν καὶ τὰ σκιρτήματα.* [*ὑποχωρήσεις, ἀπέλθῃς.* Gl. Br.]

1257. *θήσω πρυτανεῖα*: Γραφὴν *κατὰ σοῦ ποιήσομαι. ἐν γὰρ τῷ πρυτανείῳ ἐτίθεσαν τὰς τῶν δικῶν γραφάς.*

1258. *προσαποβαλεῖς*: Ἀντὶ τοῦ *ζημιωθήσῃ καὶ τὰ πρυτανεῖα πρὸς ταῖς δώδεκα μναῖς. ὅ ἐστι τὸ δέκατον τοῦ τιμήματος τῆς δίκης· ὅπερ καλεῖται συνωνύμως παρακαταβολή.* [*ἀπολέσεις, φησὶ, καὶ τὰ ἐπὶ τῇ γραφῇ ἀναλώματα, μάτην αὐτὰ ποιήσας, διὰ τὸ περιέσεσθαί σου τὸν υἱόν μου λέγοντα τὸν ἀδικώτερον λόγον.* V.]

[1259. *ὅτι ἣν ἔδει σε καρδόπην, εἴρηκας κάρδοπον. εὐηθικῶς δὲ ἀντὶ τοῦ ἀπαιδεύτως.* R.V. *εἴρηκας ἀνοήτως. ὡς δὲ βέβαιον ἔχων τὸ νικῆσαι κατειρωνεύεται αὐτοῦ.* V.]

1261. *ἰώ μοί μοι*: Κορωνὶς *ἑτέρα ὁμοία. οἱ δὲ στίχοι ἰαμβικοὶ*

1. *αὐτὸ*] *αὐτῷ* V.
ib. *τοῦτο* add. V.
2. *ὑπὸ* Hermannus. *ἀπὸ* Ald.
6. Ἀντὶ—*νομιζω* om. R. Totum scholion om. V.
8–11. *ἀντὶ τοῦ—σκιρτήματα* R.V. et Suidas s. *ἀπολιταργιεῖς. λιταργισμοὺς ἐκάλουν τὰ σκιρτήματα. ἀποδραμῇ, ἀποσκιρτήσεις, καταλείψῃ ἀπὸ τῆς θύρας· ἥτις ἐστὶν ἡ λίτη. ἢ ἀπὸ τοῦ ἀργοῦ, ὃ δηλοῖ ταχὺ καὶ τὸ λιπεῖν. οὐ ταχέως οὖν, φησιν, ἀποδραμῇ* Ald.
8. *ἀποδραμεῖς* G.
ib. *ἀποσκιρτήσει* V, non G.
ib. *ἀπὸ* om. G.
9. *καὶ τὸ λίαν* Suidas s. *ἀπολιταργιεῖς. καὶ τὸ λύον* R. *τὸ λεῖον* V. Conf. schol. Pac. 561. et Etymol. M.
10. *ἀποδραμεῖς* G.
ib. *ἐκάλουν*] *καλεῖ* V.
12. *γραφὴν κατὰ σοῦ ποιήσομαι* (*θήσομαι* V.) R.V. *λείπει γραφὴν κατὰ σοῦ* Ald.
13. *δικῶν* R.V. *ἀδίκων* Ald.
ib. *γραφάς*] *εὐηθικῶς δὲ ἀπαιδεύτως* addit Ald. om. R.V.
14. *τὸ δὲ προσαποβαλεῖς* R.V.
15. *ταῖς—μναῖς*] *τὰς—μνᾶς* V, non G. *ταῖς—μνᾶς* (sic) R.
15, 16. *ὅ ἐστι—παρακαταβολή* om. R.V.
17. *ἐπὶ* Suidas s. *παρακαταβολή. ἐν* V.
19. *δὲ ἀντὶ τοῦ*] *τουτέστιν* R.
22 – p. 566. l. 5. Κορωνὶς—*κορωνίς* om. R. In V. est *προαναφώνημα τὸ*

τρίμετροι ἀκατάληκτοι μγʹ. ὧν προτίθεται κῶλα δύο· τὸ πρῶτον ἀντισπαστικὸν μονόμετρον ἀκατάληκτον· τὸ δεύτερον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. ὁ δὲ τελευταῖος τούτων

αὐτοῖς τροχοῖς τοῖς σοῖσι καὶ ξυνωρίσιν.

ἐπὶ τῷ τέλει κορωνίς.

1264. *τῶν* Καρκίνου: *Ἐπεὶ τραγικῶς ἀνεφώνησε τὸ ἰώ μοί μοι. οἱ δὲ* Καρκίνου *παῖδες Ξενοκλῆς καὶ Ξενότιμος, καὶ ὁ μὲν χορευτὴς, Ξενοκλῆς δὲ τραγῳδίας ποιητής. παρ' ὑπόνοιαν δὲ εἶπε, δέον παίδων.* [Ἄλλως. *φασὶν ὡς ὁ* Καρκίνος *οὗτος ποιητὴς ὢν τραγικὸς, εἰσήγαγέ τινας τῶν θεῶν ἔν τινι δράματι δεινοπαθοῦντας.* Junt. Victor. *δαιμόνων*: *Δαίμονες οἱ θεοὶ, δαήμονές τινες ὄντες ἢ ζα . . . . ροι ἢ ἀπὸ τοῦ πάντα μερίζεσθαι, δάσσεσθαι.* Gl. Victor.]

[1266. *οἷον κατὰ σαυτοῦ νῦν χώρει καὶ μὴ καθ' ἡμῶν.* R.V.]

1267. *ὦ σκληρὲ δαῖμον*: Ταῦτα *Ξενοκλέους ἐστὶν ἐκ τοῦ Λικυμνίου. λέγεται δὲ ὑπ' Ἀλκμήνης Λικύμνιον τεθνηκέναι ὑπὸ Τληπολέμου. διὸ καὶ ἐπιφέρει "τί δαί σε Τληπόλεμός ποτ' εἴργασται "κακόν;"* Εὐφρόνιος *παρὰ Ξενοκλεῖ φησιν εἶναι τὸ χρυσάντυγες, ἐξ οὗ παραπεποιῆσθαι τὸ θραυσάντυγες. τοῦτο, ἐπεὶ ἐμνήσθη αὐτοῦ ἀπὸ τοῦ πατρός. ἄλλοι δὲ τραγικὸν ὑποκριτὴν εἶναι τὸν Τληπόλε-*

ἰώ μοί μοι καὶ τὸ ἔα. διὸ διπλὴ καὶ στίχοι ἰαμβικοὶ τρίμετροι τεσσαράκοντα γʹ.

3. *βραχυκατάληκτον*] Nam scholiastes *ἔα* extra versum legebat. HERM.

6–8. *ἐπεὶ—παίδων* R.V. *παρ' ὑπόνοιαν εἶπεν ἀντὶ τοῦ παίδων· ἐπεὶ τραγικῶς ἀνεφώνησε τὸ ἰώ μοί μοι.* Καρκίνου *δὲ παῖδες, Ξενοκλῆς, Ξενότιμος, καὶ Δημότιμος. καὶ οἱ μὲν χορευταί· Ξενοκλῆς δὲ τραγῳδίας ποιητής. ὡς βέβαιον δὲ ἔχων τὸ νικᾶν, κατειρωνεύεται αὐτοῦ* Ald. De filiis Carcini conf. schol. Ran. 86. Pac. 782.

8. *ξενοκλῆς δὲ* V. *ξενοκλίδης δὲ* R, licet paullo ante *ξενοκλῆς* habeat.

ib. *δέον*] *δέον γὰρ* V.

13. *οἷον* om. R.

14–19. *ταῦτα—τοῦ πατρός* R.V. *τοῦτο Ξενοκλέους ὑπὸ Τληπολέμου. διὸ καὶ ἐπήνεγκε· τί δαί σε Τληπόλεμος. ἐπεὶ δὲ Ξενοκλέους τοῦ Καρκίνου ἐμνήσθη, καὶ τὰ αὐτοῦ τραγῳδεῖ, εἰρηκὼς, ὦ σκληρὲ δαῖμον. τοῦτο δὲ εἶπε διὰ τὸ ἄνω εἰρηκέναι, ἰώ μοί μοι, καὶ, ἀνὴρ κακοδαίμων.* Εὐφρόνιος *δέ φησι, τὸ, ὦ Παλλὰς, ὥς μ' ἀπώλεσας, Ξενοκλέους εἶναι ἐκ τοῦ Λικυμνίου, λεγόμενον ὑπὸ Ἀλκμήνης, τοῦ Λικυμνίου ὑπὸ Τληπολέμου ἀνῃρημένου, διὸ καὶ ἐπήνεγκεν αὐτὸς, τί δαί σε Τληπόλεμός ποτ' εἴργασται κακόν. καὶ τὸ χρυσάμπυγες παραπεποιῆσθαι* Ald.

14. *Λικ-*] *ληκ-* R.V. hic et infra.

15. *ὑπ'*] *ὑπὸ* R.

16. *δαί*] *δέ* R.V.

17, 18. *Ξενοκλεῖ—ἐπεὶ*] *ξενοκλεῖ εἶναι φησὶν εἶναι τὸ (ξενοκλεῖ φησὶ τὸ* V.) *χρυσάμπυκες (χρυσάμπυχες* V.) *παραπεποιῆσθαι τοῦτο. ἐπεὶ* R.V.

17. *χρυσάντυγες* emendatio Hermanni est.

19–p. 567. l. 2. *ἄλλοι—ἐπτώχευσεν* om. R.V.

μον, συνεχῶς ὑποκρινόμενον Σοφοκλεῖ. εἰκότως δὲ τούτοις ὁ δανειστὴς χρῆται. διὰ γὰρ ἱπποτροφίαν ἐπτώχευσεν. [θραυσάντυγες: Ἄντυξ, ἅρματος περιφέρεια. Gl. Victor.]

[1270. ὦ 'τὰν: Ὦ σὺ, ὦ ἑταῖρε, ὦ οὗτος, ὦ μακάριος, πρόσρημα τιμητικῆς λέξεως· λέγεται δὲ καὶ ἐπὶ εἰρωνείᾳ πολλάκις. Gl. Victor.]

[1272. λείπει τὸ ἐμοί. κακῶς: Ἀτυχῶς. R.]

1274. κακῶς ἄρ' εἶχες: Διὰ τὸ ἄνω εἰρηκέναι, ἰώ μοί μοι, καὶ, ἀνὴρ κακοδαίμων, ἐπήγαγε τὸ ὄντως.

1275. [ἐξέπεσον: Τῶν χρημάτων. ἦν δὲ καὶ οὗτος περὶ ἱππικὴν ἔχων. R.V.] ἵππους γ' ἐλαύνων: Καὶ τοῦτο ἐκ παρῳδίας. ἅμα δὲ καὶ αὐτὸς ἱπποτροφῶν ἐδυσπράγησεν.

1276. ὥσπερ ἀπ' ὄνου: [Πρὸς τὸ ἀπὸ ἵππου ἀπὸ ὄνου εἶπε καὶ ἅμα πρὸς τὸ ληρεῖς. ἐπὶ γὰρ τῶν κατὰ μηδένα λόγον πραττόντων εἰώθασι τὸ ἀπὸ ὄνου λέγειν τὴν παροιμίαν. τινὲς δὲ ἀπὸ νοῦ λέγουσιν. R.V.] ἐπὶ τῶν ἀλόγως πραττόντων ἡ παροιμία καὶ μὴ δυναμένων ὄνοις χρῆσθαι, μήτι γε δὴ ἵπποις. ὁ μέντοι Πλάτων ἐν τρίτῳ Νόμων τὴν τελευταίαν περισπᾷ ἀπὸ νοῦ λέγων οὕτως "καὶ μὴ καθά-"περ ἀχάλινον κεκτημένον τὸ στόμα, βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον "κατὰ τὴν παροιμίαν, ἀπὸ νοῦ πεσεῖν." ἢ ἔπαιξε πρὸς τὸ ὑπ' αὐτοῦ εἰρημένον, καὶ δέον εἰπεῖν ἀπὸ τοῦ νοῦ, εἶπεν, ἀπ' ὄνου. Ἄλλως. γράφεται καὶ ἀπ' ὄνου καὶ ἀπὸ νοῦ. κεῖται δὲ παροιμία ἀπ' ὄνου. φασὶ γὰρ ὅτι δύο τινὲς περιτυχόντες ὄνῳ ἐν ἐρημίᾳ, φιλονεικοῦντες πρὸς ἀλλήλους περὶ τοῦ τίς αὐτὸν λήψεται, ἔλαθεν αὐτοὺς ἄμφω ἀπολέσαντας αὐτόν. τούτων γὰρ μαχομένων ἀνεχώρησε τὸ ζῷον.

1280. προσκεκλήσεσθαι: Ἀντὶ τοῦ διὰ μαρτύρων ἀχθήσεσθαι. εἰς τὸ δικαστήριον κληθήσεσθαι. ἀπὸ κοινοῦ δὲ τὸ δοκεῖς.

7. λείπει τὸ ἀτυχῶς ἐμοί R. Correxi.

8. εἰρηκέναι ἀνὴρ κακοδαίμων καὶ ἰώ μοί μοι R.V.

9. ἐπήγαγε τὸ ὄντως addidi ex V.

11, 12. Καὶ τοῦτο—ἐδυσπράγησεν om. R.V.

14. Syllabæ inter ληρεῖς et κατὰ evanuerunt in R.

ib. κατὰ μηδένα] μὴ κατ' οὐδένα V.

15. ἀπὸ νοῦ] ἀπόνου V. ἀπ' ὄνου G.

16–25. ἐπὶ τῶν—ζῷον om. R.V.

17. τρίτῳ Νόμων] p. 701 C.

20. ἀπὸ νοῦ] ἀπό τινος νοῦ Suidas s. ἀπ' ὄνου.

24. αὐτὸν Hermannus. αὐτοῦ Ald.

26. Ἀντὶ—ἀχθήσεσθαι om. R.

27. εἰς—κληθήσεσθαι om. V.

ib. τὸ om. R.

ib. ἀπὸ V. κατὰ Ald.

ib. ἀπὸ—δοκεῖς om. R.

1282. *καινὸν αἰεὶ τὸν Δία*: Νέον ὕδωρ ὕειν νομίζεις, φησὶν, ἢ πάλιν ἀντεπαγόμενον αὐτὸ ὑπὸ τοῦ ἡλίου; [ὡς ταῦτα μαθὼν παρὰ Σωκράτους κατὰ τὸ σιωπώμενον. V.]

1289. *τί θηρίον*: Τινὲς τὸ θηρίον πρὸς τὸν δανειστὴν λέγουσιν εἰρῆσθαι. ἀντὶ τοῦ, ὦ θηρίον, τί ἐστιν ὁ τόκος. ἐπεὶ γέννημα φαμὲν ἐπὶ θηρίου καὶ τόκον.

[1292. *προβαίνοντος*, ἀναλισκομένου. R.V.]

1293. *τὴν θάλατταν*: Τί δῆτά ἐστιν ἃ νομίζεις; καὶ τοῦτο δὲ ἔμαθε κατὰ τὸ σιωπώμενον.

[1295. *οὐ λυσιτελεῖ τοῖς ἐπὶ γῆς πλείονα εἶναι τὴν θάλατταν.* R.V.]

[1300. *τὸ ἀμυντήριον*. R.V.]

1301. *ὦ σαμφόρα*: [Ταῦτα ἔοικεν ὁ μάρτυς λέγειν τῷ δανειστῇ. R.V. ἀντὶ τοῦ οὐκ ἀναχωρεῖς; V.] τινὲς τοῦτο Στρεψιάδου· τινὲς ὅλον τοῦ κλητῆρος. ἀντὶ τοῦ, ὦ κλῆτορ. ὡς ἵππῳ αὐτῷ διαλέγεται.

1302. *σειραφόρον* ἀντὶ τοῦ παρήορον. καὶ πρὸς μὲν τὸ ἐπιάλων τὸ σύ, πρὸς δὲ τὸ ἐπιαλῶ τὸ σέ. καὶ ἔστιν ἡ γραφὴ δισσὴ, ἐπιάλων καὶ ἐπιαλῶ. καὶ πρὸς μὲν τὸ περισπώμενον ἐπιαλῶ εἴη ἂν ἀπειλητικῶς λέγων, οἷον ἄξεις καὶ ὁρμήσεις σεαυτὸν ἐντεῦθεν, ἐπεὶ ἀλῶ σε,

1, 2. Νέον—ἡλίου om. R.V.
3. Σωκράτους] σωκράτην V.
4, 5. Τινὲς—ὁ τόκος om. R.V.
6. τόκον] Addit V. τὸ θηρίον τοῦτο τί ἐστι καὶ τόκος.
8, 9. Τί δῆτα—σιωπώμενον om. R.V.
9. κατὰ τὸ σιωπώμενον] Neque enim de his rebus coram spectatoribus disputatum erat.
13. τῷ δανειστῇ λέγειν V.
14. ἀναχωρεῖς G. ἀναχωρῇ V.
14, 15. τινὲς—διαλέγεται om. R.V.
16–p. 569. l. 4. σειραφόρον—ἐπιβαλών R.V. ἄξεις; ἐπιαλῶ: ἡ γραφὴ δισσὴ, καὶ ἐπὶ ἄλω, καὶ ἐπιαλῶ. καὶ πρὸς μὲν τὸ περισπωμένως τὸ ἄξεις ἀπειλητικῶς χρὴ λέγειν· οἷον, ἄξεις, ὁρμήσεις τοὐντεῦθεν, ἐπεὶ ἀλῶ σε· ὅ ἐστιν, ἐξελάσω σε· εἰ διφθογγογραφεῖται· καὶ διώξω σε κεντῶν ὑπὸ τὸν πρωκτὸν, ὥσπερ ἵππον παρήορον. πρὸς δὲ τὴν ἑτέραν γραφὴν, ὡς ἠθικῶς λέγοντος, οἷον, ἀπάξεις σὺ τὸν σειραφόρον εἰς μύλωνα ἐπὶ τὸ ἀλήθειν, ἀντὶ τοῦ, ἄπαγε σὺ σεαυτὸν ἵππον· κἀκεῖθεν τραφήσῃ Ald. Cum R.V. fere consentit Θ, nisi quod ab initio sic scribit, ἡ γραφὴ δισσὴ περισπωμένως καὶ παροξυτόνως. καὶ πρὸς μὲν τὸ——.
16. σηραφόρον V, non G. σειραφόρον καὶ R.
ib. ἐπιάλων] ἐπὶ ἄλλων V. Corrigendum πρὸς μὲν τὸ ἐπὶ ἄλω τὸ σὺ, πρὸς δὲ τὸ ἐπεὶ ἐλῶ τὸ σέ. ἐπὶ ἄλω qui legebant, ἄξεις ab ἄγειν, qui ἐπεὶ ἐλῶ, ab ᾄσσειν derivabant. Monuit Dobræus.
17. ἐπιαλῶ] ἐπὶ (ἐπεὶ G.) ἀλῶ V.
ib. ἐπιάλων καὶ ἐπιαλῶ] ἐπὶ ἄλλων καὶ ἐπὶ (ἐπεὶ G.) ἄλω V.
18. ἐπιαλῶ] ἐπεὶ ἀλῶ G.
19. ἀλῶ] ἀλῶ V.

ὅπερ ἐστὶν ἐλάσω σε καὶ διώξω σε κεντῶν ὑπὸ τὸν πρωκτὸν ὥσπερ ἵππον παρήορον· πρὸς δὲ τὴν ἑτέραν γραφὴν οὕτως ἠθικῶς λέγοντος, οἷον ἀπάξεις σὺ τὸν σειραφόρον εἰς μυλῶνα ἐπὶ τὸ ἀλοᾶν, ἀντὶ τοῦ ἄπαγέ σου τὸν ἵππον κἀκεῖθεν τραφήσῃ. τινὲς δὲ οὕτως, ἄξεις ἐπιβαλών. Ἄλλως. ἐπιαλῶ μέλλων ἀπὸ τοῦ ἰάλλω. λέγει δὲ ἐπιπέμψω σε. ἐν ἤθει δὲ τὸ ἄξεις λέγει· οὐκ ἀπάξῃ ποτὲ ἐντεῦθεν καὶ πορεύσῃ. τὸ δὲ ἐπιαλῶ, ἀντὶ τοῦ ἐπιπέμψω σε. συμβουλεύει δὲ αὐτῷ ἀλοάσαντα μισθῷ πορεύεσθαι, ἵνα τρέφειν ἔχῃ τοὺς ἵππους. σειραφόρος δὲ, ὁ ἔξω τοῦ ζυγοῦ. Ἄλλως. ἐὰν μὲν οὗτος ὁ λόγος ᾖ ἠθικὸς, ἀπέρχῃ, ἢ ὑποβαλῶ τὴν μάστιγα κεντῶν σε ὑπὸ τὸν πρωκτὸν, ὡς σειραφόρον· ἐὰν δὲ ἐπὶ ἅλω, οὕτως· ἀπέρχῃ ἐπὶ ἅλωνα κεντῶν σου τὸν σειραφόρον, ἐπὶ τὸ ἐργαζόμενον ἐκεῖθεν τραφῆναι· οὐδὲν γὰρ ἐντεῦθεν λήψῃ. οἱ δὲ οὕτως· ἐπιβαλών σοι τὴν μάστιγα καὶ δέρων τὸν πρωκτὸν, ἄξω σε. ἀπὸ μεταφορᾶς τῶν κεντουμένων ἵππων βραδέων ὑπὸ τῶν ἡνιόχων. [ἐπεὶ ἀλῶ: Κινήσω, συντρίψω. Gl. B. D. συντρίψω. Gl. E. ἐπί σ' ἀλῶ: Συντρίψω. Gl. C.]

1303. ὑπὸ τὸν πρωκτὸν σέ: Μήποτε οὐκ ἔστι σέ, ἀλλὰ σύ· εἰ μὴ ἄρα λέγει, ἄξεις σεαυτὸν ὡς τὸν σειραφόρον, ὅπου αὐτὸς ἐργάζῃ.

[1305. ξυνωρίσιν: Ξυνωρὶς, ἅρμα ἵππων ἐζευγμένον. Gl. Victor. λείπει ἡ σύν. R.]

1306. ἐν εἰσθέσει κῶλα τρία, ὧν τὸ πρῶτον Ἰωνικὸν ἡμιόλιον. R.V. κορωνὶς καὶ εἴσθεσις μέλους ἐξιόντων ὑποκριτῶν μονοστροφικοῦ ἐκ κώλων ιη'. ὧν τὸ πρῶτον ἰαμβικὸν τρίμετρον βραχυκατά-

1. ἐλάσω] ἐλῶ Θ.
ib. διώξω Θ. διώκω R.V.
ib. κεντῶν ὑπὸ τὸν πρωκτὸν om. R.
3. σὺ τὸν] σαυτὸν V.
ib. τὸ] τῷ V.Θ. Ceterum V. in textu habet ἐπὶ ἄλλων, in margine γρ. ἐπεὶ ἀλῶ.
ib. ἀλήθειν, οἷον ἄπαγε σαυτὸν ἵππον Θ.
4, 5. τινὲς δὲ—μέλλων om. Θ.
5–15. Ἄλλως—ἡνιόχων om. R.V.
6. σε] σοι Θ. Ald.
ib. δὲ τὸ Hermannus. ἐν τῷ Ald.
10. ἠθικὸς] ἠθικῶς Ald.
15. κινήσω, συντρίψω Hermannus. νικήσω, συντρίβεις codd.
17, 18. Μήποτε—ἐργάζῃ om. R.
17. ἄλλως μήποτε V.
ib. εἰ μὴ ὅτι ἄξεις V.
18. ὅπου V. ὅπερ Ald.
21. τρία κῶλα V.
ib. ἡμιόλειον R.
22 – p. 570. l. 14. κορωνὶς—τέλει κορωνίς om. R.V. Infra post τοῦ υἱοῦ addit Θ. κορωνὶς δὲ καὶ μέλος τοῦ χοροῦ κώλων ιη', ὧν τὸ πρῶτον ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. καὶ ἐν εἰσθέσει κῶλα τρία, ὧν τὸ πρῶτον ἰωνικὸν ἡμιόλιον. τὰ δὲ τρία κῶλα τροχαϊκὰ ἀκατάληκτα ἐκ κατακλίσεως (scr. κατακλείσεως) καὶ βάσεως τρίμετρον ἀκατάληκτον, καὶ τὸ ἐκ χοριάμβου βάσεως καὶ χοριάμβου ἡμιολίου, ὥστε συλλαβὴν ἐνδεῖν τοῦ καλουμένου σαπφικοῦ ἐνδεκασυλλάβου.

ληκτον τοῦ φλαύρων ποδὸς ἀνθ' ὅλης ἰαμβικῆς κειμένου διποδίας. τὸ δεύτερον ἐκ διιάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον, ἢ ἰαμβικὸν ἑφθημιμερές. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τέταρτον ὅμοιον, ἢ ἐκ παιώνων δευτέρων. τὸ ε' χοριαμβικὸν ἐξ ἐπιτρίτων τρίμετρον καταληκτικόν. τὸ ϛ' τροχαϊκὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. τὸ ζ' ὅμοιον, τρίμετρον μέντοι. τὸ η' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ θ' ἀντισπαστικὸν ἐξ ἐπιτρίτου τρίτου καὶ πρώτου ὅμοιον. τὸ δέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ια' καὶ ιβ' ὅμοια τῷ τρίτῳ. τὸ ιγ' χοριαμβικὸν πενθημιμερές. εἰ δὲ βούλει, δακτυλικὸν δίμετρον. τὰ ἑξῆς τρία ἀντισπαστικὰ ἑφθημιμερὴ Φερεκράτεια, τροχαϊκῆς κατὰ τὴν πρώτην χώραν κειμένης ταυτοποδίας. τὸ παρατέλευτον ὅμοιον τῷ τρίτῳ· μεθ' ὃ ἰαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερές. ἐπὶ τῷ τέλει κορωνίς. οἷον τὸ πραγμάτων ἐρᾶν: Αἰνίττεται εἰς τὸν Στρεψιάδην, καὶ λέγει ὅτι δεινόν ἐστι καὶ ἀηδὲς τὸ ἀτόπων ἐρᾶν. ἰστέον δὲ ὅτι ἐκεῖνοι διαλεχθέντες ἀπεληλύθασιν. ὁ δὲ χορὸς ὢν ἐπὶ τῆς σκηνῆς ταῦτα διέξεισι περὶ τοῦ Στρεψιάδου, προαναφωνῶν διὰ τούτων καὶ αἰνιττόμενος, ἃ μέλλει πείσεσθαι ὁ Στρεψιάδης ὑπὸ τοῦ υἱοῦ. [φλαύρων: Φαύλων, κακῶν, πονηρῶν. Gl. Victor.]

[1311. πρᾶγμ': Ἀντὶ τοῦ κακόν. R.V.]

1312. τὸν σοφιστὴν: Τὸν φιλόσοφον, ἢ τὸν παῖδα, ἢ τὸν γέροντα. ἀπὸ τοῦ σοφίζεσθαι. [τὸ ὧν ἀντὶ τοῦ ἀνθ' ὧν. R.V.]

[1314. αὐτὸν ἀντὶ τοῦ Στρεψιάδην. R.]

[1320. οἷς ἀντιταχθῇ καὶ ἀντιλέγει. R.]

1322. ἴσως ἴσως: Εὔξεται παρ' αὐτοῦ ἀδικούμενος καὶ δεινὰ πάσχων, τέλεον ἄφωνον αὐτὸν εἶναι.

4. παιώνων] παιόνων Ald. Et sic alibi non raro.

5. τρίμετρον Hermannus. ἢ ἰαμβικὸν τρίμετρον Ald.

11. τροχαϊκῆς Hermannus. διτροχαϊκῆς Ald.

12. πρώτην χώραν] πρώτην τοῦ πεντεκαιδεκάτου χώραν Ald.

14–16. Αἰνίττεται—ἐρᾶν om. R.

15. εἰς V. δὲ εἰς Ald.

ib. καὶ λέγει V. λέγων Ald.

16. δὲ om. R.

17. ὢν ἐπὶ R. ὢν post σκηνῆς Ald.

21. Lemma πρᾶγμ' ego addidi.

ib. κακόν] καλόν R.V.

22. ἢ τὸν παῖδα R.V. ἢ om. Ald.

23. σοφίζεσθαι] σοφίσασθαι R.V.

ib. τὸ ὧν ἀντὶ τοῦ ἀνθ' ὧν] ἀντὶ τοῦ ἀνθ' ὧν G.

26. καὶ om. R.

[*βουλήσεται*: Ἐπεὶ *μείζω κακὰ πείσεται ἢ φέρειν οἷός τε εἶναι.* Gl. B. C.]

1324. *ἰοὺ ἰού*: Κορωνὶς *ἑτέρα εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κγ΄. ὧν προτίθεται κῶλον ἰαμβικὸν μονόμετρον. ὁ δὲ τελευταῖος τούτων*

καὶ μὴν ὅ τι καὶ λέξεις ἀκοῦσαι βούλομαι.

ἐπὶ τῷ τέλει κορωνίς. κέχρηται δὲ προαναφωνήσει τῷ ἰοὺ ἰού. τινὲς δὲ ἁπλοῦν τὸ ἰού φασίν. σχετλιάζων ἔξεισιν ὁ πρεσβύτης, ὡς ὑπὸ τοῦ παιδὸς τετυμμένος. δῆλον δὲ ὅτι πάντα ταῦτα διαπέπλασται αὐτῷ τῆς πρὸς Σωκράτη διαβολῆς χάριν, δεικνύναι διὰ τούτων φιλοτιμουμένῳ, ὅτι μηδὲν χρηστὸν διδάσκει τοὺς νέους, ἀλλὰ πᾶν τοὐναντίον πονηρούς, ὁπότε καὶ περὶ τοὺς γεγεννηκότας τοιοῦτοι γίνονται, καθίστησι.

1326. *πάσῃ τέχνῃ*: Ἀντὶ *τοῦ παντὶ τρόπῳ, πάσῃ δυνάμει. τὸ δὲ ἀμύνειν καὶ ἀμυνάθειν λέγουσι. ἀπὸ τούτου οὖν ἐσχημάτισται.* [*ἀμυνάθετε*: Βοηθήσατε. Gl. E. *ἀμυνάθειν, ἀμύνειν, βοηθεῖν.* Gl. Victor.]

[1330. *πατραλοῖα*: Οὐ *μόνον πατραλοίας, ἀλλὰ καὶ πατραλῴας εὕρηται.* Schol. Cant. 1.]

1331. *καὶ πλείω*: Ἀντὶ *τοῦ χείρονα καὶ πλείω τούτων εἰπέ.*

[1333. *λακκόπρωκτε*: Εὐρύπρωκτε. Gl. Br.]

[1338. *ἀντὶ τοῦ κατὰ πολύ.* R.]

1341. *ἐδιδαξάμην*: Ἀντὶ *τοῦ ἐδίδαξα. παθητικὸν ἀντὶ ἐνεργητικοῦ. δύναται δὲ εἶναι μεσότητος Ἀττικῶς, ἀντὶ τοῦ ἐξεπαίδευσα δι' ἑτέρου. τὸ γὰρ ἐδίδαξα δι' ἑαυτοῦ.* [*ἤγουν εἰς διδάσκαλον ἔπεμψα. ἔστι δὲ κατ' εἰρωνείαν.* Gl. Br.]

3–8. *Κορωνὶς—φασίν* om. R.V. In Θ. *διπλῆ ἡ εἴσθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους εἴκοσι τρεῖς.*

7. *τῷ*] *τὸ* Ald.

8. *σχετλιάζων*] *ἰοὺ ἰοὺ ὦ γείτονες. σχετλιάζων* V. Totum scholion om. R.

ib. *ἔξεισιν* V. *δὲ ἔξεισιν* Ald.

ib. *ὑπὸ*] *ἀπὸ* V.

10. *Σωκράτη*] *σωκράτους* V.

ib. *τούτων*] *τοῦτον* V.

ib. *φιλοτιμουμένῳ* Hermannus. *φιλοτιμούμενος* Ald.

11. *πᾶν* add. V.

14. *Ἀντὶ τοῦ* add. R.V.

ib. *καὶ πάσῃ* V.

15. *λέγουσι*] [illegible] R. *λέγει* V.

ib. *ἀπὸ—ἐσχημάτισται* add. R.V.

20. *καὶ πλείω τούτων* om. V. Totum scholion om. R.G.

23. *Ἀντὶ τοῦ ἐδίδαξα* add. R.V.

ib. *τοῦ ἐνεργητικοῦ* R.

24. *δύναται* R.V. et Suidas s. *ἐδιδαξάμην. λέγονται* Ald.

ib. *εἶναι*] *εἶναι καὶ* G.

ib. *Ἀττικῶς* om. R.

25. *δι' ἑτέρου—δι' ἑαυτοῦ* om. R.V.

[1343. *μέλλεις*: Ἔμελλες. Gl. D.]

1348. *σὸν ἔργον*: Εἴσθεσις χοροῦ, στροφῆς μὲν λόγον ἔχουσα διὰ τὸ ἔχειν καὶ ἀντίστροφον τὸ

οἶμαί γε τῶν νεωτέρων,

ἧς οὐδὲν διενήνοχε· προῳδικὴ δὲ, διὰ τὸ προτίθεσθαι καὶ προᾴδεσθαι τῆς διπλῆς. ἡ διπλῆ καὶ εἴσθεσις εἰς ἐπῳδικὴν τριάδα ἢ τετράδα κώλων ἕξ, ὧν τὰ μὲν περιττὰ ὅμοια τοῖς ἀνωτέρω, τὰ δὲ ἄρτια Ἰωνικὰ, ἡμιόλια διὰ τὸ ἔχειν πρὸς τῷ ὅλῳ καὶ τὸ ἥμισυ τοῦ Ἰωνικοῦ καλούμενα, ἀδιαφοροῦντα τὴν πρώτην συλλαβήν. τὸ μέντοι τελευταῖον, ὃ καὶ ἐπῳδὸς, ὡς ἐπὶ τῷ τέλει τῆς ᾠδῆς τιθέμενον, λέγεται, ἀντ' Ἰωνικοῦ ἐπίτριτον ἔχει. ἐν ἐκθέσει δὲ στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ, ὅμοιοι τοῖς ἑξῆς. ἔθος γάρ ἐστι προτιθέναι τῆς διπλῆς διστιχίαν μετὰ τὴν περίοδον τῆς κορωνίδος ἢ τῆς ᾠδῆς. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔξω νενευκυῖα.

[*φροντίζειν*: Βουλεύεσθαι. ὅπη δ' ἂν ἀντὶ τοῦ ὁποίῳ τρόπῳ. R.V.]

[1350. *πεποίθειν*: Ἐθάρρει. Gl. Br.]

[1351. *τολμηρός*. R.]

[1352. *ἀλλ' ἔστιν τι ἐφ' ᾧ θαρρεῖ*. R.]

1355. *πρὸς χορόν*: Πρὸς ἐμέ. οὕτως ἔλεγον πρὸς χορὸν λέγειν, ὅτε τοῦ ὑποκριτοῦ διατιθεμένου τὴν ῥῆσιν, ὁ χορὸς ὠρχεῖτο. διὸ καὶ ἐκλέγονται ὡς ἐπιτοπλεῖστον ἐν τοῖς τοιούτοις τὰ τετράμετρα, ἢ τὰ ἀναπαιστικὰ, ἢ τὰ ἰαμβικὰ, διὰ τὸ ῥᾳδίως ἐμπίπτειν ἐν τούτοις τὸν τοιοῦτον ῥυθμόν.

1356. *καὶ μὴν ὅθεν γε*: Κορωνὶς καὶ στίχοι ὅμοιοι τῷ διστιχίῳ λγ'. ὧν τελευταῖος

ἐξέφερον ἂν καὶ προὐσχόμην σε· σὺ δέ με νῦν ἀπάγχων.

Omittit etiam Suidas, sed in principio scholii addit ἐπαιδευσάμην δι' ἑτέρου· αὐτὸς ἐπιμεληθεὶς τούτου.

2. Scholion metricum om. R.V.

14. ἐπὶ τῷ—νενευκυῖα in fine scholii proximi leguntur in Ald.

15. Βουλεύεσθαι] βούλεσθαι (καὶ addit G.) V.

ib. ὅπη δ' ἂν] ἂν delendum.

18. ἐφ' ᾧ] ἐφ' ὃ R.

19. Πρὸς ἐμὲ om. R.V.

ib. ἔλεγον] ἔλεγε V.

20. ὅτε τοῦ] ὅταν τοῦ R. Ald. ὅτ' αὐτοῦ V.

ib. ὠρχεῖτο R.V. ὠρχοῖτο G. ὀρχῆται Ald.

21. ἐκλέγονται ἢ τετράμετρα ἢ ἀναπαιστικὰ (ἀνάπαιστα Θ.) λέγειν (λέγων V. λέγοντες G.). ὁ γὰρ ῥυθμὸς ῥᾳδίως προσπίπτει τούτοις R.V.Θ.

24. Scholion metricum om. R. V. In Θ. στίχοι ὅμοιοι τῷ διστίχῳ λγ', ὧν τελευταῖον "ἐξέφερον ἂν καὶ "προὐσχόμην."

μεθ' ὃν τρία κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα, καὶ στίχος ὅμοιος τοῖς ἄνω.

[1357. ἑστιᾶσθαι ἐστὶ τὸ εὐωχεῖσθαι. οὐχὶ δὲ τὸ παρά τινι πάντως ἔλεγον. R.V.]

1358. λύραν λαβόντα: Ἐν τοῖς συμποσίοις κύκλῳ τοῖς ἑστιωμένοις ὁ ἑστιάτωρ διδοὺς λύραν ἐκέλευεν ᾆσαι ᾠδήν.

1359. ᾆσαι Σιμωνίδου: [Ἀρχὴ ᾠδῆς εἰς Κριὸν τὸν Αἰγινήτην "ἐπέξαθ' ὁ Κριὸς οὐκ ἀεικέως." φαίνεται δ' εὐδοκιμεῖν καὶ διαφανὴς εἶναι. R.V.] τοῦτο τὸ μέλος Σιμωνίδου ἐξ ἐπινίκου

ἐπέξαθ' ὁ κριὸς οὐκ ἀεικέως.

ἦν δὲ παλαιστὴς Αἰγινήτης. Ἄλλως. τῇ πρὸς τὸ ζῷον κοινωνίᾳ τῆς λέξεως συνέπλεξε τὰς κοινωνίας ὁ ποιητής, λέγων "ἐπέξαθ' ὁ κριὸς "οὐκ ἀεικέως, ἐλθὼν εἰς δένδρον ἀγλαὸν Διὸς τέμενος." φαίνεται δὲ εὐδοκιμεῖν καὶ διαφανὴς εἶναι. τὸ δὲ ἐπέχθη καὶ διὰ τοῦ ε ψιλοῦ ἀπὸ τοῦ πέκω, καὶ διφθογγογραφεῖται. [τοῦτο τὸ μέλος ἐκ τῶν τοῦ Σιμωνίδου ἐστίν. ἐκεῖνος γὰρ οὕτω φησὶν "ἐπέξαθ' ὁ καιρὸς οὐκ "ἀκαίρως." ἦν δὲ ὁ κριὸς οὗτος παλαιστὴς Αἰγινήτης. Schol. LB. et Harl. 5. ὡς ἐπέχθη: Ὡς ἐκάρη. R.V.]

1360. ἀρχαῖον: Μωρόν. παραιτοῦνται δὲ οἱ φιλόσοφοι τὸ κιθαρίζειν ἐν τῷ πίνειν. κάχρυς δὲ, ἀντὶ τοῦ κριθὰς πεφρυγμένας. ᾄδουσι δὲ αἱ ἀλήθουσαι ὑπὲρ τοῦ παραπέμψασθαι τὸν κάματον. [οὐδενὸς λόγου ἄξιον, ληρῶδες, ἀνόητον. R.V.]

1361. ὡσπερεὶ κάχρυς: Καθάπερ τινὰ γυναῖκα κριθὰς ἀλοῦσαν. διαβάλλει δὲ λεληθότως τὸ τῶν γυναικῶν γένος, αἷς ἔργον πίνειν καὶ

4. πάντως] πάντες V.

5, 6. Ἐν τοῖς—ᾠδήν om. R.V.

9–15. τοῦτο — διφθογγογραφεῖται om. R.V.

9. ἐξ Valckenar. ad Herodot. 6, 50. καὶ Ald.

ib. ἐπινίκου] Sic ἐπίνικοι δρομέσι inscripta fuerunt carmina Simonidis memorata ab Herodiano in Bandini Catalogo codd. Flor. vol. 2. p. 146.

13. δένδρον ἀγλαὸν] Recte, ut videtur, Valckenar. ἀγλαόδενδρον. Verba poetæ non integra attulit Scholiasta.

15. τῶν τοῦ om. LB.

16. φησὶ γὰρ ἐκεῖνος, ἐπήξασθ' ὁ κριὸς οὐ κακαίρως. ἦν δὲ οὗτος ὁ κριὸς παλαιὸς αἰγινήτης Harl. 5. Idem in lemmate τὸν κριὸν ὡς ἐπήχθη.

18. Ὡς ἐκάρη om. G. ὡς om. V.

19–21. Μωρόν—κάματον om. R.V. ἀρχαῖον ἔφη ἀντὶ τοῦ μωρόν. παραιτοῦνται γὰρ—πίνειν habet Θ.

19. τὸ addidi ex Θ.

22. ἀνόητον om. R.

23. κριθὰς ἀλοῦσαν] κριθὰς πεφριγμένας ἀλήθουσαν Θ.

24. καὶ ἕτερόν τι διαπραττομέναις om. R.

ἕτερόν τι διαπραττομέναις. [κάγχρυς: Πεφρυγμένας κριθάς. Gl. Br.]

1363. ὡσπερεὶ τέττιγας: [Πολύλαλον γὰρ τὸ ζῷον. R.V.] παρεποίησε τὸ ᾄδειν, καί φησιν ὅτι τὸ ᾄδειν φλυαρεῖν. ὡς τέττιγας καὶ οὐδὲν ἄλλο ἢ ὡς γυναῖκας ᾄδειν ἀλετρευούσας. [τρέφοντα. Gl. Θ.]

1367. ἀλλὰ μυρρίνην: Μυρρίνης γὰρ κλάδον κατέχοντες ᾖδον τὰ Αἰσχύλου, ὥσπερ τὰ Ὁμήρου μετὰ δάφνης. παρὰ τὰ Αἰσχύλου "οὕνεκ' ἐκεῖ ἄνθεα λειμώνια." Ἄλλως. Δικαίαρχος ἐν τῷ περὶ μουσικῶν ἀγώνων "ἔτι δὲ κοινόν τι πάθος φαίνεται συνακολουθεῖν "τοῖς διερχομένοις εἴτε μετὰ μέλους εἴτε ἄνευ μέλους, ἔχοντάς τι "ἐν τῇ χειρὶ ποιεῖσθαι τὴν ἀφήγησιν. οἵ τε γὰρ ᾄδοντες ἐν τοῖς "συμποσίοις ἔκ παλαιᾶς τινος παραδόσεως κλῶνα δάφνης ἢ μυρ-"ρίνης λαβόντες ᾄδουσιν."

[1368. σκώπτει καὶ Αἰσχύλον καὶ Σιμωνίδην. V.]

[1369. ἐγὼ γὰρ: Οὐκ ᾄσω δηλαδή. Gl. C.]

1370. ἀσύστατον: Οὐ συνεστῶτα οὐδὲ πυκνὸν, ἀλλ' ἀραιὸν ἐν τῇ ποιήσει καὶ κομπώδη. τὰ γὰρ ῥήματα Αἰσχύλου φαντασίαν μὲν ἔχει, βασανιζόμενα δὲ οὐδεμίαν ἔχει πραγματείαν. ἀσύστατον δὲ, οἷον ἀδιάθετον, ἀπιθάνους συνιστάντα τοὺς μύθους. [ἄνισον. Gl. Θ. Br.]

στόμφακα: [συνθέτῳ λέξει ἐχρήσατο ἀπὸ τοῦ στόματος καὶ τοῦ ὄμφακος, ἵν' ᾖ λέγων ὄμφακα ἐν τῷ στόματι ἔχοντα. V.] σκληρόν· παρὰ τὸ στόμα καὶ τὸν ὄμφακα· οἷον τραχύν. κρημνοποιὸν δὲ, με-

7, 8. Μυρρίνης—δάφνης om. R.V.
8. ὥσπερ—δάφνης om. Θ.
9. Ἄλλως om. R.V.
9–14. Ἄλλως—ᾄδουσιν om. Θ.
10. μουσικῶν R.V. μουσικῆς Ald.
ib. Addidi ἀγώνων, quod vix omitti potuit.
ib. ἔτι Hermannus. ἐπεὶ Ald.
ib. φαίνεται R.V. ἀεὶ φαίνεται Ald.
11. ἔχοντάς τι ἐν τῇ] ἔχοντας ἐν τῇ R.V. ἔχοντά τι τῇ Ald.
12. ἀφήγησιν] διήγησιν V.
17–20. Οὐ—μύθους] ἀσύστατον, ἀδιάθετον, ἀπιθάνως συντεθέντα (scr. συντιθέντα) ἢ ξυνιστῶντα, οὐδὲ πυκνὸν, ἀλλ' ἀραιὸν ἐν τῇ ποιήσει καὶ κομπώδη. τὰ γὰρ αἰσχύλου ῥήματα φαντασίαν—πραγματείαν V.
17. ἐν τῇ ποιήσει hoc loco R.V. et Suidas s. ἀξύστατον, post πυκνὸν Ald.
19. πραγματείαν] ἀσύστατα γὰρ add. Ald. om. R.V.
19, 20. ἀσύστατον—μύθους om. R.
23. στόματι ἔχοντα] τοὺς μύθους addit V, quod ex superiore scholio irrepsit. Scholion Aldinum om. R.V. sed gl. ἀντὶ τοῦ τραχύν habet R, μεγάλας λέξεις ποιοῦντα R.V.

γάλας λέξεις ποιοῦντα. [στόμφακα: Μεγαλορρήμονα. κρημνοποιόν: Σκληρολέκτην. Gl. Θ. Br.]

[1371. ὀρεχθεῖν: Κινεῖν καὶ συνταράττεσθαι. R.V. κινηθῆναι πρὸς ὀργήν. Θ. ὀρέχθει μίμημά ἐστι τραχέος ἤχου γινομένου ἐν τῷ σφάζεσθαι βοῦν. Θεόκριτος δὲ ἐπὶ θαλάσσης τὴν λέξιν τίθησι, καθ' ὁμοιότητα τοῦ "ῥόχθει δὲ μέγα κῦμα." δῆλον δὲ ὅτι καὶ ἐπὶ πατάγου καρδίας ἡ λέξις τίθεται. Victor.]

1373. τὰ σοφὰ ταῦτα: Ἢ ἀντὶ τοῦ ἔπη ἐπινοητέον, ἢ δέον εἰπεῖν, οἵπερ εἰσὶν οἱ σοφοὶ οὗτοι ποιηταί, ὁ δὲ πρὸς οὐδέτερον ἔτρεψεν· ὥσπερ καὶ ἐν Βατράχοις ποιεῖ λέγων

οὐκοῦν ἕτερ' ἐστὶ μειρακύλλια
τραγῳδίας ποιοῦντα.

1374. ὡς ἐκίνει ἀδελφὸς: Τὴν Καναχὴν ὁ Μακαρεύς. τὸ δὲ ἀλεξίκακε διὰ μέσου ἀναπεφώνηται. σημειοῦται δὲ τὸν Εὐριπίδου Αἴολον. ἐκεῖ γὰρ οἱ ἀδελφοὶ τὰς ἀδελφὰς γαμοῦσιν. Ἄλλως. γέγραπται Εὐριπίδου Αἴολος δρᾶμα οὕτως καλούμενον, ἐν ᾧ παρήγαγε Μακαρέα, τὸν παῖδα τοῦ Αἰόλου, φθείραντα Καναχὴν τὴν ἀδελφήν. ἐπεὶ δὲ παρ' Ἀθηναίοις ἔξεστι γαμεῖν τὰς ἐκ τῶν πατέρων ἀδελφὰς, εἰς αὔξησιν τοῦ ἀδικήματος προσέθηκε τὴν ὁμομητρίαν. εἶτα εὐφυῶς ἐσχετλίασεν, ἐπάγων τὸ ἀλεξίκακε· τουτέστιν, ἀποτρόπαιε, καὶ ὦ τὰ δεινὰ ἀπείργων. ἴδιον γὰρ Ἡρακλέους τὸ ἐπίθετον. [ὅτι συνῆν ἀθέσμως. Θ.]

1376. ἐξαράττω: Κρούω αὐτόν· λοιδορῶ, πλήττω πολλοῖς κακοῖς.

[1378. ἀντεβάλλομεν, ἐφιλονεικοῦμεν. R.V.]

5. Θεόκριτος] 11, 43.
6. ῥόχθει] Homer. Odyss. E, 402.
8. Scholion v. 1373. om. R.V.
10. Βατράχοις] 89.
13. ὁ Μακαρεὺς] ὦ μακάριε V.
15. ἐκεῖ γὰρ οἱ ἀδελφοὶ ταῖς ἀδελφοῖς συγγίνονται V.
ib. οἱ ἀδελφοὶ hoc loco R, ἀδελφοὶ (omisso οἱ) post γαμοῦσιν Ald. Tum addit Ald. ὡς ἐπὶ Ἡρακλέους δὲ τὸ ἀλεξίκακε, quæ om. R.V.
ib. Ἄλλως add. V.
15–21. γέγραπται—ἐπίθετον om. R.
15, 16. γέγραπται—καλούμενον V. γέγραπται δὲ δρᾶμα Εὐριπίδου Αἴολος λεγόμενον Ald.
17. τοῦ addidi ex V, in quo est τὸν παῖδα τοῦ αἰόλου μακάριον.
ib. φθείραντα] φθείροντα Ald. διαφθείραντα V.
18. ἐπεὶ V. ἐπειδὴ Ald.
ib. παρ' Ἀθηναίοις] παρὰ Ἀθηναίοις Ald. παναθηναίοις V.
ib. τῶν add. V.
20. ἐσχετλίασε V, omisso ἐπάγων.
ib. τὸ ἀλεξίκακε V. τὸν ἀλεξίκακον Ald.

[1379. *κασπόδει*: Ἔτυπτε. *συνέτριβε*. R. *συνέτριβεν, ἐκονιόρτου, ἐσπόδου*. V. *κονιορτοῦ ἐπλήρου*. Gl. Victor.]

[1382. *λείπει φοβοῦμαι*. R.]

[1383. *λείπει τύπτομαι*. R.]

1384. *τραυλίζοντος*: Ψελλίζοντος *καὶ μηδὲν ἔναρθρον λαλοῦντος*. [*νοοίης* [*νοοεῖς*. R.] *δὲ ἀντὶ τοῦ ἔχεις ἐν τῷ νῷ*. R.V.]

1385. *βρῦν*: Ἄσημος *φωνὴ τῶν παιδίων, ὁπόταν πιεῖν ζητῇ*.

[*πιεῖν παρέσχον*: Οὐ *μόνον ἐπέχω, τὸ κωλύω, ἀλλὰ καὶ τὸ δίδωμι. ὥσπερ γὰρ οὐδὲν ἕτερόν ἐστι τὸ παρέχω, τὸ δίδωμι, ἢ παρά σοι ἔχω τι, οὕτω καὶ ἐπέχω ἀντὶ τοῦ ἐπί σοι ἔχω τι. ἡ γὰρ παρὰ καὶ ἡ ἐπὶ ταυτοσήμαντά εἰσιν*. Schol. D.]

[1387. *κακκᾶν*: Ἀφοδεύειν *τὰ παιδία. πρίν σε εἰπεῖν, προέτεινόν σε ἀπὸ τῆς κλίνης καὶ ἔξω τῶν ἱματίων, ἵνα ἀποπατήσῃς*. R.V.]

[1390. *ὑπὸ τῶν πληγῶν*. R.]

[1392. *αὐτοῦ*: Αὐτόθι. R.]

[1394. *πηδᾶν*: Ὁρμᾶν. Gl. Victor. *ἀντὶ τοῦ εἰς ἅ*. R.]

1397. *λάβοιμεν ἂν*: Οὕτως *ἀφανισθήσεται πληγαῖς, ὡς νομίσαι ἡμᾶς τὸ δέρμα καὶ τοῦ δέρματος ἐρεβίνθου λεπτότερον αὐτοὺς ἔχειν*.

[*ἀποροῦσί τινες ἐνταῦθα, πῶς οὕτω δέον εἰπεῖν, τὸ δέρμα τῶν γεραιτέρων λάβοιεν ἂν οἱ νέοι, ὁ χορὸς λάβοιμεν εἶπεν· λύοντές τινες τὴν ἀπορίαν, εἰς ψυχρὰν λύσιν τὸν λόγον ἀποδιδόασιν. ἀλλὰ σὺ οὕτω λέγε· οἶμαι τὰς καρδίας τῶν νεωτέρων πηδᾶν καὶ ὁρμᾶν ἐν ἐκείνῳ, ὅπερ Φειδιππίδης λέξει, λεγόντων δηλονότι καθ' ἑαυτοὺς τῶν νεωτέρων τάδε· εἰ γὰρ ταῦτα οὗτος ἐξειργασμένος, εἶτα λαλῶν καὶ δημηγορῶν ἀναπείσει τὸν πατέρα, ὅτι ἀληθῆ πεποίηκε, τὸ δέρμα τῶν γεραιτέρων λάβοιμεν ἄν, ἤγουν ἐκδείροιμεν αὐτούς, ἀλλ' οὐδὲ τοῦ ἐρεβίνθου αὐτῶν, ἤγουν τοῦ αἰδοίου, φεισαίμεθα ἂν δηλονότι· οὕτω τὸ λάβοιμεν ἀπὸ τῶν νέων νόει*. Victor.]

[1398. *ἐρεβίνθου*: Αἰδοίου. Gl. Br.]

6. *ἔχεις ἐν τῷ νῷ*] *ἃ ἐν τῷ νῷ ἔχεις* V.

7. *βρῦν*] Correxi lemma Ald. *μαμμᾶν*.

ib. *παιδίων*] *παίδων* V. *παιδίων λαλούντων* Ald.

ib. *ὁπότ' ἂν πιεῖν ζητῇ* (*ὁπόταν—ζητῶσι* G.) addidi ex V. Totum scholion om. R.

17, 18. *Οὕτως—αὐτοὺς ἔχειν* om. R.V.

18. *τὸ δέρμα* addidit Hermannus.

[1399. *μοχλευτὰ*: Μοχλοὶ, *κλεῖθρα, μοχλεύειν, κινεῖν.* Gl. Victor.]

1401. *ὡς ἡδὺ καινοῖς*: Εἴσθεσις *ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν μέ· ὧν τελευταῖος,*

τὴν μητέρ' ὥσπερ καὶ σὲ τυπτήσω. τί δῆτα φῂς σύ.

ὁ μέντοι ἑπτακαιδέκατος τρίμετρος ἴαμβός ἐστιν. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.

[1402. *τῶν καθεστώτων*: Τῶν *ὡρισμένων.* R.V. (non G.) *ἱσταμένων, πολιτευομένων.* Θ. *ὑπερφρονεῖν*: Ὑπερηφανεῖν. V. (non G.) *ἡ ὑπὲρ ἀντὶ τῆς κατά.* R.V.]

[1403. *προσεῖχον*: Προσεκόλλων. Θ.]

[1404. *ἐξαμαρτεῖν*: Βαρβαρίσαι, *σφαλῆναι.* Gl. Victor.]

[1405. *τούτων*: Τῆς *ἱππικῆς.* R.V. *τῶν κατὰ τὴν ἱππικήν.* Θ.]

[1406. *λεπτολογίαις.* Θ. *ταῖς τῶν φιλοσόφων.* R.V. *φροντίσιν.* Θ.]

[1408. *ἵππων φρόντιζε.* R.V.]

[1409. *τέθριππον*: Ἅρμα. Gl. Θ. Br. *ἐπιτριβῆναι*: Ἀντὶ τοῦ *βλαβῆναι.* R.]

[1410. *ἀπέσχισας*: Ἐκώλυσας, *ἀπεχώρισας.* R.V. *ἀπέκοψας.* Θ. *μέτειμι*: Μετελεύσομαι. Gl. Θ. E.]

[1412. *ἔγωγέ σ' εὐνοῶν*: Ναὶ *ἔγωγε ἔτυπτον εὐνοῶν σου, ἵνα καλῆς ἀναγωγῆς τύχῃς.* Gl. Victor.]

[1415. *ἀθῷον*: Ἀμέτοχον. Gl. Victor.]

1417. *κλάουσι παῖδες*: Παρὰ τὰ ἐξ Ἀλκήστιδος Εὐριπίδου

χαίρεις ὁρῶν φῶς· πατέρα δ' οὐ χαίρειν δοκεῖς;

[*τί ἔτι δή;* Ἤγουν *τί τοῦτό ἐστιν.* Gl. Victor.]

[1418. *τοῦτο τοὔργον*: Τὸ *τύπτεσθαι.* R. *τὸ τύπτειν.* V. (non G.) *τὸ κλαίειν.* Gl. Br.]

1419. *δὶς παῖδες οἱ γέροντες*: [Παῖδες *γὰρ ὄντες ἄφρονες ἦσαν, ὑπεργηράσκοντες δὲ πάλιν ληροῦσι καὶ παιδίων φρένας ἔχουσι.* R.V.] *παῖδές τε γὰρ τὴν ἀρχὴν ἦσαν ἄφρονες, καὶ νῦν ὑπὸ τοῦ τῶν ἐτῶν πλήθους παρατραπέντος αὐτοῖς τοῦ λογισμοῦ παῖδές εἰσι, τῷ νῷ πάλιν ληροῦντες. καὶ* Σοφοκλῆς Πηλεῖ

3. Scholion metricum om. R.V.
24. *παρὰ τὰ* R.V. *τοῦτο* Ald.
ib. *Ἀλκήστιδος*] 694.

31 – p. 578. l. 8. *παῖδές τε — παιδοτροφίᾳ* om. R.V.

[1498. *διαλέγομαι, ὥσπερ καὶ ὁ Σωκράτης ἔφη "ἀεροβατῶ καὶ "περιφρονῶ τὸν ἥλιον."* R.V.]

[1502. *σμινύη*: *Δίκελλα, ἀξίνη.* Gl. Victor. *μὴ προδῷ*: *Θραυσθεῖσα.* Gl. E. *ἀντὶ τοῦ μὴ κλασθῇ.* R.V.]

[1503. *ἀντὶ τοῦ κλάσω τὸν τράχηλον.* R.]

[1505. *πρὸς τοὺς λόγους αὐτῶν.* R.V.]

[1507. *ἕτερος φιλόσοφος. ὑπὸ τοῦ καπνοῦ δηλονότι.* R.V.]

1509. *τῆς σελήνης τὴν ἕδραν*: *Ἀντὶ τοῦ, τὰς κινήσεις τῆς σελήνης. ἕδραν δὲ εἶπεν, εἰς τὸ αἰσχρὸν ἀποτείνων τὸν λόγον. τὴν ἐπιφοράν. ἐπὶ τίνος ὀχεῖται καὶ πῶς καὶ διὰ τί μένει.*

[*τὰς ἕδρας*: *Στηρίξεις.* Gl. E. *τὴν στήριξιν.* Gl. D.]

1510. *δίωκε*: [*Πρὸς τὸν οἰκέτην.* R. *πρὸς τὸν Ξανθίαν ὁ Ἑρμῆς.* V.] *ὡς τῶν φιλοσόφων φευγόντων διὰ τὸ πῦρ. τὸ δὲ, ὡς ἠδίκουν, γράφεται καὶ, οὓς ἠδίκουν.*

1512. *τό γε τήμερον*: *Οἷον ἀρκετῶς ἔχει ἡ τήμερον ἡμέρα. ὡς ἀπὸ τοῦ ποιητοῦ δὲ ὁ λόγος.*

1. *ὁ Σωκράτης ἔφη*] v. 225.

8–10. *Ἀντὶ—ἐπιφοράν* om. R.V.

9. *ἐπιφοράν*] *περιφοράν* Hermannus.

10. *καὶ πῶς* hoc loco R.V. post *διὰ τί* Ald.

12. *ὁ Ἑρμῆς*] Nam Mercurio hi duo versus tribuuntur in R.V.

13. *τὸ δὲ ὡς ἠδίκουν* om. R: una cum sequentibus *γράφεται καὶ οὓς ἠδίκουν*, quæ habet R, om. V.

15. *οἷον—ἡμέρα* R.V. *ἀντὶ τοῦ τήμερον ἀρκετῶς ἔχει ἡ ἡμέρα* Ald.

15, 16. *ὡς—λόγος* om. R.V. In V. subscriptum *κεκόλλισται ἐκ τῶν Ἡλιοδώρου. παραγέγραπται ἐκ τῶν Φαείνου καὶ Συμμάχου καὶ ἄλλων τινῶν.*